ΩΡΙΓΕΝΟΥΣ ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

ΤΟΜΟΣ Α'.

112r I. *Ὃν τρόπον οἶμαι ὁ πάλαι* »λαὸς« *ἐπικληθεὶς* »θεοῦ« *εἰς φυλὰς* 1
διῃρητο δυοκαίδεκα καὶ τὴν ὑπὲρ τὰς λοιπὰς φυλὰς τάξιν λευϊτικήν,
καὶ αὐτὴν κατὰ πλείονα τάγματα ἱερατικὰ καὶ λευϊτικὰ τὸ θεῖον
θεραπεύουσαν, οὕτως νομίζω κατὰ »*τὸν κρυπτὸν τῆς καρδίας ἄνθρω-*
πον« *πάντα τὸν Χριστοῦ λαόν, χρηματίζοντα ἐν κρυπτῷ Ἰουδαῖον*
καὶ ἐν πνεύματι περιτετμημένον, ἔχειν τὰς ἰδιότητας μυστικώτερον
τῶν φυλῶν· ὡς ἔστι γυμνότερον ἀπὸ Ἰωάννου ἐκ τῆς Ἀποκαλύψεως
μαθεῖν, οὐδὲ τῶν λοιπῶν προφητῶν τοῖς ἀκούειν ἐπισταμένοις τὰ
τοιαῦτα ἀποσιωπησάντων. φησὶ δὲ οὕτως ὁ Ἰωάννης· »*Καὶ εἶδον* 2
»*ἄλλον ἄγγελον ἀναβαίνοντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα*
»*θεοῦ ζῶντος, καὶ ἐκέκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις,*
»*οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν, λέγων· Μὴ*
»*ἀδικήσητε μήτε τὴν γῆν μήτε τὴν θάλασσαν μήτε τὰ δένδρα, ἄχρι*
»*σφραγίσωμεν τοὺς δούλους τοῦ θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν.*
»*καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων, ἑκατὸν τεσσαράκοντα*
»*τέσσαρες χιλιάδες ἐσφραγισμένοι ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ· ἐκ*
»*φυλῆς Ἰούδα δώδεκα χιλιάδες ἐσφραγισμένοι, ἐκ φυλῆς Ῥουβὴμ δώδεκα*
»*χιλιάδες.*« *καὶ μετὰ τὸ διῃρῆσθαι τὰς λοιπὰς φυλὰς πάρεξ τοῦ Δὰν* 3
2R *ἐξῆς μετὰ πλείονα ἐπιφέρει·* »*Καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστὼς*
20 »*ἐπὶ τὸ ὄρος Σιών, καὶ μετ' αὐτοῦ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες*

1 Vgl. Hos. 2, 25 (Röm. 9, 25) u. ö. Vgl. Test. Ruben 6. Juda 21. — **4** Vgl. I Petr. 3, 4. — **5** Röm. 2, 29. — **9** Apok. Joh. 7, 2—5. — **19** Apok. Joh. 14, 1—5.

Überschrift unter einfacher roter Randleiste in roten Uncialen M | *ΕΞΗΓΗΤΙΚΩΝ* V, > M; vgl. Euseb., h. e. VI, 24, 1: *ὡς μὲν ἐν τῷ ϛ' τῶν εἰς τὸ κατὰ Ἰωάννην* [+ *εὐαγγέλιον* Arm.] *ἐξηγητικῶν σημαίνει* | **3** *λευικὰ* | **9** *ἰωάννης* urspr. *ἰάνης*? | **13** *μήτε*¹ ohne Zeugen im T | **14** *σφραγίσωμεν* (σ^2 bis *ε* auf Ras.) über *ω* ist *ο* geschr.

Digitized by Google

»χιλιάδες ἔχουσαι τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ 2H
»γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα φωνὴν ἐκ τοῦ
»οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης.
»καὶ ἡ φωνὴ ἣν ἤκουσα ὡς κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθά-
»ραις αὐτῶν. καὶ ᾄδουσιν ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου καὶ 5
»ἐνώπιον τῶν τεσσάρων ζῴων καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς
»ἐδύνατο μαθεῖν τὴν ᾠδὴν εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες
»χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς· οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν
»οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν· οὗτοι οἱ ἀκολουθοῦντες τῷ
»ἀρνίῳ ὅπου ἐὰν ὑπάγῃ· οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων 10
»ἀπαρχὴ τῷ θεῷ καὶ τῷ ἀρνίῳ· καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ
4 »εὑρέθη ψεῦδος· ἄμωμοι γάρ εἰσιν.« ὅτι δὲ ταῦτα παρὰ τῷ Ἰωάννῃ
περὶ τῶν εἰς Χριστὸν πεπιστευκότων λέγεται, καὶ αὐτῶν ὑπαρχόντων
ἀπὸ φυλῶν, κἂν μὴ δοκῇ τὸ σωματικὸν αὐτῶν γένος ἀνατρέχειν ἐπὶ
τὸ σπέρμα τῶν πατριαρχῶν, ἔστιν οὕτως ἐπιλογίσασθαι· »Μὴ ἀδική- 15
»σητε, φησί, τὴν γῆν μήτε τὴν θάλασσαν μήτε τὰ δένδρα, ἄχρι σφρα-
»γίσωμεν τοὺς δούλους τοῦ θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν.
»καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων, ἑκατὸν τεσσαράκοντα
»τέσσαρες χιλιάδες | ἐσφραγισμένων ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ.« 112r
5 (2) οὐκοῦν οἱ ἐκ πάσης φυλῆς υἱῶν Ἰσραὴλ σφραγίζονται ἐπὶ τῶν 20
μετώπων αὐτῶν, ἑκατὸν τεσσαράκοντα τέσσαρές εἰσι χιλιάδες τὸν
ἀριθμόν· αἵτινες ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἐν τοῖς ἑξῆς
παρὰ τῷ Ἰωάννῃ λέγονται ἔχειν τὸ ὄνομα τοῦ ἀρνίου καὶ τοῦ πατρὸς
αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν, οὖσαι παρθένοι καὶ
6 μετὰ γυναικῶν οὐ μολυνθέντες. τίς ⟨ἂν⟩ οὖν ἄλλη εἴη ἡ σφραγὶς ἡ 25
ἐπὶ τῶν μετώπων ἢ τὸ ὄνομα τοῦ ἀρνίου καὶ τοῦ πατρὸς αὐτοῦ, ἐν
ἀμφοτέροις τοῖς τόποις τῶν μετώπων λεγομένων ἔχειν πῃ μὲν τὴν
σφραγῖδα πῃ δὲ τὰ γράμματα περιέχοντα τὸ ὄνομα τοῦ ἀρνίου καὶ
7 τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ; ἀλλὰ καὶ οἱ »ἀπὸ φυλῶν« εἰ οἱ αὐτοί
εἰσι τοῖς »παρθένοις«, ὡς προαπεδείξαμεν, σπάνιος δὲ ὁ ἐκ τοῦ κατὰ 30
σάρκα Ἰσραὴλ πιστεύων, ὡς τάχα τολμῆσαι ἄν τινα εἰπεῖν μὴ συμ-
πληροῦσθαι ἀπὸ τῶν ἐκ τοῦ κατὰ σάρκα Ἰσραὴλ πιστευόντων μηδὲ
τὸν τῶν ἑκατὸν τεσσαράκοντα τεσσάρων χιλιάδων ἀριθμόν, δῆλον
ὅτι ἐκ τῶν ἀπὸ τῶν ἐθνῶν τῷ θείῳ προσερχομένων λόγῳ συνίστα-
ται αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες μετὰ γυναικῶν οὐ 38

15 Apok. Joh. 7, 3f. — **23** Vgl. Apok. Joh. 14, 1. 4. — **27** Vgl. Apok. Joh. 7, 3. — **28** Vgl. Apok. Joh. 14, 1. — **30** Vgl. Z. 19ff. — Vgl. 1 Kor. 10, 18. — **33** Vgl. Apok. Joh. 14, 4.

12 *ἰωάννῃ* aus *ἰωάνῃ* | **16** *τὰ* über d. Z. | **19** *ἐσφραγισμένοι* V; vgl. S. 1, 15 (M = B2 6. 7. 14. 31. 32 al. Q.) **23** *ἰωάννῃ* ⟨*αν*⟩ auf Ras. **25** *τίς ἂν οὖν* We, Wi: *τισὰν* mit verschmierter Endung, darüber von j. Hd. *τις* überliefert | **28** *περιέχοντᾶι* | **35** ⟨*τῶν*⟩ *μετὰ* We.

Digitized by Google

μολυνομένων· ὥστε μὴ ἂν ἀποπεσεῖν τῆς ἀληθείας τὸν φάσκοντα ἀπαρχὴν ἑκάστης εἶναι φυλῆς τοὺς παρθένους αὐτῆς. καὶ γὰρ ἐπι- 8
φέρεται· »Οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ θεῷ »καὶ τῷ ἀρνίῳ, καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος· ἄμω-
3H »μοι γάρ εἰσιν.« οὐκ ἀγνοητέον δέ, ὅτι ὁ περὶ τῶν ἑκατὸν τεσσαράκοντα τεσσάρων χιλιάδων παρθένων λόγος ἐπιδέχεται ἀναγωγήν. περιττὸν δὲ νῦν καὶ οὐ κατὰ τὸν προκείμενον λόγον τὸ παρατίθεσθαι λέξεις προφητικὰς ταὐτὸν περὶ τῶν ἐξ ἐθνῶν ἡμᾶς διδασκούσας.

II. (3) Τί δὴ πάντα ταῦθ' ἡμῖν βούλεται; ἐρεῖς ἐντυγχάνων τοῖς 9
10 γράμμασιν, Ἀμβρόσιε, ἀληθῶς »θεοῦ ἄνθρωπε,« καὶ »ἐν Χριστῷ »ἄνθρωπε« καὶ σπεύδων εἶναι »πνευματικός«, οὐκέτι ἄνθρωπος. οἱ μὲν ἀπὸ τῶν φυλῶν δεκάτας καὶ ἀπαρχὰς ἀναφέρουσι τῷ θεῷ διὰ τῶν λευϊτῶν καὶ ἱερέων, οὐ πάντα ἔχοντες ἀπαρχὰς ἢ δεκάτας· οἱ δὲ λευῖται καὶ ἱερεῖς, πάντα δεκάταις καὶ ἀπαρχαῖς χρώμενοι, δεκάτας
15 ἀναφέρουσι τῷ θεῷ διὰ τοῦ ἀρχιερέως, οἶμαι δ' ὅτι καὶ ἀπαρχάς. ἡμῶν δὴ τῶν προσιόντων τοῖς Χριστοῦ μαθήμασιν οἱ μὲν πλεῖστοι, 10
τὰ πολλὰ τῷ βίῳ σχολάζοντες καὶ ὀλίγας πράξεις τῷ θεῷ ἀνατιθέντες, τάχα εἶεν ἂν οἱ ἀπὸ τῶν φυλῶν ὀλίγην πρὸς τοὺς ἱερεῖς ἔχοντες κοινωνίαν καὶ ἐν βραχέσι τὸ θεραπευτικὸν τοῦ θεοῦ τρέ-
20 φοντες· οἱ δὲ ἀνακείμενοι τῷ θείῳ λόγῳ καὶ πρὸς μόνῃ τῇ θεραπείᾳ τοῦ θεοῦ γινόμενοι γνησίως κατὰ τὴν διαφορὰν τῶν εἰς τοῦτο κινημάτων λευῖται καὶ ἱερεῖς οὐκ ἀτόπως λεχθήσονται. τάχα δὲ οἱ 11
113r ⟨πάντων δια⟩φέροντες καὶ οἱονεὶ τὰ πρῶτα | τῆς καθ' ἑαυτοὺς γενεᾶς ἔχοντες ἀρχιερεῖς ἔσονται κατὰ τὴν τάξιν Ἀαρών, καὶ οὐ κατὰ τὴν
25 τάξιν Μελχισεδέκ. ἐὰν γάρ τις ἀνθυποφέρῃ πρὸς τοῦτο, νομίζων ἡμᾶς ἀσεβεῖν τὸ τοῦ ἀρχιερέως ὄνομα τάσσοντας ἐπ' ἀνθρώπων, ἐπεὶ πολλαχοῦ Ἰησοῦς μέγας ἱερεὺς προφητεύεται (ἔχομεν γὰρ »ἀρχιερέα »μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ«), λεκτέον πρὸς αὐτὸν ὅτι ὁ ἀπόστολος ἐπεσημήνατο λέγων τὸν προ-
30 φήτην εἰρηκέναι περὶ Χριστοῦ· »Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν »τάξιν Μελχισεδέκ,« καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρών. ἀφ' οὗ καὶ ἡμεῖς λαβόντες φαμὲν κατὰ μὲν τὴν τάξιν Ἀαρὼν ἀνθρώπους δύνασθαι εἶναι ἀρχιερεῖς, κατὰ δὲ τὴν τάξιν Μελχισεδὲκ τὸν χριστὸν τοῦ θεοῦ. (4) πάσης τοίνυν ἡμῖν πράξεως καὶ παντὸς τοῦ βίου, ἐπεὶ 12

8 Apok. Joh. 14, 4f. — **10** I Tim. 6, 11. — II Kor. 12, 2. — **11** Vgl. I Kor. 2, 14f. — **12** Vgl. Lev. 27, 30. — **18** Vgl. Lev. 23, 10. — **24** Hebr. 7, 11. — **27** Hebr. 4, 14. — **30** Hebr. 5, 6; vgl. Ps. 109, 4.

1 ἂν V, ἐᾶν aus ἐὰν corr. M | **6** λόγος scheint aus λόγων corr. | **13** πάντα] a^2 a. Ras. | **21** εἰς τοῦτο] nur noch εἰχον erkennbar | **21/22** κοινωνημάτων Br, We | **22** nach οἱ c. 6 Buchst. zerstört. ⟨πάντων⟩ Wi, ⟨ἐν τούτῳ⟩ We, ⟨ἐν ἡμῖν⟩ Br | **23** οἱονεὶ τὰ πρῶτα stark beschädigt | **26** ἡμᾶς — τάσσοντας am Rande nachgetragen.

Digitized by Google

σπεύδομεν ἐπὶ τὰ κρείττονα, ἀνακειμένης θεῷ καὶ βουλομένων ἡμῶν 4R
ἔχειν πᾶσαν αὐτὴν ἀπαρχὴν τῶν πολλῶν ἀπαρχῶν (εἴ γε μὴ σφαλλό-
μεθα τοῦτο νομίζοντες), ποίαν ἐχρῆν εἶναι μετὰ τὸ κατὰ τὸ σῶμα
κεχωρίσθαι ἡμᾶς ἀλλήλων διαφέρουσαν ἢ τὴν περὶ εὐαγγελίου ἐξέ-
τασιν; καὶ γὰρ τολμητέον εἰπεῖν πασῶν τῶν γραφῶν εἶναι ἀπαρχὴν 5
13 τὸ εὐαγγέλιον. ἀπαρχὴν οὖν πράξεων, ἐξ οὗ τῇ Ἀλεξανδρείᾳ ἐπιδε-
δημήκαμεν, τίνα ἄλλην ἢ τὴν εἰς τὴν ἀπαρχὴν τῶν γραφῶν ἐχρῆν 4H
γεγονέναι; χρὴ δ' ἡμᾶς εἰδέναι οὐ ταὐτὸν εἶναι ἀπαρχὴν καὶ πρωτο-
γέννημα· μετὰ γὰρ τοὺς πάντας καρποὺς ἀναφέρεται ἡ ἀπαρχή, πρὸ
14 δὲ πάντων τὸ πρωτογέννημα. τῶν τοίνυν φερομένων γραφῶν καὶ 10
ἐν πάσαις ἐκκλησίαις θεοῦ πεπιστευμένων εἶναι θείων, οὐκ ἂν ἁμάρτοι
τις λέγων πρωτογέννημα μὲν τὸν Μωϋσέως νόμον, ἀπαρχὴν δὲ τὸ
εὐαγγέλιον. μετὰ γὰρ τοὺς πάντας τῶν προφητῶν καρποὺς τῶν μέχρι
τοῦ κυρίου Ἰησοῦ ὁ τέλειος ἐβλάστησε λόγος.

15 III. (5) Ἐὰν δέ τις ἀνθυποφέρῃ διὰ τὴν ἔννοιαν τῆς ἀναπτύξεως 15
τῶν ἀπαρχῶν φάσκων μετὰ τὰ εὐαγγέλια τὰς πράξεις καὶ τὰς ἐπιστο-
λὰς φέρεσθαι τῶν ἀποστόλων καὶ κατὰ τοῦτο μὴ ἂν ἔτι σώζεσθαι
τὸ προαποδεδομένον περὶ ἀπαρχῆς, τὸ ἀπαρχὴν πάσης γραφῆς εἶναι
τὸ εὐαγγέλιον, λεκτέον ἤτοι νοῦν εἶναι σοφῶν ἐν Χριστῷ ὠφελημέ-
νων ἐν ταῖς φερομέναις ἐπιστολαῖς, δεομένων, ἵνα πιστεύωνται, μαρ- 29
τυριῶν τῶν ἐν τοῖς νομικοῖς καὶ προφητικοῖς λόγοις κειμένων· ὥστε
σοφὰ μὲν καὶ εὔπιστα λέγειν καὶ σφόδρα ἐπιτετευγμένα τὰ ἀποστο-
16 λικά, οὐ μὴν παραπλήσια τῷ »Τάδε λέγει κύριος παντοκράτωρ«. καὶ
κατὰ τοῦτο ἐπίστησον εἰ, ἐπὰν λέγῃ ὁ Παῦλος· »Πᾶσα γραφὴ θεό-
»πνευστος καὶ ὠφέλιμος«, ἐμπεριλαμβάνει καὶ τὰ ἑαυτοῦ γράμματα· 25
ἢ οὐ τό τε »Ἐγὼ λέγω, καὶ οὐχ ὁ κύριος« καὶ τὸ »Ἐν πάσαις ἐκκλη-
»σίαις διατάσσομαι« καὶ τὸ »Οἷα ἔπαθον ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν 5R
»Λύστροις« καὶ τὰ τούτοις παραπλήσια ἐνίοτε ὑπ' αὐτοῦ γραφέντα τὴν

1 Vgl. Hebr. 11, 16. — **8** Vgl. Num. 18, 12 f. — **9** Vgl. Lev. 23, 16. Num. 28, 26. Deut. 16, 9 ff. — **10** Vgl. Ex. 23, 16. Lev. 2, 14. — **18** Vgl. Z. 5 f. — **23** II Kor. 6, 18. — **24** II Tim. 3, 16. — **26** I Kor. 7, 12. 17. — **27** II Tim. 3, 11.

3 τὸ² streicht V | **9** πρωτογέ̈ννημα | **10. 12** πρωτογένημα | **22** εὔπιστα] nur noch ιστα sicher zu erkennen, das andere junge Ergänzung. ἄπιστα V | ἐπιτετευγμένα] ευ auf Ras. | **26** ἢ οὐ τό τε Wi, ἢ οὕτω τὸ M, ἢ οὐ τὸ V | **28** τὴν μὲν ἐξουσίαν wohl sicher; danach glaube ich ein mit compendiarischer Endung geschriebenes πᾶσαν zu erkennen; danach sicher τὴν ἀποστολικὴν und hierauf Raum für ca. 8 Buchst.; hiernach ist μὴν τὸ κτλ. wieder sicher zu erkennen. γραφέντα καὶ κατ' ἐξουσίαν . . . Lücke von ca. 24 Buchst. . . οὐ μὴν τὸ εἰλικρινὲς V, τὴν μὲν ἐξουσίαν ⟨παρέχοντα· τὴν ἀποστολικὴν οὐ μὴν Br, τὴν μὲν ἐξουσίαν ⟨παρίστησι μόνην⟩ ἀποστολικὴν οὐ μὴν We, τὴν μὲν ἐξουσίαν ⟨ἔχει βεβαίως⟩ ἀποστολικὴν, oder ⟨φαίνεται ἔχοντα⟩ ἀποστολικὴν Wi. Ist πᾶσαν richtig gelesen, so ist wohl zu erg.: τὴν μὲν ἐξουσίαν πᾶσαν τὴν ἀποστολικὴν ⟨παρίστησι⟩ οὐ μὴν κτλ.

Digitized by Google

μὲν ἐξουσίαν * * * * ἀποστολικὴν * * *, ου μὴν τὸ εἰλικρινὲς τῶν
113v ἐκ θείας ἐπιπνοίας | λόγων. ἢ καὶ τούτῳ παραστατέον ὅτι ἡ παλαιὰ 17
μὲν οὐκ εὐαγγέλιον, οὐ δεικνύουσα ›τὸν ἐρχόμενον‹ ἀλλὰ προκηρύσ-
σουσα, πᾶσα δὲ ἡ καινὴ τὸ εὐαγγέλιόν ἐστιν, οὐ μόνον ὁμοίως τῇ
5 ἀρχῇ τοῦ εὐαγγελίου φάσκουσα· ›Ἰδοὺ ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων
›τὴν ἁμαρτίαν τοῦ κόσμου‹, ἀλλὰ καὶ ποικίλας δοξολογίας περιέχουσα
καὶ διδασκαλίας τοῦ δι' ὃν τὸ εὐαγγέλιον εὐαγγέλιόν ἐστιν. ἔτι δὲ εἰ 18
ὁ θεὸς ἔθετο ἐν τῇ ἐκκλησίᾳ ἀποστόλους καὶ προφήτας καὶ εὐαγγε-
λιστὰς ποιμένας τε καὶ διδασκάλους, ἐπὰν ἐξετάσωμεν τί τὸ ἔργον
10 τοῦ εὐαγγελιστοῦ, ὅτι οὐ πάντως διηγήσασθαι τίνα τρόπον ὁ σωτὴρ
τυφλὸν ἀπὸ γενετῆς ἰάσατο, ὀδωδότα νεκρὸν ἀνέστησεν ἢ τι τῶν
παραδόξων πεποίηκεν, οὐκ ὀκνήσομεν, χαρακτηριζομένου τοῦ εὐαγγε-
5H λιστοῦ καὶ ἐν προτρεπτικῷ λόγῳ τῷ εἰς πιστοποίησιν τῶν περὶ
Ἰησοῦ. εὐαγγελιόν πως εἰπεῖν τὰ ὑπὸ τῶν ἀποστόλων γεγραμμένα.
15 ἀλλ' ὅσον ἐπὶ τῇ δευτέρᾳ ἀποδόσει, τῷ ἀνθυποφέροντι διὰ τὸ μὴ 19
ἐπιγεγράφθαι τὰς ἐπιστολὰς εὐαγγέλιον ὡς οὐ καλῶς πᾶσαν τὴν καινὴν
διαθήκην εὐαγγέλιον ἡμῶν ὀνομασάντων, λεκτέον ὅτι πολλαχοῦ τῶν
γραφῶν δύο τινῶν ἢ πλειόνων τῷ αὐτῷ ὀνόματι ὀνομαζομένων κυ-
ριώτερον ἐπὶ τοῦ ἑτέρου τῶν λεγομένων κεῖται τὸ ὄνομα· οἷον λέ-
20 γοντος τοῦ σωτῆρος· ›Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς‹ ὁ ἀπό- 20
στολός φησι τετάχθαι ἐν τῇ ἐκκλησίᾳ καὶ διδασκάλους. οὐκ ἔσονται
οὖν οὗτοι διδάσκαλοι ὅσον ἐπὶ τῇ ἀκριβείᾳ τῆς τοῦ εὐαγγελίου φωνῆς.
οὕτως οὐκ ἔσται εὐαγγέλιον τὸ κατὰ τὰς ἐπιστολὰς πᾶν γράμμα, ὅταν
παραβάλληται τῇ διηγήσει τῶν περὶ Ἰησοῦ πράξεων καὶ παθημάτων
25 καὶ λόγων αὐτοῦ. πλὴν ἀπαρχὴ πάσης γραφῆς τὸ εὐαγγέλιον, καὶ
πασῶν τῶν κατ' εὐχὴν ἡμῶν πράξεων ἐσομένων ἀπαρχὴν ποιούμεθα
εἰς τὴν ἀπαρχὴν τῶν γραφῶν.

IV. (6) Ἐγὼ δ' οἶμαι ὅτι καὶ τεσσάρων ὄντων τῶν εὐαγγελίων 21
οἱονεὶ στοιχείων τῆς πίστεως τῆς ἐκκλησίας (ἐξ ὧν στοιχείων ὁ πᾶς
30 συνέστηκε κόσμος ἐν Χριστῷ καταλλαγεὶς τῷ θεῷ, καθά φησιν ὁ
Παῦλος· ›Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ‹· οὗ κόσ-
μου τὴν ἁμαρτίαν ἦρεν Ἰησοῦς· περὶ γὰρ τοῦ κόσμου τῆς ἐκκλησίας
6R ὁ λόγος ἐστὶν ὁ γεγραμμένος· ›Ἰδοὺ ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν
›ἁμαρτίαν τοῦ κόσμου‹) ἀπαρχὴν τῶν εὐαγγελίων εἶναι τὸ προστε-

3 Matth. 11, 3. Luk. 7, 19f. Hebr. 10, 37. — 5 Joh. 1, 29. — 8 I Kor. 12, 28. Eph. 4, 11. — 11 Joh. 9, 1ff. 11, 1ff. — 15 Vgl. S. 6, 16ff. — 20 Vgl. Matth. 23, 8f. — 28 Vgl. Iren., adv. haer. III, 11, 8. — 31 II Kor. 5, 19. — 33 Vgl. Joh. 1, 29. I Joh. 3, 5. — 33 Joh. 1, 29.

5. 33 ἰδοὺ] VI, 51 ἴδε wie T | 28 εὐαγγελίων scheint aus εὐαγγέλιον corr.

Digitized by Google

ταγμένον ἡμῖν ὑπὸ σοῦ κατὰ δύναμιν ἐρευνῆσαι, τὸ κατὰ Ἰωάννην,
τὸν γενεαλογούμενον εἰπὸν καὶ ἀπὸ τοῦ ἀγενεαλογήτου ἀρχόμενον.
22 Ματθαῖος μὲν γὰρ τοῖς προσδοκῶσι τὸν ἐξ Ἀβραὰμ καὶ Δαβὶδ Ἑβραίοις
γράφων· »Βίβλος, φησί, γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ, υἱοῦ
»Ἀβραάμ«, καὶ Μάρκος, εἰδὼς ὃ γράφει, »ἀρχὴν« διηγεῖται »τοῦ εὐαγγε- 5
»λίου«, τάχα εὑρισκόντων ἡμῶν τὸ τέλος αὐτοῦ παρὰ τῷ Ἰωάννῃ
* * * * τὸν »ἐν ἀρχῇ« λόγον, θεὸν λόγον. ἀλλὰ καὶ Λουκᾶς * * * * *
ἀλλά γε τηρεῖ τῷ ἐπὶ τὸ στῆθος ἀναπεσόντι τοῦ Ἰησοῦ τοὺς μείζονας 114r
καὶ τελειοτέρους περὶ Ἰησοῦ λόγους· οὐδεὶς γὰρ ἐκείνων ἀκράτως
ἐφανέρωσεν αὐτοῦ τὴν θεότητα ὡς Ἰωάννης, παραστήσας αὐτὸν λέ- 10
γοντα· »Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου« · »Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ
ἡ ζωή« · »Ἐγώ εἰμι ἡ ἀνάστασις« · »Ἐγώ εἰμι ἡ θύρα« · »Ἐγώ εἰμι ὁ ποι-
»μὴν ὁ καλός« · καὶ ἐν τῇ Ἀποκαλύψει »Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἡ
23 »ἀρχὴ καὶ τὸ τέλος, ὁ πρῶτος καὶ ὁ ἔσχατος«. τολμητέον τοίνυν
εἰπεῖν ἀπαρχὴν μὲν πασῶν γραφῶν εἶναι τὰ εὐαγγέλια, τῶν δὲ εὐαγγε- 15
λίων ἀπαρχὴν τὸ κατὰ Ἰωάννην, οὗ τὸν νοῦν οὐδεὶς δύναται λαβεῖν 6H
μὴ ἀναπεσὼν ἐπὶ τὸ στῆθος Ἰησοῦ μηδὲ λαβὼν ἀπὸ Ἰησοῦ τὴν Μα-
ρίαν γινομένην καὶ αὐτοῦ μητέρα. καὶ τηλικοῦτον δὲ γενέσθαι δεῖ
τὸν ἐσόμενον ἄλλον Ἰωάννην, ὥστε οἱονεὶ τὸν Ἰωάννην δειχθῆναι
ὄντα Ἰησοῦν ὑπὸ Ἰησοῦ. εἰ γὰρ οὐδεὶς υἱὸς Μαρίας κατὰ τοὺς ὑγιῶς 20
περὶ αὐτῆς δοξάζοντας ἢ Ἰησοῦς, φησὶ δὲ Ἰησοῦς τῇ μητρί· »Ἴδε ὁ
»υἱός σου« καὶ οὐχί »Ἴδε καὶ οὗτος υἱός σου«, ἴσον εἴρηκε τῷ »Ἴδε

2 Vgl. Iren., adv. haer. III, 11, 8. — 4 Matth. 1, 1. — 5 Mark. 1, 1. — 7 Vgl. Joh. 1, 1. — 8 Vgl. Joh. 13, 25. — 11 Joh. 8, 12. — 14, 6. — 12 11, 25. — 10, 9. 11. — 13 Apok. Joh. 22, 13. — 15 Vgl. S. 6, 5. — 17 Vgl. Joh. 13, 25. 19, 26. — 19 Vgl. Joh. 19, 26. — 20 Vgl. homil. in Luc. VII; comm. in Matth. X, 17. — 21 Vgl. Joh. 19, 26.

2 εἰπῶν, von V corr. | 3 τὸν v. j. Hd. zu τοῖς corr. | 6/7 Die beiden letzten Zeilen sind so stark zerstört, dass nur mit grösster Geduld noch die geringen Spuren weniger Buchst. zu entdecken sind. V hat 6 nach Ἰωάννῃ eine Lücke von ca. 16 Buchst., 7 nach Λουκᾶς εἰρηκώς Raum für ca. 58—59 Buchst. Nach Ἰωάννῃ glaube ich παρ᾽ ᾧ . . . . ϑ . μεν zu erkennen; nach Λουκᾶς steht deutlich noch εἰκ, die letzte Zeile scheint zu lauten: τὸν βαπτι . . μένον γενεαλογεῖ παρακολουϑήσας . . . ca. 16 Buchst. . . . . ν εὐλογοῦσι τοῦτον οἱ ἄγγελοι. Danach könnte ergänzt werden: παρὰ τῷ Ἰωάννῃ, παρ᾽ ᾧ ⟨ἐδιδάχ⟩ϑ᾽η μεν τὸν ἐν ἀρχῇ λόγον, ϑεὸν λόγον. ἀλλὰ καὶ Λουκᾶς εἰκ⟨ότως⟩ τὸν βαπτι⟨ζό⟩μενον γενεαλογεῖ παρακολουϑήσας ⟨τῷ λόγῳ, ὅτι ὕστερο⟩ν εὐλογοῦσι τοῦτον οἱ ἄγγελοι κτλ. B und ihm folgend Del ergänzen παρὰ τῷ Ἰωάννῃ· τὸν ἐν ἀρχῇ λόγον, ϑεὸν λόγον. ἀλλὰ καὶ Λουκᾶς εἰρηκὼς ἐν ἀρχῇ τῶν Πράξεων· τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν καὶ διδάσκειν. Das ist unmöglich, da nach dem vorangehenden hier nur auf das Evangelium des Lukas Bezug genommen sein kann und die noch erkennbaren Reste diese Ergänzung als reine Willkür erweisen | 20 nach ὑγιῶς hat am Anfang einer neuen Zeile eine j. Hd. καὶ auf Ras. zugefügt; ursprünglich war wohl ως fehlerhaft wiederholt. V hat nur ὑγιῶς.

Digitized by Google

»οὗτός ἐστιν Ἰησοῦς ὃν ἐγέννησας«. καὶ γὰρ πᾶς ὁ τετελειωμένος »ζῇ »οὐκέτι«, ἀλλ' ἐν αὐτῷ »ζῇ Χριστός«, καὶ ἐπεὶ »ζῇ« ἐν αὐτῷ »Χρι»στός«, λέγεται περὶ αὐτοῦ τῇ Μαρίᾳ· »Ἴδε ὁ υἱός σου« ὁ χριστός. ἡλίκου τοίνυν νοῦ ἡμῖν δεῖ, ἵνα τὸν ἐν τοῖς ὀστρακίνοις τῆς εὐτε- 24
λοῦς λέξεως θησαυροῖς ἐναποκείμενον λόγον, τοῦ ὑπὸ πάντων τῶν ἐντυγχανόντων ἀναγινωσκομένου γράμματος καὶ ὑπὸ πάντων τῶν
7R παρεχόντων τὰς σωματικὰς ἀκοὰς ἀκουομένου αἰσθητοῦ διὰ φωνῆς λόγου ἐκλαβεῖν κατ' ἀξίαν δυνηθῶμεν, τί δεῖ καὶ λέγειν; τὸν γὰρ μέλλοντα ταῦτα ἀκριβῶς καταλαμβάνειν μετὰ ἀληθείας εἰπεῖν δεῖ· »Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισ»θέντα ἡμῖν.«

Ἔστι δὲ προσαχθῆναι ἀπὸ τῶν ὑπὸ Παύλου λεγομένων περὶ τοῦ 25
πᾶσαν τὴν καινὴν εἶναι τὰ εὐαγγέλια, ὅταν που γράφῃ· »Κατὰ τὸ »εὐαγγέλιόν μου«· ἐν γράμμασι γὰρ Παύλου οὐκ ἔχομεν βιβλίον εὐαγγέλιον συνήθως καλούμενον, ἀλλὰ πᾶν, ὃ ἐκήρυσσε καὶ ἔλεγε, τὸ εὐαγγέλιον ἦν. ἃ δὲ ἐκήρυσσε καὶ ἔλεγε, ταῦτα καὶ ἔγραφε· καὶ ἃ ἔγραφεν ἄρα εὐαγγέλιον ἦν. εἰ δὲ τὰ Παύλου εὐαγγέλιον ἦν, ἀκόλουθον λέγειν 26
ὅτι καὶ τὰ Πέτρου εὐαγγέλιον ἦν καὶ ἁπαξαπλῶς τὰ συνιστάντα τὴν Χριστοῦ ἐπιδημίαν καὶ κατασκευάζοντα τὴν παρουσίαν αὐτοῦ ἐμποιοῦντά τε αὐτὴν ταῖς ψυχαῖς τῶν βουλομένων παραδέξασθαι τὸν ἑστῶτα ἐπὶ τὴν θύραν καὶ κρούοντα καὶ εἰσελθεῖν βουλόμενον εἰς τὰς ψυχὰς λόγον θεοῦ.

V. (7) Τί δὲ βούλεται δηλοῦν ἡ »εὐαγγέλιον« προσηγορία, καὶ διὰ 27
τί ταύτην ἔχει τὴν ἐπιγραφὴν ταῦτα τὰ βιβλία, ἤδη καιρὸς ἐξετάσαι. ἔστι τοίνυν τὸ εὐαγγέλιον λόγος περιέχων ἀπαγγελίαν πραγμάτων κατὰ τὸ εὔλογον διὰ τὸ ὠφελεῖν εὐφραινόντων τὸν ἀκούοντα, ἐπὰν παραδέξηται τὸ ἀπαγγελλόμενον· οὐδὲν δ' ἧττον ὁ τοιοῦτος λόγος εὐαγγέλιόν ἐστιν, ἂν καὶ πρὸς τὴν σχέσιν τοῦ ἀκούοντος ἐξετάζηται.
7H ἢ εὐαγγέλιόν ἐστι λόγος περιέχων ἀγαθοῦ τῷ πιστεύοντι παρουσίαν
30 ἢ λόγος ἐπαγγελλόμενος παρεῖναι ἀγαθὸν τὸ προσδοκώμενον. πάντες δὲ 28

1 Vgl. Gal. 2, 20. — **3** Joh. 19, 26. — **4** Vgl. II Kor. 4, 7. — **5** Vgl. Matth. 24, 15. — **6** Vgl. Matth. 13, 9. — **10** I Kor. 2, 16. 12. — **13** Röm. 2, 16. — **15** Vgl. I Kor. 2, 4. — **20** Vgl. Apok. Joh. 3, 20.

3 ἴδε über d. Zeile | **7** ἀκοὰς über d. Zeile | **25**/**27** ἔστι—ἀπαγγελλόμενον Catena Corderii p. 7 | **26** ἀκούον|ὄντα | ἐπαγγελλόμενον Cat. | **28** ἄν] nur noch Accente von **1**. Hd.; eine j. Hd. hat εἰ daraus gemacht, ἄν nach **V** | **29** λόγος—παρουσίαν und **30** λόγος—προσδοκώμενον Catena Corderii p. 7 | We schlägt vor, ἀγαθοῦ nach S. 10, 6 zu ergänzen [also etwa: τὴν τοῦ ἀγαθοῦ πατρὸς τῷ πιστεύοντι παρουσίαν] | ἀγαθοῦ stark verblichen | τῷ πιστεύοντι < Cat. | **29** παρουσίαν—**30** δὲ] die letzte Zeile von f. 114r ist durch die von 113v abgeklatschten Buchst. zwar undeutlich geworden, aber noch mit Sicherheit zu lesen.

Digitized by Google

οἱ προειρημένοι ἡμῖν ὅροι ἐφαρμόζουσι τοῖς ἐπιγραφομένοις εὐαγγε- 114v
λίοις. ἕκαστον γὰρ εὐαγγέλιον, σύστημα ἀπαγγελλομένων ὠφελίμων
τῷ πιστεύοντι καὶ μὴ παρεκδεξαμένῳ τυγχάνον ὠφέλειαν ἐμποιοῦν,
κατὰ τὸ εὔλογον εὐφραίνει, διδάσκον τὴν δι' ἀνθρώπους »τοῦ πρω-
»τοτόκου πάσης κτίσεως« Χριστοῦ Ἰησοῦ σωτήριον αὐτοῖς ἐπιδημίαν. 5
ἀλλὰ καὶ ὅτι λόγος ἐστὶν ἕκαστον εὐαγγέλιον διδάσκων τὴν τοῦ ἀγα-
θοῦ πατρὸς ἐν υἱῷ τοῖς βουλομένοις παραδέξασθαι ἐπιδημίαν, παντὶ
29 τῷ πιστεύοντι σαφές. ὅτι δὲ καὶ ἀγαθὸν ἐπαγγέλλεται διὰ τῶν βι-
βλίων τούτων τὸ προσδοκηθέν, οὐκ ἀσαφές. σχεδὸν γὰρ ὁ βαπτιστὴς
Ἰωάννης τὴν παντὸς τοῦ λαοῦ λαβὼν φωνὴν φησι πέμψας τῷ 10
Ἰησοῦ· »Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;« προσδοκώμενον
γὰρ ἀγαθὸν τῷ λαῷ ὁ χριστὸς ἦν, περὶ οὗ κηρυσσόντων τῶν προ- 8R
φητῶν μέχρι καὶ τῶν τυχόντων πάντες εἰς αὐτὸν ἔσχον οἱ ὑπὸ νό-
μον καὶ προφήτας τὰς ἐλπίδας. ὡς μαρτυρεῖ ἡ Σαμαρεῖτις λέγουσα·
»Οἶδα ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος »Χριστός«· ὅταν ἔλθῃ ἐκεῖνος, 15
30 »ἀπαγγελεῖ ἡμῖν ἅπαντα.« ἀλλὰ καὶ Σίμων καὶ Κλεόπας, ὁμιλοῦντες
»πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων« τῷ Ἰησοῦ, αὐτῷ
τῷ χριστῷ ἀναστάντι οὐδέπω γινώσκοντες ἐγηγέρθαι αὐτὸν ἐκ νεκρῶν
φασί· »Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα
»ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις;« εἰπόντος δὲ »Ποῖα;« ἀποκρίνονται· 20
»Τὰ περὶ Ἰησοῦ τοῦ Ναζαρηνοῦ, ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς
»ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ θεοῦ καὶ παντὸς τοῦ λαοῦ· ὅπως τε
»παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανά-
»του καὶ ἐσταύρωσαν αὐτόν. ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ
31 »μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ.« πρὸς τούτοις Ἀνδρέας ὁ ἀδελφὸς 25
Σίμωνος Πέτρου εὑρὼν τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα λέγει· »Εὑρή-
»καμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον Χριστός«. καὶ μετ'
ὀλίγα ὁ Φίλιππος εὑρὼν τὸν Ναθαναὴλ λέγει αὐτῷ· »Ὃν ἔγραψεν
»Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται εὑρήκαμεν, τὸν Ἰησοῦν τὸν
»υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέθ.« 30

32 VI. (8) Δόξαι δ' ἄν τις ἐνίστασθαι τῷ πρώτῳ ὅρῳ, ἐπεὶ καὶ τὰ
μὴ ἐπιγεγραμμένα εὐαγγέλια ὑποπίπτει αὐτῷ· ὁ γὰρ νόμος καὶ οἱ προ-
φῆται »λόγοι« πιστεύονται εἶναι »περιέχοντες ἀπαγγελίαν πραγμάτων
»κατὰ τὸ εὔλογον διὰ τὸ ὠφελεῖν εὐφραινόντων τοὺς ἀκούοντας, ἐπὰν

5 Vgl. Kol. 1, 15. — 11 Matth. 11, 3. — 15 Joh. 4, 25. — 16 Luk. 24, 14. — 19 Luk. 24, 18—21. — 26 Joh. 1, 41. — 28 Joh. 1, 45. — 31 Vgl. S. 9, 25f.

4 δι'] ι auf Ras. | 5 ἐπιδημίαν] über ημι ist δι oder etw. ähnliches ausradiert | 15 οἴδαμεν steht u. c. 22 (nach ℵc L 33. 69. GA Syr. hcl. mg.) viell. richtig | 27 μεσίαν wie häufig | 28 ἔγραψεν M*, später wurde ν halb ausradiert | 29 erstes τὸν < V nach T | 34 εὐφραίνοντες, von V corr.

Digitized by Google

»παραδέξονται τὰ ἀπαγγελλόμενα.« λεχθείη δ' ἂν πρὸς τοῦτο ὅτι 33
SH πρὸ τῆς **Χριστοῦ** ἐπιδημίας ὁ νόμος καὶ οἱ προφῆται. ἅτε μηδέπω
ἐληλυθότος τοῦ τὰ ἐν αὐτοῖς μυστήρια σαφηνίζοντος, οὐκ εἶχον τὸ
ἐπάγγελμα τοῦ περὶ τοῦ εὐαγγελίου ὅρου· ὁ δὲ σωτὴρ ἐπιδημήσας
καὶ τὸ εὐαγγέλιον σωματοποιηθῆναι θελήσας τῷ εὐαγγελίῳ πάντα
ὡσεὶ εὐαγγέλιον πεποίηκεν. καὶ οὐκ ἂν ἀπὸ σκοποῦ χρησαίμην τῷ 34
παραδείγματι τοῦ »Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.« ὅτι * * * *
115r * * * υἱοὺς τῶν ἀνθρώπων τῇ θειότητι αὐτοῦ, περιελὼν τὸ ἐν τῷ
νόμῳ καὶ προφήταις κάλυμμα, πάντων τὸ θεῖον ἀπέδειξε, φανερῶς
παραστήσας τοῖς βουληθεῖσι τῆς σοφίας αὐτοῦ γενέσθαι μαθηταῖς,
τίνα τὰ ἀληθινὰ τοῦ **Μωϋσέως** νόμου, ὧν »ὑποδείγματι καὶ σκιᾷ«
ἐλάτρευον οἱ πάλαι, καὶ τίς ἡ ἀλήθεια τῶν ἐν ταῖς ἱστορίαις πραγ-
9R μάτων, ἅτινα »τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ« δι' ἡμᾶς, εἰς
οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. πᾶς γοῦν ᾧ **Χριστὸς** ἐπιδε- 35
δήμηκεν οὔτε ἐν Ἱεροσολύμοις οὔτε ἐν τῷ τῶν Σαμαρειτῶν ὄρει
προσκυνεῖ τῷ θεῷ, ἀλλὰ μαθὼν ὅτι »πνεῦμα ὁ θεός«, πνευματικῶς
λατρεύων αὐτῷ »πνεύματι καὶ ἀληθείᾳ« οὐκέτι δὲ τυπικῶς προσκυ-
νεῖ τὸν τῶν ὅλων πατέρα καὶ δημιουργόν. οὐκοῦν πρὸ τοῦ εὐαγγε- 36
λίου, ὃ γέγονε διὰ τὴν **Χριστοῦ** ἐπιδημίαν, οὐδὲν τῶν πάλαι εὐαγγέ-
λιον ἦν. τὸ δὲ εὐαγγέλιον, ὅπερ ἐστὶ διαθήκη καινή, ἀποστῆσαν
ἡμᾶς παλαιότητος τοῦ γράμματος τὴν μηδέποτε παλαιουμένην καινό-
τητα τοῦ πνεύματος, οἰκείαν τῆς καινῆς διαθήκης τυγχάνουσαν, ἐν
πάσαις ἀνακειμένην γραφαῖς τῷ φωτὶ τῆς γνώσεως ἀνέλαμψεν. ἐχρῆν
δὲ τὸ ποιητικὸν τοῦ καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ νομιζομένου εὐαγγε-
λίου εὐαγγέλιον ἐξαιρέτως καλεῖσθαι »εὐαγγέλιον«.

VII. (9) *Πλὴν* οὐκ ἀγνοητέον **Χριστοῦ** ἐπιδημίαν καὶ πρὸ τῆς 37
κατὰ σῶμα ἐπιδημίας τὴν νοητὴν γεγονέναι τοῖς τελειοτέροις καὶ οὐ
νηπίοις οὐδὲ »ὑπὸ παιδαγωγοὺς« καὶ »ἐπιτρόπους« ἔτι τυγχάνουσιν,
οἷς τὸ νοητὸν τοῦ χρόνου πλήρωμα ἐνέστη, ὥσπερ τοῖς πατριάρχαις
καὶ **Μωϋσεῖ** τῷ θεράποντι καὶ τοῖς τεθεαμένοις **Χριστοῦ** τὴν δόξαν

2 Vgl. Matth. 11, 13. — **7** Gal. 5, 9. — **8** Vgl. II Kor. 3, 16. Ex. 34, 34. — **11** Vgl. Hebr. 8, 5. — **13** Vgl. I Kor. 10, 11. — **15** Vgl. Joh. 4, 21 ff. — **17** Vgl. Phil. 3, 3. Röm. 1, 9. — **20** Vgl. II Kor. 3, 6. — **21** Vgl. Röm. 7, 6. — **27** Vgl. Hebr. 5, 13 f. — **28** Vgl. Gal. 3, 25. 4, 2. — **29** Vgl. Gal. 4, 4. — **30** Vgl. Hebr. 3, 5.

5 *θελήσας* Pr, *ποιήσας* M | **7** *ζύμη—ζυμοῖ* stark verblichen, aber noch sicher zu erkennen. Die folgenden Worte sind zu undeutlich, um eine irgend erhebliche Sicherheit der Lesung zu bieten. Ich glaube erkannt zu haben: *ὅτι οὐκ ἔσχον εἰ* ca. 4—5 Buchst. . . . *ἄλλως ἀλλὰ ⟨κ⟩εκαλ . . . . τοὺς*; also etwa: *ὅτι οὐκ ἔσχον εἰσορᾶν ἄλλως, ἀλλὰ κεκαλυμμένῃ διὰ τοὺς υἱοὺς κτλ.* V hat nur *ὅταν γὰρ* und dann Lücke für ca. 27 Buchst. | **8** *περιελὼν*] *ων* auf Ras. | **9** *πάντως* Del | **14** *γοῦν*] *γ* z. T. ausgebrochen; *οὖν* Ausgg. | **21** nach *ἡμᾶς* + ⟨*τῆς*⟩ Wi | **28** *ἐπιτυγχάνουσιν*, von We Wi corr.

Digitized by Google

προφήταις. ὥσπερ δὲ πρὸ τῆς ἐμφανοῦς καὶ κατὰ σῶμα ἐπιδημίας
ἐπεδήμησε τοῖς τελείοις, οὕτω καὶ μετὰ τὴν κεκηρυγμένην παρουσίαν
τοῖς ἔτι νηπίοις, ἅτε »ὑπὸ ἐπιτρόπους« τυγχάνουσι »καὶ οἰκονόμους«
καὶ μηδέπω ἐπὶ τὸ πλήρωμα τοῦ χρόνου ἐφθακόσιν· ⟨οἷς⟩ οἱ μὲν
πρόδρομοι Χριστοῦ ἐπιδεδημήκασι, παισὶ ψυχαῖς ἁρμόζοντες λόγοι, 5
εὐλόγως ἂν κληθέντες »παιδαγωγοί«· αὐτὸς δὲ ὁ υἱὸς ὁ δεδοξασμένος
»θεὸς λόγος« οὐδέπω, περιμένων τὴν δέουσαν γενέσθαι προπαρασκευὴν
τοῖς μέλλουσι χωρεῖν αὐτοῦ τὴν θεότητα ἀνθρώποις θεοῦ. καὶ τοῦτο 9H
δὲ εἰδέναι ἐχρῆν, ὅτι ὥσπερ ἔστι »νόμος σκιὰν« περιέχων »τῶν μελ-
»λόντων ἀγαθῶν« ὑπὸ τοῦ κατὰ ἀλήθειαν καταγγελλομένου νόμου 10
δηλουμένων, οὕτω καὶ εὐαγγέλιον σκιὰν μυστηρίων Χριστοῦ διδάσκει
τὸ νομιζόμενον ὑπὸ πάντων τῶν ἐντυγχανόντων νοεῖσθαι. ὃ δέ
φησιν Ἰωάννης »εὐαγγέλιον αἰώνιον«, οἰκείως ἂν λεχθησόμενον πνευ-
ματικόν, σαφῶς παρίστησι τοῖς νοοῦσιν »τὰ πάντα ἐνώπιον« περὶ
αὐτοῦ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ τὰ παριστάμενα μυστήρια ὑπὸ τῶν λό- 15
γων αὐτοῦ τά τε πράγματα, ὧν αἰνίγματα ἦσαν αἱ πράξεις αὐτοῦ.
τούτοις δὲ ἀκόλουθόν ἐστιν ἐκλαμβάνειν ὅτι ὃν τρόπον ἐν φανερῷ
Ἰουδαῖός τίς ἐστι καὶ περ* * * * * καὶ ἄλλη ἐν κρυπτῷ, οὕτω χρι-
στιανὸς | καὶ βάπτισμα. καὶ Παῦλος μὲν καὶ Πέτρος, ἐν φανερῷ πρό- 115v
τερον ὄντες Ἰουδαῖοι καὶ περιτετμημένοι, ὕστερον καὶ ἐν τῷ κρυπτῷ 10R
τοιοῦτοι τυγχάνειν ἀπὸ Ἰησοῦ εἰλήφασι, τὸ ἐν φανερῷ εἶναι Ἰουδαῖοι
διὰ τὴν τῶν πολλῶν σωτηρίαν κατ' οἰκονομίαν οὐ μόνον λόγοις
ὁμολογοῦντες ἀλλὰ καὶ διὰ τῶν ἔργων δεικνύντες. τὸ δ' αὐτὸ καὶ
περὶ τοῦ χριστιανισμοῦ αὐτῶν λεκτέον. καὶ ὥσπερ οὐκ ἐστιν ὠφελῆ- 25
σαι δυνατὸν Παῦλον τοὺς κατὰ σάρκα Ἰουδαίους, ἐὰν μή, ὅτε ὁ λόγος
αἱρεῖ, περιτέμῃ τὸν Τιμόθεον, καί, ὅτε εὔλογόν ἐστι, ξυράμενον καὶ
προσφορὰν ποιήσαντα καὶ ἁπλαπλῶς τοῖς Ἰουδαίοις Ἰουδαῖον γενό-
μενον, ἵνα τοὺς Ἰουδαίους κερδήσῃ, οὕτως τὸν ἐκκείμενον εἰς πολ-

1 Vgl. Matth. 13, 17. — **3** Vgl. Gal. 4, 1 f. — **4** Vgl. Gal. 4, 4. — **6** Vgl. Gal. 3, 25. — **7** Vgl. Joh. 1, 1. — **9** Vgl. Hebr. 10, 1. — **13** Vgl. Apok. Joh. 14, 6. — **14** Prov. 8, 9. — **18** Vgl. Röm. 2, 28. — **22** Vgl. Röm. 10, 10. — **23** Vgl. Jak. 2, 18. — **25** Vgl. Act. 16, 1 ff. — **26** Vgl. Act. 21, 24 ff. — **27** Vgl. 1 Kor. 9, 20. — **28** Vgl. Luk. 2, 34.

4 οἷς + We Wi | **14** τὰ verblichen, ὡς V | ἐνώπια LXX; so vielleicht zu ändern | **15** vor ὑπὸ ist Raum für ca. 2 Buchst., doch ist die Oberfläche des Papieres jetzt ganz abgerieben | **17** ἐν] ν auf Ras. | **18** Die letzte Zeile von f. 115r sehr stark zerstört. Sicher καὶ περ .... καὶ ἐν φανερῷ περι .... καὶ ἄλλη ἐν κρυπτῷ οὕτω χριστιανὸς; V καὶ περιτετμημένος, dann Raum für ca. 32 Buchst., dann οὕτω χριστιανὸς. Die Ergänzung zu περιτετμημένος scheint geraten, vielleicht richtig. Man kann ergänzen ὃν τρόπον ἐν φανερῷ Ἰουδαῖός τίς ἐστι καὶ περ⟨ιτετμημένος⟩ καὶ ἐν φανερῷ περι τομῆ⟩, καὶ ἄλλη ἐν κρυπτῷ, οὕτω Χριστιανὸς καὶ βάπτισμα | **25** ὁ auf Ras.

Digitized by Google

λῶν ὠφέλειαν οὔκ ἐστι διὰ τοῦ ἐν κρυπτῷ χριστιανισμοῦ μόνον δυ-
νατὸν τοὺς στοιχειουμένους ἐν τῷ φανερῷ χριστιανισμῷ βελτιῶσαι
καὶ προαγαγεῖν ἐπὶ τὰ κρείττονα καὶ ἀνωτέρω. διόπερ ἀναγκαῖον 43
πνευματικῶς καὶ σωματικῶς χριστιανίζειν· καὶ ὅπου μὲν χρὴ τὸ σω-
5 ματικὸν κηρύσσειν εὐαγγέλιον, φάσκοντα »μηδὲν εἰδέναι« ⟨ἐν⟩ τοῖς
σαρκίνοις »ἢ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον«, τοῦτο ποιη-
τέον· ἐπὰν δὲ εὑρεθῶσι κατηρτισμένοι τῷ πνεύματι καὶ καρποφοροῦν-
τες ἐν αὐτῷ ἐρῶντές τε τῆς οὐρανίου σοφίας, μεταδοτέον αὐτοῖς τοῦ
λόγου ἐπανελθόντος ἀπὸ τοῦ σεσαρκῶσθαι ἐφ' ὃ »ἦν ἐν ἀρχῇ πρὸς
10 »τὸν θεόν«.

VIII. (10) Ταῦτα δὲ ἐξετάζοντες περὶ τοῦ εὐαγγελίου οὐ μάτην 44
εἰρηκέναι ἡγούμεθα, οἱονεὶ αἰσθητὸν εὐαγγέλιον νοητοῦ καὶ πνευματι-
κοῦ τῇ ἐπινοίᾳ διακρίνοντες. καὶ γὰρ νῦν πρόκειται τὸ αἰσθητὸν 45
εὐαγγέλιον μεταλαβεῖν εἰς πνευματικόν· τίς γὰρ ἡ διήγησις τοῦ αἰσθη-
10H τοῦ, εἰ μὴ μεταλαμβάνοιτο εἰς πνευματικόν; ἤτοι οὐδεμία ἢ ὀλίγη καὶ
τῶν τυχόντων ἀπὸ τῆς λέξεως αὐτοὺς πεπεικότων λαμβάνειν τὰ
δηλούμενα. ἀλλὰ πᾶς ἀγὼν ἡμῖν ἐνέστηκε πειρωμένοις εἰς τὰ βάθη 46
τοῦ εὐαγγελικοῦ νοῦ φθάσαι καὶ ἐρευνῆσαι τὴν ἐν αὐτῷ γυμνὴν τύπων
ἀλήθειαν. τῶν δὴ εὐαγγελιζομένων ἐν ἀγαθῶν ἀπαγγελίᾳ νοουμένων, 47
20 οἱ μὲν ἀπόστολοι τὸν Ἰησοῦν εὐαγγελίζονται· λέγονται μέντοι ὡς
ἀγαθὸν καὶ τὴν ἀνάστασιν εὐαγγελίζεσθαι, καὶ αὐτήν πως οὖσαν
Ἰησοῦν· Ἰησοῦς γάρ φησιν· »Ἐγώ εἰμι ἡ ἀνάστασις«· Ἰησοῦς δὲ τὰ τοῖς
ἁγίοις ἀποκείμενα εὐαγγελίζεται τοῖς πτωχοῖς, παρακαλῶν αὐτοὺς ἐπὶ
τὰς θείας ἐπαγγελίας. καὶ μαρτυροῦσιν αἱ θεῖαι γραφαὶ τοῖς ὑπὸ τῶν 48
11R ἀποστόλων εὐαγγελισμοῖς καὶ τῷ ὑπὸ τοῦ σωτῆρος ἡμῶν, ὁ μὲν Δαβὶδ
περὶ τῶν ἀποστόλων, τάχα δὲ καὶ εὐαγγελιστῶν λέγων· »Κύριος δώσει
»ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ· ὁ βασιλεὺς τῶν δυνάμεων
»τοῦ ἀγαπητοῦ«, ἅμα καὶ διδάσκων ὅτι οὐ σύνθεσις λόγου καὶ προφορὰ
φωνῶν καὶ ἡσκημένη καλλιλεξία ἀνύει πρὸς τὸ πείθειν, ἀλλὰ δυνάμεως
30 θείας ἐπιχορηγία (διόπερ καὶ ὁ Παῦλός πού φησι· »Γνώσομαι οὐ τὸν 49
11Gr »λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν· οὐ γὰρ ἐν λόγῳ ἡ
»βασιλεία τοῦ θεοῦ ἀλλ' ἐν δυνάμει« καὶ ἐν ἄλλοις· »Καὶ ὁ λόγος μου
»καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις ἀλλ' ἐν ἀποδείξει
»πνεύματος καὶ δυνάμεως«. ταύτῃ τῇ δυνάμει μαρτυροῦντες ὁ Σίμων 50

1 Vgl. Röm. 2, 28. — **5** Vgl. I Kor. 2, 2. — **7** Vgl. I Kor. 1, 10. — **8** Vgl. Kol. 1, 10. — **9** Vgl. Joh. 1, 2. — **17** Vgl. I Kor. 2, 16. — **22** Joh. 11, 25. — **23** Vgl. Matth. 11, 5. Luk. 7, 22. — **26** Ps. 67, 12 f. — **29** Vgl. I Kor. 2, 4. — **30** I Kor. 4, 19 f. — **32** I Kor. 2, 4.

1 κρυπτῷ Del] χῷ | **5** εἰδέναι V, εἶναι M; vielleicht liegt die Verderbnis tiefer und stand etwa da: μηδὲν εἶναι σωτήριον τοῖς σαρκίνοις κτλ. | ἐν⟩ von mir nach I Kor. 2, 2 (ἐν ὑμῖν) zugesetzt | **21** οὖσαν V] οὖν | **25** ὑπὸ Del] ἀπὸ.

Digitized by Google

καὶ ὁ Κλεόπας φασίν· »Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν τῇ ὁδῷ,
»ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς;« οἱ δὲ ἀπόστολοι, ἐπεὶ καὶ ποσότης
ἐστὶ δυνάμεως ἐπιχορηγουμένης ὑπὸ θεοῦ διαφέρουσα τοῖς λέγουσιν,
εἶχον κατὰ τὸ παρὰ τῷ Δαβὶδ λεγόμενον· »Κύριος δώσει ῥῆμα τοῖς
51 »εὐαγγελιζομένοις δυνάμει πολλῇ«, πολλὴν δύναμιν). Ἡσαΐας δὲ φάσκων· 5
»Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων ἀγαθά«, τὸ ὡραῖον καὶ
ἐν καιρῷ γινόμενον τῶν ἀποστόλων ὁδευόντων τὸν εἰπόντα· »Ἐγώ
»εἰμι ἡ ὁδός« κήρυγμα νοήσας ἐπαινεῖ »πόδας« τοὺς διὰ τῆς νοητῆς
ὁδοῦ Χριστοῦ Ἰησοῦ βαδίζοντας διά τε τῆς θύρας εἰσιόντας πρὸς τὸν
θεόν. »ἀγαθὰ« δὲ εὐαγγελίζονται οὗτοι, ὧν ὡραῖοί εἰσιν οἱ πόδες. 10
τὸν Ἰησοῦν.

52 IX. (11) Καὶ μὴ θαυμάσῃ τις, εἰ πληθυντικῷ ὀνόματι τῷ τῶν
ἀγαθῶν τὸν Ἰησοῦν ἐξειλήφαμεν εὐαγγελίζεσθαι. ἐκλαβόντες γὰρ τὰ
πράγματα καθ' ὧν τὰ ὀνόματα κεῖται, ἃ ὁ υἱὸς τοῦ θεοῦ ὀνομάζεται,
συνήσομεν πῶς πολλὰ ἀγαθά ἐστιν ὁ Ἰησοῦς, ὧν εὐαγγελίζονται οὗτοι, 15
53 ὧν ὡραῖοί εἰσιν οἱ πόδες. ἓν μὲν γὰρ ἀγαθὸν ζωή, Ἰησοῦς δὲ ζωή.
καὶ ἕτερον ἀγαθὸν »φῶς τοῦ κόσμου«, »φῶς« τυγχάνον »ἀληθινὸν«
καὶ »φῶς τῶν ἀνθρώπων«· ἅπερ πάντα ὁ υἱὸς εἶναι λέγεται τοῦ θεοῦ.
καὶ ἄλλο ἀγαθὸν κατ' ἐπίνοιαν παρὰ τὴν ζωὴν καὶ τὸ φῶς ἡ ἀλή-
θεια καὶ τέταρτον παρὰ ταῦτα ἡ ἐπὶ ταύτην φέρουσα ὁδός· ἅπερ 20
πάντα ὁ σωτὴρ ἡμῶν διδάσκει ἑαυτὸν εἶναι λέγων· »Ἐγώ εἰμι ἡ ὁδὸς
54 »καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή«. πῶς δὲ οὐκ ἀγαθὸν τὸ ἀποτιναξάμενον
τὸν χοῦν καὶ τὴν νεκρότητα ἀναστῆναι, τούτου τυγχάνοντα ἀπὸ τοῦ 12R
κυρίου καθὸ ἀνάστασίς ἐστιν, ὃς καί φησιν· »Ἐγώ εἰμι ἡ ἀνάστασις«;
ἀλλὰ καὶ ἡ θύρα, δι' ἧς τις εἰς τὴν ἄκραν εἰσέρχεται μακαριότητα, 25
55 ἀγαθόν· ὁ δὲ χριστός φησιν· »Ἐγώ εἰμι ἡ θύρα«. τί δὲ δεῖ περὶ σο-
φίας λέγειν, ἣν »ἔκτισεν ὁ θεὸς ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«,
ἣ προσέχαρεν ὁ πατὴρ αὐτῆς, ἐνευφραινόμενος τῷ πολυποικίλῳ νοητῷ
κάλλει αὐτῆς ὑπὸ νοητῶν ὀφθαλμῶν μόνον βλεπομένῳ καὶ εἰς ἔρωτα
τὸν τὸ θεῖον κάλλος κατανοοῦντα οὐράνιον προκαλουμένῳ; ἀγαθὸν 30
γὰρ ἡ σοφία τοῦ θεοῦ, ὅπερ μετὰ τῶν προειρημένων εὐαγγελίζονται
56 ὧν »ὡραῖοι οἱ πόδες«. ἀλλὰ καὶ ἡ δύναμις τοῦ θεοῦ ἤδη ὄγδοον ἡμῖν

1 Luk. 24, 32. — **4** Ps. 67, 12. — **6** Röm. 10, 15; vgl. Jes. 52, 7. — **7** Joh. 14, 6. — **9** Vgl. Joh. 10, 9. — **16** Vgl. Joh. 14, 6. — **17** Vgl. Joh. 8, 12. 1, 9. — **18** Vgl. Joh. 1, 4. — **21** Joh. 14, 6. — **22** Vgl. Jes. 52, 2. — **24** Joh. 11, 25. — **26** Joh. 10, 9. — **27** Prov. 8, 22. — **31** Z. 5ff. Vgl. Röm. 10, 15 (Jes. 52, 7). — **32** Vgl. Röm. 1, 16.

1 *φασὶν* V | *φησιν* | **7** *τῶν ἀποστόλων ὁδευόντων τὸν εἰπόντα· »ἐγώ εἰμι ἡ ὁδός«*: der Apostel, die auf dem wandeln, der gesagt hat „ich bin der Weg". Christus ist der Weg, auf ihm wandern die Apostel. So interpretiert We richtig das seltsame Bild; vgl. Z. 9. 25 | **28** *προσ'χαιρεν*] *αιρε* auf Ras. | **32** *ὧν* aus *ὃν*.

Digitized by Google

ἀγαθὸν καταλέγεται, ἥτις ἐστὶν ὁ χριστός. οὐ σιωπητέον δὲ οὐδὲ 57
τὸν μετὰ τὸν πατέρα τῶν ὅλων θεὸν λόγον· οὐδενὸς γὰρ ἔλαττον
ἀγαθοῦ καὶ τοῦτο τὸ ἀγαθόν. μακάριοι μὲν οὖν οἱ χωρήσαντες ταῦτα
τὰ ἀγαθὰ καὶ παραδεξάμενοι ἀπὸ τῶν ὡραίων τοὺς πόδας καὶ εὐαγ-
γελιζομένων αὐτά.

Πλὴν κἂν Κορίνθιός τις ὤν, κρίνοντος Παύλου μηδὲν εἰδέναι παρ' 58
αὐτῷ ἢ »Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον«, τὸν δι' ἡμᾶς
ἄνθρωπον μανθάνων παραδέξηται, »ἐν ἀρχῇ« τῶν ἀγαθῶν γίνεται,
116v ὑπὸ τοῦ ἀνθρώπου Ἰησοῦ »ἄνθρωπος« γινόμενος »θεοῦ« καὶ | ἀπὸ
10 τοῦ θανάτου αὐτοῦ ἀποθνήσκων τῇ ἁμαρτίᾳ· καὶ γὰρ ἐκεῖνος »ὃ ἀπέ-
»θανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ«. ἀπὸ δὲ τῆς ζωῆς αὐτοῦ, ἐπεὶ 59
Ἰησοῦς »ὃ ζῇ, ζῇ τῷ θεῷ«, πᾶς ὁ σύμμορφος γενόμενος τῆς ἀναστά-
σεως αὐτοῦ λαμβάνει τὸ ζῆν τῷ θεῷ. τίς δὲ διστάξει, εἰ αὐτοδικαιο-
σύνη ἀγαθόν ἐστι καὶ αὐτοαγιασμὸς καὶ αὐτοαπολύτρωσις; ἅπερ καὶ
15 αὐτὰ οἱ Ἰησοῦν εὐαγγελιζόμενοι εὐαγγελίζονται, λέγοντες αὐτὸν γεγο-
νέναι ἡμῖν δικαιοσύνην ἀπὸ θεοῦ καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν.

X. Παρέσται δὲ ἀπὸ τούτων τῶν γεγραμμένων περὶ αὐτοῦ δυσ- 60
εξαριθμήτων παριστάντα πῶς πλῆθος ἀγαθῶν ἐστὶν Ἰησοῦς, [ἀπὸ τῶν
δυσεξαριθμήτων καὶ γεγραμμένων] καταστοχάζεσθαι τῶν ὑπαρχόντων
12H μὲν ἐν αὐτῷ, εἰς ὃν »εὐδόκησεν« ἅπαν τὸ πλήρωμα τῆς θεότητος
13R κατοικῆσαι »σωματικῶς«, οὐ μὴν ὑπὸ γραμμάτων κεχωρημένων. καὶ 61
τί λέγω »ὑπὸ γραμμάτων«, ὅτε καὶ περὶ ὅλου τοῦ κόσμου φησὶν ὁ
Ἰωάννης ὅτι »Οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα
»βιβλία«;

25 Ταὐτὸν οὖν ἐστιν εἰπεῖν ὅτι οἱ ἀπόστολοι τὸν σωτῆρα εὐαγγελί- 62
ζονται, καὶ τὰ ἀγαθὰ εὐαγγελίζονται. οὗτος γάρ ἐστιν ὁ ἀπὸ τοῦ
ἀγαθοῦ πατρὸς τὸ ἀγαθὰ εἶναι λαβών, ἵνα ἕκαστος ὃ χωρεῖ ἢ ἃ χωρεῖ
διὰ Ἰησοῦ λαβὼν ἐν ἀγαθοῖς τυγχάνῃ. οὐχ οἷοί τε δὲ ἦσαν οἱ ἀπόστο- 63
λοι, ὧν »ὡραῖοι οἱ πόδες«, καὶ οἱ τούτων ζηλωταὶ εὐαγγελίζεσθαι τὰ
30 ἀγαθά, μὴ πρότερον Ἰησοῦ αὐτοῖς αὐτὰ εὐαγγελισαμένου, ὡς ὁ Ἡσαΐας
φησίν· »Αὐτὸς ὁ λαλῶν πάρειμι· ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες
»εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά, ὅτι ἀκου-

1 Vgl. Contr. Cels. VIII, 14 (II, 232, 3ff. Koetschau). — Vgl. Joh. 1, 1. — **4** Vgl. Röm. 10, 15 (Jes. 52, 7). — **6** Vgl. I Kor. 2, 2. — **8** Joh. 1, 1. — **9** Vgl. I Tim. 6, 11. — **10** Röm. 6, 10. — **12** Vgl. Röm. 8, 29 + 6, 5. — **16** I Kor. 1, 30. — **20** Kol. 1, 19 + 2, 9. — **23** Joh. 21, 25. — **29** Vgl. Röm. 10, 15 (Jes. 52, 7). — **31** Jes. 52, 6f.

6 *μηδὲν* V, in M sind die beiden ersten Buchst. jetzt zerstört. Vgl. S. 13, 5 *τ αὐτῷ* d. h. dem Korinther; vgl. *ἐν ὑμῖν* I Kor. 2, 2 | **17** *τῶν γεγραμμένων* We] *τὰ γεγραμμένα* | *δυσεξαριθμήτων* We] *δυσεξαρίθμητα* | **18** Die Glosse, die wohl urspr. am Rande stand und die falsche Textlesart verbessern sollte, von We eingeklammert | **21** *κεχωρημένων* Del] *κεχωρημένω* | **27** *ἃ* über d. Z.

Digitized by Google

»στὴν ποιήσω τὴν σωτηρίαν σου λέγων Σιών· Βασιλεύσει σου ὁ θεός«.
64 τίνα γὰρ τὰ ὄρη, ἐφ' ὧν αὐτὸς ὁ λαλῶν παρεῖναι ὁμολογεῖ ἢ οἱ μηδενὸς τῶν ἐπὶ γῆς ὑψηλοτάτων καὶ μεγίστων ἥττονες; οὔστινας ζητεῖσθαι δεῖ ὑπὸ τῶν ἱκανῶν διακόνων τῆς καινῆς διαθήκης, ἵνα τηρήσωσι τὴν λέγουσαν ἐντολήν· »Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγ- 5
»γελιζόμενος Σιών, ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμε-
»νος Ἰερουσαλήμ.«
65 Οὐ θαυμαστὸν δὲ εἰ τοῖς μέλλουσιν εὐαγγελίζεσθαι τὰ ἀγαθὰ Ἰησοῦς εὐαγγελίζεται τὰ ἀγαθά, οὐκ ἄλλα τυγχάνοντα ἑαυτοῦ· ἑαυτὸν γὰρ εὐαγγελίζεται ὁ υἱὸς τοῦ θεοῦ τοῖς δυναμένοις οὐ δι' ἄλλων αὐτὸν 10
μαθεῖν. πλὴν ὁ ἐπιβαίνων τῶν ὀρῶν καὶ εὐαγγελιζόμενος αὐτοῖς τὰ ἀγαθά, μαθητευθεὶς τῷ ἀγαθῷ πατρὶ ἀνατέλλοντι »τὸν ἥλιον ἐπὶ »πονηροὺς καὶ ἀγαθοὺς« καὶ βρέχοντι »ἐπὶ δικαίους καὶ ἀδίκους«, τοὺς
66 τὴν ψυχὴν πτωχοὺς οὐχ ὑπερηφανεῖ. καὶ τούτοις γὰρ εὐαγγελίζεται, ὡς αὐτὸς μαρτυρεῖ λαβὼν τὸν Ἡσαΐαν καὶ ἀναγνούς· »Τὸ πνεῦμα 15
»κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με εὐαγγελίσασθαι πτωχοῖς, ἀπέσταλκέ
»με κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν.« »ἀπύξας«
γὰρ τὸ βιβλίον καὶ »ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισε« καὶ πάντων ἐνατενιζόντων αὐτῷ φησι· »Σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς
»ὠσὶν ὑμῶν.« 20
67 XI. (12) Ἀναγκαῖον δὲ εἰδέναι ὅτι ἐμπεριλαμβάνεται τῷ τηλικούτῳ εὐαγγελίῳ καὶ πᾶσα ἡ εἰς Ἰησοῦν γινομένη πρᾶξις ἀγαθή, ὥσπερ καὶ τῆς τὰ πονηρὰ ἔργα πεποιηκυίας καὶ μετανενοηκυίας εὐωδίαν δε δυ- 117r
νημένης διὰ τὴν ἀπὸ τῶν κακῶν γνησίαν μετάστασιν καταχέαι τοῦ Ἰησοῦ καὶ παντὶ τῷ οἴκῳ τὴν τοῦ μύρου πνοὴν εἰς αἴσθησιν πάντων 14R
68 τῶν ἐν αὐτῷ ἐμπεποιηκυίας. διὸ καὶ γέγραπται· »Ὅπου ἂν κηρυχθῇ 13H
»τὸ εὐαγγέλιον τοῦτο ἐν πᾶσι τοῖς ἔθνεσι, λαληθήσεται καὶ ὃ ἐποίησεν
»αὕτη εἰς μνημόσυνον αὐτῆς.« σαφὲς δὲ ὅτι εἰς Ἰησοῦν γίνεται ⟨καὶ⟩ τὰ εἰς τοὺς μαθητευθέντας αὐτῷ ἐπιτελούμενα· δεικνὺς γοῦν τοὺς εὖ πεπονθότας φησὶ τοῖς πεποιηκόσι· »Τούτοις ὃ ἐποιήσατε ἐμοὶ ἐποι- 30
»ήσατε«· ὥστε πᾶσα πρᾶξις ἀγαθὴ ἡ εἰς τὸν πλησίον ὑφ' ἡμῶν ἐπιτελουμένη εἰς τὸ εὐαγγέλιον ἀναφέρεται, τὸ ἐν ταῖς πλαξὶ τοῦ οὐρανοῦ γραφόμενον καὶ ὑπὸ πάντων τῶν ἠξιωμένων τῆς τῶν ὅλων
69 γνώσεως ἀναγινωσκόμενον. ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου μέρος ἐστὶ τοῦ

4 Vgl. II Kor. 3, 6. — 5 Jes. 40, 9. — 12 Vgl. Matth. 5, 45. — 13 Vgl. Matth. 5, 3. — 15 Luk. 4, 18—21; vgl. Jes. 61, 1. — 23 Vgl. Luk. 7, 37. — 24 Vgl. Joh. 12, 3. — 26 Matth. 26, 13. — 30 Matth. 25, 40. — 32 Vgl. Test. Aser 2.

3 *ὑψηλοτάτων*] *υψη* auf Ras. | 11 *ἐπιβαίνων*] *ων* auf Ras. M | 16 *εἵνεκεν* V mit den besten Hss. des NT. Vielleicht ist M nach dem receptus interpoliert | 28 ⟨*καὶ* + Pr | 31 *ἡ* auf Ras., urspr. *ἣν*?

Digitized by Google

εὐαγγελίου εἰς κατηγορίαν τῶν πραξάντων τὰ εἰς Ἰησοῦν ἁμαρτανόμενα. ἡ γοῦν Ἰούδα προδοσία καὶ ἡ τοῦ ἀσεβοῦς λαοῦ καταβόησις 70
φάσκοντος »Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον« καὶ »Σταύρου, σταύρου
»αὐτὸν« καὶ οἱ ἐμπαιγμοὶ τῶν αὐτὸν τῇ ἀκάνθῃ στεφανωσάντων καὶ
τὰ τούτοις παραπλήσια ἐγκατατέτακται τοῖς εὐαγγελίοις. ἀκόλουθον 71
δὲ τούτοις ἐστὶ νοῆσαι ὅτι πᾶς ὁ τῶν ⟨μαθητῶν⟩ Ἰησοῦ προδότης
Ἰησοῦ προδότης εἶναι λελόγισται. πρὸς γοῦν τὸν ἔτι διώκοντα Σαῦλον ⟨εἶπεν⟩· »Σαούλ, Σαούλ, τί με διώκεις«; καὶ »Ἐγώ εἰμι Ἰησοῦς,
»ὃν σὺ διώκεις«. τίνες δὲ τὰς ἀκάνθας ἔχουσιν, αἷς τὸν Ἰησοῦν ἀτι- 72
μάζοντες στεφανοῦσιν; οἳ »ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν
»τοῦ βίου« συνπνιγόμενοι λαβόντες τὸν λόγον τοῦ θεοῦ »οὐ τελεσ-
»φοροῦσιν«. διόπερ φυλακτέον μήποτε καὶ ἡμεῖς, ὡς ταῖς ἰδίαις 73
ἀκάνθαις στεφανοῦντες τὸν Ἰησοῦν, ἀναγραφόμενοι τοιοῦτοι ἀναγινωσκώμεθα παρὰ τοῖς τὸν ἐν πᾶσι καὶ παρὰ πᾶσι λογικοῖς ἢ ἁγίοις
Ἰησοῦν μανθάνουσι, τίνα τε τρόπον μύρῳ ἀλείφεται καὶ δειπνίζεται
καὶ δοξάζεται ἢ ἐκ τῶν ἐναντίων ἀτιμάζεται καὶ ἐμπαίζεται καὶ τύπτεται. ἀναγκαίως δὴ ταῦθ' ἡμῖν εἴρηται δεικνύουσιν ὡς αἱ ἀγαθαὶ 74
ἡμῶν πράξεις καὶ αἱ ἁμαρτίαι τῶν πταιόντων τῷ εὐαγγελίῳ ἐγκατατάσσονται ἤτοι »εἰς ζωὴν αἰώνιον ἢ εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην
»αἰώνιον«.

XII. (13) Εἰ δὲ ἐν ἀνθρώποις εἰσὶν οἱ τετιμημένοι διακονίᾳ τῇ 75
τῶν εὐαγγελιστῶν καὶ αὐτὸς ὁ Ἰησοῦς εὐαγγελίζεται ἀγαθὰ καὶ πτωχοῖς εὐαγγελίζεται, οὐκ ἔδει τοὺς πεποιημένους ὑπὸ τοῦ θεοῦ »πνεύ-
»ματα ἀγγέλους« καὶ τοὺς ὄντας »πυρὸς φλόγα«, »λειτουργοὺς« τοῦ
15R τῶν ὅλων πατρός, ἐστερῆσθαι τοῦ καὶ αὐτοὺς εἶναι εὐαγγελιστάς; διὰ τοῦτο καὶ ἄγγελος ἐπιστὰς τοῖς ποιμέσι φησί, δόξαν ποιήσας περι- 76
λάμπειν αὐτούς· »Μὴ φοβεῖσθε, ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν
»μεγάλην ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτήρ,
14H »ὅς ἐστι Χριστὸς κύριος, ἐν πόλει Δαβίδ«· ὅτε καὶ μηδέπω ἀνθρώπων
117v συνιέντων τὸ τοῦ εὐαγγελίου μυστήριον οἱ κρείττονες | αὐτῶν, οὐράνιος τυγχάνοντες στρατιὰ θεοῦ, αἰνοῦντες τὸν θεὸν λέγουσι· »Δόξα

2 Vgl. Mark. 14,10 f. c. Par. — **3** Act. 22,22 + Luk. 23,21; vgl. Joh. 19,15. — **4** Vgl. Matth. 27, 29. — **8** Act. 9, 4 f. — **9** Vgl. Luk. 20, 11. — **10** Luk. 8, 14. — **15** Vgl. Luk. 7, 38. — Matth. 25, 35. — **16** I Kor. 12, 26. — Vgl. Luk. 20, 11. — Matth. 27, 29 f. — **19** Vgl. Dan. 12,2 (Theod.) — **21** Vgl. II Tim. 4, 5. — **22** Vgl. Matth. 11, 5 (Jes. 61, 1). — **24** Vgl. Hebr. 1, 7 (Ps. 103, 4). — **26** Vgl. Luk. 2, 9. — **27** Luk. 2, 10. — **30** Vgl. Luk. 2, 13. — **31** Luk. 2, 14.

6 τῶν (τ̄) von j. Hd. in τοῦ corr. | ⟨μαθητῶν⟩ + Hu | das Ἰησοῦ möchte We streichen | **8** ⟨εἶπεν⟩ + Pr, Σαούλ, Σαούλ, ⟨φησιν⟩ Wi | **10** οἳ auf Ras. | **11** τελεσφοροῦσι] ν ausradiert | **14** statt ἢ ist viell. καὶ zu lesen | **30 31** οὐρανὸς, corr. Del | **31** στρατεία, corr. V.

Digitized by Google

77 »ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.« καὶ ταῦτα εἰπόντες ἀπέρχονται ἀπὸ τῶν ποιμένων εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καταλιπόντες ἡμῖν νοεῖν, πῶς ἡ εὐαγγελισθεῖσα ἡμῖν διὰ τῆς γενέσεως Χριστοῦ Ἰησοῦ »χαρὰ« »δόξα« ἐστὶν »ἐν ὑψίστοις θεῷ«. τῶν ταπεινωθέντων εἰς χοῦν ἐπιστρεφόντων »εἰς τὴν ἀνάπαυσιν« αὐτῶν καὶ »ἐν ὑψίστοις« διὰ Χριστοῦ μελλόντων δοξάζειν τὸν θεόν.

78 ἀλλὰ καὶ θαυμάζουσιν οἱ ἄγγελοι τὴν ἐπὶ γῆς ἐσομένην διὰ Ἰησοῦν εἰρήνην, τοῦ πολεμικοῦ χωρίου, εἰς ὃ ἐκπεσὼν »ἐκ τοῦ οὐρανοῦ ὁ »ἑωσφόρος, ὁ πρωὶ ἀνατέλλων« ὑπὸ Ἰησοῦ συντρίβεται.

79 XIII. (14) Πρὸς τοῖς εἰρημένοις καὶ τοῦτο περὶ εὐαγγελίου ἰστέον, ὅτι πρώτως τῆς κεφαλῆς τοῦ ὅλου τῶν σωζομένων σώματος, Χριστοῦ Ἰησοῦ, ἐστὶ τὸ εὐαγγέλιον, ὡς φησιν ὁ Μάρκος· »Ἀρχὴ τοῦ εὐαγγε»λίου Χριστοῦ Ἰησοῦ·« ἤδη δὲ καὶ τῶν ἀποστόλων τυγχάνει· διὸ λέγει

80 ὁ Παῦλος· »Κατὰ τὸ εὐαγγέλιόν μου.« πλὴν ἡ ἀρχὴ τοῦ εὐαγγελίου (ἔστι γὰρ αὐτοῦ μέγεθος ἀρχὴν καὶ τὰ ἑξῆς καὶ μέσα καὶ τέλη ἔχοντος) ἤτοι πᾶσά ἐστιν ἡ παλαιὰ διαθήκη, τύπου αὐτῆς ὄντος Ἰωάννου. ἢ διὰ τὴν συναφὴν τῆς καινῆς πρὸς τὴν παλαιὰν τὰ τέλη τῆς παλαιᾶς

81 διὰ Ἰωάννου παριστάμενα. φησὶ γὰρ ὁ αὐτὸς Μάρκος· »Ἀρχὴ τοῦ »εὐαγγελίου Ἰησοῦ Χριστοῦ, καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ· »Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατα»σκευάσει τὴν ὁδόν σου. φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε

82 »τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.« ὅθεν θαυμάζειν μοι ἔπεισι, πῶς δυσὶ θεοῖς προσάπτουσιν ἀμφοτέρας τὰς διαθήκας οἱ ἑτερόδοξοι, οὐκ ἔλαττον καὶ ἐκ τούτου τοῦ ῥητοῦ ἐλεγχόμενοι. πῶς γὰρ δύναται ἀρχὴ εἶναι τοῦ εὐαγγελίου, ὡς αὐτοὶ οἴονται, ἑτέρου τυγχάνων θεοῦ ὁ Ἰωάννης, ὁ τοῦ δημιουργοῦ ἄνθρωπος καὶ ἀγνοῶν, ὡς νομίζουσι, τὴν καινὴν θεότητα;

83 XIV. Οὐ μίαν δὲ καὶ βραχεῖαν πιστεύονται διακονίαν εὐαγγελικὴν ἄγγελοι οὐδὲ μόνην τὴν πρὸς τοὺς ποιμένας γεγενημένην· ἀλλὰ γὰρ ἐπὶ τέλει μετέωρος καὶ ἱπτάμενος ἄγγελος εὐαγγέλιον ἔχων εὐαγγε-

84 λιεῖται πᾶν ἔθνος, τοῦ ἀγαθοῦ πατρὸς οὐ πάντη καταλιπόντος τοὺς ἀποπεπτωκότας αὐτοῦ. φησὶ γοῦν ἐν τῇ Ἀποκαλύψει ὁ τοῦ Ζεβεδαίου Ἰωάννης· »Καὶ εἶδον ἄγγελον πετόμενον ἐν μεσουρανήματι,

2 Vgl. Luk. 2, 15. — 4 Vgl. Luk. 2, 10. 14. — 5 Vgl. Ps. 114, 6. 7. — 6 Vgl. Luk. 2, 14. — 8 Jes. 14, 12. — 11 Vgl. Eph. 1, 22f. — 12 Mark. 1, 1. — 14 Röm. 2, 16. — 15 Vgl. Contr. Cels. II, 4 (I, 131, 8 ff.). — 16 Vgl. Matth. 11, 9. — 17 Vgl. Matth. 11, 13. — 18 Mark. 1, 1—3. Vgl Mal. 3, 1. Jes. 40, 3. — 23 Vgl. Tertullian, adv. Marc. IV, 11. 18. — 29 Vgl. Luk. 2, 8 ff. — 30 Vgl. Apok. Joh. 14, 6 f. — 33 Apok. Joh. 14, 6f.

8 *τοῦ πολεμικοῦ χωρίου* ist Apposition zu *γῆς* | 11/12 *Χριστοῦ Ἰησοῦ* Apposition zu *κεφαλῆς* | 21 *βοῶντος*] *ος* auf Ras. | 22 *τὰς τρίβους*] *ας* τ auf Ras.

Digitized by Google

»ἔχοντα εὐαγγέλιον αἰώνιον εὐαγγελίσασθαι ἐπὶ τοὺς καθημένους ἐπὶ
15H »τῆς γῆς καὶ ἐπὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαόν, λέγων
»ἐν φωνῇ μεγάλῃ· Φοβήθητε τὸν θεὸν καὶ δότε αὐτῷ δόξαν, ὅτι
»ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ, καὶ προσκυνήσατε τὸν ποιήσαντα
»τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πηγὰς ὑδάτων.«

XV. Ἐπεὶ τοίνυν »ἀρχὴν τοῦ εὐαγγελίου« κατὰ μίαν ἐκδοχὴν τὴν 85
15Sr πᾶσαν παρεστήσαμεν εἶναι | παλαιὰν διαθήκην διὰ τοῦ ὀνόματος Ἰωάν-
νου σημαινομένην, ὑπὲρ τοῦ μὴ ἁμάρτυρον εἶναι τὴν ἐκδοχὴν ταύτην
παραθησόμεθα τὸ ἐκ Πράξεων περὶ τοῦ τῆς Αἰθιόπων βασιλίδος
εὐνούχου εἰρημένον καὶ Φιλίππου· »Ἀρξάμενος, γάρ φησιν, ὁ Φίλιππος
»ἀπὸ τῆς Ἡσαΐου γραφῆς τῆς »Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ
»ὡς ἀμνὸς ἐνώπιον τοῦ κείροντος ἄφωνος« εὐαγγελίσατο αὐτῷ τὸν
»κύριον Ἰησοῦν.« πῶς γὰρ ἀρχόμενος ἀπὸ τοῦ προφήτου εὐαγγελί-
ζεται Ἰησοῦν, εἰ μὴ τῆς ἀρχῆς τοῦ εὐαγγελίου μέρος τι ὁ Ἡσαΐας ἦν;
ἅμα δὲ καὶ τὰ ἐν πρώτοις ἡμῖν εἰρημένα περὶ τοῦ δύνασθαι εὐαγγέ- 86
λιον εἶναι πᾶσαν θείαν γραφὴν ἐντεῦθεν δύναται δηλοῦσθαι· καὶ γὰρ
εἰ ὁ εὐαγγελιζόμενος »ἀγαθὰ εὐαγγελίζεται«, πάντες δὲ οἱ πρὸ τῆς
σωματικῆς Χριστοῦ ἐπιδημίας Χριστὸν εὐαγγελίζονται ὄντα »τὰ ἀγαθά«,
ὡς ἀπεδείξαμεν, πάντων πως εἰσὶν οἱ λόγοι τοῦ εὐαγγελίου μέρος.
ὅπερ εὐαγγέλιον λεγόμενον λαλεῖσθαι ἐν ὅλῳ τῷ κόσμῳ ἡμεῖς ἐκλαμ- 87
βάνομεν ἀπαγγέλλεσθαι ἐν ὅλῳ τῷ κόσμῳ, οὐ μόνον τῷ περιγείῳ
τόπῳ ἀλλὰ καὶ παντὶ τῷ συστήματι τῷ ἐξ οὐρανοῦ καὶ γῆς ἢ ἐξ
οὐρανῶν καὶ γῆς.

Καὶ τί δεῖ ἐπὶ πλεῖον μηκύνειν τὸν περὶ τοῦ τί τὸ εὐαγγέλιόν 88
ἐστι λόγον; αὐτάρκως δὴ τούτων εἰρημένων καὶ ἐκ τούτων τῶν μὴ
ἀνεντρεχῶν δυναμένων τὰ παραπλήσια συναγαγεῖν ἀπὸ τῶν γραφῶν
17R καὶ βλέπειν τίς ἡ δόξα τῶν ἐν Ἰησοῦ Χριστῷ ἀγαθῶν ἀπὸ τοῦ εὐαγ-
γελίου, διακονουμένου ὑπὸ ἀνθρώπων καὶ ἀγγέλων. ἐγὼ δ' οἶμαι ὅτι
καὶ ἀρχῶν καὶ ἐξουσιῶν καὶ θρόνων καὶ κυριοτήτων »καὶ παντὸς
»ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τούτῳ τῷ αἰῶνι ἀλλὰ καὶ ἐν
»τῷ μέλλοντι«, εἴγε καὶ ὑπ' αὐτοῦ τοῦ Χριστοῦ, αὐτοῦ που καται-
παύσομεν τὰ πρὸ τῆς συναναγνώσεως τῶν γεγραμμένων. ἤδη δὲ 89
θεὸν αἰτώμεθα συνεργῆσαι διὰ Χριστοῦ ἡμῖν ἐν ἁγίῳ πνεύματι πρὸς
ἀνάπτυξιν τοῦ ἐν ταῖς λέξεσιν ἐναποτεθησαυρισμένου μυστικοῦ νοῦ.

6 Mark. 1, 1. — **7** Vgl. S. 18, 16. — **10** Act. 8, 35 (vgl. Jes. 53, 7). — **15** Vgl. c. 5ff. — **17** Vgl. Röm. 10, 15 (Jes. 52, 7). — **19** Vgl. S. 14, 2ff. — **20** Vgl. Mark. 16, 15. — **22** Vgl. Diels, Doxographi S. 464, 18. — **29** Vgl. Eph. 1, 21.

2 *φυλακὴν*, corr. Hu | **6** *ἀρχὴ* corr. We | **7** *παρεστήσαμεν εἶναι* V, in M ist *παρεστ* ganz verlöscht, vom übrigen sind nur einzelne Buchst. sicher zu erkennen **26** *ὑπὸ*, corr. Pr. | **34** *ἐναποτεθησαυρισμένου*.

Digitized by Google

90 **I, 1.** *Ἐν ἀρχῇ ἦν ὁ λόγος.*

XVI. *Οὐ μόνον Ἕλληνες πολλά φασι σημαινόμενα εἶναι ἀπὸ τῆς »ἀρχῆς« προσηγορίας· ἀλλὰ γὰρ εἴ τις τηρήσαι συνάγων πάντοθεν τοῦτο τὸ ὄνομα καὶ ἀκριβῶς ἐξετάζων βούλοιτο κατανοεῖν ἐν ἑκάστῳ τόπῳ τῶν γραφῶν ἐπὶ τίνος τέτακται, εὑρήσει καὶ κατὰ τὸν θεῖον* 16H
91 *λόγον τὸ πολύσημον τῆς φωνῆς. ἡ μὲν γάρ τις ὡς μεταβάσεως, αὕτη δέ ἐστιν ἡ ὡς ὁδοῦ καὶ μήκους· ὅπερ δηλοῦται ἐκ τοῦ »Ἀρχὴ »ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια«. τῆς γὰρ »ἀγαθῆς ὁδοῦ« μείζονος τυγχανούσης, κατὰ μὲν τὰ πρῶτα νοητέον εἶναι τὸ πρακτικόν, ὅπερ παρίσταται διὰ τοῦ »Ποιεῖν τὰ δίκαια«, κατὰ δὲ τὰ ἑξῆς τὸ θεωρη-* 19
τικόν· εἰς ὃ καταλήγειν οἶμαι καὶ τὸ τέλος αὐτῆς ἐν τῇ λεγομένῃ ἀποκαταστάσει διὰ τὸ μηδένα καταλείπεσθαι τότε ἐχθρόν, εἴγε ἀληθὲς τὸ »δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρι οὗ θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ »ὑπὸ τοὺς πόδας αὐτοῦ· ἔσχατος δὲ ἐχθρὸς καταργεῖται ὁ θάνατος.«
92 *τότε γὰρ | μία πρᾶξις ἔσται τῶν πρὸς θεὸν διὰ τὸν πρὸς αὐτὸν λόγον* 11V
φθασάντων ἢ τοῦ κατανοεῖν τὸν θεόν, ἵνα γένωνται οὕτως ἐν τῇ γνώσει τοῦ πατρὸς μορφωθέντες πάντες †ἀκριβῶς υἱός, ὡς νῦν μόνος
93 *ὁ υἱὸς ἔγνωκε τὸν πατέρα· εἰ γὰρ ἐπιμελῶς τις ἐξετάζοι, πότε γνώσονται, οἷς ἀποκαλύπτει ὁ ἐγνωκὼς τὸν πατέρα υἱός, τὸν πατέρα. καὶ βλέποι τὸ νῦν »δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι« τὸν βλέποντα* 20
βλέπειν, οὐδέπω ἐγνωκότα »καθὼς δεῖ γνῶναι«, οὐκ ἂν ἁμάρτοι λέγων μηδένα ἐγνωκέναι, κἂν ἀπόστολος κἂν προφήτης τις ᾖ, τὸν
94 *πατέρα, ἀλλ' ὅταν γένωνται ἓν ὡς ⟨ὁ⟩ υἱὸς καὶ ὁ πατὴρ ἕν εἰσιν. εἰ δὲ δόξειέ τις ἡμᾶς παρεκβεβηκέναι, ἓν σημαινόμενον τῆς ἀρχῆς σαφηνίζοντας καὶ ταῦτα εἰρηκότας, δεικτέον ὅτι ἡ παρέκβασις πρὸς τὸ προ-* 18R
κείμενον ἀναγκαία καὶ χρήσιμος ἦν. εἰ γὰρ »ἀρχὴ« ὡς μεταβάσεώς ἐστι καὶ ὁδοῦ καὶ μήκους, »ἀρχὴ δὲ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια«, ἔστιν εἰδέναι, ὅτι πᾶσα ὁδὸς ἀγαθή πως »ἀρχὴν« μὲν ἔχει »τὸ ποιεῖν

7 Prov. 16, 7. — **13** I Kor. 15, 25f. — **15** Vgl. Joh. 1, 1. — **17** Vgl. Gal. 4, 19. — **18** Vgl. Matth. 11, 27; Luk. 10, 22. — **19** Vgl. Matth. 11, 27. — **20** Vgl. I Kor. 13, 12. — **21** I Kor. 8, 2. — **22** Vgl. Eph. 3, 5. — **23** Vgl. Joh. 10, 30. — **27** Prov. 16, 7.

2 *ἀπὸ*] *ἐπὶ* We, wohl mit Recht | **7** *αὐτὴ* | **9** *εἶναι* V, von M noch *αι* zu erkennen, eine j. Hd. hat die verblichenen Reste sinnlos zu *δὲ καὶ* ergänzt | **12** *τὸ* V, in M verblichen | **13** *ἕως ἂν θῇ* V, M unleserlich; *ἄχρι οὗ θῇ* nach XXXII, 3 | *αὐτοῦ* — **14** *δὲ* nach V, in M unleserlich | **17** *υἱὸς* wohl verderbt, von Wi gestrichen; vielleicht ist statt *ἀκριβῶς υἱὸς*] *ἀκριβεῖς* z. l. | **20** *βλέποι τὸ*] *βλέποιτο* **M**, von den Ausgg. mit Unrecht beanstandet; „wenn jemand sähe, dass der Sehende jetzt durch .... sieht" | **21** *ἐγνωκότα*] *τα* z. T. auf Ras. | 23 ⟨*ὁ*⟩ + Br | **24** *δὲ*] *καὶ*, corr. Wi, ⟨*δὲ*⟩ *καὶ* We | *δόξειε*] *δόξει*, corr. We, *δόξαι* Wi | **25** *καὶ ταῦτα*] *τοσαῦτα* **Wi** **28** *ὅτι*] *εἰ*, corr. Wi.

Digitized by Google

»τὰ δίκαια«, μετὰ δὲ τὴν ἀρχὴν τὴν θεωρίαν, καὶ τίνα τρόπον τὴν θεωρίαν.

XVII. Ἔστι δὲ »ἀρχὴ« καὶ ἡ ὡς γενέσεως, ἣ δόξαι ἂν ἐπὶ τοῦ 95
»Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν·« οἶμαι δὲ σα-
φέστερον ἐν τῷ Ἰὼβ τοῦτο καταγγέλλεσθαι τὸ σημαινόμενον κατὰ
τὸ »Τοῦτ' ἐστιν ἀρχὴ πλάσματος κυρίου, πεποιημένον ἐγκαταπαίζε-
»σθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ.« ὑπολάβοι γὰρ ἄν τις τῶν ἐν γενέσει 96
τῇ τοῦ κόσμου τυγχανόντων »ἐν ἀρχῇ« πεποιῆσθαι »τὸν οὐρανὸν καὶ
»τὴν γῆν«· βέλτιον δὲ ὡς πρὸς τὸ δεύτερον ῥητόν, πολλῶν ὄντων
τῶν ἐν σώμασι γεγενημένων πρῶτον τῶν ἐν σώματι τὸν καλούμενον
εἶναι δράκοντα, ὀνομαζόμενον δέ που καὶ »μέγα κῆτος«, ὅπερ ἐχειρώ-
σατο ὁ κύριος. καὶ ἀναγκαῖον ἐπιστῆσαι εἰ ἄϋλον πάντη καὶ ἀσώμα- 97
17H τον ζωὴν ζώντων ἐν μακαριότητι τῶν ἁγίων, ὁ καλούμενος δράκων
ἄξιος γεγένηται, ἀποπεσὼν τῆς καθαρᾶς ζωῆς, πρὸ πάντων ἐνδεθῆναι
ὕλῃ καὶ σώματι, ἵνα διὰ τοῦτο χρηματίζων ὁ κύριος διὰ λαίλαπος
καὶ νεφῶν λέγῃ »Τοῦτ' ἐστιν ἀρχὴ πλάσματος κυρίου, πεποιημένον
»ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ«. δυνατὸν μέντοι γε τὸν 98
δράκοντα μὴ ἁπαξαπλῶς εἶναι ἀρχὴν πλάσματος κυρίου, ἀλλὰ πολλῶν
ἐν σώματι »ἐγκαταπαίζεσθαι« πεποιημένων »ὑπὸ τῶν ἀγγέλων«, τοῦ-
τον ἀρχὴν τῶν τοιούτων εἶναι, δυναμένων τινῶν ὑπάρχειν ἐν σώματι
οὐχ οὕτως· καὶ γὰρ ἡ ψυχὴ τοῦ ἡλίου ἐν σώματι καὶ πᾶσα ἡ κτίσις,
περὶ ἧς ὁ ἀπόστολός φησι· »Πᾶσα ἡ κτίσις στενάζει καὶ συνωδίνει
»ἄχρι τοῦ νῦν.« καὶ τάχα περὶ ἐκείνης ἐστὶ τὸ »Τῇ ματαιότητι ἡ 99
»κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα †τῇ ἐλπίδι«,
ἵνα ματαιότης τὰ σώματα ᾖ καὶ τὸ ποιεῖν τὰ σωματικά, ὅπερ ἀναγ-
119r καῖον * * * τῷ ἐν σώματι * * * * * * * * | ὑπάρχῃ. ὁ ἐν σώματι
οὐχ ἑκὼν ποιεῖ τὰ σώματος· διὰ τοῦτο τῇ ματαιότητι ἡ κτίσις ὑπε-
τάγη οὐχ ἑκοῦσα. καὶ ⟨ὁ⟩ οὐχ ἑκὼν ποιῶν τὰ σώματος, ὃ ποιεῖ, 100
ποιεῖ διὰ τὴν ἐλπίδα, ὡς εἰ λέγοιμεν Παῦλον θέλειν »ἐπιμένειν τῇ
»σαρκὶ« οὐχ ἑκόντα ἀλλὰ διὰ τὴν ἐλπίδα· προτιμῶντα γὰρ καθ' αὑτὸ

4 Gen. 1, 1. — **6** Hiob 40, 14 (19). — **11** Vgl. Hiob 3, 8. — **12** Vgl. Jud. 6. II Petr. 2, 4. Henoch 6, 10 u. ö. Gfrörer, Jahrhundert des Heils (Stuttgart 1838), S. 378ff. — **16** Hiob 40, 14 (19). — **19** Vgl. Hiob 40, 14 (19). — **22** Röm. 8, 22. — **23** Röm. 8, 20. — **29** Vgl. Phil. 1, 24.

3 nach ἄν + ⟨σημαίνεσθαι⟩ We | **9** ῥητέον We | **24** Sonst stets ἐπ' ἐ | **26** d. letzte Z. von f. 118v stark zerstört; nach ἀναγκαῖον scheint τὸ gestanden zu haben. ἐν σωματικοῖς ist ebenfalls wohl sicher; alles andere unsicher. ὅπερ ἀναγκαῖον ... τῷ ἐν σώματι ... V mit Lücken für je 5 und ca. 30 Buchst. Ebenso Del. ἀναγκαῖόν ἐστι⟩ τῷ ἐν σώματι ⟨ἐπιμένοντι, οὐχ ἑκόντι αὐτῷ, ἀλλὰ διὰ τὴν ἐλπίδα⟩ Br, τῷ ἐν σώματι, ⟨ἡ δὲ τοῦ ἐλευθερωθήσεσθαί ποτε ἐλπὶς αὐτῷ⟩ ὑπάρχῃ We | **28** ⟨ὁ⟩ + V | οὐχ] χ a. Ras. M | κατ' αὐτὸν V Ausgg.

Digitized by Google

»τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι« οὐκ ἄλογον ἦν βούλεσθαι »ἐπιμένειν τῇ σαρκὶ« διὰ τὴν ἑτέρων ὠφέλειαν καὶ προκοπὴν τὴν ἐν τοῖς ἐλπιζομένοις οὐ μόνον αὐτοῦ ἀλλὰ καὶ τῶν ὠφελουμένων
101 ὑπ' αὐτοῦ. κατὰ τοῦτο δὲ τὸ ὡς γενέσεως σημαινόμενον τὴν ἀρχὴν καὶ τὸ ὑπὸ τῆς σοφίας ἐν παροιμίαις λεγόμενον ἐκδέξασθαι δυνησόμεθα· »Ὁ θεός, γάρ φησιν, ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα »αὐτοῦ.« δύναται μέντοι γε καὶ ἐπὶ τὸ πρῶτον ἀνάγεσθαι, τουτέστι τὸ ὡς ὁδοῦ, διὰ τὸ λέγεσθαι »Ὁ θεὸς ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ«.
102 Οὐκ ἀτόπως δὲ καὶ τὸν τῶν ὅλων θεὸν ἐρεῖ τις ἀρχὴν σαφῶς προπίπτων, ὅτι ἀρχὴ υἱοῦ ὁ πατὴρ καὶ ἀρχὴ δημιουργημάτων ὁ δημιουργὸς καὶ ἁπαξαπλῶς ἀρχὴ τῶν ὄντων ὁ θεός. παραμυθήσεται δὲ διὰ τοῦ »Ἐν ἀρχῇ ἦν ὁ λόγος«, λόγον νοῶν τὸν υἱόν, παρὰ τὸ εἶναι ἐν τῷ πατρὶ λεγόμενον εἶναι ἐν ἀρχῇ.
103 (18) Τρίτον δὲ τὸ ἐξ οὗ οἷον τὸ ἐξ ὑποκειμένης ὕλης, ἀρχὴ παρὰ τοῖς ἀγένητον αὐτὴν ἐπισταμένοις, ἀλλ' οὐ παρ' ἡμῖν τοῖς πειθομένοις, ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν ὁ θεός, ὡς ἡ μήτηρ τῶν ἑπτὰ μαρτύρων ἐν Μακκαβαϊκοῖς καὶ ὁ τῆς μετανοίας ἄγγελος ἐν τῷ *Ποιμένι* ἐδίδαξε.
104 (19) Πρὸς τούτοις ἀρχὴ καὶ τὸ καθ' ⟨ὃ⟩ οἷον κατὰ τὸ εἶδος. οὕτως· εἴπερ εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου ὁ πρωτότοκος πάσης 18 H
κτίσεως, ἀρχὴ αὐτοῦ ὁ πατήρ ἐστιν. ὁμοίως δὲ καὶ Χριστὸς ἀρχὴ
105 τῶν κατ' εἰκόνα γενομένων θεοῦ. εἰ γὰρ οἱ ἄνθρωποι »κατ' εἰκόνα«, ἡ εἰκὼν δὲ κατὰ τὸν πατέρα, τὸ μὲν καθ' ὃ τοῦ χριστοῦ ὁ πατὴρ ἀρχή, τὸ δὲ καθ' ὃ τῶν ἀνθρώπων ὁ χριστός, γενομένων οὐ κατὰ τὸ οὗ ἐστιν εἰκών, ἀλλὰ κατὰ τὴν εἰκόνα· ἁρμόσει δὲ τὸ »Ἐν ἀρχῇ
106 »ἦν ὁ λόγος« εἰς τὸ αὐτὸ παράδειγμα. XVIII. (20) Ἔστιν ἀρχὴ καὶ ὡς μαθήσεως, καθ' ὃ τὰ στοιχεῖά φαμεν ἀρχὴν εἶναι γραμματικῆς. κατὰ τοῦτό φησιν ὁ ἀπόστολος ὅτι »Ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ »διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ.«
107 διττὴ δὲ ἡ ὡς μαθήσεως ἀρχή, ἡ μὲν τῇ φύσει, ἡ δὲ ὡς πρὸς ἡμᾶς· ὡς εἰ λέγοιμεν ἐπὶ Χριστοῦ, φύσει μὲν αὐτοῦ ἀρχὴ ἡ θεότης, πρὸς ἡμᾶς δέ, μὴ ἀπὸ τοῦ μεγέθους αὐτοῦ δυναμένους ἅρξασθαι τῆς περὶ 29 R

1 Vgl. Phil. 1, 23. — **6** Prov. 8, 22. — **8** Prov. 8, 22. — **12** Joh. 1, 1. — **17** Vgl. II Makk. 7, 28. — **19** Hermas, Mand. 1 vgl. Vis. 1, 1, 6. — **20** Kol. 1, 15. — **22** Vgl. Gen. 1, 27. — **25** Joh. 1, 1. — **29** Hebr. 5, 12.

6. 8 ἔκτισεν M*, später *ν* ausradiert | **10** προπίπτων ÷ ohne Randnote M] παριστῶν? We, προβάλλων? Pr; doch vgl. II, 8 | **14** ἐξ οὗ οἷονται, corr. Wi; ἐξ οὗ οἷον We | **19** καθ' οἷον, mit Correctur an καθ M, ⟨ὃ⟩ + We Wi | **26** εἰς τὸ] ς τὸ a. Ras. | **29** ὀφείλοντες] aus ὀφείλοντος corr. | διδάσκαλοι] ι² a. Ras., urspr. *ν* | **33** μὴ] ἡ MV, corr. B.

Digitized by Google

αὐτοῦ ἀληθείας, ἡ ἀνθρωπότης αὐτοῦ, καθ' ὃ τοῖς νηπίοις καταγγέλλεται Ἰησοῦς Χριστός, καὶ οὗτος ἐσταυρωμένος· ὡς κατὰ τοῦτο εἰπεῖν ἀρχὴν εἶναι μαθήσεως τῇ μὲν φύσει Χριστὸν καθ' ὃ »σοφία«
19S καὶ »δύναμις θεοῦ«, πρὸς ἡμᾶς δὲ ⟨τὸ⟩ »ὁ λόγος | σὰρξ ἐγένετο«, ἵνα σκηνώσῃ ἐν ἡμῖν, οὕτω μόνον πρῶτον αὐτὸν χωρῆσαι δυναμένοις. καὶ τάχα διὰ τοῦτο οὐ μόνον πρωτότοκός ἐστιν πάσης κτίσεως, ἀλλὰ 108
καὶ Ἀδάμ, ⟨ὃ⟩ ἑρμηνεύεται »ἄνθρωπος«. ὅτι δὲ Ἀδάμ ἐστι, φησὶν ὁ Παῦλος »Ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν«.

(21) Ἔστι δὲ ἀρχὴ καὶ ὡς [ἡ] πράξεως, ἐν ᾗ πράξει ἐστί τι τέλος μετὰ τὴν ἀρχήν. καὶ ἐπίστησον εἰ ἡ σοφία ἀρχὴ τῶν πράξεων οὖσα τοῦ θεοῦ οὕτω δύναται νοεῖσθαι ἀρχή.

XIX. (22) Τοσούτων σημαινομένων ἐπὶ τοῦ παρόντος ἡμῖν ὑπο- 109
πεσόντων περὶ »ἀρχῆς«, ζητοῦμεν ἐπὶ τίνος δεῖ λαμβάνειν τὸ »Ἐν ἀρχῇ ἦν ὁ λόγος«. καὶ σαφὲς ὅτι οὐκ ἐπὶ τοῦ ὡς μεταβάσεως ἢ ὡς ὁδοῦ καὶ μήκους· οὐκ ἄδηλον δὲ ὅτι οὐδὲ ἐπὶ τοῦ ὡς γενέσεως. πλὴν 110
δυνατὸν ὡς τὸ ὑφ' οὗ, ὅπερ ἐστὶ ποιοῦν, εἴγε »ἐνετείλατο ὁ θεὸς καὶ »ἐκτίσθησαν«. δημιουργὸς γάρ πως ὁ χριστός ἐστιν, ᾧ λέγει ὁ πατήρ· »Γενηθήτω φῶς« καὶ »Γενηθήτω στερέωμα«. δημιουργὸς δὲ ὁ χρι- 111
στὸς ὡς ἀρχή, καθ' ὃ σοφία ἐστί, τῷ σοφία εἶναι καλούμενος ἀρχή. ἡ γὰρ σοφία παρὰ τῷ Σαλομῶντί φησιν· »Ὁ θεὸς ἔκτισέν με ἀρχὴν »ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«, ἵνα »ἐν ἀρχῇ ἦ ὁ λόγος«, ἐν τῇ σοφίᾳ·
19H κατὰ μὲν τὴν σύστασιν τῆς περὶ τῶν ὅλων θεωρίας καὶ νοημάτων τῆς σοφίας νοουμένης, κατὰ δὲ τὴν πρὸς τὰ λογικὰ κοινωνίαν τῶν τεθεωρημένων τοῦ λόγου λαμβανομένου. καὶ οὐ θαυμαστὸν εἰ, ὡς 112
προειρήκαμεν, πολλὰ ὢν ἀγαθὰ ὁ σωτὴρ ἐνεπινοούμενα ἔχει ἐν αὐτῷ πρῶτα καὶ δεύτερα καὶ τρίτα. ὁ γοῦν Ἰωάννης ἐπήνεγκε φάσκων περὶ τοῦ λόγου· »Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν«. γέγονεν οὖν ἡ ζωὴ ἐν τῷ λόγῳ· καὶ οὔτε ὁ λόγος ἕτερός ἐστι τοῦ χριστοῦ, ᾧ θεὸς λόγος, ὁ πρὸς τὸν πατέρα, δι' οὗ τὰ πάντα ἐγένετο, οὔτε ἡ ζωὴ ἑτέρα τοῦ υἱοῦ τοῦ θεοῦ, ὅς φησιν· »Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή«. ὥσπερ οὖν ἡ ζωὴ γέγονεν ἐν τῷ λόγῳ, οὕτως ὁ λόγος ἦν ἐν ἀρχῇ.
21R ἐπίστησον δέ, εἰ οἷόν τέ ἐστι καὶ κατὰ τὸ σημαινόμενον τοῦτο ἐκδέ- 113

2 I Kor. 2, 2. — **3** Vgl. I Kor. 1, 24. — **4** Joh. 1, 14. — **6** Kol. 1, 15. — **8** I Kor. 15, 45. — **13** Joh. 1, 1. — **14** Vgl. c. 16. — **15** Vgl. c. 17. — **16** Ps. 148, 5. — **18** Gen. 1, 3. — Gen. 1, 6. — **20** Prov. 8, 22. — **21** Joh. 1, 1. — **24** Vgl. S. 15, 12 ff. — **27** Joh. 1, 4. — **28** Vgl. Joh. 1, 1. — **30** Joh. 14, 6. — **31** Vgl. Joh. 1, 4. 1, 1.

3 *τῇ*] nur noch Spuren von *τ* | **4** *καὶ δύναμις θεοῦ* V, in M ist d. Papier abgerieben | *πρὸς—λόγος* v. j. H. nachgefahren | ⟨*τὸ*⟩ + We | **6** *ἐστιν* M* | ⟨*ὃ*⟩ + Pr **9** *ἡ* < V, wohl mit Recht, da es auch sonst fehlt | **20** *ἔκτισεν* M* | **26** *ἐπενέγκῃ* M **30** *ὅς*] ς a. Ras. M (Br hält ohne Grund *διὸ* für urspr.).

Digitized by Google

χεσθαι ἡμᾶς τὸ »Ἐν ἀρχῇ ἦν ὁ λόγος«, ἵνα κατὰ τὴν σοφίαν καὶ τοὺς τύπους τοῦ συστήματος τῶν ἐν αὐτῷ νοημάτων τὰ πάντα γίνηται.
114 οἶμαι γάρ, ὥσπερ κατὰ τοὺς ἀρχιτεκτονικοὺς τύπους οἰκοδομεῖται ἢ τεκταίνεται οἰκία καὶ ναῦς, ἀρχὴν τῆς οἰκίας καὶ τῆς νεὼς ἐχόντων τοὺς ἐν τῷ τεχνίτῃ τύπους καὶ λόγους, οὕτω τὰ σύμπαντα γεγονέναι κατὰ τοὺς ἐν τῇ σοφίᾳ προτρανωθέντας ὑπὸ θεοῦ τῶν ἐσομένων
115 λόγους· »Πάντα γὰρ ἐν σοφίᾳ ἐποίησε.« καὶ λεκτέον ὅτι κτίσας, ἵν' οὕτως εἴπω, ἔμψυχον σοφίαν ὁ θεός, αὐτῇ ἐπέτρεψεν ἀπὸ τῶν ἐν αὐτῇ τύπων τοῖς οὖσι καὶ τῇ ὕλῃ ⟨παρασχεῖν καὶ⟩ τὴν πλάσιν καὶ τὰ εἴδη, ἐγὼ δὲ ἐφίστημι εἰ καὶ τὰς οὐσίας.

116 Οὐ χαλεπὸν μὲν οὖν παχύτερον εἰπεῖν ἀρχὴν τῶν ὄντων εἶναι τὸν υἱὸν τοῦ θεοῦ, λέγοντα· | »Ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ τέλος, τὸ A 120r
»καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος«. ἀναγκαῖον δὲ εἰδέναι ὅτι οὐ
117 κατὰ πᾶν ὃ ὀνομάζεται ἀρχή ἐστιν αὐτός. πῶς γὰρ καθ' ὃ ζωή ἐστι δύναται εἶναι ἀρχή, ἥτις ζωὴ γέγονεν ἐν τῷ λόγῳ, δηλονότι ἀρχῇ τυγχάνοντι αὐτῆς; ἔτι δὲ σαφέστερον ὅτι καθ' ὃ »πρωτότοκός« ἐστιν
118 »ἐκ τῶν νεκρῶν«, οὐ δύναται εἶναι ἀρχή. καὶ ἐὰν ἐπιμελῶς ἐξετάζωμεν αὐτοῦ πάσας τὰς ἐπινοίας, μόνον κατὰ τὸ εἶναι σοφία ἀρχή ἐστιν, οὐδὲ κατὰ τὸ εἶναι λόγος ἀρχὴ τυγχάνων, εἴγε »ὁ λόγος ἐν »ἀρχῇ« ἦν· ὡς εἰπεῖν ἄν τινα τεθαρρηκότως ⟨ὡς⟩ πρεσβύτερον πάντων τῶν ἐπινοουμένων ταῖς ὀνομασίαις τοῦ πρωτοτόκου πάσης κτίσεώς ἐστιν ἡ σοφία.

119 XX. Ὁ θεὸς μὲν οὖν πάντη ἓν ἐστι καὶ ἁπλοῦν· ὁ δὲ σωτὴρ ἡμῶν διὰ τὰ πολλά, ἐπεὶ »προέθετο« αὐτὸν »ὁ θεὸς ἱλαστήριον« καὶ ἀπαρχὴν πάσης τῆς κτίσεως, πολλὰ γίνεται ἢ καὶ τάχα πάντα ταῦτα, καθὰ
120 χρήζει αὐτοῦ ἡ ἐλευθεροῦσθαι δυναμένη πᾶσα κτίσις. καὶ διὰ τοῦτο 120H
γίνεται φῶς τῶν ἀνθρώπων, ὅτε ἄνθρωποι ὑπὸ τῆς κακίας σκοτισθέντες δέονται φωτὸς τοῦ ἐν τῇ σκοτίᾳ φαίνοντος καὶ ὑπὸ σκοτίας μὴ καταλαμβανομένου, οὐκ ἄν, εἰ μὴ γεγόνεισαν ἐν τῷ σκότῳ οἱ

1 Joh. 1, 1. — **3ff.** Vgl. Philo De opif. § 17. 18 (I, 5 Cohn). — **7** Ps. 103, 24. — **12** Apok. 22, 13. — **16** Kol. 1, 18. — **19** Joh. 1, 1. — **21** Vgl. Kol. 1, 15. — **24** Vgl. Röm. 3, 25. — Vgl. Jak. 1, 18. — **26** Vgl. Röm. 8, 21. — **28** Vgl. Joh. 1, 5.

2 αὐτῶν M* | **9** τοῖς οὖσι—**12** ἐγὼ ist stark verdorben und z. T. nur durch den Abklatsch auf f. 120r zu lesen. Die Richtigkeit des obigen Textes dürfte feststehen. V liest τῇ ὕλῃ . . (Raum für ca. 9 Buchst.) . . . καὶ τὰ εἴδη. ἐγὼ δὲ ἐφίστημι, εἰ καὶ . . . (Raum für ca. 21 Buchst.) . . . εἰπεῖν, ἀρχὴν τῶν ὄντων κτλ. Die erste Lücke wird durch die Randbemerkung ausgefüllt: οἶμαι παρασχεῖν τὴν ὕπαρξιν καὶ τὴν πλάσιν καὶ τὰ εἴδη, was Del sammt dem die Conj. bezeichnenden οἶμαι in den Text setzte | **18** ἐπινοίας] ἐπωνυμίας danach + οὐ V | **20** τεθαρρηκότως ὡς] τεθαρρηκότως, corr. We; τεθαρρηκότως ὅτι Ausgg. | **21** ἐνεπινοουμένων We | **24** τὰ über d. Linie | **25/26** καθὰ χρήζει] καθαρίζει, corr. Neander.

Digitized by Google

ἄνθρωποι, γενόμενος ἀνθρώπων φῶς. τὸ δ' ὅμοιον ἔστι νοῆσαι καὶ 121
ἐπὶ τοῦ εἶναι αὐτὸν πρωτότοκον ⟨ἐκ⟩ τῶν νεκρῶν. εἰ γὰρ καθ'
22R ὑπόθεσιν ἡ γυνὴ μὴ ἠπάτητο καὶ ὁ Ἀδὰμ μὴ παραπεπτώκει, κτισθεὶς
δὲ ὁ ἄνθρωπος ἐπὶ ἀφθαρσίᾳ κεκρατήκει τῆς ἀφθαρσίας, οὔτ' ἂν
»εἰς χοῦν θανάτου« καταβεβήκει οὔτ' ἂν ἀπέθανεν οὐκ οὔσης ἁμαρ-
τίας, ἢ διὰ τὴν φιλανθρωπίαν αὐτὸν ἐχρῆν ἀποθανεῖν· ταῦτα δὲ μὴ
ποιήσας οὐκ ⟨ἂν⟩ ἐγένετο »πρωτότοκος ἐκ τῶν νεκρῶν«.

Ἐξεταστέον δέ, μήποτε καὶ ποιμὴν οὐκ ἂν ἐγένετο τοῦ ἀνθρώπου 122
μὴ παρασυμβληθέντος »τοῖς κτήνεσι τοῖς ἀνοήτοις μηδ' ὁμοιωθέντος
»αὐτοῖς«. εἰ γὰρ ἀνθρώπους καὶ κτήνη σώζει ὁ θεός, σώζει ἃ σώζει
κτήνη ποιμένα αὐτοῖς χαρισάμενος τοῖς μὴ χωροῦσι τὸν βασιλέα.

Βασανιστέον οὖν συναγαγόντα τὰς ὀνομασίας τοῦ υἱοῦ, ποῖαι 123
αὐτῶν ἐπιγεγόνασιν οὐκ ἂν ἐν μακαριότητι ἀρξαμένων καὶ μεινάντων
τῶν ἁγίων γενόμεναι τὰ τοσάδε. τάχα γὰρ σοφία ἔμενε μόνον ἢ καὶ
λόγος ἢ καὶ ζωή, πάντως δὲ καὶ ἀλήθεια· οὐ μὴν δὲ καὶ τὰ ἄλλα
ὅσα δι' ἡμᾶς προσείληφε. καὶ μακάριοί γε ὅσοι δεόμενοι τοῦ υἱοῦ 124
τοῦ θεοῦ τοιοῦτοι γεγόνασιν, ὡς μηκέτι αὐτοῦ χρῄζειν ἰατροῦ τοὺς
κακῶς ἔχοντας θεραπεύοντος μηδὲ ποιμένος μηδὲ ἀπολυτρώσεως.
ἀλλὰ σοφίας καὶ λόγου καὶ δικαιοσύνης, ἢ εἴ τι ἄλλο τοῖς διὰ τελειό-
τητα χωρεῖν αὐτοῦ τὰ κάλλιστα δυναμένοις. τοσαῦτα περὶ τοῦ »Ἐν ἀρχῇ«.

XXI. (23) Ἴδωμεν δ' ἐπιμελέστερον τίς ὁ ἐν αὐτῇ λόγος. θαυμά- 125
23R ζειν μοι πολλάκις ἐπέρχεται | σκοποῦντι τὰ ὑπό τινων πιστεύειν εἰς
τὸν χριστὸν βουλομένων λεγόμενα περὶ αὐτοῦ, τί δήποτε δυσεξαριθ-
μήτων ὀνομάτων τασσομένων ἐπὶ τοῦ σωτῆρος ἡμῶν τὰ μὲν πλεῖστα
παρασιωπῶσιν, ἀλλὰ καὶ εἴ ποτε μνήμη αὐτῶν γένοιτο, μεταλαμβά-
νουσιν οὐ κυρίως ἀλλὰ τροπικῶς ταῦτα αὐτὸν ὀνομάζεσθαι, ἐπὶ δὲ
μόνης τῆς λόγος προσηγορίας ἱστάμενοι οἱονεὶ »λόγον« μόνον φασὶν
εἶναι τὸν χριστὸν τοῦ θεοῦ, καὶ οὐχὶ ἀκολούθως τοῖς λοιποῖς τῶν
ὀνομαζομένων ἐρευνῶσι τοῦ σημαινομένου τὴν δύναμιν ἐκ τῆς »λόγος«

2 Kol. 1, 18. — **3** Vgl. Gen. 3. — **5** Vgl. Ps. 21, 16. — **7** Vgl. Kol. 1, 18. — **9** Ps. 48, 13. — **10** Ps. 35, 7. — **17** Vgl. Matth. 9, 12. — **18** Joh. 10, 2. — Vgl. Röm. 3, 24. — **19** I Kor. 1, 30.

2 ἐκ⟩ nach Z. 7 u. S. 24, Z. 17 zuges. < M | **3** παραπεπτώκει] παραπέπτωκε. corr. We | **6** ἢ] ἢ M Ausgg., corr. We; ὡς Wi | **7** ⟨ἂν⟩ + We Wi | **9** ὁμοιωθέντος] οι a. Ras. M | **14** τὰ τοσάδε wohl verdorben, We schlägt τοσαίδε? statt dessen vor; vielleicht τάδε τοσάδε „so und so viele" | ⟨ἂν⟩ ἔμεινε We | **21** θαυμάζειν—**22** ἐπέρχεται] undeutlich, weil die letzte Z. v. f. 119v abgeklatscht ist. Doch hat wohl nichts anderes dagestanden. V lässt nach ἐπέρχεται Raum für ca. 51 Buchst., offenbar weil die abgeklatschten Buchst. für eine neue Zeile angesehen wurden | **22** σκοποῦντι] τι a. Ras. M.

Digitized by Google

126 φωνῆς. ὃ δέ φημι θαυμάζειν [τὴν] τῶν πολλῶν — σαφέστερον γὰρ ἐρῶ — 21 H
τοιοῦτόν ἐστι. φησί που ὁ υἱὸς τοῦ θεοῦ· »Ἐγώ εἰμι τὸ φῶς τοῦ
»κόσμου«· καὶ ἐν ἄλλοις· »Ἐγώ εἰμι ἡ ἀνάστασις·« καὶ πάλιν »Ἐγώ
»εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή«· γέγραπται δὲ καὶ τὸ »Ἐγώ
»εἰμι ἡ θύρα«· εἴρηται καὶ τὸ »Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός·« καὶ 5
πρὸς τὴν Σαμαρεῖτιν φάσκουσαν· »Οἴδαμεν ὅτι Μεσσίας ἔρχεται, ὁ 23 B
»λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα« ἀπο-
127 κρίνεται· »Ἐγώ εἰμι ὁ λαλῶν σοι«. πρὸς τούτοις, ὅτε ἔνιψε τοὺς πό-
δας τῶν μαθητῶν, κύριος καὶ διδάσκαλος αὐτῶν εἶναι διὰ τούτων
ὁμολογεῖ· »Ὑμεῖς φωνεῖτέ με ›Ὁ διδάσκαλος‹ καὶ ›Ὁ κύριος‹, καὶ 10
128 »καλῶς λέγετε· εἰμὶ γάρ«. ἀλλὰ καὶ υἱὸν εἶναι θεοῦ σαφῶς ἑαυτὸν
καταγγέλλει λέγων· »Ὃν ὁ πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσ-
»μον·ὑμεῖς λέγετε ὅτι ›Βλασφημεῖς‹, ὅτι εἶπον ›Υἱὸς τοῦ θεοῦ εἰμι‹;«
καί· »Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱόν, ἵνα ὁ υἱὸς
129 »δοξάσῃ σε«. εὑρίσκομεν δὲ καταγγέλλοντα ἑαυτὸν καὶ βασιλέα, ὡς 15
ἐπὰν ἀποκρινόμενος τῷ Πιλάτῳ πρὸς τὸ »Σὺ εἶ ὁ βασιλεὺς τῶν
»Ἰουδαίων«; λέγῃ· »Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τού-
»του· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται
»οἱ ἐμοὶ ἠγωνίζοντο ἄν, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ
130 »βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν«. ἀνέγνωμεν καὶ τὸ »Ἐγώ εἰμι 20
»ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι«· καὶ πά-
131 λιν· »Ἐγώ εἰμι ἄμπελος, ὑμεῖς τὰ κλήματα«. συναριθμείσθω τού-
τοις καὶ τὸ »Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς«· καὶ πάλιν· »Ἐγώ εἰμι ὁ
»ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς« »καὶ ζωὴν διδοὺς τῷ
»κόσμῳ«. καὶ ταῦτα μὲν ἐπὶ τοῦ παρόντος ὑποπεσόντα ἀπὸ τῶν ἐν 25
τοῖς εὐαγγελίοις κειμένων παρεθέμεθα, τοσαῦτα αὐτὸν λέγοντος εἶναι
τοῦ υἱοῦ τοῦ θεοῦ.

132 XXII. Ἀλλὰ καὶ ἐν τῇ Ἰωάννου ἀποκαλύψει λέγει· »Ἐγώ εἰμι ὁ
»πρῶτος καὶ ὁ ἔσχατος καὶ ὁ ζῶν, καὶ ἐγενόμην νεκρός, καὶ ἰδοὺ ζῶν
»εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων«. καὶ πάλιν· »Γέγονα ἐγὼ τὸ Α 30
»καὶ τὸ Ω, καὶ ὁ πρῶτος καὶ ὁ ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος«.

133 Ἔστι δὲ οὐκ ὀλίγα τὸν μετὰ παρατηρήσεως ἐντυγχάνοντα ταῖς
ἁγίαις βίβλοις καὶ ἀπὸ τῶν προφητῶν παραπλήσια λαβεῖν, οἷον ὅτι

2 Joh. 8, 12. — 3 Joh. 11, 25. — 4 Joh. 14, 6. — Joh. 10, 9. — 5 Joh. 10, 11. — 6 Joh. 4, 25f. — 10 Joh. 13, 13. — 12 Joh. 10, 36. — 14 Joh. 17, 1. — 16 Joh. 18, 33. — 17 Joh. 18, 36. — 20 Joh. 15, 1. — 22 Joh. 15, 5. — 23 Joh. 6, 35. 51. 33. — 28 Apok. 1, 17f. — 30 Apok. 22, 13; vgl. 21, 6.

1 [τὴν] str. Br, *τὴν τῶν πολλῶν ἀβελτερίαν* verschlimmbesserte V | 6 *οἶδα*? *οἴδαμεν* mit Ras. über *ι* (⌒ ausr.) M; s. o. zu S. 10, 15 | *Μεσσίας*] *μεσίας* | 22 *συναριθμείσθω*] *μει* a. Ras. M.

Digitized by Google

»βέλος ἐκλεκτὸν« ἑαυτὸν καλεῖ καὶ »δοῦλον τοῦ θεοῦ« καὶ »φῶς
121r »τῶν | ἐθνῶν«. λέγει δὴ οὕτω Ἡσαΐας· »Ἐκ κοιλίας μητρός μου 134
»ἐκάλεσέ με τὸ ὄνομά μου καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν
»καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέν με· ἔθηκέν με ὡς
»βέλος ἐκλεκτὸν καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με, καὶ εἶπέ μοι
»Δοῦλός μου εἶ σὺ Ἰσραὴλ καὶ ἐν σοὶ δοξασθήσομαι«. καὶ μετ' ὀλί- 135
γα· »Καὶ ὁ θεός μου ἔσται μοι ἰσχύς. καὶ εἶπέ μοι »Μέγα σοί ἐστι
122H »τοῦτο κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ἰακὼβ καὶ τὴν
»διασποράν τοῦ Ἰσραὴλ ἐπιστρέψαι; ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν,
»τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς«. ἀλλὰ καὶ ἐν τῷ
Ἱερεμίᾳ οὕτως αὐτὸν ἀρνίῳ ὁμοιοῖ· »Ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγό-
»μενον τοῦ θύεσθαι«.

Ταῦτα μὲν οὖν καὶ τὰ τούτοις παραπλήσια αὐτὸς ἑαυτόν φησιν· 136
124R ἔστι δὲ καὶ παρὰ τοῖς εὐαγγελίοις καὶ παρὰ τοῖς ἀποστόλοις καὶ διὰ
τῶν προφητῶν μυρίας ὅσας προσηγορίας συναγαγεῖν, ἃς καλεῖται ὁ
υἱὸς τοῦ θεοῦ· ἤτοι τῶν τὰ εὐαγγέλια γραψάντων τὴν ἰδίαν διάνοιαν
τῶν περὶ τοῦ ὅ τί ποτέ ἐστιν ἐκτιθεμένων, ἢ τῶν ἀποστόλων ἐξ
ὧν μεμαθήκασι δοξολογούντων αὐτόν, ἢ τῶν προφητῶν προκηρυσ-
σόντων αὐτοῦ τὴν ἐσομένην ἐπιδημίαν καὶ τὰ περὶ αὐτοῦ ἀπαγγελ-
λόντων διαφόροις ὀνόμασιν. οἷον ὁ Ἰωάννης αὐτὸν »ἀμνὸν θεοῦ« 137
ἀναγορεύει λέγων· »Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν
»τοῦ κόσμου«· καὶ »ἄνδρα« διὰ τούτων· »Οὗτός ἐστιν ὑπὲρ οὗ ἐγὼ
»εἶπον ὅτι ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι
»πρῶτός μου ἦν· κἀγὼ οὐκ ἤδειν αὐτόν«. ἐν δὲ τῇ καθολικῇ ἐπι- 138
στολῇ ὁ Ἰωάννης »παράκλητον« περὶ τῶν ψυχῶν ἡμῶν πρὸς τὸν
πατέρα φησὶν αὐτὸν εἶναι λέγων· »Καὶ ἐάν τις ἁμάρτῃ, παράκλη-
»τον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον«. ἐπιφέρει 139
δὲ ὅτι »καὶ ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν«· ᾧ παραπλη-
σίως ὁ Παῦλος λέγει αὐτὸν εἶναι »ἱλαστήριον«, φάσκων· »Ὃν προ-
»έθετο ὁ θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αἵματι αὐτοῦ, διὰ
»τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων ἐν τῇ ἀνοχῇ τοῦ
»θεοῦ«. κεκήρυκται δὲ κατὰ τὸν Παῦλον σοφία εἶναι καὶ δύναμις 140
θεοῦ, ὡς ἐν τῇ πρὸς Κορινθίους, ὅτι Χριστὸς δύναμίς ἐστι καὶ

2 Jes. 49, 1—3. — **7** Jes. 49, 5f. — **11** Jer. 11, 19. — **21** Joh. 1, 29. — 22 Joh. 1, 30f. — **26** I Joh. 2, 1. — **28** I Joh. 2, 2. — **29** Röm. 3, 25f. — **33** Vgl. I Kor. 1, 24.

2 τῶν M beschädigt, < V; viell. nach Z. 9, S. 30, 20. 26. 27 zu str. | δὴ Pr] δὲ **3** με viell. zu str. als hexaplarischer Einschub | **4** ἔκρυψεν M* | ἔθηκεν M* | **5** τῇ über d. Linie | **8** τοῦτο] zu lesen τὸ κληθῆναι (mit ℵQ) oder τοῦ κληθῆναι (mit AB); der Fehler entstand wohl aus übergeschriebenem τὸ | **18** ἢ Pr] καὶ | 33 Κορινθίους | ἰὸν̣ ̣ς.

Digitized by Google

θεοῦ σοφία· πρὸς τούτοις, ὅτι καὶ »ἁγιασμός« ἐστι καὶ »ἀπολύ-
»τρωσις«· »Ὃς ἐγενήθη, γάρ φησι, σοφία ἡμῖν ἀπὸ θεοῦ, δικαιοσύνη
141 »τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις«. ἀλλὰ καὶ ἀρχιερέα μέγαν
διδάσκει ἡμᾶς αὐτὸν τυγχάνειν, πρὸς Ἑβραίους γράφων· »Ἔχοντες οὖν
»ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ
»θεοῦ, κρατῶμεν τῆς ὁμολογίας«.

142 XXIII. Οἱ δὲ προφῆται παρὰ ταῦτα καὶ ἑτέροις ὀνόμασιν αὐτὸν
καλοῦσιν· ὁ μὲν Ἰακὼβ ἐν τῇ πρὸς τοὺς υἱοὺς εὐλογίᾳ Ἰούδαν· τὸ
γὰρ »Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου
»τῶν ἐχθρῶν σου· (προσκυνήσουσίν σοι οἱ υἱοὶ τοῦ πατρός σου·
»σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν
»ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος· τίς | ἐγερεῖ αὐτόν«; * * * * 121
οὐ κατὰ τὸν ἐνεστηκότα δὲ καιρόν ἐστι πρὸς λέξιν παραστῆσαι πῶς
143 τὰ τῷ Ἰούδᾳ λεγόμενα περὶ Χριστοῦ ἐστιν. ἀλλὰ καὶ ἀνθυποφορὰ
εὐλόγως ἐπενεχθῆναι δυναμένη »Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ 231
»ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ« ἐν ἄλλοις εὐκαιρότερον λυθήσεται.
144 οἷδε δὲ τὸν χριστὸν Ἰακὼβ καὶ Ἰσραὴλ ὀνομαζόμενον Ἡσαΐας λέγων·
»Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου,
»προσεδέξατο αὐτὸν ἡ ψυχή μου· κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. οὐκ 251
»ἐρίσει οὐδὲ κράξει οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν 261
»αὐτοῦ· κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λίνον τυφόμενον
»οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ †ἐκ νίκους τὴν κρίσιν, καὶ τῷ ὀνόματι αὐτοῦ
145 »ἔθνη ἐλπιοῦσιν«. ὅτι γὰρ ὁ χριστός ἐστι, περὶ οὗ ταῦτα προφητεύ-
εται, σαφῶς ὁ Ματθαῖος δηλοῖ ἐν τῷ εὐαγγελίῳ, μνησθεὶς ἀπὸ μέρους
τῆς περικοπῆς, εἰπών· »Ἵνα πληρωθῇ τὸ εἰρημένον »Οὐκ ἐρίσει οὐδὲ 25
146 »κράξει«« καὶ τὰ ἑξῆς. καλεῖται δὲ καὶ Δαβὶδ ὁ χριστός, ὡς ἐπὰν
Ἰεζεκιὴλ προφητεύσας πρὸς τοὺς ποιμένας ἐπιφέρῃ ἐκ προσώπου θεοῦ
»Ἀναστήσω Δαβὶδ τὸν παῖδά μου, ὃς ποιμανεῖ αὐτούς«· οὐ γὰρ Δαβὶδ
ὁ πατριάρχης ἀναστήσεται ποιμαίνειν μέλλων τοὺς ἁγίους, ἀλλὰ Χρι-
147 στός. ἔτι δὲ ὁ Ἡσαΐας »ῥάβδον« καὶ »ἄνθος« ὀνομάζει τὸν χριστὸν 30

2 I Kor. 1, 30. — 4 Hebr. 4, 14. — 9 Gen. 49, 8f. — 15 Gen. 49, 10. — 18 Jes. 42, 1—4 (z. T. nach den LXX, z. T. nach Matth. 12, 18ff. citiert). — 25 Matth. 12, 17. 19. — 28 Ezech. 34, 23.

7 παρὰ] a^2 a. Ras. | 8 nach πρὸς Ras. | 9 ἀνέσεσαν, corr. Hu | 10 nach ἐχθρῶν σου ist in den Hss. infolge des Homoioteleuton προσκυνήσουσίν σοι οἱ υἱοὶ τοῦ πατρός σου ausgefallen; da die messianische Deutung von diesen Worten abhängt, habe ich es eingesetzt | 12 Die Lücke erkannte We; erg. etwa ⟨οὐ τὸν Ἰακὼβ υἱὸν ἀλλὰ Χριστὸν αἰνίττεται⟩ | 15 δυναμένη ἤ | 17 ὀνομαζόμενον] ν^3 nachgetr. M | 22 ἕως] εω a. Ras. | lies εἰς νῖκος nach d. Text Matth. 12, 20; ἐκ νείκους Vtext, νίκους Vmg. | 23 vor ταῦτα und über a^2 Ras. | 29 πατριάρχης] αρχη a. Ras.

Digitized by Google

ἐν τῷ »Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἄνθος ἐκ τῆς »ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ, »πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώ»σεως καὶ εὐσεβείας, καὶ ἐμπλήσει αὐτὸν πνεῦμα φόβου θεοῦ«. καὶ 148
»λίθος« δὲ ἐν τοῖς ψαλμοῖς ὁ κύριος ἡμῶν εἶναι λέγεται οὕτως· »Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλ»μοῖς ἡμῶν«. δηλοῖ δὲ τὸ εὐαγγέλιον καὶ ἐν ταῖς Πράξεσιν ὁ Λου- 149
κᾶς, οὐκ ἄλλον ἢ τὸν χριστὸν εἶναι τὸν λίθον· τὸ μὲν εὐαγγέλιον οὕτως· »Οὐδέποτε ἀνέγνωτε· Λίθος ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦν»τες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; πᾶς ὁ πεσὼν ἐπὶ τὸν λίθον »τοῦτον συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν«· ἐν δὲ 150
ταῖς Πράξεσιν ὁ Λουκᾶς γράφει· »Οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουδενω»θεὶς ὑφ' ὑμῶν τῶν οἰκοδόμων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας«.

Ἓν δὴ τῶν ἐπὶ τοῦ σωτῆρος τεταγμένων ὀνομάτων, ἀλλ' οὐχ ὑπ' αὐτοῦ λεγόμενον ὑπὸ δὲ τοῦ Ἰωάννου ἀναγεγραμμένον, ἐστὶ καὶ »Ὁ »ἐν ἀρχῇ λόγος πρὸς τὸν θεὸν θεὸς λόγος«. XXIV. καὶ ἔστιν ἄξιον 151
ἐπιστῆσαι τοῖς τὰ τοσαῦτα τῶν ὀνομαζομένων παραπεμπομένοις καὶ τούτῳ ὡς ἐξαιρέτῳ χρωμένοις καὶ πάλιν ἐπ' ἐκείνοις μὲν διήγησιν
122r ζητοῦσιν, εἴ τις αὐτοῖς προσάγοι αὐτά, ἐπὶ δὲ τούτῳ ὡς σαφὲς προ'σιεμένοις τὸ τί ποτέ ἐστιν ὁ υἱὸς τοῦ θεοῦ λόγος ὀνομαζόμενος, καὶ
24H μάλιστα ἐπεὶ συνεχῶς χρῶνται τῷ »Ἐξηρεύξατο ἡ καρδία μου λόγον
25R ἀγαθόν«, οἰόμενοι προφορὰν πατρικὴν οἱονεὶ ἐν συλλαβαῖς κειμένην εἶναι τὸν υἱὸν τοῦ θεοῦ, καὶ κατὰ τοῦτο ὑπόστασιν αὐτῷ, εἰ ἀκρι-
βῶς αὐτῶν πυνθανοίμεθα, οὐ διδόασιν οὐδὲ οὐσίαν αὐτοῦ σαφηνίζουσιν, οὐδέπω φαμὲν τοιάνδε ἢ τοιάνδε, ἀλλ' ὅπως ποτὲ οὐσίαν. λόγον γὰρ ἀπαγγελλόμενον υἱὸν εἶναι νοῆσαι καὶ τῷ τυχόντι ἐστὶν 152
ἀμήχανον. καὶ λόγον τοιοῦτον καθ' αὐτὸν ζῶντα καὶ ἤτοι οὐ κεχωρισμένον τοῦ πατρὸς καὶ κατὰ τοῦτο τῷ μὴ ὑφεστάναι οὐδὲ υἱὸν τυγχάνοντα ἢ καὶ κεχωρισμένον καὶ οὐσιωμένον ἀπαγγελλέτωσαν ἡμῖν θεὸν λόγον.

Λεκτέον οὖν ὅτι ὥσπερ καθ' ἕκαστον τῶν προειρημένων ὀνομά- 153
των ἀπὸ τῆς ὀνομασίας ἀναπτυκτέον τὴν ἔννοιαν τοῦ ὀνομαζομένου

1 Jes. 11, 1—3. — **6** Ps. 117, 22f. — **10** Matth. 21, 42. 44 + Luk. 20, 18. — **13** Act. 4, 11. — **16** Vgl. Joh. 1, 1f. — **22** Ps. 44, 2.

1 *Ἰεσσαὶ*] *σαι* a. Ras. | **19** *ἐπ' ἐκείνοις* V, so auch wahrscheinl. M, wo jetzt die Worte v. j. H. nachgefahren sind. Von dem urspr. Text ist nur noch *ἐπ' ἐκει* zu erkennen | **20** *προσιεμένοις*] *προσιεμένους* corr. Hu | **25** *σαφηνίζουσιν*] *σαφηνίζουσαν* corr. Hu | **26** *ἢ τοιάνδε* über d. Linie, doch ist d. linke Schaft von *H* auf d. Linie herabgezogen.

Digitized by Google

καὶ ἐφαρμοστέον μετὰ ἀποδείξεως πῶς ὁ υἱὸς τοῦ θεοῦ τοῦτο τὸ ὄνομα εἶναι λέγεται, οὕτως καὶ ἐπὶ τοῦ λόγον αὐτὸν ὀνομάζεσθαι
154 ποιητέον. τίς γὰρ ἡ ἀποκλήρωσις ἐφ' ἑνὸς μὲν ἑκάστου μὴ ἵστασθαι ἐπὶ τῆς λέξεως, ἀλλὰ φέρε εἰπεῖν ζητεῖν πῶς αὐτὸν ἐκδεκτέον »θύ-
»ραν« καὶ τίνα τρόπον »ἄμπελον« τίνι τε αἰτίᾳ »ὁδόν«, ἐπὶ δὲ μόνου
155 τοῦ »λόγον« αὐτὸν ἀναγεγράφθαι τὸ παραπλήσιον οὐ ποιητέον; ἵνα τοίνυν μᾶλλον δυσωπητικώτερον παραδεξώμεθα τὰ λεχθησόμενα εἰς τὰ περὶ τοῦ πῶς λόγος ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ, ἀρκτέον ἀπὸ τῶν ἐξ
156 ἀρχῆς ἡμῖν προτεθέντων ὀνομάτων αὐτοῦ. καὶ ὅτι μὲν δόξει τισὶ σφόδρα παρεκβατικὸν εἶναι τὸ τοιοῦτον οὐκ ἀγνοοῦμεν· πλὴν ἐπιστή-
σαντι καὶ πρὸς τὸ προκείμενον χρήσιμον ἔσται τὸ βασανίσαι τὰς ἐννοίας καθ' ὧν τὰ ὀνόματα κεῖται, καὶ πρὸ ὁδοῦ τῶν ἐπιφερομένων
157 ὑπάρξει ἡ κατανόησις τῶν πραγμάτων. ἅπαξ δὲ εἰς τὴν περὶ τοῦ σωτῆρος θεολογίαν ἐμπεσόντες, ἀναγκαίως ὅση δύναμις τὰ περὶ αὐτοῦ μετὰ ἐρεύνης εὑρίσκοντες πληρέστερον αὐτὸν οὐ μόνον ἢ λόγος ἐστὶ
νοήσομεν ἀλλὰ καὶ τὰ λοιπά.

158 XXV. (24) Ἔλεγεν οὖν ἑαυτὸν εἶναι »φῶς τοῦ κόσμου«· καὶ τὰ παρακείμενα ταύτῃ τῇ ὀνομασίᾳ συνεξεταστέον, δόξαντα ἄν τισιν
159 οὐχὶ παρακείμενα μόνον ἀλλὰ καὶ τὰ αὐτὰ τυγχάνειν. ἔστι δὲ »τὸ »φῶς τῶν ἀνθρώπων« καὶ »τὸ φῶς τὸ ἀληθινὸν« καὶ »φῶς »ἐθνῶν«· φῶς μὲν ἀνθρώπων ἐν τῇ τοῦ προκειμένου εὐαγγελίου ἀρχῇ· »Ὃ γέγονε, γάρ φησιν, ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς »τῶν ἀνθρώπων· καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία »αὐτὸ οὐ κατέλαβε«· φῶς δὲ ἀληθινὸν ἐν τοῖς ἑξῆς τῆς αὐτῆς γρα- 27B
φῆς ἐπιγέγραπται· »Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα 25H
»ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον«. »φῶς δὲ ἐθνῶν« ἐν τῷ Ἡσαΐᾳ, ὡς προείπομεν παρατιθέμενοι τὸ »Ἰδοὺ τέθεικά σε εἰς φῶς »ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς«.

160 Φῶς δὴ κόσμου αἰσθητὸν ὁ ἥλιός ἐστιν, καὶ μετὰ τοῦτον οὐκ ἀπαδόντως ἡ σελήνη καὶ οἱ ἀστέρες τῷ αὐτῷ ὀνόματι προσαγορευ-
161 θήσονται. ἀλλὰ φῶς μὲν αἰσθητὸν τυγχάνοντες οἱ γεγονέναι παρὰ 122v
Μωσεῖ λεγόμενοι τῇ τετάρτῃ ἡμέρᾳ, καθὸ φωτίζουσι τὰ ἐπὶ γῆς, οὐκ εἰσὶ φῶς ἀληθινόν· ὁ δὲ σωτὴρ ἐλλάμπων τοῖς λογικοῖς καὶ ἡγεμονι-

4 Vgl. Joh. 10, 9. — **5** Joh. 15, 1. 5. — Vgl. Joh. 14, 6. — **17** Vgl. Joh. 8, 12; 9, 5. — **19** Joh. 1, 4. — **20** Joh. 1, 9. — Jes. 49, 6. — **22** Joh. 1, 4f. — **25** Joh. 1, 9. — **26** Vgl. S. 27, 7ff. — **27** Jes. 49, 6. — **32** Vgl. Gen. 1, 14.

5 τρόπον] *ν* ausradiert | τίνι .. αἰτίᾳ] viell. ist mit den Ausgg. τίνα .. αἰτίαν zu l. | **6** λόγον] *ν* aus *υ* corr. | **11** πρὸς τὸ] ς τὸ a. Ras. | **14** ὅση] ὡς ἡ M, corr. Del | **15** εὑρίσκοντες] εὑρ a. Ras. | **17** τὰ über d. Linie | **29** ἐστὶν M* | **30** ἀπαδόντως] ως a. Ras. | ἡ zerstört.

Digitized by Google

κοῖς, ἵνα αὐτῶν ὁ νοῦς τὰ ἴδια ὁρατὰ βλέπῃ, τοῦ νοητοῦ κόσμου ἐστὶ φῶς· λέγω δὲ τῶν λογικῶν ψυχῶν τῶν ἐν τῷ αἰσθητικῷ κόσμῳ, καὶ εἴ τι παρὰ ταῦτα συμπληροῖ τὸν κόσμον, ἀφ' οὗ ὁ σωτὴρ εἶναι ἡμᾶς διδάσκει, τάχα μέρος αὐτοῦ τὸ κυριώτατον καὶ διαφέρον τυγχάνων καί, ὡς ἔστιν εἰπεῖν, ἥλιος ἡμέρας μεγάλης κυρίου ποιητής. διὸ ἣν ἡμέραν φησὶ τοῖς τοῦ φωτὸς αὐτοῦ μεταλαμβάνουσιν· »Ἐργά- 162
»ζεσθε ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ ὅτε οὐκέτι οὐδεὶς δύναται ἐργά»ζεσθαι. ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου«. ἔτι δὲ καὶ τοῖς μαθηταῖς φησιν· »Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου« καὶ »Λαμ- 163
»ψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων«. τὸ δ' ἀνάλογον σελήνῃ καὶ ἄστροις ὑπολαμβάνομεν εἶναι περὶ τὴν νύμφην ἐκκλησίαν καὶ τοὺς μαθητάς, ἔχοντας οἰκεῖον φῶς ἢ ἀπὸ τοῦ ἀληθινοῦ ἡλίου ἐπίκτητον, ἵνα φωτίσωσι μὴ δεδυνημένους πηγὴν ἐν αὐτοῖς κατασκευάσαι φωτός· οἷον Παῦλον μὲν καὶ Πέτρον »φῶς« ἐροῦμεν »τοῦ κόσμου«, τοὺς δὲ τυχόντας τῶν παρ' αὐτοῖς μαθητευομένων, φωτιζομένους μέν, οὐ μὴν φωτίζειν ἑτέρους δυναμένους, τὸν κόσμον, οὗ κόσμου φῶς οἱ ἀπόστολοι ἦσαν. ὁ δὲ σωτήρ, »φῶς« ὢν »τοῦ 164
»κόσμου«, φωτίζει οὐ σώματα ἀλλὰ ἀσωμάτῳ δυνάμει τὸν ἀσώματον νοῦν, ἵνα ὡς ὑπὸ ἡλίου ἕκαστος ἡμῶν φωτιζόμενος καὶ τὰ ἄλλα δυνηθῇ βλέπειν νοητά. ὥσπερ δὲ ἡλίου φωτίζοντος ἀμαυροῦται τὸ 165
δύνασθαι φωτίζειν σελήνην καὶ ἀστέρας, οὕτως οἱ ἐλλαμπόμενοι ὑπὸ Χριστοῦ καὶ τὰς αὐγὰς αὐτοῦ κεχωρηκότες οὐδέν τινων διακονουμένων ἀποστόλων καὶ προφητῶν δέονται — τολμητέον γὰρ λέγειν τὴν ἀλήθειαν — οὐδὲ ἀγγέλων, προσθήσω δὲ ὅτι οὐδὲ τῶν κρειττόνων
R δυνάμεων, αὐτῷ τῷ πρωτογεννήτῳ μαθητευόμενοι φωτί. τοῖς δὲ 166
μὴ χωροῦσι τὰς ἡλιακὰς Χριστοῦ ἀκτῖνας οἱ ἅγιοι διακονοῦντες παρέχουσι φωτισμὸν πολλῷ τοῦ προειρημένου ἐλάττονα, μόγις καὶ τοῦ-
H τον χωρεῖν δυναμένοις καὶ ὑπ' αὐτοῦ πληρουμένοις.

XXVI. Ἔστι δὲ ὁ χριστός, φῶς τυγχάνων κόσμου, φῶς ἀληθι- 167
νὸν πρὸς ἀντιδιαστολὴν αἰσθητοῦ, οὐδενὸς αἰσθητοῦ ὄντος ἀληθινοῦ. ἀλλ' οὐχὶ ἐπεὶ οὐκ ἀληθινὸν τὸ αἰσθητόν, ψεῦδος τὸ αἰσθητόν· δύναται γὰρ ἀναλογίαν ἔχειν τὸ αἰσθητὸν πρὸς τὸ νοητόν, οὐ μὴν τὸ ψεῦδος ὑγιῶς παντὸς κατηγορεῖσθαι τοῦ οὐκ ἀληθινοῦ. ζητῶ δὲ εἰ 168
ταὐτόν ἐστι τὸ »φῶς τοῦ κόσμου« τῷ »φωτὶ τῶν ἀνθρώπων«, καὶ ἡγοῦμαι πλείονα δύναμιν παρίστασθαι τοῦ φωτὸς ὅτε »φῶς τοῦ »κόσμου« προσαγορεύεται ἢπερ »φῶς τῶν ἀνθρώπων«· ὁ γὰρ »κό-

5 Vgl. Apok. 16, 14. 6, 17. Joel 2, 11. Zeph. 1, 14. — **6** Joh. 9, 4 f. — **9** Matth. 5, 14. — Matth. 5, 16. — **11** Vgl. Joh. 3, 29. — **29** Vgl. Joh. 8, 12. — 1, 9. — **36** Vgl. Joh. 1, 4.

8 ἔτι] ἐπεί, corr. We | **13** *φωτίσωσι* aus *φωτίζωσι*? | **29** ὁ aus τ mit schwacher Ras. | **33** *παντὸς* V], *παντως*, Ras. über *α*.

Digitized by Google

169 »ὁμοῦ« κατὰ μίαν ἐκδοχὴν οὐ μόνον »ἄνθρωποι«. καὶ παραστήσει τὸ πλεῖον ἢ ἕτερον εἶναι τὸν κόσμον παρὰ τοὺς ἀνθρώπους ὁ Παῦλος ἐν τῇ | πρὸς Κορινθίους προτέρᾳ λέγων· »Θέατρον ἐγενήθημεν 12
170 »τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις«. ἐπίστησον δὲ εἰ κατὰ μίαν ἐκδοχὴν κόσμος ἐστὶν ἡ ἐλευθερουμένη κτίσις »ἀπὸ τῆς δουλείας τῆς »φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ«, ἧς »ἡ ἀποκαραδοκία« »τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται«.
171 »Ἐπίστησον« δὲ προσεθήκαμεν διὰ τὸ παρακεῖσθαι τὸ δυνάμενον τῷ »Ἐγὼ φῶς εἰμι τοῦ κόσμου« συνεξετάζεσθαι ἐπὶ τῶν μαθητῶν ὑπὸ
172 Ἰησοῦ λεγόμενον· »Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου«. εἰσὶ γὰρ οἱ ὑπολαμβάνοντες μείζονας εἶναι τοὺς ἀνθρώπους τοὺς τῷ Ἰησοῦ γνησίως μεμαθητευμένους τῶν ἄλλων κτισμάτων, οἱ μὲν φύσει τοιούτους γεγενημένους, οἱ δὲ καὶ ἐν λόγῳ τῷ κατὰ τὸν χαλεπώτερον ἀγῶνα.
173 πλείους γὰρ οἱ πόνοι καὶ ἐπισφαλὴς ἡ ζωὴ τῶν ἐν σαρκὶ καὶ αἵματι παρὰ τοὺς ἐν αἰθερίῳ σώματι, οὐκ ἂν τῶν ἐν οὐρανῷ φωστήρων ἐν τῷ ἀναλαβεῖν τὰ γήϊνα σώματα ἀκινδύνως καὶ πάντως ἀναμαρτήτως διανυσάντων τὴν ἐνταῦθα ζωήν· οἱ δὲ τῷ λόγῳ τούτῳ παριστάμενοι ⟨ταῖς⟩ τὰ μέγιστα περὶ ἀνθρώπων ἀποφαινομέναις χρήσονται λέξεσι τῶν γραφῶν τὸ ἀνυπέρθετον τῆς ἐπαγγελίας ὅτι τὸν ἄνθρωπον φθάνει φασκούσαις, οὐ μὴν ταὐτὸν τοῦτο καὶ περὶ τῆς κτίσεως
174 ἤ, ὡς ἐδεξάμεθα, κόσμου ἀπαγγελλούσαις. τὸ γὰρ »Ὡς ἐγὼ καὶ σὺ »ἕν ἐσμεν, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι« καὶ »Ὅπου εἰμὶ ἐγώ, ἐκεῖ »καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται« σαφῶς περὶ ἀνθρώπων ἀναγέγραπται· περὶ δὲ τῆς κτίσεως, ὅτι ἐλευθεροῦται »ἀπὸ τῆς δουλείας τῆς φθορᾶς »εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ«· καὶ προσθήσουσιν ὅτι οὐχί, εἰ ἐλευθεροῦται, ἤδη καὶ κοινωνεῖ »τῆς δόξης τῶν
175 »τέκνων τοῦ θεοῦ«. οὐκ ἀποσιωπήσουσι δὲ οὗτοι καὶ τὸ τὸν πρωτότοκον πάσης κτίσεως διὰ τὴν πρὸς τὸν ἄνθρωπον ὑπὲρ πάντα τιμὴν ἄνθρωπον μὲν γεγονέναι, οὐ μὴν ζῷόν τι τῶν ἐν οὐρανῷ· ἀλλὰ καὶ δεύτερον καὶ διάκονον καὶ δοῦλον τῆς γνώσεως Ἰησοῦ τὸν ἐν τῇ ἀνατολῇ φανέντα ἀστέρα δεδημιουργῆσθαι, ἤτοι ὅμοιον ὄντα τοῖς λοιποῖς ἄστροις ἢ τάχα καὶ κρείττονα, ἅτε τοῦ πάντων διαφέροντος γενόμενον σημεῖον. καὶ εἰ τὰ καυχήματα τῶν ἁγίων ἐστὶν
176

3 I Kor. 4, 9. — 5 Vgl. Röm. 8, 21. 19. — 9 Joh. 8, 12. — 10 Mt 5, 14. — 11 Vgl. Iren. I, 5, 6. 6, 1 f. 12, 4. Clemens Al., exc. ex Theod. 2. — 21 Vgl. S. 31, 33 ff. Vgl. Joh. 17, 21 (s. u. XXVIII, 21 [16]). — 22 Joh. 12, 26. — 24 Vgl. Röm. 8, 21. — 26 Vgl. Röm. 8, 21. — 27 Vgl. Kol. 1, 15. — 30 Vgl. Matth. 2, 2. — 33 Vgl. Röm. 5, 2.

3 ἐν τῇ V, ἐ u. Spuren von ν, τῇ völlig zerstört M, < Ausgg. | 7 τὸν υἱὸν, aber ω könnte auch ο gelesen werden; τὸν υἱὸν V, corr. Hu | 8 τῷ] τὸ corr. Br | 9 nach συνεξετάζεσθαι + τὸ Br | 18 ⟨ταῖς⟩ + Wi | 28 πρὸς τὸν] ς το a. Ras.

Digitized by Google

ἐν θλίψεσιν, εἰδότων »Ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ »ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει«, οὔτε ὑπομονὴν οὔτε δοκιμὴν οὔτε ἐλπίδα ἕξει ἡ μὴ τεθλιμμένη κτίσις τὴν ἴσην ἀλλ᾽ ἑτέραν, ἐπεὶ »Τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ »ἑκοῦσα ἀλλὰ διὰ τὸν ὑποτάξαντα, ἐπ᾽ ἐλπίδι«. ὁ δὲ μὴ τολμῶν τὰ 177
τηλικαῦτα τῷ ἀνθρώπῳ καταχαρίσασθαι, ὁμόσε χωρήσας τῷ προβλή-
123v ματι φήσει τῇ ματαιότητι τὴν κτίσιν ὑποτασσομένην | θλίβεσθαι, μᾶλλον στενάζουσαν ἢ οἱ ὄντες ἐν τῷ σκήνει στενάζουσιν, ἅτε καὶ πλεῖστον ὅσον χρόνον καὶ πολλαπλασίονα τοῦ ἀνθρωπίνου ἀγῶνος τῇ ματαιότητι δουλεύουσαν. διὰ τί γὰρ »οὐχ ἑκοῦσα« τοῦτο ποιεῖ, 178
ἢ ὅτι παρὰ φύσιν ἐστὶν αὐτῇ τῇ ματαιότητι ὑποτετάχθαι καὶ μὴ τὴν προηγουμένην ἔχειν τῆς ζωῆς κατάστασιν, ἣν ἀπολήψεται ἐλευθερουμένη ἐν τῇ τοῦ κόσμου φθορᾷ καὶ τῆς τῶν σωμάτων ματαιότητος ἀπολυομένη; ἀλλ᾽ ἐπεὶ πλείονα καὶ οὐ κατὰ τὸ προκείμενον πρόβλημα 179
δοκοῦμεν εἰρηκέναι, ἐπανελευσόμεθα ἐπὶ τὸ ἐξ ἀρχῆς, ὑπομιμνήσκοντες διὰ τί »φῶς τοῦ κόσμου« ὁ σωτὴρ λέγεται καὶ »φῶς ἀληθινὸν« καὶ »φῶς τῶν ἀνθρώπων«. ἀποδέδοται μὲν γὰρ ὅτι διὰ τὸ φῶς τοῦ κόσμου τὸ αἰσθητὸν λέγεται »φῶς ἀληθινόν«, καὶ ὅτι ἤτοι ταὐτόν ἐστι τὸ φῶς τοῦ κόσμου τῷ φωτὶ τῶν ἀνθρώπων ἢ ἐπιδέχεται ἐξέ-
τασιν ὡς οὐ ταὐτόν. ἀναγκαίως δὲ διὰ τοὺς μηδὲν ἐξειληφότας ἐκ 180
τοῦ λόγον εἶναι τὸν σωτῆρα ταῦτα ἠρεύνηται, ἵνα πειθώμεθα μὴ
30 R κατὰ ἀποκλήρωσιν ἵστασθαι μὲν ἐπὶ τῆς »λόγος« ἐννοίας, †καὶ προσήκοι τῷ χωρὶς μεταλήψεως τῆς δυναμένης μεταλαμβάνεσθαι, ἀνάγειν δὲ καὶ ἀλληγορεῖν τὴν φῶς τοῦ κόσμου φωνὴν καὶ τὰ λοιπὰ τῶν πολλῶν ἃ παρεθέμεθα.

XXVII. (25) Ὥσπερ δὲ παρὰ τὸ φωτίζειν καὶ καταλάμπειν τὰ 181
ἡγεμονικὰ τῶν ἀνθρώπων ἢ ἁπαξαπλῶς τῶν λογικῶν, »φῶς« ἐστιν »ἀνθρώπων« καὶ »φῶς ἀληθινὸν« καὶ »φῶς τοῦ κόσμου«, οὕτως ἐκ τοῦ [διὰ τοῦ] ἐνεργεῖσθαι τὴν ἀπόθεσιν πάσης νεκρότητος καὶ ἐμφύ-
30 εσθαι τὴν κυρίως καλουμένην ζωήν, ἐκ νεκρῶν ἀνισταμένων τῶν αὐτὸν γνησίως κεχωρηκότων, καλεῖται »ἡ ἀνάστασις«. τοῦτο δὲ οὐ μόνον 182
ἐπὶ τοῦ παρόντος ἐνεργεῖ τοῖς δυναμένοις λέγειν· »Συνετάφημεν τῷ

1 Röm. 5, 3ff. — **4** Röm. 8, 20. — **8** Vgl. II Kor. 5, 4. — **10** Vgl. Röm. 8, 20. — **16** Vgl. Joh. 8, 12; 9, 5. — Vgl. Joh. 1, 9. **4**. — **27** Vgl. Joh. 1, 4. — **28** Vgl. Joh. 1, 9; 8, 12; 9, 5. — **31** Vgl. Joh. 11, 25. — **32** Röm. 6, 4.

6 *καταχαρίσασθαι* (*ασ* compendiarisch)] *κατακεχαρίσθαι* V | *ὁμόσε*] in M nur noch *οσε* (ohne Accent) zu erkennen; *ἄλλοσε* las V, *ὁμόσε* Br | *προβλήματι* (*β* wohl sicher) M, *θελήματι* V | **12** *ἀπολήμψεται* M* | **22** *μὲν*] *μόνον* Wi | *καὶ προσήκοι τῷ* M, ist sinnlos; *καὶ προσηγορίας* Lommatzsch, Br; *ἢ προσήκειν ⟨αὐτῷ* Pr | **26** *παρὰ* über d. Linie (über *τὸ*) | **29** [*διὰ τοῦ*] str. Br.

Digitized by Google

»χριστῷ διὰ τοῦ βαπτίσματος« καὶ συνανέστημεν αὐτῷ· ἀλλὰ πολλῷ μᾶλλον ὅτε ἄκρως πᾶσάν τις ἀποθέμενος νεκρότητα καὶ τὴν αὐτοῦ τοῦ υἱοῦ ⟨ἐν⟩ καινότητι ζωῆς περιπατεῖ· »τὴν ⟨οὖν⟩ νέκρωσιν τοῦ »Ἰησοῦ ἐν τῷ σώματι πάντοτε ἐνταῦθα περιφέρομεν« (ὅτε ἀξιολόγως ὠφελήμεθα) »ἵνα ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τοῖς σώμασιν ἡμῶν φανερωθῇ«. 5

183 (26) ἀλλὰ καὶ ἡ ἐν σοφίᾳ πορεία καὶ πρακτικὴ τῶν σωζομένων ἐν αὐτῷ γινομένη κατὰ τὰς περὶ ἀληθείας ἐν λόγῳ θείῳ διεξόδους καὶ πράξεις τὰς κατὰ τὴν ἀληθῆ δικαιοσύνην, παρίστησιν ἡμῖν νοεῖν πῶς αὐτός ἐστιν ἡ ὁδός, ἐφ' ἣν ὁδὸν οὐδὲν αἴρειν δεῖ, οὔτε πήραν οὔτε ἱμάτιον, ἀλλ' οὐδὲ ῥάβδον ἔχοντα ὁδεύειν χρή, οὐδὲ ὑποδήματα ὑπο- 10

184 δεδέσθαι κατὰ τοὺς πόδας. αὐτάρκης γὰρ ἀντὶ παντὸς ἐφοδίου αὐτὴ ἡ ὁδός, καὶ ἀνενδεὴς τυγχάνει πᾶς ὁ ταύτης ἐπιβαίνων, κεκοσμημέ- 124r
νος ἐνδύματι ᾧ πρέπει κεκοσμῆσθαι τὸν ἐπὶ τὴν κλῆσιν τοῦ γάμου ἀπιόντα, οὐδενός τε χαλεποῦ δυναμένου ἀπαντῆσαι κατὰ ταύτην τὴν ὁδόν. ἀμήχανον γὰρ ὁδοὺς ὄφεως ἐπὶ πέτρας εὑρεῖν, κατὰ τὸν Σα- 15

185 λομῶντα, φημὶ δ' ἐγώ, ὅτι καὶ οὗ δήποτε θηρίου. διὸ οὐδὲ χρεία ῥάβδου ἐν ὁδῷ οὐδὲ ἴχνη τῶν ἐναντίων ἐχούσῃ καὶ ἀνεπιδέκτῳ διὰ τὸ στερρόν, δι' ὅπερ καὶ πέτρα λέγεται, τῶν χειρόνων τυγχανούσῃ.

186 (27) ἀλήθεια δὲ ὁ μονογενής ἐστι πάντα ἐμπεριειληφὼς τὸν περὶ τῶν ὅλων κατὰ τὸ βούλημα τοῦ πατρὸς μετὰ πάσης τρανότητος λό- 20
γον καὶ ἑκάστῳ κατὰ τὴν ἀξίαν αὐτοῦ, ᾗ ἀλήθειά ἐστι, μεταδιδούς.

187 ἐὰν δέ τις ζητῇ, εἰ πᾶν ὅ τί ποτε ἐγνωσμένον ὑπὸ τοῦ πατρὸς κατὰ τὸ βάθος τοῦ πλούτου καὶ τῆς σοφίας καὶ τῆς γνώσεως αὐτοῦ ἐπί- σταται ὁ σωτὴρ ἡμῶν, καὶ φαντασίᾳ τοῦ δοξάζειν τὸν πατέρα ἀπο- 31R
φαίνηταί τινα γινωσκόμενα ὑπὸ τοῦ πατρὸς ἀγνοεῖσθαι ὑπὸ τοῦ υἱοῦ, 25
διαρκοῦντος ἐξισωθῆναι ταῖς καταλήψεσι τοῦ ἀγεννήτου θεοῦ, ἐπι- στατέον αὐτὸν ἐκ τοῦ ἀλήθειαν εἶναι τὸν σωτῆρα καὶ προσακτέον ὅτι, εἰ ὁλόκληρός ἐστιν ἡ ἀλήθεια, οὐδὲν ἀληθὲς ἀγνοεῖ, ἵνα μὴ σκάζῃ λείπουσα ἡ ἀλήθεια οἷς οὐ γινώσκει, κατ' ἐκείνους τυγχάνουσιν ἐν μόνῳ τῷ πατρί, ᾗ δεικνύτω τις ὅτι ἐστὶν ἃ γινωσκόμενα τῆς ἀλη- 30

188 θείας προσηγορίας οὐ τυγχάνοντα ἀλλὰ ὑπὲρ αὐτὴν ὄντα. (28) σαφὲς δὲ ὅτι κυρίως τῆς εἰλικρινοῦς καὶ ἀμιγοῦς πρός τι ἕτερον ζωῆς ἡ

3 Vgl. Röm. 6, 4. — II Kor. 4, 10. — 9 Vgl. Joh. 14, 6. — Vgl. Luk. 9, 3; Mark. 6, 8f. Matth. 10, 10. — 12 Vgl. Matth. 22, 11f. — 15 Vgl. Prov. 24, 54. — 19 Vgl. Joh. 14, 6. — 23 Vgl. Röm. 11, 33. — 28 Vgl. Joh. 14, 6.

2 *καὶ τὴν*] *ἐν τῇ* Hu; *κατὰ τὴν .... καινότητα* Br (gegen Röm. 6, 4!) Änderung unnötig; erg. *νεκρότητα* | 3 ⟨*ἐν*⟩ + Wi | ⟨*οὖν*⟩ Pr] *γὰρ* + Br, < MV Hu | 5 *ἵνα ἡ*] *α* u. *ἡ* a. Ras. M | 6 *πρακτικὴ*] *διδακτικὴ* We | 11 *ἀντὶ*] compend. geschrieben (ⲁ̅ⲧ̅ⲓ̅) M, *ἐστὶ* V Edd. | 14 *τε*] *γε* We, + *ἔτι* Wi | 25 *γινωϋκὸσκόμενα* (Br berichtet falsch) | *ἀγνοεῖσθαι*] *γνο* a. Ras. | 30 *ἃ*] ⟨*τιν*⟩*ὰ* Del, vielleicht mit Recht; vgl. o. Z. 25 | 32 *πρός τι*] *τ* a. Ras. M.

Digitized by Google

ἀρχὴ ἐν τῷ πρωτοτόκῳ πάσης κτίσεως τυγχάνει· ἀφ' ἧς οἱ μέτοχοι
29H τοῦ χριστοῦ λαμβάνοντες τὴν ἀληθῶς ζῶσι ζωὴν τῶν παρ' αὐτὸν
νομιζομένων ζῆν ὥσπερ οὐκ ἐχόντων τὸ ἀληθινὸν φῶς, οὕτως οὐδὲ
τὸ ἀληθινὸν ζῆν. (29) καὶ ἐπεὶ ἐν τῷ πατρὶ οὐκ ἔστι γενέσθαι ἢ 189
παρὰ τῷ πατρὶ μὴ φθάσαντα πρῶτον κάτωθεν ἀναβαίνοντα ἐπὶ τὴν
τοῦ υἱοῦ θεότητα, δι' ἧς τις χειραγωγηθῆναι δύναται καὶ ἐπὶ τὴν
πατρικὴν μακαριότητα, θύρα ὁ σωτὴρ ἀναγέγραπται. φιλάνθρωπος 190
δὲ ὢν καὶ τὴν ὅπως ποτὲ ἐπὶ τὸ βέλτιον ἀποδεχόμενος τῶν ψυχῶν
ῥοπὴν τῶν ἐπὶ τὸν λόγον μὴ σπευδόντων ἀλλὰ δίκην προβάτων οὐκ
ἐξητασμένον ἀλλὰ ἄλογον τὸ ἥμερον καὶ πρᾷον ἐχόντων ποιμὴν γί-
νεται· »Ἀνθρώπους γὰρ καὶ κτήνη σώζει ὁ κύριος·« καὶ ὁ Ἰσραὴλ
δὲ καὶ ὁ Ἰούδας σπείρεται σπέρμα οὐ μόνον ἀνθρώπων ἀλλὰ καὶ
κτηνῶν.

XXVIII. (30) Πρὸς τούτοις ἐπισκοπητέον ἐξ ἀρχῆς τὴν χριστὸς 191
προσηγορίαν καὶ προσληπτέον τὴν βασιλεύς, ἵνα τῇ παραθέσει ἡ
διαφορὰ νοηθῇ. λέγεται δὴ ἐν τῷ τεσσαρακοστῷ τετάρτῳ ψαλμῷ ὁ
ἠγαπηκὼς δικαιοσύνην καὶ ἀνομίαν μεμισηκὼς παρὰ τοὺς μετόχους
αἰτίαν τοῦ κεχρίσθαι τὸ οὕτω δικαιοσύνῃ προσεληλυθέναι ἐσχηκέναι
124v καὶ τὴν ἀνομίαν μεμισηκέναι, | ὡς οὐχ ἅμα τῷ εἶναι τὴν χρίσιν συν-
υπάρχουσαν καὶ συγκτισθεῖσαν λαβών, ἥτις χρίσις βασιλείας ἐπὶ γεννη-
τοῖς ἐστι σύμβολον, ἔσθ' ὅτε δὲ καὶ ἱερωσύνης· ἆρ' οὖν ἐπιγενητή
ἐστιν ἡ τοῦ υἱοῦ τοῦ θεοῦ βασιλεία καὶ οὐ συμφυὴς αὐτῷ; καὶ πῶς 192
οἷόν τε τὸν πρωτότοκον πάσης κτίσεως, οὐκ ὄντα βασιλέα, ὕστερον
βασιλέα γεγονέναι διὰ τὸ ἠγαπηκέναι δικαιοσύνην, καὶ ταῦτα τυγχά-
32R νοντα δικαιοσύνην; μήποτε δὲ λανθάνει ἡμᾶς ὁ μὲν ἄνθρωπος αὐτοῦ
χριστὸς ὤν, κατὰ τὴν ψυχὴν διὰ τὸ ἀνθρώπινον καὶ τεταραγμένην
καὶ περίλυπον γεγενημένην μάλιστα νοούμενος, ὁ δὲ βασιλεὺς κατὰ
τὸ θεῖον. παραμυθοῦμαι δὲ τοῦτο ἐξ ἑβδομηκοστοῦ πρώτου ψαλμοῦ 193
λέγοντος· »Ὁ θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην
»σου τῷ υἱῷ τοῦ βασιλέως, κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ
»τοὺς πτωχούς σου ἐν κρίσει·« σαφῶς γὰρ εἰς Σαλομῶντα ἐπιγεγραμ-

1 Vgl. Kol. 1, 15. — **3** Vgl. Joh. 1, 9. — **7** Vgl. Joh. 10, 7. — **10** Vgl. Joh. 10, 11. — **11** Ps. 35, 7. — Jerem. 38, 27. — **16** Ps. 44, 8. — **23** Vgl. Kol. 1, 15. — **24** Vgl. Ps. 44, 8. — **26** Vgl. Joh. 12, 27; Matth. 26, 38. — **29** Ps. 71, 1 f.

2 ζῆν] ζωὴν MV, corr. Hu | **7** nach *πατρικὴν* Ras. M | **9** τῶν] τὴν, corr. Del | **15** προσλημπτέον M* | **16** τῷ über d. Linie | **18** δικαιοσύνην, corr. We Wi; Wi bemerkt: „ἐσχηκέναι steht an falschem Platze. Die vielen Infinitive haben sich verwirrt. Es gehört hinter κεχρίσθαι". Eine Änderung ist nicht nötig | τὸ (über d. Linie) | **19** συνυπάρχουσαν] οὖν ὑπάρχουσαν V, ebenso w. e. sch. M; corr. Del | **21** ἐπιγεντή (!) aus ἐπιγεννη M* | **23** οἷόν τε V, οἴονται M | **27** γεγενημένον, corr. V | **31** σαλωμῶντα M* w. e. sch.

Digitized by Google

194 μένος ὁ ψαλμὸς περὶ Χριστοῦ προφητεύεται. καὶ ἄξιον ἰδεῖν τίνι
βασιλεῖ τὸ κρίμα εὔχεται δοθῆναι ὑπὸ θεοῦ ἡ προφητεία καὶ τίνι
195 υἱῷ βασιλέως καὶ ποίου βασιλέως τὴν δικαιοσύνην. ἡγοῦμαι οὖν
»βασιλέα« μὲν λέγεσθαι τὴν προηγουμένην τοῦ πρωτοτόκου πάσης
κτίσεως φύσιν, ἣ δίδοται διὰ τὸ ὑπερέχειν τὸ κρίνειν· τὸν δὲ ἄνθρω-
που, ὃν ἀνείληφεν, ὑπ' ἐκείνης μορφούμενον κατὰ δικαιοσύνην ⟨καὶ⟩
196 ἐκτυπούμενον, »υἱὸν τοῦ βασιλέως«. καὶ προσάγομαι εἰς τὸ τοῦθ' 30 H
οὕτως ἔχειν παραδέξασθαι ἀπὸ τοῦ εἰς ἕνα λόγον συνῆχθαι ἀμφότερα
καὶ τὰ ἐπιφερόμενα οὐκέτι ὡς περὶ δύο τινῶν ἀπαγγέλλεσθαι ἀλλ'
197 ὡς περὶ ἑνός. πεποίηκε γὰρ ὁ σωτὴρ »τὰ ἀμφότερα ἕν«, κατὰ τὴν
ἀπαρχὴν τῶν γινομένων ἀμφοτέρων ἐν ἑαυτῷ πρὸ πάντων ποιήσας·
»ἀμφοτέρων« δὲ λέγω καὶ ἐπὶ τῶν ἀνθρώπων, ἐφ' ὧν ἀνακέκραται
τῷ ἁγίῳ πνεύματι ἡ ἑκάστου ψυχὴ καὶ γέγονεν ἕκαστος τῶν σωζο-
198 μένων πνευματικός. ὥσπερ οὖν εἰσί τινες ποιμαινόμενοι ὑπὸ Χριστοῦ
διὰ τὸ σφῶν αὐτῶν, ὡς προειρήκαμεν, πρᾷον μὲν καὶ εὐσταθὲς ἀλο-
γώτερον δέ, οὕτω καὶ βασιλευόμενοι κατὰ ⟨τὸ⟩ λογικώτερον προσιέναι
199 τῇ θεοσεβείᾳ. καὶ βασιλευομένων διαφοραί, ἤτοι μυστικώτερον καὶ
ἀπορρητότερον καὶ θεοπρεπέστερον βασιλευομένων ἢ ὑποδεέστερον.
200 καὶ εἴποιμ' ἂν τοὺς μὲν τεθεωρηκότας τὰ ἔξω σωμάτων, καλούμενα
παρὰ τῷ Παύλῳ »ἀόρατα« καὶ »μὴ βλεπόμενα«, ἔξω παντὸς αἰσθητοῦ
λόγῳ γεγενημένους, βασιλευομένους ὑπὸ τῆς προηγουμένης φύσεως
τοῦ μονογενοῦς· τοὺς δὲ μέχρι τοῦ περὶ τῶν αἰσθητῶν λόγου ἐφθα-
κότας καὶ διὰ τούτων δοξάζοντας τὸν πεποιηκότα καὶ αὐτοὺς ὑπὸ
λόγου βασιλευομένους ὑπὸ τοῦ χριστοῦ βασιλεύεσθαι. μηδεὶς δὲ προσ-
κοπτέτω διακρινόντων ἡμῶν τὰς ἐν τῷ σωτῆρι ἐπινοίας, οἰόμενος
καὶ τῇ οὐσίᾳ ταὐτὸν ἡμᾶς ποιεῖν.

201 XXIX. (31) Πάνυ δὲ καὶ τοῖς τυχοῦσιν σαφές, πῶς ἐστι διδάσκα- 33 R
λος καὶ σαφηνιστὴς τῶν εἰς εὐσέβειαν συντεινόντων | ὁ κύριος ἡμῶν 125 r
καὶ κύριος δούλων τῶν ἐχόντων »πνεῦμα δουλείας εἰς φόβον«. προ-
κοπτόντων ⟨δὲ⟩ καὶ ἐπὶ τὴν σοφίαν σπευδόντων καὶ ταύτης ἀξιου-
μένων — ἐπεὶ »ὁ δοῦλος οὐκ οἶδε τί θέλει ὁ κύριος αὐτοῦ« — οὐ
202 μένει κύριος, γινόμενος αὐτῶν »φίλος«. καὶ αὐτὸς τοῦτο διδάσκει,
ὅπου μὲν ⟨ὅτε⟩ ἔτι δοῦλοι ὑπῆρχον οἱ ἀκροώμενοι φάσκων· »Ὑμεῖς
»φωνεῖτέ με ›Ὁ διδάσκαλος‹ καὶ ›Ὁ κύριος‹, καὶ καλῶς λέγετε, εἰμὶ
»γάρ«· ὅπου δέ· »Οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε,

4 Vgl. Kol. 1, 15. — **10** Vgl. Ephes. 2, 14. — **15** Vgl. S. 26, 22 ff. — **20** Vgl. Kol. 1, 16; Röm. 1, 20; II Kor. 4, 18. — **29** Röm. 8, 15. — **31** Joh. 15, 15. — **33** Joh. 13, 13. — **35** Vgl. Joh. 15, 15.

6 ⟨καὶ⟩ + V | **7** προάγομαι We | **11** ἀπαρχὴν unverständlich, verderbt aus? | nach ἀμφοτέρων + ⟨ἓν⟩ Del, ἓν ἑαυτὸν Hu | **16** βασιλευόμενοι Edd., βασιλευόμενον MV | ⟨τὸ⟩ + Hu | **30** ⟨δὲ⟩ + Br | **33** ⟨ὅτε⟩ + We.

Digitized by Google

»τί τὸ θέλημα τοῦ κυρίου αὐτοῦ· ἀλλὰ λέγω ὑμᾶς φίλους«, ὅτι διαμεμενήκατε »μετ' ἐμοῦ ἐν πᾶσι τοῖς πειρασμοῖς μου«. οἱ οὖν κατὰ 203
φόβον βιοῦντες, ὃν ἀπαιτεῖ ἀπὸ τῶν οὐ καλῶν δούλων ὁ θεὸς (ὡς ἀνέγνωμεν ἐν τῷ Μαλαχίᾳ· »Εἰ κύριός εἰμι ἐγώ, ποῦ ἐστιν ὁ φόβος »μου;«), δοῦλοι τυγχάνουσι κυρίου τοῦ σωτῆρος αὐτῶν καλουμένου.
(32) ἀλλὰ διὰ τούτων πάντων οὐ σαφῶς ἡ εὐγένεια παρίσταται τοῦ 204
31H υἱοῦ, ὅτε δὲ τὸ »Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε« λέγεται πρὸς αὐτὸν ὑπὸ τοῦ θεοῦ, ᾧ ἀεί ἐστι τὸ »σήμερον«, — οὐκ ἔνι γὰρ ἑσπέρα θεοῦ, ἐγὼ δὲ ἡγοῦμαι, ὅτι οὐδὲ πρωΐα, ἀλλὰ ὁ συμπαρεκτείνων τῇ ἀγενήτῳ καὶ ἀϊδίῳ αὐτοῦ ζωῇ, ἵν' οὕτως εἴπω, χρόνος ἡμέρα ἐστὶν αὐτῷ σήμερον, ἐν ᾗ γεγέννηται ὁ υἱός —, ἀρχῆς γενέσεως αὐτοῦ οὕτως οὐχ εὑρισκομένης ὡς οὐδὲ τῆς ἡμέρας.

XXX. (33) Προσθετέον τοῖς εἰρημένοις πῶς ἐστιν ὁ υἱὸς »ἀλη- 205
»θινὴ ἄμπελος«. τοῦτο δὲ δῆλον ἔσται τοῖς συνιεῖσιν ἀξίως χάριτος προφητικῆς τὸ »Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου«. εἰ γὰρ ἡ καρδία 206
τὸ διανοητικόν ἐστι, τὸ δὲ εὐφραῖνον αὐτὸ ὁ ποτιμώτατός ἐστι λόγος, ἐξιστῶν ἀπὸ τῶν ἀνθρωπικῶν καὶ ἐνθουσιᾶν ποιῶν καὶ μεθύειν μέθην οὐκ ἀλόγιστον ἀλλὰ θείαν, ἣν οἶμαι καὶ Ἰωσὴφ τοὺς ἀδελφοὺς μεθύειν ποιεῖ, εὐλόγως ὁ τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου οἶνον φέρων »ἄμπελός« ἐστιν »ἀληθινή«· διὰ τοῦτο »ἀληθινή«, ἐπεὶ βότρυς ἔχει τὴν ἀλήθειαν καὶ κλήματα τοὺς μαθητάς, μιμητὰς αὐτοῦ καὶ αὐτοὺς καρποφοροῦντας τὴν ἀλήθειαν.

Ἔργον δὲ διαφορὰν παραστῆσαι ἄρτου καὶ ἀμπέλου, ἐπεὶ οὐ μόνον 207
»ἄμπελος« ἀλλὰ καὶ »ἄρτος ζωῆς« εἶναί φησιν. ὅρα δὲ μήποτε, ὥσπερ 208
ὁ ἄρτος τρέφει καὶ ἰσχυροποιεῖ καὶ στηρίζειν λέγεται καρδίαν ἀνθρώ-
34R που, ὁ δὲ οἶνος ἥδει καὶ εὐφραίνει καὶ διαχεῖ, οὕτως τὰ μὲν ἠθικὰ μαθήματα, ζωὴν περιποιοῦντα τῷ μανθάνοντι καὶ πράττοντι, ἄρτος ἐστὶ τῆς ζωῆς (οὐκ ἂν ταῦτα γεννήματα λέγοιτο τῆς ἀμπέλου), τὰ δὲ εὐφραίνοντα καὶ ἐνθουσιᾶν ποιοῦντα ἀπόρρητα καὶ μυστικὰ θεωρήματα, τοῖς κατατρυφῶσι τοῦ κυρίου ἐγγινόμενα καὶ οὐ μόνον τρέφεσθαι ἀλλὰ καὶ τρυφᾶν ποθοῦσιν, ἔστιν ἀπὸ τῆς »ἀληθινῆς ἀμπέλου« ἐρχόμενα, »οἶνος« καλούμενα.

1 Vgl. Luk. 22, 28. — **4** Mal. 1, 6. — **7** Ps. 2, 7 (Hebr. 1, 5). Luk. 3, 22 (nach D, Justin, Clemens, Methodius etc.) Usener, Relig. Unters. I, 40ff. — **13** Vgl. in Genes. hom. XVII. — Vgl. Joh. 15, 1. — **15** Ps. 103, 15. — **18** Vgl. Gen. 43, 34. — **20** Vgl. Joh. 15, 5. — **24** Vgl. Joh. 6, 48.

1 *λέγω* aus *ἐγὼ* corr. | **2** *οἱ*] *ἰ* a. Ras. M | **10** *ἵν'*] später v. I. H. zugesetzt | **11** *γεγέννηται*] *εννη* a. Ras. | **12** *ὡς οὐδὲ*] *ω* halb, *σ ου* a. Ras. | *τῆς*] *η* a. Ras. | **28** *οὐκ ἂν—ἀμπέλου* sind vielleicht Glossem eines Lesers | *γενήματα*, corr. Hu.

Digitized by Google

209 XXXI. (34) *Πρὸς τούτοις δὲ * * τῷ πῶς »πρῶτος καὶ ἔσχατος« ἐν τῇ Ἀποκαλύψει ἀναγέγραπται, ἕτερος κατὰ τὸ πρῶτος εἶναι τυγ-*
210 *χάνων τοῦ ἄλφα καὶ τῆς ἀρχῆς, καὶ κατὰ τὸ ἔσχατος οὐχ ὁ αὐτὸς τῷ Ω καὶ τῷ τέλει. | ἡγοῦμαι τοίνυν τῶν λογικῶν ζῴων ἐν πολλοῖς* 125v
εἴδεσι χαρακτηριζομένων, εἶναί τι πρῶτον αὐτῶν καὶ δεύτερον καὶ 5
211 *τρίτον καὶ τὰ καθεξῆς ἕως ἐσχάτου. καὶ τὸ μὲν ἀκριβὲς εἰπεῖν τί πρῶτον καὶ ποῖον τὸ δεύτερον καὶ ἐπὶ τίνος ἀληθὲς τὸ τρίτον καὶ οὕτως μέχρι τοῦ τελευταίου φθάσαι οὐ πάνυ τι ἀνθρώπινον, ἀλλὰ ὑπὲρ τὴν ἡμετέραν ἐστὶ φύσιν. στῆναι δὲ καὶ περιλαλῆσαι τὰ εἰς τὸν τόπον ὡς οἷοί τέ ἐσμεν πειρασόμεθα.* 10

212 *Εἰσί τινες θεοὶ ὧν ὁ θεὸς θεός ἐστιν, ὡς αἱ προφητεῖαί φασιν·* 32H
»Ἐξομολογεῖσθε τῷ θεῷ τῶν θεῶν« καὶ »Θεὸς θεῶν ἐλάλησε κύριος, καὶ ἐκάλεσε τὴν γῆν«· θεὸς δὲ κατὰ τὸ εὐαγγέλιον »οὐκ ἔστιν νεκρῶν »ἀλλὰ ζώντων«· ζῶντες ἄρα εἰσὶ καὶ οἱ θεοί, ὧν ὁ θεὸς θεός ἐστι.
213 *καὶ ὁ ἀπόστολος δὲ γράφων ἐν τῇ πρὸς Κορινθίους· »Ὥσπερ εἰσὶ* 15
»θεοὶ πολλοὶ καὶ κύριοι πολλοί« κατὰ τὰ προφητικὰ τὸ τῶν θεῶν
214 *ἐξείληφεν ὄνομα ὡς τυγχανόντων. εἰσὶ δὲ παρὰ τοὺς θεούς, ὧν ὁ θεὸς θεός ἐστιν, ἕτεροί τινες οἳ καλοῦνται »θρόνοι« καὶ ἄλλοι λεγό-*
215 *μενοι »ἀρχαί, κυριότητές τε καὶ ἐξουσίαι« παρὰ τούτους ἄλλοι. διὰ δὲ τὸ »Ὑπὲρ πᾶν ὄνομα ὀνομαζόμενον οὐ μόνον ἐν τούτῳ τῷ αἰῶνι* 20
ἀλλὰ καὶ ἐν τῷ μέλλοντι« καὶ ἄλλα παρὰ ταῦτα οὐ πάνυ συνήθως ἡμῖν ὀνομαζόμενα δεῖ πιστεύειν εἶναι λογικά, ὧν ἕν τι γένος ἐκάλει Σαβαὶ ⟨ὁ⟩ Ἑβραῖος, παρ' ὃ ἐσχηματίσθαι τὸν Σαβαώθ, ἄρχοντα ἐκείνων τυγχάνοντα, οὐχ ἕτερον τοῦ θεοῦ. καὶ ἐπὶ πᾶσι θνητὸν λογικὸν ὁ ἄνθρωπος. 25

216 *Ὁ τοίνυν τῶν ὅλων θεὸς πρώτόν τι τῇ τιμῇ γένος λογικὸν* 35R
ἐποίησεν, ὅπερ οἶμαι τοὺς καλουμένους θεούς, καὶ δεύτερον ἐπὶ τοῦ παρόντος καλείσθωσαν »θρόνοι«, καὶ τρίτον χωρὶς διστάσεως »ἀρχαί«. οὕτω δὲ τῷ λογικῷ καταβατέον ἐπὶ ἔσχατον λογικόν, τάχα οὐκ ἄλλο
217 *τι τοῦ ἀνθρώπου τυγχάνον. ὁ τοίνυν σωτὴρ θειότερον πολλῷ ἢ* 30
Παῦλος γέγονε »τοῖς πᾶσι πάντα«, ἵνα »πάντα« ἢ »κερδήσῃ« ἢ τε-
218 *λειώσῃ, καὶ σαφῶς γέγονεν ἀνθρώποις ἄνθρωπος καὶ ἀγγέλοις ἄγγε-λος. καὶ περὶ μὲν τοῦ ἄνθρωπον αὐτὸν γεγονέναι οὐδεὶς τῶν πεπι-*

1 Apok. 22, 13. — **12** Ps. 135, 2. — Ps. 49, 1. — **13** Matth. 22, 32. — **15** I Kor. 8, 5. — **18** Vgl. Kol. 1, 16. — **20** Ephes. 1, 21. — **21** Vgl. Origenes, de princ. I, 5, 1. — **31** Vgl. I Kor. 9, 22.

1 *δὲ* undeutl., vielleicht *γὰρ*? M, *ἐν* V | *τῷ* unverständlich; vielleicht vorher ein *ἐπιστατέον* ausgefallen; von We gestr. | **14** *ἄρα*] α^1 a. Ras. **M** | **17** *ἐξείληφεν*] *ἐξειλήφαμεν* corr. Br, *ἐξείληφε μὲν* Lommatzsch | *ὄνομα*] *α* a. Ras. M | **23** ⟨*ὁ*⟩ + V | *ἐσχηματίσθαι*] *ἐσχημάτισται* corr. Hu | 28 *διστάσεως*] *διαστάσεως* ÷, σ^1 scheint nachträgl. zugefügt; corr. Del.

Digitized by Google

στευκότων διστάξει· περὶ δὲ τοῦ ἀγγελοῦ πειθώμεθα τηροῦντες τὰς τῶν ἀγγέλων ἐπιφανείας καὶ λόγους, ὅτε τῆς τῶν ἀγγέλων ἐξουσίας φαίνεται ἔν τισι τόποις τῆς γραφῆς ἀγγέλων λεγόντων, ὥσπερ ἐπὶ τοῦ »Ὤφθη ἄγγελος κυρίου ἐν πυρὶ φλογὸς βάτου. καὶ εἶπεν· Ἐγὼ »θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ«. ἀλλὰ καὶ ὁ Ἡσαΐας φησί· »Καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος.«

Πρῶτος οὖν καὶ ἔσχατος ὁ σωτήρ, οὐχ ὅτι οὐ τὰ μεταξύ, 219
ἀλλὰ τῶν ἄκρων, ἵνα δηλωθῇ, ὅτι »τὰ πάντα« γέγονεν αὐτός. ἐπίστησον δὲ πότερον ἄνθρωπός ἐστι τὸ »ἔσχατον« ἢ τὰ καλούμενα καταχθόνια, ὧν εἰσι καὶ οἱ δαίμονες, ἤτοι πάντες ἢ τινες. ζητητέον 220
τὰ εἰς ἃ καὶ αὐτὰ γενόμενος ὁ σωτὴρ διὰ τοῦ προφήτου Δαβὶδ φησι·
126r »Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος«,
33H ὥσπερ πλέον ἔχων παρὰ ἀνθρώπους κατὰ τὴν ἐκ παρθένου γένεσιν καὶ κατὰ τὸν λοιπὸν ἐν παραδόξοις βίον, οὕτως ἐν νεκροῖς κατὰ τὸ μόνος ἐκεῖ εἶναι ἐλεύθερος· οὐκ ἐγκαταλέλειπται ἡ ψυχὴ αὐτοῦ εἰς τὸν ᾅδην. οὕτως μὲν οὖν »πρῶτος καὶ ἔσχατος«.

Εἰ δέ ἐστι γράμματα θεοῦ, ὥσπερ ἔστιν, ἅπερ ἀναγινώσκοντες οἱ 221
ἅγιοι φασιν ἀνεγνωκέναι τὰ ἐν ταῖς πλαξὶ τοῦ οὐρανοῦ, τὰ στοιχεῖα ἐκεῖνα, ἵνα δι' αὐτῶν τὰ οὐράνια ἀναγνωσθῇ, αἱ ἔννοιαι τυγχάνουσιν
36R κατακερματιζόμεναι εἰς ἄλφα καὶ τὰ ἑξῆς μέχρι τοῦ Ω, τοῦ υἱοῦ τοῦ θεοῦ. πάλιν δὲ ἀρχὴ καὶ τέλος ὁ αὐτός, ἀλλ' οὐ κατὰ τὰς ἐπινοίας 222
ὁ αὐτός. ἀρχὴ γάρ, ὡς ἐν ταῖς παροιμίαις μεμαθήκαμεν, καθ' ὃ σοφία τυγχάνει, ἐστί· γέγραπται γοῦν· »Ὁ θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ »εἰς ἔργα αὐτοῦ«· καθ' ὃ δὲ λόγος ἐστίν, οὐκ ἔστιν ἀρχή· »Ἐν ἀρχῇ
25 »γὰρ ἦν ὁ λόγος.« οὐκοῦν αἱ ἐπίνοιαι αὐτοῦ ἔχουσιν ἀρχὴν καὶ δεύ- 223
τερόν τι παρὰ τὴν ἀρχὴν καὶ τρίτον καὶ οὕτως μέχρι τέλους· ὡσεὶ ἔλεγεν ›ἀρχή εἰμι καθ' ὃ σοφία εἰμί‹, δεύτερον δέ, εἰ οὕτω τύχοι, ›καθ' ὃ ἀόρατός εἰμι‹, καὶ τρίτον ›καθ' ὃ ζωή‹, ἐπεὶ »ὃ γέγονεν ἐν αὐτῷ »ζωὴ ἦν«. καὶ εἴ τις ἱκανὸς βασανίζων τὸν νοῦν τῶν γραφῶν ὁρᾶν, 224
30 τάχα εὑρήσει πολλὰ τῆς τάξεως καὶ τὸ τέλος· οὐκ οἶμαι γὰρ ὅτι πάντα. σαφέστερον δ' ἡ ἀρχὴ καὶ ⟨τὸ⟩ τέλος δοκεῖ κατὰ τὴν συνήθειαν ὡς ἐπὶ ἡνωμένου λέγεσθαι, οἷον ἀρχὴ οἰκίας ὁ θεμέλιος καὶ τέλος ἡ στεφάνη. καὶ ἐφαρμοστέον γε διὰ τὸ »ἀκρογωνιαῖον« εἶναι 225

4 Exod. 3, 2. 6. — **6** Jes. 9, 6. — **7** Vgl. Apok. 22, 13. — **8** Vgl. Kol. 3, 11. — **12** Ps. 87, 5f. — **15** Ps. 15, 10; Act. 2, 27. — **16** Vgl. Apok. 22, 13. — **18** Vgl. Prec. Joseph. ap. Euseb., Praep. Ev. 292b. Test. Lev. 5. Aser 7. — **20** Vgl. Apok. 1, 8. — **22** Vgl. S. 22, 5. — **23** Prov. 8, 22. — **24** Joh. 1, 1. — **28** Joh. 1, 4. — **33** Vgl. Ephes. 2, 20; Jes. 28, 16.

1 διστάξει] διστάζει Edd. | **2** viell z. l. ὅτε τις τῶν ἀγγέλων ἐν ἐξουσίᾳ φαίνεται | **13** viell. εἶχεν We | **19** αἱ str. We | **21** viell. πλὴν? | 30 ὅτι] εἰ, corr. We | **31** ⟨τὸ⟩ + We, wie ἡ ἀρχή.

Digitized by Google

»λίθον« τὸν χριστὸν τῷ ἡνωμένῳ παντὶ σώματι τῶν σωζομένων τὸ παράδειγμα τὸ »Πάντα« γὰρ καὶ »ἐν πᾶσι« Χριστὸς ὁ μονογενής, ὡς μὲν ἀρχὴ ἐν ᾧ ἀνείληφεν ἀνθρώπῳ, ὡς δὲ τέλος ἐν τῷ τελευταίῳ τῶν ἁγίων δηλονότι τυγχάνων καὶ ἐν τοῖς μεταξύ, ἢ ὡς μὲν ἀρχὴ ἐν Ἀδάμ, ὡς δὲ τέλος ἐν τῇ ἐπιδημίᾳ, κατὰ τὸ εἰρημένον· »Ὁ ἔσχατος »Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν«. πλὴν τοῦτο τὸ ῥητὸν ἐφαρμόσει καὶ
226 τῇ ἀποδόσει τοῦ »πρῶτος καὶ ἔσχατος«. (35) τηρήσαντες μέντοι τὰ εἰρημένα περὶ »πρώτου καὶ ἐσχάτου« καὶ περὶ »ἀρχῆς καὶ τέλους«, ὅπου μὲν εἰς εἴδη λογικῶν ἀνηνέγκαμεν, ὅπου δὲ εἰς διαφόρους ἐπινοίας τοῦ υἱοῦ τοῦ θεοῦ τὸν λόγον, καὶ ἔχομεν τὴν διαφορὰν »πρώτου« καὶ »ἀρχῆς«, καὶ »ἐσχάτου« καὶ »τέλους«, ἔτι δὲ καὶ τοῦ »Α« καὶ τοῦ
227 »Ω«. οὐκ ἄδηλον οὐδὲ τὸ »ζῶν« καὶ »νεκρός«, καὶ μετὰ τὸ νεκροὺς ζῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἐπεὶ γὰρ οὐκ ὠφελήμεθα ἀπὸ τῆς 34H προηγουμένης ζωῆς αὐτοῦ γενόμενοι ἐν ἁμαρτίᾳ, κατέβη ἐπὶ τὴν νεκρότητα ἡμῶν, ἵνα ἀποθανόντος αὐτοῦ τῇ ἁμαρτίᾳ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, τὴν μετὰ τὴν νέκρότητα 126v ζωὴν αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ⟨ἐν⟩ τάξει χωρῆσαι δυνηθῶμεν· οἱ γὰρ τὴν νέκρωσιν τοῦ Ἰησοῦ πάντοτε ἐν τῷ σώματι περιφέροντες καὶ τὴν ζωὴν τοῦ Ἰησοῦ ἕξουσιν ἐν τοῖς σώμασιν αὐτῶν 37R φανερουμένην. 20

228 XXXII. (36) Καὶ ταῦτα μὲν ἀπὸ τῶν τῆς καινῆς διαθήκης βιβλίων ἐλέγετο ὑπ' αὐτοῦ περὶ ἑαυτοῦ. ἐν δὲ τῷ Ἡσαΐᾳ ἔφασκεν ὑπὸ τοῦ πατρὸς τεθεῖσθαι αὐτοῦ »τὸ στόμα ὡς μάχαιραν ὀξεῖαν« καὶ κεκρύφθαι »ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ«, βέλει ἐκλεκτῷ ὁμοιωμένος »καὶ ἐν τῇ φαρέτρᾳ« τοῦ πατρὸς κεκρυμμένος, »δοῦλος« τοῦ θεοῦ τῶν ὅλων ὑπ' αὐτοῦ καλούμενος καὶ »Ἰσραὴλ« καὶ »φῶς ἐθνῶν«
229 μάχαιρα μὲν οὖν ὀξεῖά ἐστι τὸ στόμα τοῦ υἱοῦ τοῦ θεοῦ, ἐπεὶ »ζῶν τυγχάνει ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ »πᾶσαν μάχαιραν δίστομον καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ »πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ »ἐννοιῶν καρδίας«· ἄλλως τε καὶ ἐλθὼν οὐκ εἰρήνην ἐπὶ τὴν γῆν, τοῦτ' ἔστιν ἐπὶ τὰ σωματικὰ καὶ αἰσθητά, βαλεῖν ἀλλὰ μάχαιραν, καὶ διακόπτων τήν, ἵν' οὕτως εἴπω, ἐπιβλαβῆ φιλίαν ψυχῆς καὶ σώματος, ἵν' ἡ ψυχὴ ἐπιδιδοῦσα αὐτὴν τῷ στρατευομένῳ κατὰ τῆς σαρκὸς

2 Vgl. I Kor. 15, 28. — **5** I Kor. 15, 45. — **11** Vgl. Apok. 22, 13. — **15** Vgl. Röm. 6, 10. — **16** II Kor. 4, 10. — **23** Jes. 49, 2f. — **26** Vgl. Jes. 49, 6. — **28** Hebr. 4, 12. — **31** Vgl. Matth. 10, 34. — **34** Vgl. Gal. 5, 17.

2 τὸ] ⟨τοῦ το We | **9** εἴδη] nach εἴ 1 Buchst. ausr. | **14** κατέβη] nach α 1 Buchst. ausr. | **17** ⟨ἐν⟩ + We; vgl. u. II, 17. | **24** ὁμοιωμένος] νο a. Ras.

Digitized by Google

πνεύματι φιλιωθῇ τῷ θεῷ, μάχαιραν ἢ ὡς μάχαιραν ὀξεῖαν κατὰ τὸν προφητικὸν λόγον ἔσχε τὸ στόμα· ἀλλὰ καὶ βλέπων τοσούτους τετρωμένους τῇ θείᾳ ἀγάπῃ ὁμοίως τῇ ὁμολογούσῃ τοῦτο πεπονθέναι ἐν τῷ Ἄισματι τῶν ᾀσμάτων διὰ τοῦ »Ὅτι τετρωμένη ἀγάπης
5 »ἐγώ« τὸ τρῶσαν βέλος τὰς τῶν τοσούτων εἰς ἀγάπην θεοῦ ψυχὰς οὐκ ἄλλο τι εὑρήσει ἢ τὸν εἰπόντα· »Εθηκέ με ὡς βέλος ἐκλεκτόν.«
(37) ἔτι δὲ πᾶς ὁ συνιεὶς πῶς τοῖς μαθητευομένοις ὁ Ἰησοῦς γεγέ- 230
νηται οὐχ ὡς ὁ ἀνακείμενος ἀλλ' ὡς ὁ διακονῶν, μορφὴν δούλου ὁ
υἱὸς τοῦ θεοῦ ὑπὲρ ἐλευθερίας τῶν δουλευσάντων τῇ ἁμαρτίᾳ λαβών,
10 οὐκ ἀγνοήσει τίνα τρόπον ὁ πατὴρ φησι πρὸς αὐτὸν τὸ »Δοῦλός μου
»εἶ σύ« καὶ μετ' ὀλίγα· »Μέγα σοί ἐστι τοῦτο κληθῆναί σε παῖδά
»μου.« τολμητέον γὰρ εἰπεῖν πλείονα καὶ θειοτέραν καὶ ἀληθῶς 231
κατ' εἰκόνα τοῦ πατρὸς τὴν ἀγαθότητα φαίνεσθαι τοῦ χριστοῦ, ὅτε
»ἑαυτὸν ἐταπείνωσε γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ
15 »σταυροῦ«, ἢ εἰ »ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ«, καὶ μὴ βου-
35 H ληθεὶς ἐπὶ τῇ τοῦ κόσμου σωτηρίᾳ γενέσθαι δοῦλος. διὰ τοῦτο δι- 232
δάξαι ἡμᾶς βουλόμενος μέγα δῶρον εἰληφέναι ἀπὸ τοῦ πατρὸς τὸ
35 R οὕτως δεδουλευκέναι φησί· »Καὶ ὁ θεός μου ἔσται μοι ἰσχύς. καὶ
»εἰπέ μοι ›Μέγα σοί ἐστι τοῦτο κληθῆναί σε παῖδά μου‹.« μὴ γενό-
20 μενος γὰρ δοῦλος οὐκ ἂν ἔστησε »τὰς φυλὰς τοῦ Ἰακὼβ« οὐδὲ »τὴν
»διασπορὰν τοῦ Ἰσραὴλ« ἐπέστρεψεν, ἀλλ' οὐδὲ γεγόνει ἂν εἰς »φῶς
»ἐθνῶν«, τοῦ »εἶναι εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.« καὶ μέτριόν 233
127 r γε τὸ δοῦλον αὐτὸν γενέσθαι, εἰ καὶ | μέγα ὑπὸ τοῦ πατρὸς εἶναι
τοῦτο λέγεται, συγκρίσει ἀρνίου ἀκάκου καὶ ἀμνοῦ. ὡς γὰρ ἀρνίον
25 ἄκακον γεγένηται ἀγόμενον τοῦ θύεσθαι ὁ ἀμνὸς τοῦ θεοῦ, ἵνα ἄρῃ
»τὴν ἁμαρτίαν τοῦ κόσμου«, ὁ πᾶσι τοῦ λόγου χορηγός, ὁμοιωθεὶς
ἀμνῷ »ἐνώπιον τοῦ κείροντος« ἀφώνῳ, ὅπως τῷ θανάτῳ αὐτοῦ
ἡμεῖς πάντες καθαρθῶμεν, ἀναδιδομένῳ τρόπον φαρμάκου ἐπὶ τὰς
ἀντικειμένας ἐνεργείας καὶ τὴν τῶν βουλομένων ἀναδέξασθαι τὴν
30 ἀλήθειαν ἁμαρτίαν· ἀτονῆσαι γὰρ ὁ θάνατος τοῦ χριστοῦ τὰς πολε-
μούσας τῷ τῶν ἀνθρώπων γένει πεποίηκε δυνάμεις, καὶ †ἐξελεύσεσθαι
τὴν ἐν ἑκάστῳ τῶν πιστευόντων ζωὴν τῇ ἁμαρτίᾳ ἀφάτῳ δυνάμει.
ἐπεὶ δὲ ἕως πᾶς ἐχθρὸς αὐτοῦ καταργηθῇ καὶ τελευταῖός γε ὁ θάνα- 234

2 Vgl. Jes. 49, 2f. — 4 Hohel. 2, 5. — 6 Jes. 49, 2. — 8 Vgl. Luk. 22, 27. — Phil. 2, 7. — 11 Jes. 49, 3. 6. — 14 Phil. 2, 8. — 15 Phil. 2, 6. — 18 Jes. 49, 5f. — 25 Vgl. Jes. 53, 7. — Vgl. Joh. 1, 29. — 27 Vgl. Jes. 53, 7. — 33 Vgl. I Kor. 15, 26.

2 καὶ ⟨ὁ⟩ βλέπων We | 4 τοῦ] τοῦτο, corr. We | 5 ἐγὼ—βέλος a. Ras. | 21 γεγόνει] γεγον a. Ras. | 22 μέτριον] ν a. Ras. | 24 συγκρίνει | 31 ἐξελεύσεσθαι] ἐπεξελευσεσθαι V, ἐξελευσε, darüber ῆ, a. R. ῆ ζήτ⟨ει⟩ M; so giebt der Satz keinen Sinn; viell. ἐξέλκεσθαι τὴν ... ζωὴν τῆς ἁμαρτίας „er bewirkte, dass das ... Leben der Sünde entrissen werde".

Digitized by Google

τος, αἴρει τὴν ἁμαρτίαν, ἵνα ὁ πᾶς γένηται χωρὶς ἁμαρτίας κόσμος, διὰ τοῦτο ὁ Ἰωάννης δεικνὺς αὐτόν φησιν· »Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ »ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου«· οὐχὶ ὁ μέλλων μὲν αἴρειν οὐχὶ
235 δὲ καὶ αἴρων ἤδη, καὶ οὐχὶ ὁ ἄρας μὲν οὐχὶ δὲ καὶ αἴρων ἔτι· τὸ γὰρ αἴρειν ἐνεργεῖ ἐπὶ ἑνὸς ἑκάστου τῶν ἐν τῷ κόσμῳ, ἕως ἀπὸ παντὸς τοῦ κόσμου ἀφαιρεθῇ ἡ ἁμαρτία καὶ παραδῷ ἕτοιμον βασιλείαν τῷ πατρὶ ὁ σωτήρ, τῷ μὴ εἶναι μηδὲ τὴν τυχοῦσαν ἁμαρτίαν χωροῦσαν τὸ ὑπὸ πατρὸς βασιλεύεσθαι καὶ πάλιν ἐπιδεχομένην τὰ πάντα τοῦ θεοῦ ἐν ὅλῃ ἑαυτῇ καὶ πάσῃ, ὅτε πληροῦται τὸ »Ἵνα
236 »γένηται ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν.« ἀλλὰ καὶ »ἀνὴρ« πρὸς τούτοις λέγεται ὀπίσω Ἰωάννου ἐρχόμενος, ἔμπροσθεν αὐτοῦ γεγενημένος καὶ πρὸ αὐτοῦ ὤν, ἵνα διδαχθῶμεν καὶ τὸν ἄνθρωπον τοῦ υἱοῦ τοῦ θεοῦ τὸν τῇ θεότητι αὐτοῦ ἀνακεκραμένον πρεσβύτερον εἶναι τῆς ἐκ Μαρίας γενέσεως, ὄντινα ἄνθρωπόν φησιν ὁ βαπτιστὴς ὅτι »οὐκ
237 »ᾔδει.« πῶς δὲ οὐκ ᾔδει ὁ σκιρτήσας ἐν ἀγαλλιάσει ἔτι βρέφος τυγχάνων ἐν τῇ κοιλίᾳ τῆς Ἐλισάβετ, ὅτε »ἐγένετο ἡ φωνὴ τοῦ ἀσπα-
238 »σμοῦ« τῆς Μαρίας »εἰς τὰ ὦτα« τῆς Ζαχαρίου γυναικός; ἐπίστησον οὖν, εἰ δύναται τὸ »οὐκ ᾔδειν« κατὰ τὰ πρὸ σώματος λέγειν· εἰ δὲ καὶ οὐκ ᾔδει μὲν αὐτὸν πρὸ τοῦ [τότε] ἥκειν εἰς σῶμα, ἔγνω δὲ ἔτι 39R
ὄντα ἐν τῇ κοιλίᾳ τῆς μητρός, τάχα μανθάνει τι περὶ αὐτοῦ ἕτερον 36H
παρ' ὃ ἐγίνωσκεν, ὅτι ἐφ' ὃν ἂν τὸ πνεῦμα καταβὰν μείνῃ ἐπ' αὐτόν,
239 »οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ καὶ πυρί.« καὶ γὰρ εἰ ᾔδει αὐτὸν ἔτι ἐκ κοιλίας μητρός, οὔτι γε ἐγίνωσκε πάντα τὰ περὶ αὐτοῦ τάχα δὲ καὶ ἠγνόει, ὅτι »οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι »ἁγίῳ καὶ πυρί«, ὅτε τεθέαται »τὸ πνεῦμα καταβαῖνον καὶ μένον »ἐπ' αὐτόν«. πλὴν »ἄνδρα« αὐτὸν τυγχάνοντα καὶ πρῶτον οὐκ ᾔδει ὁ Ἰωάννης.

240 XXXIII. (38) Οὐδὲν δὲ τῶν προειρημένων ὀνομάτων τὴν περὶ ἡμῶν πρὸς τὸν πατέρα προστασίαν αὐτοῦ δηλοῖ, παρακαλοῦντος ὑπὲρ τῆς ἀνθρώπων φύσεως καὶ ἱλασκομένου, ὡς »ὁ παράκλητος« καὶ »⟨ὁ⟩ ἱλασμὸς« καὶ »τὸ ἱλαστήριον«· ὁ μὲν »παράκλητος« ἐν τῇ Ἰωάννου λεγόμενος ἐπιστολῇ· »Ἐὰν γάρ τις ἁμάρτῃ, παράκλητον 127V
»ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ οὗτος ἱλασμός

2 Joh. 1, 29. — 6 Vgl. I Kor. 15, 24. — 9 I Kor. 15, 28. — 10 Vgl. Joh. 1, 30f. — 12 Vgl. de princ. II, 6, 3. — 14 Vgl. Joh. 1, 31. — 15 Vgl. Luk. 1, 41. 44. — 18 Joh. 1, 31. — 21 Vgl. Joh. 1, 33. — 25 Vgl. Joh. 1, 33. — 32 I Joh. 2, 1.

1 ἵνα auf dem linken Rand a. A. d. Z. | 4 ἔτι· τὸ γὰρ] ἐπὶ τὸ γὰρ, corr. We; ἔτι γὰρ τὸ Del | 5 ἐπὶ] ἀπὸ, corr. We | 11 ἐρχόμενος] ἐρ a. Ras. | 13 ἀνακεκραμμένον | 19 [τότε] str. We | 21 μείνῃ] ει a. Ras. | 23 ἔτι] ὅτι, corr. Del | 25 ὅτε ⟨οὔπω⟩ ? We | 26 οὐκ str. We | 31 ⟨ὁ⟩ + We.

Digitized by Google

»ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν«· καὶ »ὁ ἱλασμὸς« ἐν τῇ αὐτῇ ἐπιστολῇ λεγόμενος »ἱλασμὸς« εἶναι »περὶ τῶν ἁμαρτιῶν ἡμῶν«, ὁμοίως δὲ καὶ ἐν τῇ πρὸς Ῥωμαίους »ἱλαστήριον«· »Ὃν προέθετο »ὁ θεὸς ἱλαστήριον διὰ πίστεως«· οὗ ἱλαστηρίου εἰς τὰ ἐσώτατα καὶ ἅγια τῶν ἁγίων σκιά τις ἐτύγχανεν τὸ χρυσοῦν ἱλαστήριον, ἐπικείμενον τοῖς δυσὶ Χερουβείμ. πῶς δ' ἂν παράκλητος καὶ ἱλασμὸς 241
καὶ ἱλαστήριον χωρὶς δυνάμεως θεοῦ ἐξαφανιζούσης ἡμῶν τὴν ἀσθένειαν γενέσθαι οἷός τε ἦν, ἐπιρρεούσης ταῖς τῶν πιστευόντων ψυχαῖς, ὑπὸ Ἰησοῦ διακονουμένης, ἧς πρῶτός ἐστιν, αὐτοδύναμις θεοῦ, δι' ὃν εἴποι τις ἄν· »Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ«; διόπερ Σίμωνα μὲν τὸν μάγον αὐτὸν ἀναγορεύοντα »δύναμιν θεοῦ 242
»τὴν καλουμένην μεγάλην«, ἴσμεν ἅμα τῷ ἀργυρίῳ αὐτοῦ εἰς ὄλεθρον καὶ ἀπώλειαν κεχωρηκέναι· Χριστὸν δὲ ὁμολογοῦντες ἀληθῶς εἶναι »δύναμιν θεοῦ«, πάντα τὰ ὅπου ποτὲ δυναμούμενα μετέχειν αὐτοῦ, καθ' ὃ »δύναμίς« ἐστι, πεπιστεύκαμεν.

XXXIV. (39) Μὴ παρασιωπηθήτω δ' ἡμῖν μηδὲ »θεοῦ σοφία« 243
εὐλόγως τυγχάνων καὶ διὰ τοῦτο τοῦτ' εἶναι λεγόμενος. οὐ γὰρ ἐν ψιλαῖς φαντασίαις τοῦ θεοῦ καὶ πατρὸς τῶν ὅλων τὴν ὑπόστασιν ἔχει ἡ σοφία αὐτοῦ κατὰ τὰ ἀνὰ λόγον τοῖς ἀνθρωπίνοις ἐννοήμασι φαντάσματα. εἰ δέ τις οἷός τέ ἐστιν ἀσώματον ὑπόστασιν ποικίλων 244
40R θεωρημάτων περιεχόντων τοὺς τῶν ὅλων λόγους ζῶσαν καὶ οἱονεὶ ἔμψυχον ἐπινοεῖν, εἴσεται τὴν ὑπὲρ πᾶσαν κτίσιν σοφίαν τοῦ θεοῦ καλῶς περὶ αὐτῆς λέγουσαν· »Ὁ θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ
37H »εἰς ἔργα αὐτοῦ.« δι' ἣν κτίσιν δεδύνηται καὶ πᾶσα κτίσις ὑφεστάναι, οὐκ ἀνένδοχος οὖσα θείας σοφίας, καθ' ἣν γεγένηται· Πάντα γὰρ κατὰ τὸν προφήτην Δαβὶδ ἐν σοφίᾳ ἐποίησεν ὁ θεός. ἀλλὰ πολλὰ 245
μὲν μετοχῇ σοφίας γεγένηται, οὐκ ἀντιλαμβανόμενα αὐτῆς, ἣ ἔκτισται, σφόδρα δὲ ὀλίγα οὐ μόνον τὴν περὶ αὐτῶν καταλαμβάνει σοφίαν ἀλλὰ καὶ περὶ πολλῶν ἑτέρων, Χριστοῦ τῆς πάσης τυγχάνοντος σοφίας. ἕκαστος δὲ τῶν σοφῶν καθ' ὅσον χωρεῖ σοφίας, τοσοῦτον 246
μετέχει Χριστοῦ, καθ' ὃ σοφία ἐστίν· ὥσπερ ἕκαστος τῶν δύναμιν ἐχόντων κρείττονα ὅσον εἴληχε τῆς δυνάμεως, τοσοῦτον Χριστοῦ, καθ' ὃ δύναμίς ἐστι, κεκοινώνηκεν.

1 Vgl. I Joh. 2, 2. — **3** Röm. 3, 25. — **4** Vgl. Exod. 25, 17—19. — **10** Phil. 4, 13. — **11** Vgl. Act. 8, 10. 20. — **14** Vgl. I Kor. 1, 24. — **16** Vgl. I Kor. 1, 24. — **23** Prov. 8, 22. — **25** Ps. 103, 24. — **32** Vgl. I Kor. 1, 24.

2 ἱλασμὸς] μ a. Ras. | **4** εἰς τὰ] ς τ a. Ras. | **5** ἐτύγχανεν M* | χρυσοῦν] ν klein angehängt | **8** ἐπιρρεούσης] πιρρ a. Ras., ρ¹ nachträgl. eingeflickt | **11** ἀναγορεύοντα] α^3 a. Ras. | nach ἀναγορεύοντα + **10** με χω bis **11** ἀναγορεύοντα, doch sind die Worte über- u. unterpunktiert M | **17** ἐν ψιλαῖς] ἐν nachträgl. aus εὐ corr., nach ψ Ras. | **19** ἀνάλογον, corr. We | **23** αὐτῆς] αὐτῆς M | **28** αὐτῶν] αὐτῶν M.

Digitized by Google

247 Τὸ παραπλήσιον δὲ καὶ περὶ ἁγιασμοῦ καὶ ἀπολυτρώσεως
νοητέον· αὐτὸ μὲν γὰρ ἁγιασμός, ὅθεν οἱ ἅγιοι ἁγιάζονται, ἡμῖν ὁ
Ἰησοῦς γεγένηται καὶ ἀπολύτρωσις· ἕκαστος δὲ ἡμῶν ἐκείνῳ τῷ
ἁγιασμῷ ἁγιάζεται καὶ κατ' ἐκείνην τὴν ἀπολύτρωσιν ἀπολυτροῦται.
248 ἐπίστησον δὲ εἰ μὴ μάτην τὸ »ἡμῖν« παρὰ τῷ ἀποστόλῳ προσκαλεῖται
λέγοντι· »Ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ
»ἁγιασμὸς καὶ ἀπολύτρωσις«· καὶ εἰ μὴ ἐν ἄλλοις | περὶ τοῦ χριστοῦ, 38H
καθ' ὃ »σοφία« ἐστίν, ἀπολελυμένως ἐλέγετο καὶ καθ' ὃ »δύναμις«, ὅτι 125r
»Χριστὸς θεοῦ δύναμίς ἐστι καὶ θεοῦ σοφία«, κἂν ὑπενοήσαμεν μὴ
καθάπαξ αὐτὸν εἶναι »σοφίαν« μηδὲ »δύναμιν θεοῦ«, ἀλλὰ »ἡμῖν«·
νῦν δὲ ἐπὶ μὲν τῆς »σοφίας« καὶ »δυνάμεως« πρὸς τῷ »ἡμῖν« καὶ τὸ
ἀπόλυτον ἀναγέγραπται, ἐπὶ δὲ τοῦ »ἁγιασμοῦ« καὶ τῆς »ἀπολυτρώ-
249 »σεως« ἡ αὐτὴ ἀπόφασις οὐκ εἴρηται. διόπερ ὅρα, ἐπεὶ »ὁ ἁγιάζων
»καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες«, εἰ αὐτοῦ τοῦ ἡμετέρου ἁγιασμοῦ
»ἁγιασμός« ἐστιν ὁ πατήρ, ὥσπερ Χριστοῦ ὄντος ἡμετέρας κεφαλῆς
250 ὁ πατὴρ αὐτοῦ ἐστι κεφαλή. ἀπολύτρωσις δὲ ἡμῶν ὁ χριστὸς τῶν
διὰ τὸ ᾐχμαλωτεῦσθαι ἀπολυτρώσεως δεδεημένων· αὐτοῦ δὲ τὴν
ἀπολύτρωσιν οὐ ζητῶ τοῦ πεπειραμένου κατὰ πάντα καθ' ὁμοιότητα
»χωρὶς ἁμαρτίας« καὶ μηδέποτε ὑπὸ τῶν ἐχθρῶν εἰς αἰχμαλωσίαν
251 κεκρατημένου. (40) ἅπαξ δὲ διασταλέντων τοῦ ἡμῖν καὶ τοῦ ἁπλῶς.
ἡμῖν μὲν καὶ οὐχ ἁπλῶς τοῦ »ἁγιασμοῦ« καὶ τῆς »ἀπολυτρώσεως«,
καὶ ἡμῖν δὲ καὶ ἁπλῶς τῆς »σοφίας« καὶ τῆς »δυνάμεως«, οὐκ ἀνεξ-
έταστον ἐατέον τὸν περὶ τῆς δικαιοσύνης λόγον. καὶ ὅτι μὲν 41R
»ἡμῖν« δικαιοσύνη ὁ χριστὸς δῆλον ἐκ τοῦ »Ὃς ἐγενήθη σοφία ἡμῖν
252 »ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις.« ἐὰν δὲ
μὴ εὑρίσκωμεν ἁπλῶς αὐτὸν »δικαιοσύνην«, ὥσπερ ἁπλῶς »σοφίαν«
καὶ »δύναμιν θεοῦ«, βασανιστέον εἰ καὶ αὐτῷ τῷ χριστῷ ὥσπερ
»ἁγιασμὸς« ὁ πατήρ, οὕτω καὶ »δικαιοσύνη« ὁ πατήρ· καὶ γὰρ οὐκ
ἀδικία παρὰ τῷ θεῷ, καὶ δίκαιος καὶ ὅσιος κύριος καὶ ἐν δικαιοσύνῃ
τὰ κρίματα αὐτοῦ· δίκαιος δὲ ὢν δικαίως τὰ πάντα διέπει.

253 XXXV. Τὸ δὲ σῆναν τοὺς ἀπὸ τῶν αἱρέσεων εἰς τὸ ἕτερον εἰπεῖν
τὸν δίκαιον τοῦ ἀγαθοῦ, μὴ τρανωθὲν δὲ παρ' αὐτοῖς, οἰηθεῖσι δίκαιον
μὲν εἶναι τὸν δημιουργόν, ἀγαθὸν δὲ τὸν τοῦ χριστοῦ πατέρα, οἶμαι
μετ' ἐξετάσεως ἀκριβῶς βασανισθὲν δύνασθαι λέγεσθαι ἐπὶ τοῦ πατρὸς

6 I Kor. 1, 30. — **9** I Kor. 1, 24. — **13** Hebr. 2, 11. — **15** Vgl. I Kor. 11, 3. — **18** Hebr. 4, 15. — **24** I Kor. 1, 30. — **28** Vgl. Röm. 9, 14. — **29** Vgl. Apok. 16, 5. 7. — **31** Vgl. Hilgenfeld, Ketzergesch. d. Urchristent. S. 326ff.

5 *προσκαλεῖται*] *πρόσκειται* V, viell. richtig | **9** *μὴ* zweimal geschrieben | **12** *ἀπόλυτον*] *τ* a. Ras. | **24** *δικαιοσύνης χς*, letzteres a. Ras., corr. V | **28** *καὶ* über d. Linie | **31** *σῆναν* Br, *ὃ ἦν ἂν* M, *κινῆσαν* Hu.

Digitized by Google

καὶ τοῦ υἱοῦ· τοῦ μὲν υἱοῦ τυγχάνοντος δικαιοσύνης, ὃς ἔλαβεν ἐξουσίαν κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστὶ καὶ κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· τοῦ δὲ πατρὸς τοὺς ἐν τῇ δικαιοσύνῃ τοῦ υἱοῦ παιδευθέντας μετὰ τὴν Χριστοῦ βασιλείαν εὐεργετοῦντος, τὴν »ἀγαθὸς« προσηγορίαν ἔργοις δείξοντος, ὅταν γένηται ὁ θεὸς »τὰ πάντα ἐν »πᾶσιν.« καὶ τάχα τῇ αὐτοῦ δικαιοσύνῃ ὁ σωτὴρ εὐτρεπίζει τὰ πάντα 254
καιροῖς ἐπιτηδείοις καὶ λόγῳ καὶ τάξει καὶ κολάσεσι καὶ τοῖς, ἵν' οὕτως εἴπω, πνευματικοῖς αὐτοῦ ἰατρικοῖς βοηθήμασι πρὸς τὸ χωρῆσαι ἐπὶ τέλει τὴν ἀγαθότητα τοῦ πατρός· ἥντινα νοήσας πρὸς τὸν μονογενῆ λέγοντα »Διδάσκαλε ἀγαθέ« φησί· »Τί με λέγεις ἀγαθόν; »οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός, ὁ πατήρ.« τὸ δ' ὅμοιον ἐν ἑτέροις 255
ἐδείξαμεν καὶ ἐπὶ τοῦ μείζονά τινα εἶναι τοῦ δημιουργοῦ, δημιουργὸν μὲν ἐκλαβόντες τὸν χριστόν, μείζονα δὲ τούτου τὸν πατέρα· ⟨αὐ⟩τὸς δὴ ὁ τὰ τοσαῦτα τυγχάνων, »ὁ παράκλητος«, »ὁ ἱλασμός«, »τὸ ἱλαστήριον«, συμπαθήσας »ταῖς ἀσθενείαις ἡμῶν« τῷ πεπειρᾶσθαι »κατὰ πάντα« τὰ ἀνθρώπινα »καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας«, »μέγας« ἐστὶν »ἀρχιερεύς«, οὐχ ὑπὲρ ἀνθρώπων μόνων ἀλλὰ καὶ παντὸς λογικοῦ τὴν ἅπαξ θυσίαν προσενεχθεῖσαν ἑαυτὸν ἀνενεγκών·
12 V »χωρὶς γὰρ θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο | θανάτου«, ὅπερ ἔν τισι
20 κεῖται τῆς πρὸς Ἑβραίους ἀντιγράφοις »χάριτι θεοῦ«. εἴτε δὲ »χωρὶς 256
42 R »θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου«, οὐ μόνον ὑπὲρ ἀνθρώπων ἀπέθανεν, ἀλλὰ καὶ ὑπὲρ τῶν λοιπῶν λογικῶν· εἴτε »χάριτι θεοῦ »ἐγεύσατο τοῦ ὑπὲρ παντὸς θανάτου«, ὑπὲρ πάντων χωρὶς θεοῦ ἀπέθανε· »χάριτι γὰρ θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου.« καὶ 257
25 γὰρ ἄτοπον ὑπὲρ ἀνθρωπίνων μὲν αὐτὸν φάσκειν ἁμαρτημάτων γεγεῦσθαι θανάτου, οὐκ ἔτι δὲ καὶ ὑπὲρ ἄλλου τινὸς παρὰ τὸν ἄνθρω-
39 H πον ἐν ἁμαρτήμασι γεγενημένου, οἷον ὑπὲρ ἄστρων, οὐδὲ τῶν ἄστρων πάντως καθαρῶν ὄντων ἐνώπιον τοῦ θεοῦ, ὡς ἐν τῷ Ἰὼβ ἀνέγνωμεν· »Ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ«, εἰ μὴ ἄρα ὑπερβολικῶς
30 τοῦτο εἴρηται. διὰ τοῦτο »μέγας« ἐστὶν »ἀρχιερεύς«, ἐπειδήπερ πάντα 258
ἀποκαθίστησι τῇ τοῦ πατρὸς βασιλείᾳ, οἰκονομῶν τὰ ἐν ἑκάστῳ τῶν γενητῶν ἐλλιπῆ ἀναπληρωθῆναι πρὸς τὸ χωρῆσαι δόξαν πατρικήν.
οὗτος ὁ ἀρχιερεὺς κατά τινα ἑτέραν παρὰ τὰ εἰρημένα ἐπίνοιαν 259
»Ἰούδας« ὀνομάζεται, ἵνα οἱ ἐν κρυπτῷ Ἰουδαῖοι μὴ ἀπὸ τοῦ υἱοῦ

1 Joh. 5, 27. — **2** Act. 17, 31. — Vgl. Ps. 9, 9; 95, 13. — **5** I Kor. 15, 28. — **10** Mark. 10, 18. — **11** Vgl. Fragm. I; unten II, 6; XIII, 3. — **15** Vgl. Hebr. 4, 15. — **18** Vgl. Hebr. 9, 28. — **19** Hebr. 2, 9. — **20** Vgl. unten XXVIII, 18 (14). — **27** Vgl. de princ. I, 7, 2. — **29** Hiob 25, 5. — **34** Vgl. Röm. 2, 29; Gen. 49, 8.

1 *υἱοῦ*] *ιυ* M, corr. V | **13** ⟨*αὐ τὸς*] *ὐ* M, *οὗτος* V | **17** *μόνων*] *μόνον* V | **24** *γὰρ* doppelt geschr. | **26** *ἀνθρώπων* M* | **32** nach *τὸ* ein Buchst. ausr.

Digitized by Google

Ἰακὼβ Ἰούδα Ἰουδαῖοι χρηματίζωσιν, ἀλλὰ ἀπὸ τούτου, ὄντες αὐτοῦ ἀδελφοὶ καὶ αἰνοῦντες αὐτόν, ἀντιλαμβανόμενοι τῆς ἐλευθερίας, ἣν ἠλευθέρωνται ὑπ' αὐτοῦ ῥυσθέντες ἀπὸ τῶν ἐχθρῶν, αὐτοῦ τὰς χεῖρας αὐτοῦ τῷ νώτῳ αὐτῶν ἐπιθέντος καὶ ὑποτάξαντος αὐτούς.
260 ἀλλὰ καὶ πτερνίσας τὴν ἀντικειμένην ἐνέργειαν μόνος τε ὁρῶν τὸν πατέρα καί, ὅτε ἄνθρωπος γεγένηται, »Ἰακώβ« ἐστι καὶ »Ἰσραήλ«· ἀφ' οὗ, ὥσπερ γινόμεθα φῶς, φωτὸς ὄντος τοῦ κόσμου, οὕτως Ἰακὼβ καλουμένου »Ἰακὼβ« καὶ Ἰσραὴλ ὀνομαζομένου »Ἰσραήλ«.

261 XXXVI. (41) Ἔτι δὲ παραλαμβάνει τὴν βασιλείαν ἀπὸ βασιλέως, ὃν ἑαυτοῖς ἐβασίλευσαν οἱ υἱοὶ Ἰσραὴλ καὶ †οὐ διὰ τοῦ θεοῦ ἄρξαντες αὐτὸν καὶ μὴ γνωρίσαντες τῷ θεῷ, πολέμους τε τοῦ κυρίου πολεμῶν ἑτοιμάζει εἰρήνην τῷ υἱῷ αὐτοῦ, λαῷ· τάχα δὲ διὰ τοῦτο »Δαβὶδ« προσαγορεύεται καὶ μετὰ ταῦτα »ῥάβδος« τοῖς δεομένοις ἐπιπόνου καὶ σκληροτέρας ἀγωγῆς καὶ μὴ ἐμπαρεσχηκόσιν ἑαυτοὺς τῇ ἀγάπῃ
262 καὶ τῇ πραότητι τοῦ πατρός. διὰ τοῦτο ἐὰν »ῥάβδος« καλῆται,
263 ἐξελεύσεται· οὐ γὰρ μένει ἐν αὐτῷ, ἀλλ' ἔξω τῆς προηγουμένης καταστάσεως εἶναι δοκεῖ. ἐξελθὼν δὲ καὶ γενόμενος »ῥάβδος« οὐ μένει »ῥάβδος«, ἀλλὰ μετὰ τὴν »ῥάβδον« »ἄνθος« γίνεται ἀναβαῖνον, καὶ πέρας τοῦ εἶναι »ῥάβδος« τὸ »ἄνθος« ἀποδείκνυται τοῖς διὰ τοῦ αὐτὸν γεγονέναι »ῥάβδον« ἐπισκοπῆς τετευχόσιν· ἐπισκέψεται γὰρ ὁ θεὸς »ἐν ῥάβδῳ«, τῷ χριστῷ, »τὰς ἀνομίας αὐτῶν« ὧν ἐπισκέψεται. τὸ δὲ ἔλεος οὐ διασκεδάσει ἀπ' αὐτοῦ· αὐτὸν γὰρ ἐλεεῖ, ὅτε οὓς βούλεται ὁ υἱὸς ἐλεεῖσθαι ὁ πατὴρ ἐλεεῖ. ἔστι δὲ καὶ μὴ ἐπὶ τῶν αὐτῶν λαμβάνειν »ῥάβδον« αὐτὸν γίνεσθαι καὶ »ἄνθος«, ἀλλὰ »ῥάβδον« μὲν τοῖς δεομένοις κολάσεως, »ἄνθος« δὲ τοῖς σωζομένοις· βέλτιον
264 δ' οἶμαι τὸ πρότερον. πλὴν τοῦτο προσθετέον κατὰ τὸν τόπον, ὅτι τάχα διὰ τὸ τέλος, εἴ τινι μὲν γίνεται »ῥάβδος«, ἔσται πάντως »ἄνθος«, οὐ μὴν εἴ τινι »ἄνθος«, ἐκείνῳ πάντως καὶ »ῥάβδος«· εἰ μὴ ἄρα, ἐπεί ἐστιν | ἄνθος τελειότερον τοῦ ἄνθους, καὶ τοῦ ἀνθεῖν 129r
ἐπὶ τῶν μηδέπω τελείως καρποφορούντων ὀνομαζομένου, οἱ τέλειοι 40H

5 Vgl. Gen. 25, 26. — 6 Vgl. Jes. 49, 5 f.; vgl. S. 41, 8 ff. — 7 Vgl. Joh. 9, 5. — 9 Vgl. II Sam. 5, 1 f. — 11 I Sam. 25, 28. — 12 I Kön. 2, 33. — 13. 18 Vgl. Jes. 11, 1. — 21 Ps. 88, 33 f.

3 ἐλευθέρωνται M, ἐλευθεροῦνται Edd. | 4 αὐτοῦ viell. zu str. | ἐπιθέντος] ἐπιτιθέντος, corr. We | 7 φῶς a. Rande, von anderer H., w. e. sch., nachgetragen; im Text a. d. St.: ; M | 9 ἔτι] ἐπεί, corr. We | 10 ἄρξαντες αὐτὸν] ἄρχω viell. transitiv gebraucht, wie vorher βασιλεύειν, oder z. l. ἄρξαντος αὐτῶν „da Gott die Herrschaft über Israel führte". Doch ist die Änderung wegen des folgenden γνωρίσαντες bedenklich, das freilich auch viell. verdorben ist | 12 δὲ str. Br | 14 ἐνπαρεσχηκόσιν | 20 τετυχηκόσιν V Del Br | 22 nach οὐ + ⟨μὴ⟩ Edd. | διασκεδάσει] δι nur noch im Abklatsch zu lesen | 27 ἔσται V, ἔστα a. E. d. Z. M | 28 οὐ μὴν] ὁσμὴν M, corr. Edd. | 29 ἄνθος] ἄνθους M, corr. V.

Digitized by Google

τὸ ὑπὲρ τὸ ἄνθος χωροῦσι τοῦ χριστοῦ, οἱ δὲ ῥάβδου αὐτοῦ πεπειραμένοι ἅμα τῇ ῥάβδῳ οὐ τῆς τελειότητος αὐτοῦ ἀλλὰ τοῦ ἄνθους τοῦ πρὸ τῶν καρπῶν αὐτοῦ μεταλήψονται. τελευταῖον πρὸ τοῦ 265
»λόγου« ἦν »λίθος« ὁ χριστός, ἀποδοκιμαζόμενος ὑπὸ τῶν οἰκοδόμων καὶ εἰς κεφαλὴν γωνίας κατατασσόμενος· ἐπεὶ γὰρ λίθοι ζῶντες οἰκοδομοῦνται ἐπὶ θεμελίῳ ἑτέροις λίθοις »τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ« τοῦ κυρίου ἡμῶν, διὰ τὸ εἶναι αὐτὸν μέρος τῆς ἐκ λίθων ζώντων »ἐν χώρᾳ ζώντων« οἰκοδομῆς »λίθος« προσαγορεύεται.

Ταῦτα δὲ ἡμῖν πάντα εἴρηται τὸ τῶν πολλῶν ἀποκληρωτικὸν 266
καὶ ἀβασάνιστον ἐλέγξαι βουλομένοις, ὅτι τοσούτων ὀνομάτων εἰς αὐτὸν ἀναφερομένων ἵστανται ἐπὶ μόνης τῆς »λόγος« ὀνομασίας, οὐκ ἐξετάζοντες, τί δήποτε λόγος εἶναι θεὸς ἐν ἀρχῇ πρὸς τὸν πατέρα, δι' οὗ τὰ πάντα ἐγένετο, ἀναγέγραπται »⟨ὁ⟩ υἱὸς τοῦ θεοῦ«.

XXXVII. (42) Ὥσπερ τοίνυν παρὰ τὴν ἐνέργειαν ἐκ τοῦ φωτίζειν 267
τὸν κόσμον, οὗ φῶς ἐστι, »φῶς κόσμου« προσαγορεύεται, καὶ παρὰ τὸ ποιεῖν ἀποτίθεσθαι τὴν νεκρότητα τοὺς γνησίως αὐτῷ προσιόντας καὶ ἀναλαμβάνειν καινότητα ζωῆς ἀνισταμένους »ἀνάστασις« καλεῖται, καὶ παρ' ἑτέραν πρᾶξιν »ποιμὴν« καὶ »διδάσκαλος« καὶ »βασιλεύς«, »βέλος τε ἐκλεκτὸν« καὶ »δοῦλος«, πρὸς τούτοις »παράκλητος« καὶ »ἱλασμὸς« καὶ »ἱλαστήριον«, οὕτως καὶ »λόγος«, καὶ πᾶν ἄλογον ἡμῶν περιαιρῶν καὶ κατὰ ἀλήθειαν λογικοὺς κατασκευάζων, πάντα εἰς δόξαν θεοῦ πράττοντας μέχρι τοῦ ἐσθίειν καὶ τοῦ
44R πίνειν, εἰς δόξαν θεοῦ ἐπιτελοῦντας διὰ τὸν λόγον καὶ τὰ κοινότερα καὶ ⟨τὰ⟩ τελειότερα τοῦ βίου ἔργα. εἰ γὰρ μετέχοντες αὐτοῦ ἀνιστά- 268
μεθα καὶ φωτιζόμεθα, τάχα δὲ καὶ ποιμαινόμεθα ἢ βασιλευόμεθα, δῆλον ὅτι καὶ ἐνθέως λογικοὶ γινόμεθα, τὰ ἐν ἡμῖν ἄλογα καὶ τὴν νεκρότητα ἀφανίζοντος αὐτοῦ, καθ' ὃ »λόγος« ἐστὶ καὶ »ἀνάστασις«. ἐπίστησον δὲ εἰ μετέχουσί πως αὐτοῦ πάντες ἄνθρωποι, καθ' ὃ λόγος 269
ἐστί. διόπερ ζητεῖσθαι οὐκ ἔξω τῶν ζητούντων ὑπὸ τῶν εὑρεῖν αὐτὸν προαιρουμένων διδάσκει ἡμᾶς ὁ ἀπόστολος, λέγων· »Μὴ εἴπῃς »ἐν τῇ καρδίᾳ σου »Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν«; τοῦτ' ἔστι

4 Vgl. Ps. 117, 22. — 5 Vgl. I Petr. 2, 5. — 6 Ephes. 2, 20. — 8 Vgl. Ps. 141, 6. — 13 Vgl. Joh. 1, 1. — 14 Vgl. Joh. 1, 3. — 16 Vgl. Joh. 9, 5. — 18 Vgl. Joh. 11, 25. — 19 Vgl. Joh. 10, 12. — Joh. 13, 13. — 20 Vgl. Ps. 44, 6. — Jes. 49, 2. — Vgl. Joh. 15, 15. — I Joh. 2, 1f. — 21 Vgl. Röm. 3, 25. — 23 Vgl. I Kor. 10, 31. — 31 Röm. 10, 6ff. — Vgl. Deut. 30, 12ff.

5 *κατατασσόμενος*] *ασ* über d. Linie zugefügt | 14 ⟨ὁ⟩ + Hu | 19 *διδάσκαλος*] *διδ* a. Ras. | 20 *πρὸς*] *ρὸς* a. Ras. | 22 *ἀλήθειαν*] *ηθει* a. Ras. | *κατασκευάζων*] *τα* a. Ras. | 23 *ἐσθίειν*] *ἐσθ* a. Ras. | 24 *κοινότερα*] *κοινωνικώτερα*, corr. We | 25 ⟨τὰ⟩ + We | 27 *λογικοὶ*] nach *γ* Ras. von einem Buchst.

Digitized by Google

»Χριστὸν καταγαγεῖν· ἢ »Τίς καταβήσεται εἰς τὴν ἄβυσσον;« τοῦτ'
»ἔστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει ἡ γραφή; Ἐγγύς
»σου τὸ ῥῆμά ἐστι σφόδρα ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου·«
270 ὡς τοῦ αὐτοῦ ὄντος Χριστοῦ καὶ ῥήματος τοῦ ζητουμένου. ἀλλὰ 41H
καὶ ὅτε αὐτός φησιν ὁ κύριος· »Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, 5
»ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ τῆς ἁμαρ-
»τίας αὐτῶν«, οὐκ ἄλλο νοητέον ἢ ὅτι ὁ λόγος φησίν, οἷς οὐδέπω
συμπεπλήρωται μὴ εἶναι ἁμαρτίαν, τούτους δὲ ἐνόχους αὐτῆς τυγχά-
νειν, οἳ ἂν | μετεσχηκότες ἤδη αὐτοῦ πράττωσι παρὰ τὰς ἐννοίας 129v
τὰς ἐξ ὧν οὗτος ἐν ἡμῖν συμπληροῦται, καὶ μόνως οὕτως ἀληθὲς τὸ 10
271 »Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν.« φέρε γὰρ
ἐπὶ Ἰησοῦ τοῦ ὁρατοῦ, ὡς οἱ πολλοὶ οἰήσονται, τοῦτ' ἐξεταζέσθω·
πῶς δὲ ἀληθὲς τὸ μὴ ἔχειν ἁμαρτίαν τούτους, οἷς οὐκ ἐλήλυθε;
πάντες γὰρ οἱ πρὸ τῆς ἐπιδημίας τοῦ σωτῆρος ἔσονται ἁμαρτίας
πάσης ἀπολελυμένοι, ἐπεὶ οὐκ ἐληλύθει ὁ βλεπόμενος κατὰ σάρκα 15
272 Ἰησοῦς. ἀλλὰ καὶ πάντες, οἷς οὐδαμῶς ἀνηγγέλη περὶ αὐτοῦ, οὐχ
ἕξουσιν ἁμαρτίαν, καὶ δῆλον ὅτι οἱ μὴ ἔχοντες ἁμαρτίαν κρίσει οὐχ
273 ὑπόκεινται. »λόγος« δὲ ὁ ἐν ἀνθρώποις, οὗ μετέχειν εἰρήκαμεν τὸ
γένος ἡμῶν, διχῶς λέγεται, ἤτοι κατὰ τὴν συμπλήρωσιν τῶν ἐννοιῶν,
ἥτις ἐν παντὶ τῷ ὑπερβεβηκότι τὸν παῖδα τυγχάνει, ὑπεξαιρουμένων 20
τῶν τεράτων, ἢ κατὰ τὴν ἀκρότητα, ἥτις ἐν μόνοις τοῖς τελείοις
274 εὑρίσκεται. κατὰ μὲν οὖν τὸ πρότερον τὸ »Εἰ μὴ ἦλθον καὶ ἐλάλησα
»αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ
τῆς ἁμαρτίας αὐτῶν« τὰ ῥητὰ ἐκδεκτέον· κατὰ δὲ τὸ δεύτερον·
»Πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί, καὶ οὐκ 25
275 »ἤκουσεν αὐτῶν τὰ πρόβατα.« πρὸ γὰρ τῆς τελειώσεως τοῦ λόγου
πάντα ψεκτὰ τὰ ἐν ἀνθρώποις, ἅτε ἐνδεῆ καὶ ἐλλιπῆ, οἷς τελείως
οὐχ ὑπακούει τὰ ἐν ἡμῖν ἄλογα, »πρόβατα« τροπικώτερον εἰρημένα.
καὶ τάχα κατὰ μὲν τὸ πρότερον »Ὁ λόγος σὰρξ ἐγένετο«, κατὰ δὲ τὸ
276 δεύτερον »Θεὸς ἦν ὁ λόγος«. τούτῳ δ' ἀκόλουθόν ἐστι ζητεῖν ⟨εἴ τι⟩ 45R
ἔστι μεταξὺ τοῦ »Ὁ λόγος σὰρξ ἐγένετο« καὶ »Θεὸς ἦν ὁ λόγος« ἐν
τοῖς ἀνθρωπίνοις ἰδεῖν, οἷον ἀναστοιχειουμένου τοῦ λόγου ἀπὸ τοῦ
γεγονέναι αὐτὸν σάρκα καὶ κατὰ βραχὺ λεπτυνομένου, ἕως γένηται.

5 Joh. 15, 22. — 16 Vgl. Jes. 52, 15. — 18 Vgl. S. 47, 29ff. — 19 Vgl. Diels, Doxographi S. 400, 23ff. — 25 Joh. 10, 8. — 29 Joh. 1, 14. — 30 Joh. 1, 1.

1 ἄβυσσον] υσσο a. Ras. | 10 οὕτως] ω a. Ras. | 13 ἐλήλυθε] λ¹ a. Ras. | 17 καὶ δῆλον] ι δῆλον a. Ras. | 23 ἔχουσιν M* | 24 ἐκδεκτέον] ἐκλεκτέον, corr. We 26 ἤκουσαν Del Br, vgl. aber C. Cels. VII, 70 (II, 219, 19K). | 28 nach ἐν steht ein ausgelöschtes ν | 29 μὲν a. Ras. | ἐγίνετο | 30 ⟨εἴ τι⟩ + Hu, τί Lommatzsch.

Digitized by Google

ὅπερ ἦν ἐν ἀρχῇ, θεὸς λογος ὁ πρὸς τὸν πατέρα· οὗ λόγου τὴν
δόξαν εἶδεν ὁ Ἰωάννης ἀληθῶς μονογενοῦς ὡς ἀπὸ πατρός.

XXXVIII. Δύναται δὲ καὶ ὁ λόγος »ὁ υἱὸς« εἶναι παρὰ τὸ ἀπαγ- 277
γέλλειν τὰ κρύφια τοῦ πατρὸς ἐκείνου, ἀνάλογον τῷ καλουμένῳ υἱῷ
»λόγῳ« »νοῦ« τυγχάνοντος. ὡς γὰρ ὁ παρ' ἡμῖν λόγος ἄγγελός ἐστι
τῶν ὑπὸ τοῦ νοῦ ὁρωμένων, οὕτως ὁ τοῦ θεοῦ λόγος, ἐγνωκὼς τὸν
πατέρα, οὐδενὸς τῶν γεννητῶν προσβαλεῖν αὐτῷ χωρὶς ὁδηγοῦ δυνα-
μένου, ἀποκαλύπτει ὃν ἔγνω πατέρα. »Οὐδεὶς γὰρ ἔγνω τὸν πατέρα, 278
εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ·« καὶ καθ' ὃ »λόγος« ἐστί,
»μεγάλης« τυγχάνει »βουλῆς ἄγγελος« ὤν, οὗ ἐγενήθη »ἡ ἀρχὴ ἐπὶ τοῦ
»ὤμου αὐτοῦ«· ἐβασίλευσε γὰρ διὰ τοῦ πεπονθέναι τὸν σταυρόν. ἐν
δὲ τῇ Ἀποκαλύψει ἐπὶ λευκοῦ ἵππου καθέζεσθαι λέγεται λόγος πιστὸς
καὶ ἀληθινός, ὡς οἶμαι, παριστὰς τὸ σαφὲς τῆς φωνῆς, ᾧ ὀχεῖται ὁ
ἡμῖν ἐπιδημῶν ἀληθείας λόγος. οὐ τοῦ παρόντος δὲ καιροῦ δείξαι, 279
ὅτι ἐπὶ τῆς φωνῆς πολλαχοῦ τῆς γραφῆς, ἐν ᾗ ἐστι τὰ προκείμενα,
δι' ὧν ὠφελούμεθα θείων μαθημάτων ἀκροώμενοι, κεῖται ἡ »ἵππος«
προσηγορία. μόνον δὲ ἑνὸς καὶ δευτέρου ὑπομνηστέον, τοῦ »Ψευδὴς
»ἵππος εἰς σωτηρίαν« καὶ »Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις,
»ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.« τὸ δὲ 280
»Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου
»τῷ βασιλεῖ« ἐν τεσσαρακοστῷ τετάρτῳ ψαλμῷ ἀναγεγραμμένον,
συνεχέστατα ὑπὸ τῶν πολλῶν φερόμενον ὡς νενοημένον, ἡμῖν οὐκ
ἀβασάνιστον ἐατέον. ἔστω γὰρ τὸν πατέρα ταῦτα λέγειν. τίς οὖν 281
ἡ καρδία αὐτοῦ, ἵνα ἀκολούθως τῇ καρδίᾳ »ὁ ἀγαθὸς λόγος« φανῇ;
εἰ γὰρ ὁ »λόγος« οὐ δεῖται διηγήσεως, ὡς ἐκεῖνοι ὑπολαμβάνουσι, δῆλον
ὅτι οὐδ' ἡ »καρδία«· ὅπερ ἐστὶν ἀτοπώτατον, νομίζειν τὴν καρδίαν
ὁμοίως τῇ ἐν ⟨τῷ⟩ ἡμετέρῳ σώματι εἶναι μέρος τοῦ θεοῦ. ἀλλ' 282
ὑπομνηστέον αὐτοὺς ὅτι ὥσπερ χεὶρ καὶ βραχίων καὶ δάκτυλος ὀνο-
μάζεται θεοῦ, οὐκ ἐρειδόντων ἡμῶν τὴν διάνοιαν εἰς ψιλὴν τὴν
λέξιν, ἀλλ' ἐξεταζόντων πῶς ταῦτα ὑγιῶς ἐκλαμβάνειν καὶ ἀξίως
θεοῦ δεῖ, οὕτως καὶ τὴν καρδίαν τοῦ θεοῦ τὴν νοητικὴν αὐτοῦ καὶ
προθετικὴν περὶ τῶν ὅλων δύναμιν ἐκληπτέον, τὸν δὲ λόγον τῶν
ἐν ἐκείνῃ τὸ ἀπαγγελτικόν. τίς δὲ ἀπαγγέλλει τὴν βουλὴν τοῦ πατρὸς 283

1 Vgl. Joh. 1, 1. — **2** Vgl. Joh. 1, 14. — **8** Matth. 11, 27. — **10** Vgl. Jes. 9, 6. — **11** Vgl. Phil. 2, 9f. — Vgl. Apok. 19, 11. — **17** Ps. 32, 17. — **18** Ps. 19, 8. — **20** Ps. 44, 2.

7 *γεννητῶν* **M***, w. e. sch., jetzt zwischen *ε* u. *ν* Ras. v. einem Buchst. | **13** *παριστάς* V, *παριστᾶσι* M, *παριστᾷν* Edd. | *ᾧ ὀχεῖται*] *ὃ ἠχεῖται*, corr. We; vgl. den folgenden Satz | **15** *προκείμενα*] *προκεί* verblichen M, doch las V die Buchst. noch **27** *τῷ*] *τῷ*, corr. Pr | ⟨*τῷ*⟩ + We | *ἡμετέρῳ*] *τ* a. Ras. | **28** *ὑπομνηστέον*] *ὑ* a. Ras. | **30** *ταῦτἄϊτα*.

Digitized by Google

τοῖς τῶν γεννητῶν ἀξίοις καὶ παρ' αὐτοὺς γεγενημένος ἢ ὁ σωτήρ; τάχα δὲ καὶ οὐ μάτην τὸ »Ἐξηρεύξατο« · μυρία γὰρ ἕτερα ἐδύνατο λέγεσθαι ἀντὶ τοῦ »Ἐξηρεύξατο« · »προέβαλεν ἡ καρδία μου λόγον »ἀγαθόν«, »ἐλάλησεν ἡ καρδία μου λόγον ἀγαθόν« · ἀλλὰ μήποτε ὥσπερ πνεύματός τινος ἀποκρύπτου εἰς φανερὸν πρόοδός ἐστιν ἡ ἐρυγὴ τοῦ ἐρευγομένου, οἱονεὶ διὰ τούτου ἀναπνέοντος, οὕτω τὰ τῆς ἀληθείας θεωρήματα οὐ συνέχων ὁ πατὴρ ἐρεύγεται καὶ ποιεῖ τὸν τύπον αὐτῶν ἐν τῷ λόγῳ. καὶ διὰ τοῦτο εἰκόνι καλουμένῳ τοῦ 43 H
ἀοράτου θεοῦ. καὶ ταῦτα μέν, ἵνα συμπεριφερόμενοι τῇ τῶν πολλῶν ἐκδοχῇ παραδεξώμεθα ἀπὸ τοῦ πατρὸς λέγεσθαι τὸ »Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.«

284 XXXIX. Οὐ πάντη δὲ αὐτοῖς παραχωρητέον ὡς ὁμολογουμένως ταῦτα ἀπαγγέλλοντος τοῦ θεοῦ. διὰ τί γὰρ οὐχὶ ὁ προφήτης ἔσται λέγων, πληρωθεὶς τοῦ πνεύματος καὶ προφερόμενος λόγον ἀγαθὸν περὶ προφητείας τῆς περὶ Χριστοῦ, συνέχειν αὐτὸν οὐ δυνάμενος, τὸ »Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. λέγω ἐγὼ τὰ ἔργα μου τῷ »βασιλεῖ· ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου· ὡραῖος »κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων« · εἶτα πρὸς αὐτὸν τὸν
285 χριστόν· »Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου«; πῶς γάρ, εἰ ὁ πατὴρ ταῦτ' ἔλεγεν, ἐπιφέρετο τῷ »Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου« τὸ »Διὰ τοῦτο εὐλόγησέ σε ὁ θεὸς εἰς τὸν αἰῶνα« καὶ μετ' ὀλίγα »Διὰ »τοῦτο ἔχρισέ σε ὁ θεός, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς
286 »μετόχους σου«; ἀνθυπενέγκοι δέ τις βουλόμενος ἐκ τοῦ πατρὸς τὰ ἐν τῷ ψαλμῷ ἀπαγγέλλεσθαι τὸ »Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ »κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ »πατρός | σου« · οὐ γὰρ ὁ προφήτης πρὸς τὴν ἐκκλησίαν ἐρεῖ τὸ 130 v
287 »Ἄκουσον, θύγατερ«. οὐ χαλεπὸν δὲ δεῖξαι καὶ ἀπὸ ἑτέρων ψαλμῶν, ὅτι προσώπων γίνονται ἐπὶ πλεῖον ἐναλλαγαί, ὥστε καὶ ἐνθάδε δύ-
288 νασθαι ἀπὸ τοῦ »Ἄκουσον, θύγατερ« τὸν πατέρα λέγειν. παραθετέον δὴ εἰς τὴν περὶ τοῦ λόγου ἐξέτασιν καὶ τὸ »Τῷ λόγῳ τοῦ κυρίου οἱ »οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι αὐτοῦ πᾶσα ἡ δύναμις »αὐτῶν« · ἅπερ τινὲς ἡγοῦνται ἐπὶ τοῦ σωτῆρος καὶ τοῦ ἁγίου τάσσεσθαι πνεύματος, δυνάμενα δηλοῦν τὸ λόγῳ θεοῦ τοὺς οὐρανοὺς ἐστερεῶσθαι, ὡς εἰ λέγοιμεν λόγῳ ἀρχιτεκτονικῷ τὴν οἰκίαν καὶ λόγῳ ναυπηγικῷ τὴν ναῦν γεγονέναι, οὕτως οὖν λόγῳ θεοῦ τοὺς

2 Ps. 44, 2. — **3** Ps. 44, 2. — **8** Kol. 1, 15. — **10** Ps. 44, 2. — **16** Ps. 44, 2f. — **19** Ps. 44, 3. — **21** Ps. 44, 3. — Ps. 44, 8. — **24** Ps. 44, 11. — **30** Ps. 32, 6. — **32** Vgl. Iren. III, S. 3.

1 *γεγενημένος*] γεγενημένοις, corr. We | **13** *προφήτης*] ης a. Ras. | **14** *ὁ λέγων* We | **21** *τοῦτο*] ντο a. Ras. | **23** *ἀνθυπενέγκῃ* M, corr. V | *δὲ ἄν* We | **35** *οὕτω*], corr. Edd.

Digitized by Google

41R οὐρανούς, θειοτέρου τυγχάνοντας σώματος καὶ διὰ τοῦτο καλουμένου στερεοῦ, οὐκ ἔχοντος τὸ ἐπιπολὺ ῥευστὸν καὶ εὐδιάλυτον τῶν λοιπῶν καὶ κατωτέρω, ἑστερεῶσθαι καὶ διὰ τὸ διάφορον ἐσχηκέναι ἐξαιρέτως τῷ θείῳ λόγῳ.

Ἐπεὶ οὖν πρόκειται τὸ »Ἐν ἀρχῇ ἦν ὁ λόγος« σαφῶς ἰδεῖν, 289
»ἀρχὴ« δὲ μετὰ μαρτυριῶν τῶν ἐκ τῶν παροιμιῶν ἀποδέδοται εἰρῆσθαι ἡ σοφία, καὶ ἔστι προεπινοουμένη ἡ σοφία τοῦ αὐτὴν ἀπαγγέλλοντος λόγου, νοητέον τὸν λόγον ἐν τῇ ἀρχῇ, τοῦτ' ἔστι τῇ σοφίᾳ, ἀεὶ εἶναι· ὄντα δὲ ἐν τῇ σοφίᾳ, καλουμένῃ »ἀρχῇ«, μὴ κωλύεσθαι
10 εἶναι »πρὸς τὸν θεόν«, καὶ αὐτὸν θεὸν τυγχάνοντα, καὶ οὐ γυμνῶς
44H εἶναι αὐτὸν »πρὸς τὸν θεόν«, ἀλλὰ ὄντα »ἐν τῇ ἀρχῇ«, τῇ σοφίᾳ, εἶναι »πρὸς τὸν θεόν«. ἐπιφέρει γοῦν καί φησιν· »Οὗτος ἦν ἐν ἀρχῇ 290
»πρὸς τὸν θεόν«· ἐδύνατο γὰρ εἰρηκέναι· »Οὗτος ἦν πρὸς τὸν θεόν·« ἀλλ' ὥσπερ »ἦν ἐν ἀρχῇ«, οὕτως καὶ »πρὸς τὸν θεὸν« »ἐν ἀρχῇ ἦν«,
15 καὶ »πάντα δι' αὐτοῦ ἐγένετο« ὄντος »ἐν τῇ ἀρχῇ«· »πάντα« γὰρ »ἐν σοφίᾳ« ὁ θεὸς κατὰ τὸν Δαβὶδ ἐποίησε. καὶ ἔτι εἰς τὸ παρα- 291
δέξασθαι τὸν λόγον ἰδίαν περιγραφὴν ἔχοντα, οἷον τυγχάνοντα ζῆν καθ' ἑαυτόν, λεκτέον καὶ περὶ δυνάμεων, οὐ μόνον δυνάμεως· »Τάδε
»γὰρ λέγει κύριος τῶν δυνάμεων« πολλαχοῦ κεῖται, λογικῶν τινων
20 θείων ζῴων δυνάμεων ὀνομαζομένων, ὧν ἡ ἀνωτέρω καὶ κρείττων Χριστὸς ἦν, οὐ μόνον »σοφία θεοῦ« ἀλλὰ καὶ »δύναμις« προσαγορευόμενος. ὥσπερ οὖν δυνάμεις θεοῦ πλείονές εἰσιν, ὧν ἑκάστη κατὰ 292
περιγραφήν, ὧν διαφέρει ὁ σωτήρ, οὕτως καὶ »λόγος« — εἰ καὶ ὁ παρ' ἡμῖν οὐκ ἔστι κατὰ περιγραφὴν ἐκτὸς ἡμῶν — νοηθήσεται ὁ
25 χριστὸς διὰ τὰ προεξητασμένα, »ἐν ἀρχῇ«, τῇ σοφίᾳ, τὴν ὑπόστασιν ἔχων. ταῦτα ἡμῖν ἐπὶ τοῦ παρόντος ἀρκέσει εἰς τὸ »Ἐν ἀρχῇ ἦν »ὁ λόγος.«

5 Joh. 1, 1. — 7 Vgl. Prov. 8, 22. — 9 Vgl. Joh. 1, 1. — 12 Joh. 1, 2. — 15 Joh. 1, 3. — Vgl. Ps. 103, 24. — 21 Vgl. I Kor. 1, 24.

1 τυγχάνοντας] τυγχάνοντος darüber, w. e. sch., Compend. für ας M, corr. Ferrarius | 2 λοιπῶν] viell. ἐλλιπῶν? | 8 τῇ σοφίᾳ] τῆς σοφίας M* | 10 πρὸς] ς a. Ras. | 14 ὥσπερ] σ a. Ras. | 17 τοῦ ζῇ We.

Digitized by Google

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

ΤΟΜΟΣ Β'.

1 **I, 1.** *Καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος.* 131 42 R

I. *Αὐτάρκως κατὰ τὴν παροῦσαν δύναμιν, ἱερὲ ἀδελφὲ Ἀμβρόσιε καὶ κατὰ τὸ εὐαγγέλιον μεμορφωμένε, ἐν τοῖς πρὸ τούτων διαλαβόντες τί ἐστιν εὐαγγέλιον καὶ τίς ἡ ἀρχή, ἐν ᾗ ἦν ὁ λόγος, τίς τε ὁ λόγος ὁ ἐν ἀρχῇ, ἀκολούθως νῦν ἐπισκοποῦμεν πῶς »ὁ λόγος ἦν*
2 *»πρὸς τὸν θεόν«. χρήσιμον τοίνυν συναγαγεῖν εἰς τοῦτο λόγον ἀναγεγραμμένον γεγονέναι πρός τινας, οἷον »Λόγος κυρίου, ὃς ἐγε»νήθη πρὸς Ὡσηέ, τὸν τοῦ Βεηρεί« καὶ »Ὁ λόγος ὁ γενόμενος πρὸς »Ἡσαΐαν, υἱὸν Ἀμώς, περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἰερουσαλήμ« καὶ*
3 *»Ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν περὶ τῆς ἀβροχίας«· πῶς οὖν »λόγος κυρίου« ἐγενήθη πρὸς Ὡσηέ, καὶ ὁ λόγος ἐστὶν ὁ γενόμενος πρὸς Ἡσαΐαν, υἱὸν Ἀμώς, καὶ πάλιν »ὁ λόγος πρὸς Ἱερεμίαν περὶ »τῆς ἀβροχίας«, ἐπισκοπητέον, ἵν' ὡς παρακείμενον εὑρεθῆναι δυνηθῇ,*
4 *πῶς »ὁ λόγος ἦν πρὸς τὸν θεόν«. ὁ μὲν οὖν πολὺς ἁπλούστερον* 45 H
ἐκλήψεται τὰ περὶ τῶν προφητῶν εἰρημένα ὡς λόγου κυρίου ἢ τοῦ λόγου γενομένου πρὸς αὐτούς, μήποτε δέ, ὡς φαμεν τόνδε τινὰ πρὸς τόνδε γίνεσθαι, οὕτως ὁ νῦν θεολογούμενος »υἱὸς λόγος« ἐγενήθη πρὸς Ὡσηέ, ἀποσταλεὶς ὑπὸ τοῦ πατρὸς πρὸς αὐτόν· κατὰ μὲν τὴν ἱστορίαν πρὸς τὸν υἱὸν τοῦ Βεηρεί, προφήτην Ὡσηέ, κατὰ δὲ μυστικὸν λόγον πρὸς τὸν σωζόμενον — Ὡσηὲ γὰρ ἑρμηνεύεται »Σωζόμε-
»νος« — υἱὸν Βεηρεί, ὃς ἑρμηνεύεται »Φρέατα«· πηγῆς γὰρ ἐκ βάθους

1 Joh. 1, 1. — **4** Vgl. I, 5 (7) ff. — Vgl. I, 16 ff. — **5** Vgl. I, 21 (23) ff. — Joh. 1, 1. — **7** Hos. 1, 1. — **8** Jes. 2, 1. — **10** Jer. 14, 1. — **14** Joh. 1, 1. — **20** Vgl. Lagarde, Onomastica sacra² p. 82, 15: Osee saluans uel *saluatus* uel saluator. Armen. Onomast. Ósēē: der Befreite (*σωζόμενος*). — **21** Vgl. Lagarde, l. c. p. 29, 21: Beeri puteus meus siue *putei* mei.

τὸ] *τὸν* M, wie sonst in den Überschriften | nach *ἐξηγητικῶν* + *ὡριγένους* V | 3 *πρὸ*] *πρ* a. Ras. | **5** *ἐπισκοπῶμεν* We | **19** *τοῦ*] *ου* a. Ras. | **21** *δς*] *οὗ*, corr. V.

Digitized by Google

ἀναβλυστανούσης, σοφίας θεοῦ, ἕκαστος τῶν σωζομένων υἱὸς γίνεται. καὶ οὐδὲν θαυμαστὸν οὕτως υἱὸν φρεάτων εἶναι τὸν ἅγιον, ἀπὸ τῶν ἀνδραγαθημάτων πολλαχοῦ υἱὸν ὀνομαζόμενον, παρὰ μὲν τὸ λάμπειν αὐτοῦ »τὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων« »φωτός«, παρὰ δὲ τὸ ἔχειν τὴν »εἰρήνην τοῦ θεοῦ τὴν ὑπερέχουσαν πάντα νοῦν« »εἰρήνης«· ἔτι δὲ διὰ τὴν ἀπὸ τῆς σοφίας ὠφέλειαν, »τέκνον σοφίας«· »Ἐδικαιώθη 49R »γάρ φησιν, ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς.« οὕτως οὖν ὁ πάντα ἐρευνῶν θείῳ πνεύματι καὶ τὰ βάθη τοῦ θεοῦ. ὥστε ἀποφθέγξασθαι αὐτόν· »Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ«, δύναται εἶναι »φρεάτων υἱός«, πρὸς ὃν ὁ λόγος τοῦ κυρίου γίνεται. ὁμοίως λόγος καὶ πρὸς Ἡσαΐαν ἔρχεται, διδάσκων τὰ ἐν ἐσχάταις ἡμέραις ἀπαντησόμενα τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλήμ· ὡσαύτως δὲ καὶ πρὸς Ἱερεμίαν θείῳ μετεωρισμῷ ἐπαρθέντα· ἑρμηνεύεται γὰρ »Μετεωρισμὸς »Ἰαώ«. ἀλλὰ πρὸς μὲν τοὺς ἀνθρώπους πρότερον οὐ χωροῦντας τὴν τοῦ υἱοῦ τοῦ θεοῦ, λόγου τυγχάνοντος, ἐπιδημίαν ὁ λόγος γίνεται· »πρὸς δὲ τὸν θεὸν« οὐ γίνεται, ὡς πρότερον οὐκ ὢν πρὸς αὐτόν, παρὰ δὲ τὸ ἀεὶ συνεῖναι τῷ πατρὶ λέγεται· »Καὶ ὁ λόγος ἦν »πρὸς τὸν θεόν«· οὐ γὰρ »ἐγένετο πρὸς τὸν θεόν«. καὶ ταὐτὸν ῥῆμα τὸ »Ἦν« τοῦ λόγου κατηγορεῖται, ὅτε »ἐν ἀρχῇ ἦν« καὶ ὅτε »πρὸς τὸν θεὸν ἦν«, οὔτε τῆς ἀρχῆς χωριζόμενος οὔτε τοῦ πατρὸς ἀπολειπόμενος, καὶ πάλιν οὔτε ἀπὸ τοῦ μὴ εἶναι »ἐν ἀρχῇ« γινόμενος »ἐν ἀρχῇ« οὔτε ἀπὸ τοῦ μὴ τυγχάνειν »πρὸς τὸν θεὸν« ἐπὶ τὸ »πρὸς 131v »τὸν θεὸν« εἶναι γινόμενος· πρὸ γὰρ παντὸς χρόνου καὶ αἰῶνος »ἐν »ἀρχῇ ἦν ὁ λόγος«, καὶ »ὁ λόγος ἦν πρὸς τὸν θεόν«.

Ἐπεὶ τοίνυν εἰς εὕρεσιν τοῦ »Καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν« παρεθέμεθα λέξεις προφητικάς, πῶς ἐγένετο πρὸς Ὡσηὲ καὶ Ἡσαΐαν 46H καὶ Ἱερεμίαν, παρετηρήσαμέν τε οὐ τὴν τυχοῦσαν διαφορὰν τοῦ »Ἐγενήθη« καὶ »Ἐγένετο« πρὸς τὸ »Ἦν«, προσθήσομεν, ὅτι ἐν μὲν τῷ πρὸς τοὺς προφήτας γίνεσθαι φωτίζει τοὺς προφήτας τῷ φωτὶ τῆς γνώσεως, ποιῶν αὐτοὺς ἅτε ἔμπροσθεν βλέποντας ὁρᾶν, ἃ πρὸ αὐτοῦ οὐ κατενόουν· πρὸς δὲ τὸν θεὸν †τὸ »Θεός« ἐστι τυγχάνων

3 Vgl. Matth. 5, 16; Joh. 12, 36. — **4** Vgl. I Thess. 5, 5. — **5** Vgl. Phil. 4, 7; Luk. 10, 6. — **6** Vgl. Luk. 7, 35. — Matth. 11, 19. — **7** Vgl. I Kor. 2, 10. — **9** Röm. 11, 33. — **13** Vgl. Lagarde, Onomastica sacra² p. 199, 68f.: *Ἱερεμιὴλ μετεωρισμὸς θεοῦ.* Vgl. 218, 91 *Ἱερεμίας μετεωρισμὸς ὑψούμενος* [wo zwei Glossen contaminiert sind]. p. 94, 6: Ieremias excelsus domini. — Armen. Onomast. „Ieremia: Erhebung oder Spender des Wassers". Vgl. Fragm. LX in Jerem. (227, 27 Kl.) — **17** Joh. 1, 1. — **25** Joh. 1, 1.

11 *ἐσχάταις*] a^2 a. Ras. | **12** *ἀπαντησόμενα*] *ἀπαντησόμενον, ον* zu *α*, w. e. sch., corr. M | **15** *τοῦ* /// *υ|||υ* M | **19** *ὅτε*] *ὅτι*, corr. Br | **22** *τὸ*] *τῷ*, corr. We | **31** *πρὸς δὲ τὸν θεὸν ὢν αὐτὸς θεὸς κτλ.* We, viell. ist zu lesen: *πρὸς δὲ τὸν θεὸν τυγχάνων ὁ λό)γος θεός ἐστιν ἀπὸ τοῦ εἶναι πρὸς αὐτόν.*

Digitized by Google

ἀπὸ τοῦ εἶναι πρὸς αὐτόν. καὶ τάχα τοιαύτην τινὰ τάξιν ὁ Ἰωάννης ἐν τῷ λόγῳ ἰδὼν οὐ προέταξε τὸ »Θεὸς ἦν ὁ λόγος« τοῦ »Ὁ λόγος ἦν »πρὸς τὸν θεόν«, ὅσον ἐπὶ ταῖς ἀποφάσεσιν οὐδὲν ἂν κωλυθέντος τοῦ εἱρμοῦ πρὸς τὸ καθ' αὐτὸ ἰδεῖν ἑκάστου τῶν ἀξιωμάτων τὴν δύναμιν· Ἓν γὰρ ἀξίωμα τὸ »Ἐν ἀρχῇ ἦν ὁ λόγος« καὶ δεύτερον τὸ
12 »Ὁ λόγος ἦν πρὸς τὸν θεόν« καὶ ἑξῆς »Καὶ θεὸς ἦν ὁ λόγος«. ἀλλ' ἐπεὶ τάχα τάξιν τινὰ δηλοῖ τὸ πρῶτον τετάχθαι τὸ »Ἐν ἀρχῇ ἦν ὁ »λόγος« κατὰ τὸ οὕτως ἑξῆς τὸ »Καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν« καὶ τρίτον τὸ »Καὶ θεὸς ἦν ὁ λόγος«, διὰ τοῦτο, ἵνα δυνηθῇ ἀπὸ τοῦ »πρὸς τὸν θεὸν« εἶναι ὁ λόγος νοηθῆναι γινόμενος θεός, λέγεται· »Καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν«, ἔπειτα· »Καὶ θεὸς ἦν ὁ λόγος.«

13 II. Πάνυ δὲ παρατετηρημένως καὶ οὐχ ὡς ἑλληνικὴν ἀκριβολογίαν οὐκ ἐπιστάμενος ὁ Ἰωάννης ὅπου μὲν τοῖς ἄρθροις ἐχρήσατο ὅπου δὲ ταῦτα ἀπεσιώπησεν, ἐπὶ μὲν τοῦ λόγου προστιθεὶς τὸ »Ὁ«, ἐπὶ
14 δὲ τῆς θεὸς προσηγορίας ὅπου μὲν τιθεὶς ὅπου δὲ [δι]αἴρων. τίθησιν μὲν γὰρ τὸ ἄρθρον, ὅτε ἡ »θεὸς« ὀνομασία ἐπὶ τοῦ ἀγενήτου τάσσεται τῶν ὅλων αἰτίου, σιωπᾷ δὲ αὐτό, ὅτε ὁ λόγος »θεὸς« ὀνομάζεται. ὡς δὲ διαφέρει κατὰ τούτους τοὺς τόπους »ὁ θεὸς« καὶ »θεός«,
15 οὕτως μήποτε διαφέρῃ »ὁ λόγος« καὶ »λόγος«. ὃν τρόπον γὰρ ὁ ἐπὶ πᾶσι θεὸς »ὁ θεὸς« καὶ οὐχ ἁπλῶς »θεός«, οὕτως ἡ πηγὴ τοῦ ἐν ἑκάστῳ τῶν λογικῶν λόγου »ὁ λόγος«, τοῦ ἐν ἑκάστῳ λόγου οὐκ ἂν κυρίως ὁμοίως τῷ πρώτῳ ὀνομασθέντος καὶ λεχθέντος »ὁ λόγος«.

16 Καὶ τὸ πολλοὺς φιλοθέους εἶναι εὐχομένους ταράσσον, εὐλαβουμένους δύο ἀναγορεῦσαι θεοὺς καὶ παρὰ τοῦτο περιπίπτοντας ψευδέσι καὶ ἀσεβέσι δόγμασιν, ἤτοι ἀρνουμένους ἰδιότητα υἱοῦ ἑτέραν παρὰ τὴν τοῦ πατρός, ὁμολογοῦντας θεὸν εἶναι τὸν μέχρι ὀνόματος παρ' αὐτοῖς »υἱὸν« προσαγορευόμενον, ἢ ἀρνουμένους τὴν θεότητα τοῦ υἱοῦ τιθέντας δὲ αὐτοῦ τὴν ἰδιότητα καὶ τὴν οὐσίαν κατὰ περιγραφὴν τυγχάνουσαν ἑτέραν τοῦ πατρός, ἐντεῦθεν λύεσθαι δύναται. λεκτέον γὰρ αὐτοῖς, ὅτι τότε μὲν αὐτόθεος ὁ θεός ἐστι, διόπερ καὶ ὁ σωτὴρ φησιν ἐν τῇ πρὸς τὸν πατέρα εὐχῇ· »Ἵνα γινώσκωσι σὲ τὸν μόνον »ἀληθινὸν θεόν·« πᾶν δὲ τὸ παρὰ τὸ αὐτόθεος μετοχῇ τῆς ἐκείνου θεότητος θεοποιούμενον οὐχ »ὁ θεὸς« ἀλλὰ »θεὸς« κυριώτερον ἂν λέγοιτο, οὗ πάντως »ὁ πρωτότοκος πάσης κτίσεως«, ἅτε πρῶτος τῷ πρὸς τὸν θεὸν εἶναι σπάσας τῆς θεότητος εἰς ἑαυτόν, ἐστὶ τιμιώτερος τοῖς λοιποῖς παρ' αὐτὸν θεοῖς (ὧν ὁ θεὸς θεός ἐστι κατὰ τὸ λεγόμενον· »Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν«) διακονήσας 132r 51R

2 Joh. 1, 1. — 31 Joh. 17, 3. — 34 Vgl. Kol. 1, 15. — 37 Ps. 49, 1.

8 κατὰ] viell. z. l. καὶ | 15 [δι]αἴρων] διαιρῶν M, corr. Pr, ἀφαιρῶν? σιωπῶν We | 29 δύναται] τ a. Ras. | 34 οὗ] ὧ, corr. Jacobi, ὡς We.

Digitized by Google

τὸ γενέσθαι θεοῖς, ἀπὸ τοῦ θεοῦ ἀρυσά⟨μενος⟩ εἰς τὸ θεοποιηθῆναι αὐτούς, ἀφθόνως κἀκείνοις κατὰ τὴν αὐτοῦ χρηστότητα μεταδιδούς. ἀληθινὸς οὖν θεὸς ὁ θεός, οἱ δὲ κατ' ἐκεῖνον μορφούμενοι θεοὶ ὡς 18
εἰκόνες πρωτοτύπου· ἀλλὰ πάλιν τῶν πλειόνων εἰκόνων ἡ ἀρχέτυπος
5 εἰκὼν ὁ πρὸς τὸν θεόν ἐστι λόγος, ὃς »ἐν ἀρχῇ« ἦν, τῷ εἶναι »πρὸς »τὸν θεὸν« ἀεὶ μένων »θεός«, οὐκ ἂν δ' αὐτὸ ἐσχηκὼς εἰ μὴ πρὸς θεὸν ἦν, καὶ οὐκ ἂν μείνας θεός, εἰ μὴ παρέμενε τῇ ἀδιαλείπτῳ θέᾳ τοῦ πατρικοῦ βάθους.

III. Ἀλλ' ἐπεὶ εἰκὸς προσκόψειν τινὰς τοῖς εἰρημένοις, ἑνὸς μὲν 19
10 ἀληθινοῦ θεοῦ τοῦ πατρὸς ἀπαγγελλομένου παρὰ δὲ τὸν ἀληθινὸν θεὸν θεῶν πλειόνων τῇ μετοχῇ τοῦ θεοῦ γινομένων, εὐλαβουμένους τὴν τοῦ πᾶσαν κτίσιν ὑπερέχοντος δόξαν ἐξισῶσαι τοῖς λοιποῖς τῆς »θεὸς« προσηγορίας τυγχάνουσι, πρὸς τῇ ἀποδεδομένῃ διαφορᾷ, καθ' ἣν ἐφάσκομεν πᾶσι τοῖς λοιποῖς θεοῖς διάκονον εἶναι τῆς θεότητος
15 τὸν θεὸν λόγον, καὶ ταύτην παραστατέον. ὁ γὰρ ἐν ἑκάστῳ λόγος 20
τῶν λογικῶν τοῦτον τὸν λόγον ἔχει πρὸς τὸν ἐν ἀρχῇ λόγον πρὸς τὸν θεὸν ὄντα λόγον θεόν, ὃν ὁ θεὸς λόγος πρὸς τὸν θεόν· ὡς γὰρ αὐτόθεος καὶ ἀληθινὸς θεὸς ὁ πατὴρ πρὸς εἰκόνα καὶ εἰκόνας τῆς εἰκόνος, (διὸ καὶ »κατ' εἰκόνα« λέγονται εἶναι οἱ ἄνθρωποι, οὐκ
20 »εἰκόνες«) οὕτως ὁ αὐτόλογος πρὸς τὸν ἐν ἑκάστῳ λόγον. ἀμφότερα γὰρ πηγῆς ἔχει χώραν, ὁ μὲν πατὴρ θεότητος, ὁ δὲ υἱὸς λόγου. ὥσπερ 21
οὖν θεοὶ πολλοὶ ἀλλ' ἡμῖν »εἷς θεός, ὁ πατήρ«, καὶ πολλοὶ κύριοι ἀλλ' ἡμῖν »εἷς κύριος, Ἰησοῦς Χριστός«, οὕτως πολλοὶ λόγοι ἀλλ' ἡμῖν εὐχόμεθα ὅπως ὑπάρξῃ ὁ ἐν ἀρχῇ λόγος ὁ πρὸς τὸν θεὸν ὤν,
25 ὁ θεὸς λόγος. ὃς γὰρ οὐ χωρεῖ τοῦτον τὸν λόγον, τὸν ἐν ἀρχῇ 22
πρὸς τὸν θεόν, ἤτοι αὐτῷ γενομένῳ σαρκὶ προσέξει, ἢ μεθέξει τῶν
48H μετεσχηκότων τινὸς τούτου τοῦ λόγου, ἢ ἀποπεσὼν τοῦ μετέχειν τοῦ μετεσχηκότος ἐν πάντῃ ἀλλοτρίῳ τοῦ λόγου ⟨λόγῳ⟩ ἔσται καλουμένῳ. σαφὲς δὲ ἔσται τὸ εἰρημένον ἐκ παραδειγμάτων τῶν περὶ 23
30 τοῦ θεοῦ καὶ τοῦ θεοῦ λόγου καὶ θεῶν ἤτοι μετεχόντων θεοῦ ἢ
52R λεγομένων μὲν οὐδαμῶς δὲ ὄντων θεῶν, καὶ πάλιν λόγου θεοῦ καὶ λόγου γενομένου [θεοῦ] σαρκὸς καὶ λόγων ἤτοι μετεχόντων πως τοῦ

3 Vgl. Joh. 17, 3. — 5 Vgl. Joh. 1, 1. — 9 Vgl. Joh. 17, 3. — 16 Vgl. Joh. 1, 1. — 19 Vgl. Gen. 1, 26. — 21 Vgl. I Kor. 8, 5f. — 24 Vgl. Joh. 1, 1. — 26 Vgl. Joh 1, 14.

1 ἀρυσάμενος V, ἀρυσά M a. Ende d. Zeile | 6 θεός a. Ras. | 9 nach εἰρημένοις + ⟨ὡς⟩ We | 12 nach λοιποῖς + ⟨τοῖς⟩ We | 16 λόγον¹] viell. τόπον z. l. | 20 αὐτόλογος] αὐτὸς λόγος, corr. Br | ἐν a. Ras. M | 24 ὤν] ὢν | 28 μετεσχηκότος] η a. Ras., κ scheint aus ν corr. (μετέσχεν M*?) M | ⟨λόγῳ⟩ + Pr, vgl. S. 56, Z. 2ff. | 31 θεοῦ] als falsches Glossem zu str. | λόγων] λόγον M, corr. V.

Digitized by Google

λόγου. λόγων δευτέρων ἢ τρίτων παρὰ τὸν πρὸ πάντων. νομιζομέ-
νων μὲν λόγων οὐκ ὄντων δὲ ἀληθῶς λόγων ἀλλ', ἵν' οὕτως εἴπω.
ὅλον τοῦτο ἀλόγων λόγων, ὥσπερ καὶ ἐπὶ τῶν λεγομένων μέν. οὐκ
ὄντων δὲ θεῶν τάξαι τις ἂν ἀντὶ τοῦ ἀλόγων λόγων τὸ οὐ θεῶν·
24 θεῶν. ὁ μὲν οὖν θεὸς τῶν ὅλων τῆς ἐκλογῆς ἐστι θεός. καὶ πολὺ
μᾶλλον τοῦ τῆς ἐκλογῆς σωτῆρος· ἔπειτα τῶν ἀληθῶς θεῶν ἐστι
θεός, καὶ ἁπαξαπλῶς ζώντων καὶ οὐ νεκρῶν ἐστι θεός. ὁ δὲ θεὸς
λόγος τάχα τῶν ἐν αὐτῷ ἱστάντων τὸ πᾶν καὶ τῶν πατέρα αὐτὸν
25 νομιζόντων ἐστὶν θεός. ἥλιος δὲ καὶ σελήνη καὶ ἀστέρες, ὥς τινες
τῶν πρὸ ἡμῶν διηγήσαντο, ἀπενεμήθησαν τοῖς μὴ ἀξίοις | ἐπιγρά- 132v
φεσθαι τὸν θεὸν τῶν θεῶν θεὸν αὐτῶν εἶναι. οὕτω δὲ ἐξεδέξαντο κινη-
θέντες ἐκ τῶν ἐν τῷ Δευτερονομίῳ τὸν τρόπον τοῦτον ἐχόντων.
»Μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην
»καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς
»καὶ λατρεύσῃς αὐτοῖς, ἃ ἀπένειμεν αὐτὰ κύριος ὁ θεός σου πᾶσι
26 »τοῖς ἔθνεσιν. ὑμῖν δὲ οὐχ οὕτως ἔδωκε κύριος ὁ θεός σου.« πῶς
γὰρ ἀπένειμε πᾶσι τοῖς ἔθνεσιν ἥλιον καὶ σελήνην καὶ πάντα τὸν
κόσμον τοῦ οὐρανοῦ ὁ θεός, οὐχ οὕτως δεδωκὼς αὐτὰ τῷ Ἰσραήλ·
τῷ τοὺς μὴ δυναμένους ἐπὶ τὴν νοητὴν ἀναδραμεῖν φύσιν, δι' αἰσθη-
τῶν θεῶν κινουμένους περὶ θεότητος, ἀγαπητῶς κἂν ἐν τούτοις
27 ἵστασθαι καὶ μὴ πίπτειν ἐπὶ εἴδωλα καὶ δαιμόνια. οὐκοῦν οἱ μὲν
θεὸν ἔχουσι τὸν τῶν ὅλων θεόν, οἱ δὲ παρὰ τούτους δεύτεροι ἱστά-
μενοι ἔτι τὸν υἱὸν τοῦ θεοῦ τὸν χριστὸν αὐτοῦ· καὶ τρίτοι οἱ τὸν
ἥλιον καὶ τὴν σελήνην καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, ἀπὸ θεοῦ
μὲν πλανηθέντες, πλὴν πλάνην πολλῷ διαφέρουσαν καὶ κρείττονα
τῶν καλούντων θεοὺς ἔργα χειρῶν ἀνθρώπων, χρυσὸν καὶ ἄργυρον,
τέχνης ἐμμελετήματα. τελευταῖοι δέ εἰσιν οἱ λεγομένοις μὲν θεοῖς
ἀνακείμενοι οὐδαμῶς δὲ οὖσιν θεοῖς.

28 Οὕτω τοίνυν οἱ μέν τινες μετέχουσιν αὐτοῦ τοῦ »ἐν ἀρχῇ« λόγου 49 H
καὶ »πρὸς τὸν θεὸν« λόγου καὶ »θεοῦ« λόγου, ὥσπερ Ὡσηὲ καὶ
Ἡσαΐας καὶ Ἱερεμίας καὶ εἴ τις ἕτερος τοιοῦτον ἑαυτὸν παρέστησεν.
29 ὡς »τὸν λόγον κυρίου« ἢ »τὸν λόγον« γενέσθαι πρὸς αὐτόν· ἕτεροι
δὲ οἱ μηδὲν εἰδότες »εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον«.
τὸν γενόμενον σάρκα λόγον τὸ πᾶν νομίσαντες εἶναι τοῦ λόγου.

5 Vgl. Röm. 11, 7. — 7 Vgl. Matth. 22, 32. — 9 Vgl. Clemens Alex., Strom. VI, 14, 110. — 13 Deut. 4, 19. — 26 Vgl. Ps. 113, 12. — 29 Vgl. Joh. 1, 1. — 32 Vgl. Hos. 1, 1. — Vgl. Jes. 2, 1. Jer. 14, 1. — 33 I Kor. 2, 2. — 34 Vgl. Joh. 1, 14.

1 λόγων] aus λόγον corr. | 19 φύσιν] σι a. Ras., ν aus einem andern Buchst. corr. | 23 ἔτι] ἐπὶ, corr. Pr | zu οἱ ist ἔχοντες hinzuzudenken, aber nicht mit Jacobi zuzusetzen | 25 nach πλανηθέντες ein Buchst. ausr. | κρείττονα] ρ a. Ras. | 27 ἐμμελέτημα, corr. V.

Digitized by Google

Χριστὸν κατὰ σάρκα μόνον γινώσκουσι· τοιοῦτον δέ ἐστι τὸ πλῆθος τῶν πεπιστευκέναι νομιζομένων. καὶ τρίτοι λόγοις μετέχουσί τι τοῦ 30
λόγου ὡς πάντα ὑπερέχουσι λόγον προσεσχήκασι, καὶ μήποτε οὗτοί εἰσιν οἱ μετερχόμενοι τὰς εὐδοκιμούσας καὶ διαφερούσας ἐν φιλοσοφίᾳ
5 *παρ' Ἕλλησιν αἱρέσεις. τέταρτοι δὲ παρὰ τούτους οἱ πεπιστευκότες* 31
λόγοις πάντη διεφθορόσι καὶ ἀθέοις, τὴν ἐναργῆ καὶ σχεδὸν αἰσθητὴν πρόνοιαν ἀναιροῦσι καὶ ἄλλο τι τέλος παρὰ τὸ καλὸν ἀποδεχομένοις.

Εἰ καὶ ἐδόξαμεν δὲ παρεκβεβηκέναι, οἶμαι δ' ὅτι παρακειμένως 32
ὑπὲρ τοῦ σαφῶς ἰδεῖν τέσσαρα τάγματα κατὰ τὸ »θεὸς« ὄνομα καὶ
10 *τέσσαρα κατὰ τὸ »λόγος« τοῦτο πεποιήκαμεν. ἦν γὰρ »ὁ θεὸς« καὶ »θεός«, εἶτα »θεοὶ« διχῶς, ὧν τοῦ κρείττονος τάγματος ὑπερέχει ὁ »θεὸς λόγος« ὑπερεχόμενος ὑπὸ τοῦ τῶν ὅλων »θεοῦ«. καὶ πάλιν ἦν »ὁ λόγος«, τάχα δὲ καὶ »λόγος«, ὁμοίως τῷ »ὁ θεὸς« καὶ »θεός«. καὶ »οἱ λόγοι« διχῶς, οἰκεῖοί τε ἀνθρώπινοι· οἱ μὲν τῷ πατρί, μερίδες*
15 *ὄντες αὐτοῦ· καὶ τούτοις παρακείμενοι, οὓς νῦν σαφέστερον ὁ λόγος*
133r *ἡμῖν παρίστησιν, οἱ ἐπὶ | τὸν σωτῆρα φθάσαντες καὶ τὸ πᾶν ἐν αὐτῷ ἱστάντες. καὶ τρίτοι οἱ προειρημένοι, ἥλιον καὶ σελήνην καὶ ἀστέρας νομίζοντες θεοὺς καὶ ἐν αὐτοῖς ἱστάμενοι. ἐπὶ πᾶσι δὲ καὶ ἐν τῇ κάτω χώρᾳ οἱ τοῖς ἀψύχοις καὶ νεκροῖς εἰδώλοις ἐγκείμενοι. τὸ δὲ* 33
20 *ἀνάλογον καὶ ἐπὶ τῶν κατὰ τὸν λόγον εὑρίσκομεν. οἱ μὲν γὰρ αὐτῷ τῷ λόγῳ κεκόσμηνται· οἱ δὲ παρακειμένῳ τινὶ αὐτῷ καὶ δοκοῦντι εἶναι αὐτῷ τῷ πρώτῳ λόγῳ, οἱ μηδὲν εἰδότες »εἰ μὴ Ἰησοῦν Χριστὸν »καὶ τοῦτον ἐσταυρωμένον«, οἱ τὸν λόγον σάρκα ὁρῶντες· καὶ τρίτοι, οὓς πρὸ βραχέος εἰρήκαμεν. τί δὲ δεῖ λέγειν περὶ τῶν νομιζομένων*
25 *μὲν ἐν λόγῳ τυγχάνειν, ἀποπεπτωκότων δὲ οὐ μόνον αὐτοῦ τοῦ καλοῦ ἀλλὰ καὶ τῶν ἰχνέων τῶν μετεχόντων αὐτοῦ;*

I, 2. *Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν.*

54R IV. *Διὰ τῶν προειρημένων τριῶν προτάσεων τάγματα τρία δι-* 34
δάξας ἡμᾶς ὁ εὐαγγελιστὴς συγκεφαλαιοῦται τὰ τρία εἰς ἕν, λέγων
30 *τὸ »Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν«. πρῶτον δὲ τῶν τριῶν με-* 35
μαθήκαμεν, ἐν τίνι ἦν ὁ λόγος, ὅτι »ἐν ἀρχῇ«, καὶ πρὸς τίνα οὗτος ἦν, ὅτι »πρὸς τὸν θεόν«, καὶ τίς ὁ λόγος ἦν, ὅτι »θεός«. οἱονεὶ οὖν δεικνὺς τὸν προειρημένον θεὸν λόγον διὰ τοῦ »Οὗτος«, καὶ

1 Vgl. II Kor. 5, 16. — **17** Vgl. S. 56, 9ff. — **22** Vgl. I Kor. 2, 2. — **23** Vgl. II Kor. 5, 16. Vgl. Z. 2ff. — **30** Joh. 1, 2. — **31** Vgl. Joh. 1, 1.

6 *ἀθέοις*] *α* aus *αν* corr. | **9** *τάγματα*] *πράγματα*, corr. Pr, vgl. Z. 11. 28 | **11** *ὑπερέχειν*, corr. Hu | **14** *ἀνθρώπινοι*] *ἄνθρωποι* Lommatzsch | **19** *ἐγκείμενοι*] *ἐκκείμενοι*, corr. Pr | **25** *μόνων* M | **26** *τῶν*²] *καὶ*, vgl. S. 55, 25ff. Doch steckt wahrscheinl. in *ἰχνέων* auch ein Verbum; We hält *ἰχνέων καὶ* für Dittographie von *μετεχόντων* | **31** *ὅτι*] nach *τ* ein Buchst. ausr.

Digitized by Google

συνάγων εἰς τετάρτην πρότασιν τό τε »Ἐν ἀρχῇ ἦν ὁ λόγος« καὶ τὸ »Ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος« φησίν· »Οὗτος
36 »ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν.« δύναται μέντοι γε τὸ τῆς ἀρχῆς ὄνομα λαμβάνεσθαι καὶ ἐπὶ τῆς τοῦ κόσμου ἀρχῆς, μανθανόντων ἡμῶν διὰ τῶν λεγομένων ὅτι πρεσβύτερος ὁ λόγος τῶν ἀπ᾽ ἀρχῆς γενομένων ἦν. εἰ γὰρ »ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν«, τὸ δὲ »Ἐν ἀρχῇ ἦν« σαφῶς πρεσβύτερόν ἐστι τοῦ ἐν ἀρχῇ πεποιημένου, οὐ μόνον στερεώματος καὶ ξηρᾶς, ἀλλὰ οὐρανοῦ καὶ γῆς πρεσβύτερός
37 ἐστιν ὁ λόγος. τάχα δὲ οὐκ ἀτόπως τις ζητήσαι ἂν διὰ τί οὐκ εἴρηται· »Ἐν ἀρχῇ ἦν ὁ λόγος« τοῦ θεοῦ »καὶ ὁ λόγος« τοῦ θεοῦ »ἦν πρὸς »τὸν θεόν καὶ θεὸς ἦν ὁ λόγος« τοῦ θεοῦ. ἀκόλουθον δέ ἐστιν τὸν ζητοῦντα, τί δήποτε οὐ γέγραπται· »Ἐν ἀρχῇ ὁ λόγος τοῦ θεοῦ«, καὶ τὰ ἑξῆς, πλείονας ἀποφαίνεσθαι λόγους καὶ τάχα ἑτερογενεῖς ὧν ὁ μέν τις τοῦ θεοῦ λόγος, ἕτερος δὲ φέρε εἰπεῖν ἀγγέλων λόγος, καὶ
38 ἄλλος ἀνθρώπων, καὶ οὕτως ἐπὶ τῶν λοιπῶν λόγων. εἰ δὲ λόγος, τάχα καὶ »σοφία« καὶ »δικαιοσύνη«. ἄτοπον δὲ πλείονας φάσκειν τῆς »λόγος« προσηγορίας κυρίως τυγχάνειν καὶ τῆς »σοφία« καὶ τῆς »δικαιοσύνη«. καὶ πληχθησόμεθα πρὸς τὸ μὴ δεῖν ζητεῖν πλείονας λόγους καὶ σοφίας καὶ δικαιοσύνας, κυρίως οὕτως ὀνομαζόμενα, ἀπὸ
39 τῆς ἀληθείας. πᾶς γὰρ ὁστισοῦν ὁμολογήσαι ἂν μίαν εἶναι τὴν ἀλήθειαν· οὐ γὰρ καὶ ἐπ᾽ αὐτῆς τολμήσαι ⟨ἄν⟩ τις λέγειν ἑτέραν εἶναι τὴν τοῦ θεοῦ ἀλήθειαν καὶ ἑτέραν τὴν τῶν ἀγγέλων καὶ ἄλλην τὴν τῶν ἀνθρώπων· ἐν γὰρ τῇ φύσει τῶν ὄντων μία ἡ περὶ ἑκάστου
40 ἀλήθεια. εἰ δὲ ἀλήθεια μία, δῆλον ὅτι καὶ ἡ κατασκευὴ αὐτῆς καὶ ἡ ἀπόδειξις σοφία τυγχάνουσα μία εὐλόγως ἂν νοοῖτο, πάσης τῆς νομιζομένης | σοφίας οὐ κρατούσης τῆς ἀληθείας οὐδὲ σοφίας ἂν ὑγιῶς 13 R
χρηματιζούσης. εἰ δ᾽ ἀλήθεια μία καὶ σοφία μία, καὶ λόγος ὁ ἀπαγγέλλων τὴν ἀλήθειαν καὶ τὴν σοφίαν ἁπλῶν καὶ φανερῶν εἰς τοὺς
41 χωρητικοὺς εἰς ἂν τυγχάνοι. καὶ οὐχὶ ταῦτά φαμεν ἀρνούμενοι τὴν ἀλήθειαν καὶ τὴν σοφίαν καὶ τὸν λόγον εἶναι τοῦ θεοῦ, ἀλλὰ δεικνύντες τὸ χρήσιμον τοῦ σεσιωπῆσθαι »Τοῦ θεοῦ«, καὶ μὴ ἀναγεγράφθαι· »Ἐν ἀρχῇ ἦν ὁ λόγος τοῦ θεοῦ.«

42 V. Ὁ αὐτὸς δὲ Ἰωάννης ἐν τῇ Ἀποκαλύψει καὶ μετὰ τῆς προσθήκης αὐτὸν ὀνομάζει τῆς θεοῦ λέγων· »Καὶ εἶδον οὐρανὸν ⟨τὸν⟩ ἀνε- 51 H
»ῳγμένον· καὶ ἰδοὺ ἵππος λευκὸς καὶ ὁ καθήμενος ἐπ᾽ αὐτὸν καλούμενος

1 Joh. 1, 1. — **6** Gen. 1, 1. — **7** Joh. 1, 1. — **10** Joh. 1, 1. — **34** Apok. 19, 11—16.

6 nach *ἀρχῇ* + *ἦν*, doch expungiert | **7** *ἦν*] *ὄν*? We | **13** *ὧν*] *ἤ*, corr. We **17** *τῆς*[2]] *τῇ*, corr. Hu | *τῆς*[3]] *τῇ* corr. Hu | **18** *πληχθησόμεθα*] *χ* a. Ras. | **19** *ὀνομαζομένας* Br | **20** *πᾶς γὰρ* a. Ras. | **21** ⟨*ἄν*⟩ + Pr | **23** *ἑκάστου*] *κασ* a. Ras. | **25** *πάσης*] *αση* a. Ras. | **34** ⟨*τὸν*⟩ + Pr, vgl. S. 59, 23.

Digitized by Google

»πιστὸς καὶ ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ· οἱ δὲ »ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδή»ματα πολλά· ἔχων ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός, »καὶ περιβεβλημένος ἱμάτιον †ῥεραντισμένον αἵματι, καὶ ἐκέκλητο »τὸ ὄνομα αὐτοῦ »Λόγος τοῦ θεοῦ«. καὶ τὰ στρατεύματα αὐτοῦ »ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐπὶ ἵπποις λευκοῖς ἐνδεδυμένοις »βύσσινον * καθαρόν. καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται »ῥομφαία ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάξῃ τὰ ἔθνη, καὶ αὐτὸς ποιμανεῖ »αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τῆς »ὀργῆς τοῦ θυμοῦ τοῦ θεοῦ τοῦ παντοκράτορος. καὶ ἔχει ἐπὶ τὸ »ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ ὄνομα γεγραμμένον ›Ὁ βασιλεὺς »βασιλέων καὶ κύριος κυρίων‹.« ἀναγκαίως δὲ καὶ ἀπολύτως εἴρηται 43
καὶ »λόγος« καὶ μετὰ προσθήκης »λόγος τοῦ θεοῦ«· ὧν εἰ τὸ ἕτερον σεσιώπητο, ἀφορμὰς ἂν εἴχομεν τοῦ παρεκδέξασθαι καὶ ἀποπεσεῖν τῆς περὶ τοῦ λόγου ἀληθείας. εἰ γὰρ »λόγος« μὲν ἀναγέγραπτο »λόγος δὲ θεοῦ« μὴ εἴρητο, οὐ σαφῶς ἐμανθάνομεν, ὅτι οὗτος ὁ λόγος »λόγος τοῦ θεοῦ« ἐστι. πάλιν τ᾽ αὖ εἰ »λόγος μὲν θεοῦ« 44
προσηγόρευτο, »λόγος« δὲ ἀπολύτως οὐκ εἴρητο, κἂν πολλοὺς λόγους ἀναπλάσσοντες κατὰ τὴν πρὸς ἕκαστον τῶν λογικῶν σχέσιν μάτην ἂν πολλοὺς κυρίως οὕτως ὀνομαζομένους παρεδεξάμεθα. καλῶς 45
μέντοι γε διαγράφων τὰ περὶ τοῦ λόγου τοῦ θεοῦ ἐν τῇ Ἀποκαλύψει ὁ ἀπόστολος καὶ ὁ εὐαγγελιστής, ἤδη δὲ καὶ διὰ τῆς Ἀποκαλύψεως καὶ προφήτης, φησὶ τὸν τοῦ θεοῦ λόγον ἑωρακέναι ἐν ἀνεῳγότι τῷ οὐρανῷ ἐφ᾽ ἵππῳ λευκῷ ὀχούμενον. τί δὲ αἰνίττεται τὸ ἀνεῳχθαι 46
τὸν οὐρανὸν καὶ ὁ λευκὸς ἵππος καὶ τὸ ἐπ᾽ αὐτοῦ καθέζεσθαι τὸν καλούμενον τοῦ θεοῦ λόγον, πρὸς τῷ εἶναι θεοῦ λόγον καὶ πιστὸν καὶ ἀληθινὸν καὶ ἐν δικαιοσύνῃ κρίνοντα καὶ πολεμοῦντα λεγόμενον, κατανοητέον, ἵνα ἔτι μᾶλλον προβιβασθῶμεν τῷ ἐκλαβεῖν τὰ περὶ »τοῦ λόγου τοῦ θεοῦ«. κεκλεῖσθαι δὲ ἡγοῦμαι τὸν οὐρανὸν τοῖς 47
58R ἀσεβέσι καὶ τὴν εἰκόνα τοῦ χοϊκοῦ φέρουσιν, ἀνεῳχθαι δὲ τοῖς δικαίοις
134r καὶ κεκοσμημένοις τῇ τοῦ ἐπουρανίου εἰκόνι· τοῖς μὲν γάρ, | ἅτε κάτω τυγχάνουσι καὶ ἐν σαρκὶ ἔτι ὑπάρχουσιν, ἀποκέκλειστται τὰ κρείττονα

23 Vgl. Apok. 19, 11. — 30 Vgl. I Kor. 15, 49.

4 ῥεραντισμένον M, ἐρραντισμένον Edd.; aber S. 62, 21 ῥεραμμένον; wahrsch. zu lesen βεβαμμένον (mit A. 1. 6. 7. 38. Q. 71) | 6 ἐνδεδυμένοις MV (= ℵ*), ἐνδεδυμένοι Hu; vgl. aber S. 63, 1 | 7 nach βύσσινον ist wohl mit 63, 1 λευκὸν καὶ einzufügen | 8 πατάξῃ] η a. Ras. M (πατάξει ℵ 7) | 13 προσθήκης] σ^1 a. Ras. | 14 σεσιώπητο] εσι a. Ras. | παρεκδέξασθαι] παραδέξασθαι, corr. Hu | 16 σαφῶς ⟨ἂν⟩ We, wohl richtig | 18 προσηγόρευτο] προσηγορεύετο, corr. We | 23 καὶ viell. zu str. | 26 τῷ] τὸ, corr. Br | 27 κρίνοντα] κρινοῦντα, corr. We.

Digitized by Google

οὐ συνιέναι αὐτὰ οὐδὲ τὸ κάλλος αὐτῶν δυναμένοις. ἐπεὶ μὴ βούλονται κατανοεῖν συγκύπτοντες καὶ μὴ ἐπιδιδόντες αὑτοὺς εἰς τὸ ἀνακύπτειν· τοῖς δὲ διαφέρουσιν, ἅτε τὸ πολίτευμα ἔχουσιν ἐν οὐρανοῖς, 52H
τὰ οὐράνια τῇ κλειδὶ τοῦ Δαβὶδ ἀνέῳγε θεωρούμενα. τοῦ θείου λόγου ἀνοίγοντος αὐτὰ καὶ σαφηνίζοντος διὰ τοῦ ὀχεῖσθαι ἵππῳ, φωναῖς τὰ σημαινόμενα ἀπαγγελλούσαις, λευκῷ διὰ τὸ φανερὸν καὶ τὸ λευκὸν καὶ φωτεινὸν τῆς γνώσεως.

48 VI. Καθέζεται δὲ ἐπὶ τὸν λευκὸν ἵππον ὁ καλούμενος »πιστός«, ἱδρυμένος βεβαιώτερον καί, ἵν' οὕτως εἴπω, βασιλικώτερον ἐν φωναῖς ἀνατραπῆναι μὴ δυναμέναις, παντὸς ἵππου ὀξύτερον καὶ τάχιον τρεχούσαις καὶ παρευδοκιμούσαις ἐν τῇ φορᾷ πάντα τὸν ἀνταγωνιστὴν ὑποκριτὴν λόγου νομιζόμενον λόγον καὶ ἀληθείας δοκοῦσαν ἀλήθειαν.
49 καλεῖται δὲ »πιστὸς« ὁ ἐπὶ τοῦ λευκοῦ ἵππου οὐ διὰ τὸ πιστεύειν ὅσον διὰ τὸ πιστευτὸς εἶναι, τουτέστι, τοῦ πιστεύεσθαι ἄξιος· κύριος γὰρ κατὰ τὸν Μωσέα πιστὸς καὶ ἀληθινός. καὶ ἀληθινὸς γὰρ πρὸς ἀντιδιαστολὴν σκιᾶς καὶ τύπου καὶ εἰκόνος, ἐπεὶ τοιοῦτος ὁ ἐν τῷ ἀνεῳγότι οὐρανῷ λόγος· ὁ γὰρ ἐπὶ γῆς οὐ τοιοῦτος ὁποῖος ὁ ἐν οὐρανῷ, ἅτε γενόμενος σὰρξ καὶ διὰ σκιᾶς καὶ τύπων καὶ εἰκόνων
50 λαλούμενος. τὰ δὲ πλήθη τῶν πεπιστευκέναι νομιζομένων τῇ σκιᾷ τοῦ λόγου καὶ οὐχὶ τῷ ἀληθινῷ λόγῳ θεοῦ ἐν τῷ ἀνεῳγότι οὐρανῷ τυγχάνοντι μαθητεύεται. διόπερ ὁ Ἱερεμίας φησί· »Πνεῦμα προσώπου »ἡμῶν χριστὸς κύριος, οὗ εἴπομεν· Ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν
51 »τοῖς ἔθνεσιν.« οὗτος δὴ ὁ λόγος τοῦ θεοῦ ὁ πιστὸς καλούμενος καὶ ἀληθινὸς καλεῖται καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ, τῇ αὐτοδικαιοσύνῃ καὶ αὐτοκρίσει τὸ κατ' ἀξίαν ἑκάστου τῶν ὄντων
52 ἀπονέμειν ἀπὸ θεοῦ δύνασθαι λαβὼν καὶ κρίνειν. οὐδεὶς γὰρ τῶν μετεχόντων δικαιοσύνης καὶ τῆς τοῦ κρίνειν λαὸν δυνάμεως οὕτω πάντη ἐναπομάξασθαι ἑαυτοῦ τῇ ψυχῇ δυνήσεται τοὺς τῆς δικαιοσύνης τύπους καὶ τοῦ κρίνειν, ὥστε ἐν μηδενὶ ἀποδεῖν τῆς αὐτοδικαιοσύνης καὶ τῆς αὐτοκρίσεως, ὡς οὐδὲ ὁ γράφων εἰκόνα οἷός τε ἔσται μετα-
53 δοῦναι πάντων τῶν τοῦ γραφομένου ἰδιωμάτων τῇ γραφῇ. διὰ τοῦτο δὴ ἡγοῦμαι τὸν Δαβὶδ λέγειν τὸ »Οὐ δικαιωθήσεται ἐνώπιόν »σου πᾶς ζῶν«· οὐ γὰρ ἁπαξαπλῶς εἶπε »πᾶς ἄνθρωπος« ἢ »πᾶς 57R

3 Vgl. Phil. 3, 20. — 4 Vgl. Apok. 3, 7. — 5 Vgl. Apok. 19, 11. — 8 Vgl. Apok. 19. 11. — 15 Vgl. Deut. 32, 4. — 18 Vgl. Joh. 1, 14. — 21 Klagel. 4, 20. — 32 Ps. 142, 2.

1 *συνιέναι*] *συνιεῖσιν*, corr. We, | *δυναμένοις*] *με* a. Ras. | 2 *συγκύπτοντες* V, *συγ* nicht mehr deutl. zu erkennen, da die Tinte d. Papier durchfressen hat M, *ἐγκύπτοντες* We | 9 *φωναῖς*] *αις* a. Ras. | 11 *ἀνταγωνιστὴν*] *ἀν* a. Ras. | 14 *πιστευτὸς*] τ^2 a. Ras.; urspr. zwei Buchst. | 21 *μαθητεύεται*] *μα* a. Ras. | 25 *ἑκάστῳ* We, wohl richtig.

Digitized by Google

›ἄγγελος‹, ἀλλὰ ›πᾶς ζῶν‹, ὅτι κἂν τῆς ζωῆς τις μετέχῃ καὶ πάντη τὴν νεκρότητα ἀποσείσηται, οὐδ' οὕτως ὡς πρὸς σὲ δικαιωθῆναι δυνήσεται παραπλησίως τῇ ζωῇ, οὐδὲ δυνατὸν τὸν μετέχοντα τῆς ζωῆς καὶ διὰ τοῦτο ζῶντα χρηματίζοντα αὐτὸν γενέσθαι ζωήν, καὶ τὸν μετέχοντα δικαιοσύνης καὶ διὰ τοῦτο δίκαιον καλούμενον ἐξισωθῆναι πάντη τῇ δικαιοσύνῃ.

134v 53H VII. Ἔργον δὲ τοῦ λόγου ὥσπερ κρίνειν ἐν δικαιοσύνῃ | οὕτω καὶ 54 πολεμεῖν ἐν δικαιοσύνῃ, ἵν' ἐκ τοῦ τοὺς ἐχθροὺς λόγῳ καὶ δικαιοσύνῃ οὕτω πολεμεῖν ἀναιρουμένων τῶν ἀλόγων καὶ τῆς ἀδικίας λέγεσθαι ἐνοικήσῃ καὶ δικαιώσῃ, ἐκβάλλων τὰ ἐναντία τῆς ψυχῆς τοῦ, ἵν' οὕτως εἴπω, ἐπὶ σωτηρίᾳ αἰχμαλωτισθέντος ὑπὸ Χριστοῦ. ἔτι δὲ 55 μᾶλλον ἔστιν τὸν τοῦ λόγου πόλεμον ἰδεῖν ὃν πολεμεῖ, ἐπὰν αὐτὸς μὲν πρεσβεύῃ περὶ ἀληθείας, ὁ δ' ὑποκρινόμενος εἶναι λόγος οὐ λόγος ὤν, καὶ ἡ ἑαυτὴν ἀναγορεύσασα ἀλήθειαν οὐκ ἀλήθεια τυγχάνουσα ἀλλὰ ψεῦδος φάσκῃ εἶναι ἑαυτὴν τὴν ἀλήθειαν. τότε γὰρ καθοπλισάμενος ὁ λόγος κατὰ τοῦ ψεύδους ›ἀναλοῖ αὐτὸ τῷ πνεύματι τοῦ ›στόματος αὐτοῦ‹, καὶ καταργεῖ τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ‹. καὶ ὅρα, εἰ δύναται κατὰ τὸ νοητὸν ταῦτα ὑπὸ τοῦ ἀποστόλου ἐν 56 τῇ πρὸς Θεσσαλονικεῖς παρίστασθαι ἐπιστολῇ. τί γάρ ἐστι τὸ ἀναλούμενον τῷ πνεύματι τοῦ στόματος Χριστοῦ, Χριστοῦ τυγχάνοντος λόγου καὶ ἀληθείας καὶ σοφίας, ἢ τὸ ψεῦδος; καὶ τί τὸ καταργούμενον τῇ ἐπιφανείᾳ τῆς παρουσίας Χριστοῦ, σοφίας καὶ λόγου νοουμένου, ἢ πᾶν τὸ ἐπαγγελλόμενον εἶναι σοφία, τυγχάνον δὲ ἓν τούτων, ὧν ὁ θεὸς δράσσεται ›ἐν τῇ πανουργίᾳ αὐτῶν‹; ἔτι ὁ Ἰωάννης θαυμασιώτατα ἐν τοῖς περὶ τοῦ ὀχουμένου τῷ λευκῷ ἵππῳ λόγου φησὶ καὶ τὸ ›Οἱ ὀφθαλμοὶ δὲ αὐτοῦ ὡς φλὸξ πυρός‹. ὡς γὰρ ἡ 57 φλὸξ τὸ λαμπρὸν ἅμα καὶ φωτιστικόν, ἔτι δὲ καὶ πυρῶδες ἔχει καὶ ἀναλωτικὸν τῶν ὑλικωτέρων, οὕτως οἱ, ἵν' οὕτως εἴπω, ὀφθαλμοὶ τοῦ λόγου, οἷς βλέπει καὶ πᾶς ὁ μετέχων αὐτοῦ, πρὸς τῷ διὰ τῶν ἐνυπαρχουσῶν αὐτῷ ἀντιλαμβάνεσθαι τῶν νοητῶν ἀναλοῦσι καὶ ἀφανίζουσι τὰ ὑλικώτερα καὶ παχύτερα τῶν νοημάτων· πάντα δὲ τὴν

7 Vgl. Apok. 19, 11. — **16** II Thess. 2, 8. — **24** Vgl. I Kor. 3, 19. — **26** Apok. 19, 12.

2 *ἀποσείσ[ηται, οὐδ' οὕ]τως* a. Ras. | **7** *ἔργον*—**8** *δικαιοσύνῃ* von II. H. a. Rande nachgetragen *τοῦ*] *τοῦ τοῦ* MV, *τούτου* Hu, *τοῦτο* Barberinus, corr. Pr *ἐστὶν* M* **14** *ἑαυτὴν*] *ἑαυτοῦ τὴν* M (Vorlage wohl: *ἑαυτοῦ*, oder compendiarische Endungen), *ἑαυτοῦ ἑαυτὴν* V, corr. Hu | **16** *ἀναλοῖ*] *ἀνελεῖ* ist Contr. Cels. II, 50 (I, 172, 24 K.) überliefert, doch s. unten XX, 11 | **22** *νοουμένου*] *νοουμένης*, corr. V | **24** *ὤν*] *ὢ* MV, corr. Hu | *δράσσεται*] *δράσεται*, corr. V | *ἔτι*] *τι*, corr. We, *ὅτι* Edd. | **28** *ἵν'*] *ἓν* M | **29** *τῷ*] aus *τὸν* | **30** nach *αὐτῷ* + *νοημάτων, ἀκτίνων* oder etw. ähnl. We; viell. ist einfach *ὀφθαλμῶν* hinzuzudenken.

Digitized by Google

ἰσχνότητα καὶ λεπτότητα ἐκπέφευγε τῆς ἀληθείας τὰ ὁπωσποτοῦν ψευδόμενα.

58 VIII. Πάνυ δὲ τεταγμένως μετὰ τὸν ἐν δικαιοσύνῃ κρίνοντα καὶ κατὰ τὸ ἐν δικαιοσύνῃ κρίνειν πολεμοῦντα, ἑξῆς δὲ τῷ πολεμεῖν 58 R
φωτίζοντα, ἐπιφέρεται τὸ ἐπὶ τὴν κεφαλὴν εἶναι αὐτοῦ πολλὰ διαδήματα. εἰ μὲν γὰρ ἓν ἦν καὶ μονοειδὲς τὸ ψεῦδος, καθ' οὗ τὸν στέφανον ἡττωμένου ἐλάμβανεν ὁ νικήσας »πιστὸς καὶ ἀληθινὸς« λόγος, καὶ ἓν διάδημα περικεῖσθαι εὐλόγως ⟨ἂν⟩ ἀναγέγραπτο ὁ ἐπι-
59 κρατήσας τῶν ἐναντίων θεοῦ λόγος. νυνὶ δὲ πολλῶν ὄντων τῶν ἐπαγγελλομένων τὴν ἀλήθειαν ψευδῶν, καθ' ὧν στρατευσάμενος ὁ λόγος στεφανοῦται, πολλὰ γίνεται τὰ διαδήματα τῇ κεφαλῇ τοῦ πάντα νικήσαντος περικείμενα καὶ ἑκάστης δὲ ἀποστατησάσης ἐνεργείας 54 R
κρατῶν πολλὰ διαδήματα τῷ νικᾶν περιτίθεται.

60 Ἑξῆς μετὰ τὰ διαδήματα ἀναγέγραπται ἔχειν »ὄνομα | γεγραμμένον 135r
»ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός«· οὗτος γὰρ ὁ ἔμψυχος λόγος ἐπίσταταί τινα μόνος, διὰ τὸ ὑποδεέστερον ἐν τοῖς ἑξῆς γενητοῖς τῆς φύσεως αὐτοῦ οὐδενὸς χωροῦντος πάντα, ἃ ἐκεῖνος καταλαμβάνει θεωρεῖν. τάχα δὲ καὶ οἱ μετέχοντες ἐκείνου τοῦ λόγου μόνοι παρὰ τοὺς μὴ
61 μετέχοντας ἴσασι τὰ μὴ εἰς ἐκείνους φθάνοντα. οὐ γυμνὸς δὲ τῷ Ἰωάννῃ ὁρᾶται τῷ ἵππῳ ὀχούμενος ὁ τοῦ θεοῦ λόγος· περιβέβληται γὰρ ἱμάτιον †ῥεραμμένον αἵματι, ἐπείπερ ἴχνη περίκειται ὁ γενόμενος λόγος σάρξ, καὶ διὰ τὸ γεγονέναι σὰρξ ἀποθανών, ὡς προχυθῆναι αὐτοῦ καὶ αἷμα ἐπὶ τὴν γῆν νύξαντος τοῦ στρατιώτου τὴν πλευρὰν αὐτοῦ, ἐκείνου τοῦ πάθους· τάχα γὰρ κἂν ὁπωσποτὲ ἐν τῇ τοῦ λόγου ὑψηλοτάτῃ καὶ ἀνωτάτῃ θεωρίᾳ γενώμεθα καὶ τῆς ἀληθείας, οὐ πάντῃ ἐπιλησόμεθα τῆς ἐν σώματι ἡμῶν γενομένης δι' αὐτοῦ εἰσαγωγῆς.

62 Τούτῳ τῷ τοῦ θεοῦ λόγῳ τὰ ἐν τῷ οὐρανῷ στρατεύματα ἀκολουθεῖ πάντα, λόγῳ ἑπόμενα ἡγουμένῳ καὶ μιμούμενα αὐτὸν ἐν πᾶσι, καὶ μάλιστα τῷ ἐπιβεβηκέναι ὁμοίως αὐτῷ ἵπποις λευκοῖς· πάντα γὰρ ἐνώπιον τοῖς νοοῦσι. καὶ ὥσπερ »ἀπέδρα ὀδύνη καὶ λύπη καὶ »στεναγμὸς« ἐπὶ τῷ τέλει τῶν πραγμάτων, οὕτως οἶμαι ὅτι ἀπέδρα ἀσάφεια καὶ ἀπορία, πάντων ἐπιμελῶς καὶ τρανῶς προπιπτόντων
63 τῶν τῆς τοῦ θεοῦ σοφίας μυστηρίων. ἐπισκέψαι δὲ τοὺς λευκοὺς

3 Vgl. Apok. 19, 11. — 5 Vgl. Apok. 19, 12. — 7 Vgl. Apok. 19, 11. — 14 Apok. 19, 12. — 21 Vgl. Apok. 19, 13. — 23 Vgl. Joh. 19, 34. — 27 Vgl. Apok. 19, 14. — 29 Vgl. Prov. 8, 9. — 30 Jes. 35, 10. — 33 Vgl. Apok. 19, 14.

8 εὐλόγως] ως a. Ras. | ⟨ἂν⟩ + We | ἀναγέγραπτο] ο a. Ras. | 11 γίνεται] γινόμενα, corr. We | 12 κινήσαντος M, corr. V | 19 μετέχοντας] ετ a. Ras. | ἴασσι 21 ῥεραμμένον] ῥεραντισμένον S. 59, 4; viell. βεβαμμένον z. l. | 31 στεναγμὸς] στ a. Ras.

Digitized by Google

ἵππους τῶν ἀκολουθούντων τῷ λόγῳ, ἐνδεδυμένους »βύσσινον λευκὸν »καὶ καθαρόν«, εἰ μή, ἐπεὶ ἡ βύσσος ἀπὸ γῆς γίνεται, τῶν ἐπὶ γῆς διαλέκτων, ἃς ἡμφιεσμέναι εἰσὶν αἱ σημαίνουσαι φωναὶ καθαρῶς τὰ πράγματα, τύποι τυγχάνουσι τὰ βύσσινα ἐνδύματα. ταῦτα δὴ ἐπὶ πλεῖον ἐκ τῆς Ἀποκαλύψεως διδασκούσης περὶ λόγου θεοῦ εἴρηται, 59R ἵνα ἀκριβέστερον τὰ περὶ αὐτοῦ νοήσωμεν.

I, 2. *Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.*

IX. (5) *Τοῖς μὴ ἀκριβοῦσιν τὰς διαφόρους ἐν τοῖς ἀπαγγελλομέ-* **64**
νοις προτάσεις δόξει ταὐτολογεῖν ὁ εὐαγγελιστής, οὐδὲν πλέον λέγων
ἐν τῷ »Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν« παρὰ τὸ »Καὶ ὁ λόγος
»ἦν πρὸς τὸν θεόν«. τηρητέον δὲ ὅτι ἐν μὲν τῷ »Ὁ λόγος ἦν πρὸς **65**
»τὸν θεὸν« οὐ μανθάνομεν τὸ πότε ἢ ἐν τίνι »ἦν πρὸς τὸν θεόν«,
κατὰ τὸ τέταρτον ἀξίωμα προσκείμενον· τέσσαρα γὰρ ἀξιώματα,
ἅπερ παρά τισι προτάσεις καλοῦνται, ἔστιν ἐνθάδε, ὧν τὸ τέταρτον
55H *»Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν«. οὐ ταὐτὸν δὲ τὸ »Ὁ λόγος ἦν* **66**
»πρὸς τὸν θεόν«· καὶ τὸ »Οὗτος ἦν« οὐχὶ ἁπλῶς πρὸς τὸν θεόν,
ἀλλὰ πότε ἢ ἐν τίνι πρὸς τὸν θεόν· »Οὗτος, γάρ φησιν, ἦν ἐν ἀρχῇ
»πρὸς τὸν θεόν.« ἀλλὰ καὶ τὸ »Οὗτος« κατὰ δεῖξιν ἐκφερόμενον
νομισθήσεται ἐπὶ τοῦ λόγου τετάχθαι ἢ ἐπὶ τοῦ θεοῦ ὑπὸ τοῦ μὴ
ἰσχνότερον ἐρευνῶντος, ἵνα καὶ εὕρῃ σύλληψιν τῶν προτέρων γινο-
μένην ἐν τῇ »οὗτος« προσηγορίᾳ τῆς τε »λόγος« ἐπινοίας καὶ τῆς
»θεός«. ἵνα ἡ δεῖξις συναγάγῃ εἰς ἓν τὰ τῇ ἐπινοίᾳ διάφορα· οὐ γὰρ
ἐν τῇ ἐπινοίᾳ τῇ »λόγος« ἐστὶν ἡ »θεός«, οὐδὲ ἐν τῇ »θεὸς« ἡ
135v *»λόγος«. τάχα δὲ συγκεφαλαίωσίς ἐστι τῶν τριῶν προτάσεων εἰς* **67**
μίαν τὴν »Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν«· καθ' ὃ γὰρ »ἐν ἀρχῇ ἦν
»ὁ λόγος«, οὐ μεμαθήκειμεν ὅτι »πρὸς τὸν θεόν«· καθ' ὃ δὲ »πρὸς
τὸν θεὸν« ὁ λόγος ἦν, οὐκ ἐγινώσκομεν σαφῶς, ὅτι ἐν ἀρχῇ πρὸς
τὸν θεὸν ἦν· καθ' ὃ δὲ »θεὸς ὁ λόγος ἦν«, οὔτε τὸ »ἐν ἀρχῇ« αὐτὸν
εἶναι ἐδηλοῦτο οὔτε ὅτι »πρὸς τὸν θεὸν« ἐτύγχανεν. ἐν δὲ τῇ **68**
»Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν« ἀπαγγελίᾳ, τοῦ »Οὗτος« ἐπὶ
τοῦ λόγου καὶ θεοῦ νοουμένου, καὶ τοῦ »Ἐν ἀρχῇ« οὕτω συναπτο-

10 Joh. 1, 1. — **15** Joh. 1, 2. — **17** Joh. 1, 2. — **30** Joh. 1, 2.

8 *τοῖς μὴ*—64, 6 *θεὸν ἦν* in Venet. Marc. 502 f. 198a (E) s. Einl. | *ἐπαγγελλομένοις* V E über *ἐπ* ist *ἀπ* geschr. M | **9** *ταὐτὸν λέγειν* E | **14** *ἃ* E | *ἐστὶν* in E nicht mehr zu erkennen, weil d. Papier abgerieben ist | **15** *τὸ ὁ λόγος* in E unkenntlich | **16** *οὐχ* E | **17** *πρὸς τὸν θεὸν* in E nicht mehr zu erkennen | **19** *λόγος*, corr. E | *ὑπὸ τοῦ*] *τῷ* E | **20** *ἰσχνότερον* E, *σιχνότερον* V, . *σ χνότερον*, der erste Buchst. zieml. verblichen, aber sicher *ι* M | *ἐρευνῶντι* E | **25** *τὴν*] *ν* a. Ras. | **27** *θεὸν* a. Rand | **27** *ἔγνωμεν* E | **28** *ἦν* nach **27** *ἀρχῇ* E | **30** *κατεπαγγελίᾳ* E | **31** *καὶ*[1]] *τοῦ* E | *καὶ*[2] bis *οὕτω*] *εἶτα* E.

Digitized by Google

μένου τοῦ τε »Πρὸς τὸν θεὸν« προστιθεμένου, οὐδὲν παραλείπεται
τῶν ἐν ταῖς τρισὶ προτάσεσιν, ὃ οὐ συγκεφαλαιοῦται συναγομένων
69 εἰς ἕν. ὅρα δὲ εἰ κατὰ τὸ δισσὸν ὀνομάζεσθαι τὸ »Ἐν ἀρχῇ« δυνατὸν
ἡμᾶς μανθάνειν πράγματα δύο· ἓν μὲν ὅτι »ἐν ἀρχῇ ἦν ὁ λόγος«,
ὡς εἰ [καὶ] καθ' αὑτὸν ἦν καὶ μὴ πάντως πρός τινα· ἕτερον δὲ ὅτι
»ἐν ἀρχῇ« »πρὸς τὸν θεὸν ἦν«. καὶ οἶμαι, ὅτι οὐ ψεῦδος εἰπεῖν περὶ
αὐτοῦ, ὅτι »ἐν ἀρχῇ ἦν« καὶ »ἐν ἀρχῇ« »πρὸς τὸν θεόν«, οὔτε »πρὸς 60R
»τὸν θεὸν« μόνον τυγχάνων, ἐπεὶ καὶ »ἐν ἀρχῇ ἦν«, οὔτε »ἐν ἀρχῇ«
μόνον ὢν καὶ οὐχὶ »πρὸς τὸν θεὸν« ὤν, ἐπεὶ »Οὗτος ἦν ἐν ἀρχῇ
»πρὸς τὸν θεόν«.

I, 3. *Πάντα δι' αὐτοῦ ἐγένετο.*

70 X. (6) Οὐδέποτε τὴν πρώτην χώραν ἔχει τὸ »δι' οὗ«, δευτέραν δὲ ἀεί·
οἷον ἐν τῇ πρὸς Ῥωμαίους· »Παῦλος δοῦλος, φησί, Χριστοῦ Ἰησοῦ,
»κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγγεί-
»λατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ
»αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα, τοῦ ὁρισθέν-
»τος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως
»νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, δι' οὗ ἐλάβομεν χάριν καὶ
»ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν ὑπὲρ τοῦ
71 »ὀνόματος αὐτοῦ.« ὁ γὰρ θεὸς τὸ εὐαγγέλιον ἑαυτοῦ προεπηγγείλατο 56H
διὰ τῶν προφητῶν, ὑπηρετούντων τῶν προφητῶν καὶ ἐχόντων τὸν
λόγον τοῦ »δι' οὗ«, καὶ πάλιν ὁ θεὸς ἔδωκε »χάριν καὶ ἀποστολὴν
»εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσι« Παύλῳ καὶ τοῖς λοιποῖς.
72 καὶ ἔδωκε διὰ Χριστοῦ Ἰησοῦ τοῦ σωτῆρος, ἔχοντος τὸ »δι' οὗ«. καὶ
ἐν τῇ πρὸς Ἑβραίους ὁ αὐτὸς Παῦλός φησιν· »Ἐπ' ἐσχάτου τῶν
»ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι'
»οὗ καὶ ἐποίησε τοὺς αἰῶνας«, διδάσκων ἡμᾶς, ὅτι ὁ θεὸς τοὺς αἰῶνας
πεποίηκε διὰ τοῦ υἱοῦ, ἐν τῷ τοὺς αἰῶνας γίνεσθαι τοῦ μονογενοῦς
ἔχοντος τὸ »δι' οὗ«. οὕτω τοίνυν καὶ ἐνθάδε εἰ πάντα διὰ τοῦ
λόγου ἐγένετο, οὐχ ὑπὸ τοῦ λόγου ἐγένετο, ἀλλ' ὑπὸ κρείττονος καὶ μεί-
ζονος παρὰ τὸν λόγον. τίς δ' ἂν ἄλλος οὗτος τυγχάνῃ ἢ ὁ πατήρ;
73 Ἐξεταστέον δέ, ἀληθοῦς ὄντος τοῦ »Πάντα δι' αὐτοῦ ἐγένετο«,
εἰ καὶ τὸ πνεῦμα τὸ ἅγιον δι' αὐτοῦ ἐγένετο. οἶμαι γὰρ ὅτι τῷ μὲν

4 Joh. 1, 1. — **13** Röm. 1, 1—5. — **22** Röm. 1, 5. — **25** Hebr. 1,2. — **32** Joh. 1, 3.

1 τε] ἐν ἀρχῇ καὶ τοῦ E | προστιθεμένου < E | **3** ὅρα bis ἐν] κατὰ τὸ δισσὸν δὲ τοῦ ἐν E | **4** ἡμᾶς bis δύο] δύο μανθάνομεν πράγματα E | **5** καὶ[1] < E | ἑαυτὸν E | **6** ἦν nach ἀρχῇ (vgl. S. 63, Z. 27) E | τὸν θεὸν (ἦν)] hier bricht **E** ab | **20** ὀνόματος] μα a. Ras. | προεπηγγείλατο, w. e. sch., aus προσεπηγγείλατο.

Digitized by Google

φάσκοντι γεννητὸν αὐτὸ εἶναι καὶ προιεμένῳ τὸ »Πάντα δι' αὐτοῦ
»ἐγένετο« ἀναγκαῖον παραδέξασθαι, ὅτι καὶ τὸ ἅγιον πνεῦμα διὰ
τοῦ λόγου ἐγένετο, πρεσβυτέρου παρ' αὐτὸ τοῦ λόγου τυγχάνοντος·
τῷ δὲ μὴ βουλομένῳ τὸ ἅγιον πνεῦμα διὰ τοῦ χριστοῦ γεγονέναι
ἕπεται τὸ »ἀγέννητον« αὐτὸ λέγειν, ἀληθῆ τὰ ἐν τῷ εὐαγγελίῳ τούτῳ
εἶναι κρίνοντι. ἔσται δέ τις καὶ τρίτος παρὰ τοὺς δύο, τόν τε διὰ 74
136r τοῦ | λόγου παραδεχόμενον τὸ πνεῦμα τὸ ἅγιον γεγονέναι καὶ τὸν
61R ἀγέννητον αὐτὸ εἶναι ὑπολαμβάνοντα, δογματίζων μηδὲ οὐσίαν τινὰ
ἰδίαν ὑφεστάναι τοῦ ἁγίου πνεύματος ἑτέραν παρὰ τὸν πατέρα καὶ
τὸν υἱόν· ἀλλὰ τάχα προστιθέμενος μᾶλλον, ἐὰν ἕτερον νομίζῃ εἶναι
τὸν υἱὸν παρὰ τὸν πατέρα, τῷ τὸ αὐτὸ αὐτὸ τυγχάνειν τῷ πατρί.
ὁμολογουμένως διαιρέσεως δηλουμένης τοῦ ἁγίου πνεύματος παρὰ
τὸν υἱὸν ἐν τῷ »Ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου,
»ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ ἅγιον πνεῦμα, οὐχ
»ἕξει ἄφεσιν οὔτε ἐν τούτῳ τῷ αἰῶνι οὔτε ἐν τῷ μέλλοντι«. ἡμεῖς 75
μέντοι γε τρεῖς ὑποστάσεις πειθόμενοι τυγχάνειν, τὸν πατέρα καὶ
τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα, καὶ ἀγέννητον μηδὲν ἕτερον τοῦ
πατρὸς εἶναι πιστεύοντες, ὡς εὐσεβέστερον καὶ ἀληθὲς προσιέμεθα
τὸ πάντων διὰ τοῦ λόγου γενομένων τὸ ἅγιον πνεῦμα πάντων εἶναι
τιμιώτερον, καὶ τάξει ⟨πρῶτον⟩ πάντων τῶν ὑπὸ τοῦ πατρὸς διὰ
Χριστοῦ γεγενημένων. καὶ τάχα αὕτη ἐστὶν ἡ αἰτία τοῦ μὴ καὶ αὐτὸ 76
υἱὸν χρηματίζειν τοῦ θεοῦ, μόνου τοῦ μονογενοῦς φύσει υἱοῦ ἀρχῆθεν
τυγχάνοντος, οὗ χρῄζειν ἔοικε τὸ ἅγιον πνεῦμα διακονοῦντος αὐτοῦ
57H τῇ ὑποστάσει, οὐ μόνον εἰς τὸ εἶναι ἀλλὰ καὶ σοφὸν εἶναι καὶ λογι-
62R κὸν καὶ δίκαιον καὶ πᾶν ὁτιποτοῦν χρὴ αὐτὸ νοεῖν τυγχάνειν κατὰ
μετοχὴν τῶν προειρημένων ἡμῖν Χριστοῦ ἐπινοιῶν. οἶμαι δὲ τὸ 77
ἅγιον πνεῦμα τήν, ἵν' οὕτως εἴπω, ὕλην τῶν ἀπὸ θεοῦ χαρισμάτων
παρέχειν τοῖς δι' αὐτὸ καὶ τὴν μετοχὴν αὐτοῦ χρηματίζουσιν ἁγίοις,
τῆς εἰρημένης ὕλης τῶν χαρισμάτων ἐνεργουμένης μὲν ἀπὸ τοῦ θεοῦ,
διακονουμένης δὲ ὑπὸ τοῦ χριστοῦ, ὑφεστώσης δὲ κατὰ τὸ ἅγιον
πνεῦμα. καὶ κινεῖ με εἰς τὸ ταῦθ' οὕτως ἔχειν ὑπολαβεῖν Παῦλος 78
περὶ χαρισμάτων οὕτω που γράφων· »Διαιρέσεις δὲ χαρισμάτων εἰσί,
»τὸ δ' αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσί, καὶ ὁ αὐτὸς κύριος·
»καὶ διαιρέσεις ἐνεργημάτων εἰσί, καὶ ὁ αὐτός ἐστι θεὸς ὁ ἐνεργῶν
»τὰ πάντα ἐν πᾶσιν.«

13 Matth. 12, 32; Mark. 3, 29. — **19** Vgl. Joh. 1, 3. — **26** Vgl. oben I, 16ff. — **32** I Kor. 12, 4—6.

9 $\overline{\pi\rho\alpha}$] ρα a. Ras. | **11** αὐτὸ²] αὐτῷ, corr. We | **14** Die Form des Citates singulär; vgl. u. XIX, 15 | **20** ⟨πρῶτον⟩ + P'r | **29** τῆς aus τοῖς w. e. sch. | **33** εἰσί] urspr. εἰσιν, aber aus ν wurde κ corr. M.

Digitized by Google

79 XI. Ἔχει δὲ ἐπαπόρησιν διά τε τὸ »Πάντα δι' αὐτοῦ ἐγένετο«
καὶ τὸ ἀκολουθεῖν τὸ πνεῦμα γενητὸν ὂν διὰ τοῦ λόγου γεγονέναι,
πῶς οἱονεὶ προτιμᾶται τοῦ χριστοῦ ἐν τισι γραφαῖς, ἐν μὲν τῷ Ἡσαΐᾳ
ὁμολογοῦντος Χριστοῦ οὐχ ὑπὸ τοῦ πατρὸς ἀπεστάλθαι μόνου, ἀλλὰ
καὶ ὑπὸ τοῦ ἁγίου πνεύματος (φησὶ γάρ· »Καὶ νῦν κύριος ἀπέστειλέ 5
»με καὶ τὸ πνεῦμα αὐτοῦ«), ἐν δὲ τῷ εὐαγγελίῳ ἄφεσιν μὲν ἐπαγγελλο-
μένου ἐπὶ τῆς εἰς αὐτὸν ἁμαρτίας, ἀποφαινομένου δὲ περὶ τῆς εἰς τὸ
ἅγιον πνεῦμα βλασφημίας, ὡς οὐ μόνον »ἐν τούτῳ τῷ αἰῶνι« μὴ
ἐσομένης ἀφέσεως τῷ εἰς αὐτὸ δυσφημήσαντι, ἀλλ' οὐδὲ »ἐν τῷ
80 μέλλοντι«. καὶ μήποτε οὐ πάντως διὰ τὸ τιμιώτερον εἶναι τὸ πνεῦμα 10
τὸ ἅγιον τοῦ χριστοῦ οὐ γίνεται ἄφεσις τῷ εἰς αὐτὸν ἡμαρτηκότι,
ἀλλὰ διὰ τὸ Χριστοῦ μὲν πάντα μετέχειν τὰ λογικά, οἷς δίδοται
συγγνώμη μεταβαλλομένοις ἀπὸ τῶν ἁμαρτημάτων, τοῦ δὲ ἁγίου
πνεύματος τοὺς κατηξιωμένους μηδεμιᾶς εὔλογον εἶναι συγγνώμης
τυχεῖν, μετὰ τηλικαύτης καὶ τοιαύτης συμπνοίας τῆς εἰς τὸ καλὸν 15
ἔτι ἀποπίπτοντας καὶ ἐκτρεπομένους τὰς τοῦ ἐνυπάρχοντος πνεύματος
81 συμβουλίας. | εἰ δὲ κατὰ τὸν Ἡσαΐαν φησὶν ὁ κύριος ἡμῶν ὑπὸ του 136v
πατρὸς ἀπεστάλθαι καὶ τοῦ πνεύματος αὐτοῦ, ἔστι καὶ ἐνταῦθα περὶ
τοῦ ἀποστείλαντος τὸν χριστὸν πνεύματος ἀπολογήσασθαι, οὐχ ὡς
φύσει διαφέροντος ἀλλὰ διὰ τὴν γενομένην οἰκονομίαν τῆς ἐνανθρω- 20
πήσεως τοῦ υἱοῦ τοῦ θεοῦ, ἐλαττωθέντος παρ' αὐτὸ τοῦ σωτῆρος.
82 εἰ δὲ ἐν τούτῳ προσκόπτει ⟨τις⟩ τῷ λέγειν ἠλαττῶσθαι παρὰ τὸ
ἅγιον πνεῦμα τὸν σωτῆρα ἐνανθρωπήσαντα, προσακτέον αὐτὸν ἀπὸ
τῶν ἐν τῇ πρὸς Ἑβραίους λεγομένων ἐπιστολῇ, καὶ ἀγγέλων ἐλάττονα 63 R
διὰ τὸ πάθημα τοῦ θανάτου ἀποφηναμένου τοῦ Παύλου γεγονέναι 58 H
τὸν Ἰησοῦν· φησὶ γάρ· »Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον
»βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφα-
83 »νωμένον.« ἢ τάχα ἔστι καὶ τοῦτο εἰπεῖν, ὅτι ἐδεῖτο ἡ κτίσις ὑπὲρ
τοῦ ἐλευθερωθῆναι ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, ἀλλὰ καὶ τὸ τῶν
ἀνθρώπων γένος μακαρίας καὶ θείας δυνάμεως ἐνανθρωπούσης, ἥτις 30
διορθώσεται καὶ τὰ ἐπὶ τῆς γῆς, καὶ ὥσπερεὶ ἐπέβαλλέ πως τῷ ἁγίῳ
πνεύματι ἡ πρᾶξις αὕτη, ἥντινα ὑπομένειν οὐ δυνάμενον προβάλλεται
τὸν σωτῆρα, ὡς τὸ τηλικοῦτον ἆθλον μόνον ἐνεγκεῖν δυνάμενον,
καὶ τοῦ πατρὸς ὡς ἡγουμένου ἀποστέλλοντος τὸν υἱὸν συναποστέλλει

1 Joh. 1, 3. — **5** Jes. 48, 16. — **6** Vgl. Matth. 12, 32. — **17** Vgl. Jes. 48, 16. — **26** Hebr. 2, 9. — **28** Vgl. Röm. 8, 21.

1 ἐπαπόῤῥησιν] das ῥ über der Linie scheint von II. H. zugefügt | **15** τῆς] τοῖς, corr. Pr. | **16** ἀποπίπτοντας] ἀποπίπτουσι, corr. We | ἐκτρεπομένους] ἐκτρεπομένοις, corr. We | **17** συμβουλὰς? We, vgl. 72, 4 | **22** ⟨τις⟩ + We, nach δὲ Del.

Digitized by Google

καὶ συμπροπέμπει τὸ ἅγιον πνεῦμα αὐτόν, ἐν καιρῷ ὑπισχνούμενον καταβῆναι πρὸς τὸν υἱὸν τοῦ θεοῦ καὶ συνεργῆσαι τῇ τῶν ἀνθρώπων σωτηρίᾳ. τοῦτο δὲ πεποίηκεν, ὅτε τῷ σωματικῷ εἴδει ὡσεὶ 84
περιστερὰ ἐφίπταται μετὰ τὸ λουτρὸν αὐτῷ καὶ ἐπιστὰν οὐ παρέρχεται, τάχα ἐν ἀνθρώποις τοῦτο πεποιηκὸς τοῖς μὴ δυνηθεῖσιν ἀδιαλείπτως φέρειν αὐτοῦ τὴν δόξαν. διόπερ σημαίνει ὁ Ἰωάννης περὶ τοῦ γνῶναι, ὅστις ποτέ ἐστιν ὁ χριστός, οὐχὶ μόνην τὴν ἐπὶ τὸν Ἰησοῦν κατάβασιν τοῦ πνεύματος ἀλλὰ πρὸς τῇ καταβάσει τὴν ἐν αὐτῷ μονήν. γέγραπται γὰρ εἰρηκέναι τὸν Ἰωάννην ὅτι »Ὁ 85
»πέμψας με βαπτίζειν εἶπεν· »Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον »καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ »καὶ πυρί«. οὐ γὰρ λέγεται· »ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον« μόνον, τάχα καὶ ἐπ' ἄλλους καταβεβηκότος αὐτοῦ, ἀλλά »καταβαῖνον »καὶ μένον ἐπ' αὐτόν«.

Ταῦτα δὲ ἐπὶ πολὺ ἐξήτασται σαφέστερον ἰδεῖν βουλομένοις, πῶς, 86
εἰ πάντα δι' αὐτοῦ ἐγένετο, καὶ τὸ πνεῦμα διὰ τοῦ λόγου ἐγένετο, ἓν τῶν πάντων τυγχάνον ὑποδεέστερον τοῦ δι' οὗ ἐγένετο νοούμενον, εἰ καὶ λέξεις τινὲς περισπᾶν ἡμᾶς εἰς τὸ ἐναντίον δοκοῦσιν.

XII. Ἐὰν δὲ προσιῇταί τις τὸ καθ' Ἑβραίους εὐαγγέλιον, ἔνθα 87
αὐτὸς ὁ σωτὴρ φησιν· »Ἄρτι ἔλαβέ με ἡ μήτηρ μου, τὸ ἅγιον πνεῦμα, »ἐν μιᾷ τῶν τριχῶν μου καὶ ἀπήνεγκέ με εἰς τὸ ὄρος τὸ μέγα Θαβώρ«, ἐπαπορήσει, πῶς »μήτηρ« Χριστοῦ τὸ διὰ τοῦ λόγου γεγενημένον »πνεῦμα ἅγιον« εἶναι δύναται. ταῦτα δὲ καὶ τούτῳ οὐ χαλεπὸν 88
ἑρμηνεῦσαι· εἰ γὰρ ὁ ποιῶν »τὸ θέλημα τοῦ πατρὸς τοῦ ἐν τοῖς »οὐρανοῖς ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστὶν« αὐτοῦ καὶ φθάνει τὸ »ἀδελφὸς Χριστοῦ« ὄνομα οὐ μόνον ἐπὶ τὸ τῶν ἀνθρώπων γένος |
137r ἀλλὰ καὶ ἐπὶ τὰ τούτου θειότερα, οὐδὲν ἄτοπον ἔσται μᾶλλον πάσης
59H χρηματιζούσης »μητρὸς Χριστοῦ« διὰ τὸ ποιεῖν τὸ θέλημα τοῦ ἐν τοῖς οὐρανοῖς πατρὸς τὸ πνεῦμα τὸ ἅγιον εἶναι »μητέρα«. ἔτι εἰς 89
τὸ »Πάντα δι' αὐτοῦ ἐγένετο« καὶ ταῦτα ζητητέον· τῇ ἐπινοίᾳ ὁ λόγος ἕτερός ἐστι παρὰ τὴν ζωήν, καὶ ὃ γέγονεν ἐν τῷ λόγῳ »ζωὴ »ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων«. ἆρ' οὖν, ὡς πάντα

3 Vgl. Luk. 3, 22; Joh. 1, 33. — **9** Joh. 1, 33. — **13** Joh. 1, 33. — **16** Vgl. Joh. 1, 3. — **20** Vgl. in Jerem. hom. 15, 4. Hilgenfeld, N. T. extra can. recept. IV, 15, 36 sqq. 23. Zahn, Gesch. d. N. T. Kanons II, 690. Preuschen, Antilegomena S. 4, 30ff. — **24** Vgl. Matth. 12, 50. — **30** Joh. 1, 3. — **31** Joh. 1, 4.

3 ὅτε ⟨ἐν⟩? We | **5** πεποιηκὸς] πεποιηκότος, corr. Del | **6** σημαίνει] σημαίνων, corr. We | **7** περὶ] ὑπὲρ We | **10** nach πνεῦμα i. Text Ä und a. Rande καταβῆνον v. II. H. M | **12** δν] ο a. Ras. | **17** τυγχάνων M, corr. V | ὑποδεέστερον] δε a. Ras. | **19** Ἑβραίους] ἐβ a. Ras. | **23** τούτῳ] τοῦτο, corr. Pr. | **32** ἆρ' aus ἄρα corr., w. e. sch.

Digitized by Google

δι' αὐτοῦ ἐγένετο, καὶ ἡ ζωὴ δι' αὐτοῦ ἐγένετο, ἥτις ἐστὶν »τὸ φῶς »τῶν ἀνθρώπων«, καὶ αἱ ἄλλαι τοῦ σωτῆρος ἐπίνοιαι. ἢ καθ' ὑπεξαίρεσιν τῶν ἐν αὐτῷ νοητέον τὸ »Πάντα δι' αὐτοῦ ἐγένετο«; ὅπερ
90 δοκεῖ μοι εἶναι κρεῖττον. ἵνα γὰρ συγχωρηθῇ διὰ τὸ γεγονέναι τὴν ζωὴν τὸ φῶς τῶν ἀνθρώπων, τί λεκτέον περὶ τῆς προεπινοουμένης τοῦ λόγου σοφίας; οὐ γὰρ δήπου διὰ τοῦ λόγου τὸ παρὰ τὸν λόγον γεγένηται. ὥστε χωρὶς τῶν ἐπινοουμένων τῷ χριστῷ πάντα διὰ τοῦ λόγου γεγένηται τοῦ θεοῦ, ποιήσαντος ἐν σοφίᾳ αὐτὰ τοῦ πατρός· »Πάντα, γάρ φησιν, ἐν σοφίᾳ ἐποίησας«, οὐ »διὰ τῆς σοφίας ἐποίησας«.
91 XIII. (7) Ἴδωμεν δέ, διὰ τί πρόσκειται τὸ »Καὶ χωρὶς αὐτοῦ »ἐγένετο οὐδὲ ἕν«. τισὶ κἂν δόξαι περιττὸν τυγχάνειν τὸ »Χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν« ἐπιφερόμενον τῷ »Πάντα δι' αὐτοῦ ἐγένετο«. εἰ γὰρ πᾶν ὁτιποτοῦν »διὰ τοῦ λόγου« γεγένηται, οὐδὲν »χωρὶς τοῦ »λόγου« γεγένηται. οὐκέτι μέντοι γε ἀκολουθεῖ τῷ χωρὶς τοῦ λόγου ⟨μὴ⟩ γεγενῆσθαί τι τὸ πάντα διὰ τοῦ λόγου γεγενῆσθαι· ἔξεστι γὰρ
92 οὐδενὸς χωρὶς τοῦ λόγου γεγενημένου, μὴ μόνον διὰ τοῦ λόγου γεγονέναι πάντα ἀλλὰ καὶ ὑπὸ τοῦ λόγου τινά. χρὴ τοίνυν εἰδέναι, πῶς δεῖ ἀκούειν τοῦ »Πάντα« καὶ πῶς τοῦ »Οὐδέν«. δυνατὸν γὰρ ἐκ τοῦ μὴ τετρανωκέναι ἀμφοτέρας τὰς λέξεις ἐκδέξασθαι ὅτι, εἰ πάντα διὰ τοῦ λόγου ἐγένετο, τῶν δὲ πάντων ἐστὶ καὶ ἡ κακία καὶ πᾶσα ἡ χύσις τῆς ἁμαρτίας καὶ τὰ πονηρά, ὅτι καὶ ταῦτα διὰ τοῦ λόγου ἐγένετο. τοῦτο δὲ ψεῦδος· κτίσματα μὲν γὰρ πάντα διὰ τοῦ 65R
λόγου γεγονέναι οὐκ ἄτοπον (ἀλλὰ καὶ διὰ τοῦ λόγου τὰ ἀνδραγαθήματα καὶ πάντα τὰ κατορθώματα κατωρθῶσθαι τοῖς μακαρίοις νοεῖν ἀναγκαῖον), οὐκέτι δὲ καὶ τὰ ἁμαρτήματα καὶ τὰ ἀποπτώματα.
93 ἐξειλήφασιν οὖν τινες τῷ ἀνυπόστατον εἶναι τὴν κακίαν (οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς οὔτε εἰς τὸν αἰῶνα ἔσται) ταῦτ' εἶναι τὰ »Μηδέν«· καὶ ὥσπερ Ἑλλήνων τινές φασιν, εἶναι τῶν »Οὔ τινων« τὰ γένη καὶ τὰ εἴδη, οἷον τὸ ζῷον καὶ τὸν ἄνθρωπον, οὕτως ὑπέλαβον »Οὐδὲν« τυγχάνειν πᾶν τὸ οὐχ ὑπὸ θεοῦ οὐδὲ διὰ τοῦ λόγου τὴν δοκοῦσαν
94 σύστασιν εἰληφός. καὶ ἐφιστῶμεν, εἰ δυνατὸν ἀπὸ τῶν γραφῶν

9 Ps. 103, 24. — 10 Joh. 1, 3. — 28 Vgl. Plato, Parmenides p. 130c.

4 τὸ] του, corr. We | **6** διὰ του] α τ a. Ras. | παρὰ] περὶ, corr. We | **11** τισὶ] σ aus zwei Buchst. entstanden | τισὶ bis **14** γεγένηται im Cod. Venet. Marc. gr. 502 f. 198a (E) | τισὶ κἂν δόξαι] ἴσως ἂν δόξῃ τις E | τυγχάνειν] εἶναι E | **12** nach ἕν + δ γέγονεν E, „richtig" We | **13** ὁτιοῦν E | **14** γεγένηται] γέγονεν E, d. hier abbricht | **15** ⟨μὴ⟩ + Ferrarius | **21** καὶ ταῦτα bis **27** ἔσται im Cod. Venet. 502 f. 198b | **22** ἐγίνετο | πάντα E, om. M | **23** nach γεγονέναι + λέγειν E | nach του Ras. von c. zwei Buchst. | **26** ἐξειλήφασιν bis τῷ < E | ἀνυπόστατος γὰρ ἡ κακία E **27** mit ἔσται bricht E ab | **31** ἐφιστῶμεν] ἐφίσταμεν, αμεν v. II. H. über d. Rand a. Ende d. Z., corr. We.

Digitized by Google

πληκτικώτατα ταῦτα παραστῆσαι. ὅσον τοίνυν ἐπὶ τοῖς σημαινομένοις τοῦ »Οὐδὲν« καὶ τοῦ »Οὐκ ὄν«, δόξει εἶναι συνωνυμία, τοῦ »Οὐκ ὄντος« »Οὐδενὸς« ἂν λεγομένου, καὶ τοῦ »Οὐδενὸς« »Οὐκ ὄντος«. φαίνεται δὴ ὁ ἀπόστολος τὰ »Οὐκ ὄντα« οὐχὶ ἐπὶ τῶν μηδαμῆ μηδαμῶς ὄντων ὀνομάζων ἀλλ' ἐπὶ τῶν μοχθηρῶν. »Μὴ ὄντα« νομίζων
137v τὰ πονηρά· »Τὰ μὴ ὄντα«, γάρ φησιν, ὁ θεὸς ὡς ὄντα ἐκάλεσεν.« ἀλλὰ καὶ ὁ Μαρδοχαῖος ἐν τῇ κατὰ τοὺς Ἑβδομήκοντα Ἐσθὴρ μὴ 95
ὄντας τοὺς ἐχθροὺς τοῦ Ἰσραὴλ καλεῖ, λέγων· »Μὴ παραδῷς τὸ σκῆπτρόν σου, κύριε, τοῖς μὴ οὖσιν.« καὶ ἔστι προσαγαγεῖν πῶς διὰ
10 τὴν κακίαν »μὴ ὄντες« οἱ πονηροὶ προσαγορεύονται ἐκ τοῦ ἐν τῇ Ἐξόδῳ ὀνόματος ἀναγραφομένου τοῦ θεοῦ· »Εἶπε γὰρ κύριος πρὸς Μωϋσῆν· Ὁ ὢν τοῦτό μοί ἐστιν τὸ ὄνομα.« καθ' ἡμᾶς δὲ τοὺς 96
εὐχομένους εἶναι ἀπὸ τῆς ἐκκλησίας ὁ ἀγαθὸς θεὸς ταῦτά φησιν, ὃν δοξάζων ὁ σωτὴρ λέγει· »Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός, ὁ πατήρ«.
15 οὐκοῦν »ὁ ἀγαθὸς« τῷ »ὄντι« ὁ αὐτός ἐστιν. ἐναντίον δὲ τῷ ἀγαθῷ τὸ κακὸν ἢ τὸ πονηρόν, καὶ ἐναντίον τῷ »Ὄντι« τὸ »Οὐκ ὄν«· οἷς ἀκολουθεῖ ὅτι τὸ πονηρὸν καὶ ⟨τὸ⟩ κακὸν Οὐκ ὄν. καὶ τάχα τοῦτο 97
ἔσηνε τοὺς εἰπόντας τὸν διάβολον μὴ εἶναι θεοῦ δημιούργημα· καθ' ὃ γὰρ διάβολός ἐστιν οὐκ ἔστι θεοῦ δημιούργημα, ᾧ δὲ συμβέβηκε
20 διαβόλῳ εἶναι, γενητὸς ὤν, οὐδενὸς κτιστοῦ ὄντος παρὲξ τοῦ θεοῦ ἡμῶν, θεοῦ ἐστι κτίσμα· ὡς εἰ ἐφάσκομεν καὶ τὸν φονέα μὴ εἶναι θεοῦ δημιούργημα, οὐκ ἀναιροῦντες τὸ ἢ ἄνθρωπός ἐστι πεποιῆσθαι
66R αὐτὸν ὑπὸ θεοῦ. τιθέντες γὰρ τὸ ἢ ἄνθρωπος τυγχάνει ἀπὸ θεοῦ 98
αὐτὸν τὸ εἶναι εἰληφέναι καὶ ἡμεῖς οὐ τίθεμεν τὸ ἢ φονεύς ἐστιν
25 ἀπὸ θεοῦ τοῦτ' αὐτὸν εἰληφέναι. πάντες μὲν οὖν οἱ μετέχοντες τοῦ »Ὄντος« — μετέχουσι δὲ οἱ ἅγιοι —, εὐλόγως ἂν »Ὄντες« χρηματίζοιεν· οἱ δὲ ἀποστραφέντες τὴν τοῦ »Ὄντος« μετοχήν, τῷ ἐστερῆσθαι τοῦ »Ὄντος« γεγόνασιν »Οὐκ ὄντες«. προείπομεν δὲ ὅτι συνωνυμία 99
ἐστὶ τοῦ »Οὐκ ὄντος« καὶ τοῦ »Οὐδενός«, καὶ διὰ τοῦτο οἱ »Οὐκ
30 ὄντες« »Οὐδέν« εἰσι, καὶ πᾶσα ἡ κακία »Οὐδέν« ἐστιν, ἐπεὶ καὶ »Οὐκ ὂν« τυγχάνει, καὶ »Οὐδὲν« καλουμένη χωρὶς γεγένηται τοῦ λόγου, τοῖς »πᾶσιν« οὐ συγκαταριθμουμένη. ἡμεῖς μὲν οὖν κατὰ τὸ δυνατὸν παρεστήσαμεν τίνα τὰ διὰ τοῦ λόγου γεγενημένα πάντα καὶ τί τὸ

6 Vgl. Röm. 4, 17. — 8 Esth. 4, [17] (addit. Graec. C 22). — 11 Vgl. Exod. 3, 14f. — 14 Mark. 10, 18; vgl. Luk. 18, 19. — 28 Vgl. Z. 2. — 32 Vgl. Joh. 1, 3.

2 *συνωνυμία*] *συνώνυμα*, corr. We cf. Z. 28 | 5 *νομίζων* bis 6 *μὴ ὄντα* a. Rande von II. H. nachgetragen | 9 *οὖσιν* unter d. Linie. | 12 *Μωυσῆν*] *ην* a. Ras. *τὸ ὄνομα* unter d. Linie | 17 ⟨*τὸ*⟩ + We | *κακὸν οὐκ ὂν καὶ* a. Ras. | 18 *εἶναι*] *ναι* II. H. über d. Linie. | 22 nach *ἐστι* + *μὴ* M, corr. V.

Digitized by Google

χωρὶς αὐτοῦ γενόμενον μέν, ὃν δὲ οὐδέποτε καὶ διὰ τοῦτο »Οὐδὲν« καλούμενον.

100 XIV. (8) Βιαίως δὲ οἶμαι καὶ χωρὶς μαρτυρίου τὸν Οὐαλεντίνου λεγόμενον εἶναι γνώριμον Ἡρακλέωνα διηγούμενον τὸ »πάντα δι' αὐτοῦ ἐγένετο« ἐξειληφέναι »πάντα« τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ, ἐκκλείοντα τῶν πάντων, τὸ ὅσον ἐπὶ τῇ ὑποθέσει αὐτοῦ, τὰ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ διαφέροντα. φησὶ γάρ· 61 H Οὐ τὸν αἰῶνα ἢ τὰ ἐν τῷ αἰῶνι γεγονέναι διὰ τοῦ λόγου, ἅτινα οἴεται πρὸ τοῦ λόγου γεγονέναι. ἀναιδέστερον δὲ ἱστάμενος πρὸς τὸ »Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν«, μὴ εὐλαβούμενος τὸ »Μὴ προσθῇς τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευδὴς »γένῃ«, προστίθησι τῷ »Οὐδὲ ἕν« Τῶν ἐν τῷ κόσμῳ καὶ τῇ
101 κτίσει. καὶ ἐπεὶ προφανῆ ἐστι τὰ ὑπ' αὐτοῦ λεγόμενα σφόδρα βεβιασμένα καὶ παρὰ τὴν ἐνάργειαν ἀπαγγελλόμενα. εἰ τὰ νομιζόμενα αὐτῷ θεῖα ἐκκλείεται τῶν Πάντων, | τὰ δέ, ὡς ἐκεῖνος 138r οἴεται, παντελῶς φθειρόμενα κυρίως »Πάντα« καλεῖται, οὐκ ἐπιδιατριπτέον τῇ ἀνατροπῇ τῶν αὐτόθεν τὴν ἀτοπίαν ἐμφαινόντων· οἷον δὴ καὶ τὸ τῆς γραφῆς λεγούσης· »Χωρὶς αὐτοῦ »ἐγένετο οὐδὲ ἕν«· προστιθέντα αὐτὸν ἄνευ παραμυθίας τῆς ἀπὸ τῆς γραφῆς τὸ Τῶν ἐν τῷ κόσμῳ καὶ τῇ κτίσει· μηδὲ μετὰ πιθανότητος ἀποφαίνεσθαι, πιστεύεσθαι ἀξιοῦντα ὁμοίως προφήταις ἢ ἀποστόλοις τοῖς μετ' ἐξουσίας καὶ ἀνυπευθύνως καταλείπουσι τοῖς καθ' αὑτοὺς καὶ μεθ' αὑτοὺς
102 σωτήρια γράμματα. ἔτι δὲ ἰδίως καὶ τοῦ »Πάντα δι' αὐτοῦ »ἐγένετο« ἐξήκουσε φάσκων· Τὸν τὴν αἰτίαν παρασχόντα τῆς γενέσεως τοῦ κόσμου τῷ δημιουργῷ, τὸν λόγον ὄντα, 67R εἶναι οὐ τὸν ἀφ' οὗ, ἢ ὑφ' οὗ, ἀλλὰ τὸν δι' οὗ, παρὰ τὴν ἐν τῇ συνηθείᾳ φράσιν ἐκδεχόμενος τὸ γεγραμμένον. εἰ γὰρ ὡς νοεῖ ἡ ἀλήθεια τῶν πραγμάτων ἦν, ἔδει διὰ τοῦ δημιουργοῦ γεγράφθαι πάντα γεγονέναι ὑπὸ τοῦ λόγου, οὐχὶ δὲ ἀνάπαλιν διὰ
103 τοῦ λόγου ὑπὸ τοῦ δημιουργοῦ. καὶ ἡμεῖς μὲν τῷ »δι' οὗ« χρησάμενοι ἀκολούθως τῇ συνηθείᾳ, οὐκ ἀμάρτυρον τὴν ἐκδοχὴν ἀφήκαμεν· ἐκεῖνος δὲ πρὸς τῷ μὴ παραμεμυθῆσθαι ἀπὸ τῶν θείων γραμμάτων τὸν καθ' ἑαυτὸν νοῦν, φαίνεται καὶ ὑποπτεύσας τὸ ἀληθὲς καὶ ἀναιδῶς αὐτῷ ἀντιβλέψας· φησὶ γάρ· Ὅτι οὐχ ὡς ὑπ' ἄλλου ἐνεργοῦντος αὐτὸς ἐποίει ὁ λόγος, ἵν'

5 Joh. 1, 3. — 11 Prov. 24, 29. — 24 Joh. 1, 3.

1 δὲ über d. Linie v. H. H. αὐτῷ] τῶ H. ü. d. Z. | 12 προστίθησι] ροστι a. Ras. | 14 ἐνεργειαν M | ἀπαγγελλόμενα] ἐπαγγελλόμενα, corr. We | 18 δὲ M, corr. Br | 27 παρὰ τὴν] περὶ ὧν, corr. Jacobi | 31 τῷ,] τῇ, corr. We.

Digitized by Google

οὕτω νοηθῇ τὸ δι' αὐτοῦ, ἀλλ' αὐτοῦ ἐνεργοῦντος ἕτερος ἐποίει. οὐ τοῦ παρόντος δὲ καιροῦ ἐλέγξαι τὸ μὴ τὸν δημιουργὸν 104
ὑπηρέτην τοῦ λόγου γεγενημένον τὸν κόσμον πεποιηκέναι καὶ ἀποδεικνύναι ὅτι ὑπηρέτης τοῦ δημιουργοῦ γενόμενος ὁ λόγος
5 τὸν κόσμον κατεσκεύασε. κατὰ γὰρ τὸν προφήτην Δαβὶδ »Ὁ »θεὸς εἶπε καὶ ἐγενήθησαν, ἐνετείλατο καὶ ἐκτίσθησαν«. »ἐνετείλατο« γὰρ ὁ ἀγένητος θεὸς τῷ πρωτοτόκῳ πάσης κτίσεως »καὶ ἐκτίσθη- »σαν«, οὐ μόνον ὁ κόσμος καὶ τὰ ἐν αὐτῷ, ἀλλὰ καὶ τὰ λοιπὰ πάντα, »εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι·
62H »πάντα γὰρ δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι »πρὸ πάντων.«

XV. (9) Ἔτι εἰς τὸ »Χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν« οὐκ ἀγύμ- 105
ναστον ἐατέον καὶ τὸν περὶ τῆς κακίας λόγον· κἂν γὰρ σφόδρα ἀπεμφαίνειν δοκῇ, οὐ πάνυ τι δοκεῖ μοι εὐκαταφρόνητον εἶναι. ζη-
15 τητέον γάρ, εἰ καὶ ἡ κακία διὰ τοῦ λόγου γεγένηται, νῦν λόγου προσεχῶς λαμβανομένου τοῦ ἐν ἑκάστῳ, ὡς καὶ αὐτὸς ἀπὸ τοῦ »ἐν »ἀρχῇ« λόγου ἑκάστῳ ἐγγεγένηται. φησὶ τοίνυν ὁ ἀπόστολος· »Χωρὶς 106
»νόμου ἁμαρτία νεκρά«, καὶ ἐπιφέρει· »Ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ
138v »μὲν ἁμαρτία ἀνέζησε« καθολικὸν διδάσκων | περὶ τῆς ἁμαρτίας ὡς
20 μηδεμίαν ἐνέργειαν αὐτῆς ἐχούσης πρὶν νόμου καὶ ἐντολῆς· πῶς δὲ † ἔχων ὁ λόγος νόμος εἶναι καὶ ἐντολή, καὶ οὐκ ἂν εἴη ἁμαρτία μὴ ὄντος νόμου, (»ἁμαρτία γὰρ οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου«), καὶ πάλιν οὐκ ἂν εἴη ἁμαρτία μὴ ὄντος λόγου (»Εἰ γὰρ μὴ ἦλθον, φησί,
68R »καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχοσαν«). πᾶσα γὰρ πρόφασις 107
25 ἀφαιρεῖται τοῦ βουλομένου ἐπὶ τῇ ἁμαρτίᾳ ἀπολογήσασθαι, ἐπὰν ἐνυπάρχοντος λόγου καὶ παραδεικνύοντος, ὃ πρακτέον, μὴ πείθηταί τις αὐτῷ. τάχα οὖν πάντα μέχρι καὶ τῶν χειρόνων διὰ τοῦ λόγου γεγένηται καὶ »χωρὶς αὐτοῦ«, ἁπλούστερον ἡμῶν ἐκλαμβανόντων τὸ »Οὐδέν«, »ἐγένετο οὐδέν«. καὶ οὐ πάντως τῷ λόγῳ ἐγκλητέον, εἰ 108
30 »πάντα δι' αὐτοῦ ἐγένετο« καὶ »χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν«, ὡς οὐδὲ ἐγκλητέον τῷ διδασκάλῳ παραδείξαντι τὰ δέοντα τῷ μανθά- νοντι, ἐπὰν διὰ τὰ τούτου μαθήματα μηκέτι τόπος καταλείπηται τῷ ἁμαρτάνοντι ἀπολογίας ὡς περὶ ἀγνοίας, καὶ μάλιστα ἐὰν νοήσωμεν διδάσκαλον τοῦ μανθάνοντος ἀχώριστον. οἱονεὶ γὰρ διδάσκαλος τοῦ 109

5 Ps. 148, 5. — 7 Vgl. Kol. 1, 15. — 9 Vgl. Kol. 1, 16f. — 12 Joh. 1, 3. — 16 Vgl. Joh. 1, 1. — 17 Röm. 7, 8f. — 22 Röm. 5, 13. — 23 Joh. 15, 22. — 28 Vgl. Joh. 1, 3. — 30 Joh. 1, 3.

7 ἀγένητος] ἀγέννητος, corr. We | 21 ἔχων verderbt; εἰ εἶχεν We, viell. liegt die Corruptel tiefer u. nach ἐντολή ist Lücke anzunehmen. | 29 nach ἐγένετο + τὸ | 33 νοήσωμεν] με a. Ras.

Digitized by Google

μανθάνοντος ἀχώριστός ἐστιν ὁ ἐνυπάρχων τῇ φύσει τῶν λογικῶν λόγος, ἀεὶ ὑποβάλλων τὰ πρακτέα, κἂν παρακούωμεν αὐτοῦ τῶν ἐντολῶν, ἐπιδιδόντες αὑτοὺς ταῖς ἡδοναῖς καὶ παραπεμπόμενοι τὰς ἀρίστας αὐτοῦ συμβουλάς. ὥσπερ δὲ ὑπηρέτῃ τῷ ὀφθαλμῷ ἐπὶ τοῖς κρείττοσιν ἡμῖν γεγενημένῳ, καὶ ἐφ' οἷς οὐ καλῶς ὁρῶμεν χρώμεθα, ὁμοίως καὶ τῇ ἀκοῇ ὅταν παρέχωμεν ἑαυτοὺς ἀκροάσει ἀχρήστων ῥημάτων καὶ τῶν ἀπηγορευμένων ἀκουσμάτων, οὕτως ἐνυβρίζοντες τὸν ἐν ἡμῖν λόγον καὶ οὐκ εἰς δέον αὐτῷ χρώμενοι, δι' αὐτοῦ παρανομοῦμεν εἰς κρίμα τοῖς ἁμαρτάνουσιν ἐνυπάρχοντος καὶ διὰ τοῦτο κρίνοντος τὸν μὴ πάντων αὐτὸν προτιμήσαντα. ὅθεν καί φησιν· »Ὁ λόγος ὃν ἐλάλησα αὐτὸς κρινεῖ ὑμᾶς«. ἴσον διδάσκων τῷ Ἐγὼ ὁ λόγος, ὁ ἐν ὑμῖν ἀεὶ ἐνηχῶν, αὐτὸς ὑμᾶς καταδικάσω τόπον ἀπολογίας καταλειπόμενον ἔχοντας οὐδαμῶς. δόξει μέντοι γε βιαιοτέρα εἶναι αὕτη ἡ ἐκδοχή, ἄλλον μὲν λόγον τὸν »ἐν ἀρχῇ« ἡμῶν ἐξειληφότων τὸν »πρὸς τὸν θεόν«, τὸν θεὸν λόγον, ἄλλως δὲ αὐτὸν νοούντων, ὅτε οὐ μόνον ἐπὶ τῶν προηγουμένων δημιουργημάτων τὸ »Πάντα δι' αὐτοῦ ἐγένετο« λέγεσθαι ἐφάσκομεν, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν ὑπὸ τῶν λογικῶν πραττομένων, οὗ λόγου χωρὶς οὐδὲν ἁμαρτάνομεν. καὶ ζητητέον, εἰ καὶ τὸν ἐν ἡμῖν λόγον τὸν αὐτὸν λεκτέον τῷ ἐν ἀρχῇ καὶ τῷ πρὸς τὸν θεὸν καὶ τῷ θεῷ λόγῳ, μάλιστα ἐπεὶ οὐχ ὡς ἑτέρου τούτου τυγχάνοντος παρὰ τὸν ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγον ἔοικεν ὁ ἀπόστολος διδάσκειν τὸ »Μὴ εἴπῃς »ἐν τῇ καρδίᾳ σου Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τοῦτ' ἔστι Χρι»στὸν καταγαγεῖν· ἢ Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τοῦτ' ἔστι »Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν· ἀλλὰ τί λέγει ἡ γραφή; Ἐγγύς σου »τὸ ῥῆμά ἐστιν σφόδρα ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου.«

110 111 63 H 139 r 69 R

I, 4. Ὃ γέγονεν ⟨ἐν⟩ αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.

112 XVI. (10) Ἔστι τινὰ δόγματα παρ' Ἕλλησι καλούμενα παράδοξα, τῷ κατ' αὐτοὺς σοφῷ πλεῖστα ὅσα προσάπτοντα μετά τινος ἀποδείξεως ἢ φαινομένης ἀποδείξεως, καθ' ἃ φασι μόνον καὶ πάντα τὸν σοφὸν εἶναι ἱερέα, τῷ μόνον καὶ πάντα τὸν σοφὸν ἐπιστήμην ἔχειν τῆς τοῦ θεοῦ θεραπείας, καὶ μόνον καὶ πάντα τὸν σοφὸν εἶναι ἐλεύ-

8 Vgl. Joh. 9, 39. — **11** Vgl. Joh. 12, 48. — **14** Vgl. Joh. 1, 1. — **17** Joh. 1, 3. — **20** Vgl. Joh. 1, 1. — **22** Röm. 10, 6—8. — Vgl. Deut. 30, 11ff. — **29** Vgl. Zeller, Phil. d. Griechen III. 1³, 249ff.

5 *οὐ καλῶς*] *οὐκ ἄλλως*, corr. Hu | **6** *παρέχωμεν*] *με* a. Ras. M | *ἀκροάσει ἀχρήστων*] *ἀκροάσεσι κρίσεως*, corr. Pr | **20** *τῷ*¹ über d. Linie M | **25** *ἀλλὰ—ἐγγὺς* a. Ras. M | **27** *ἐν* + V | *ζω[ὴ ἦν τὸ]* *φῶς* a. Ras. | **31** *φασί*] *φησι*, corr. V.

Digitized by Google

θερον, ἐξουσίαν αὐτοπραγίας ἀπὸ τοῦ θείου νόμου εἰληφότα· καὶ
τὴν ἐξουσίαν δὲ ὁρίζονται νόμιμον ἐπιτροπήν. καὶ τί δεῖ νῦν ἡμᾶς 113
λέγειν περὶ τῶν καλουμένων παραδόξων, πολλῆς οὔσης τῆς εἰς αὐτὰ
πραγματείας καὶ δεομένων συγκρίσεως τῆς πρὸς τὸ βούλημα τῆς
γραφῆς τῶν ὑπ' αὐτῶν κατὰ τὰ παράδοξα ἀπαγγελλομένων, ἵνα
ἐπὶ τίνων ὁ τῆς θεοσεβείας λόγος συμφῇ καὶ ἐπὶ τίνων τὸ ἐναντίον
τοῖς ὑπ' ἐκείνων λεγομένοις βούλεται παραστῆσαι δυνηθῶμεν; τού-
των δὲ ἡμῖν μνήμη γεγένηται ζητοῦσι τὸ »Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ 114
»ἦν« διὰ τὸ οἱονεὶ τῷ χαρακτῆρι τῶν παραδόξων καί, εἰ δεῖ εἰπεῖν,
παραδοξότερον παρὰ τὰ ὑπ' ἐκείνων λεγόμενα, δύνασθαι ἄν τινα
ἑπόμενον τῇ γραφῇ δεῖξαι τοιαῦτα πλείονα. ἐὰν γὰρ νοήσωμεν τὸν ἐν
ἀρχῇ λόγον, τὸν πρὸς τὸν θεόν, τὸν θεὸν λόγον, τάχα δυνησόμεθα μόνον
62 H τὸν τούτου, καθ' ἃ τοιοῦτος, μετέχοντα »λογικὸν« εἰπεῖν· ὥστε καὶ
ἀποφήνασθαι ἄν, ὅτι μόνος ὁ ἅγιος λογικός. πάλιν ἐὰν συνῶμεν 115
τὴν γενομένην ἐν τῷ λόγῳ ζωήν, τὸν εἰπόντα »Ἐγώ εἰμι ἡ ζωή«,
ἐροῦμεν μηδένα τῶν ἔξω τῆς πίστεως Χριστοῦ ζῆν, πάντας ⟨δὲ⟩
εἶναι νεκροὺς τοὺς μὴ ζῶντας θεῷ, τό τε ζῆν αὐτῶν ζῆν εἶναι τῆς
ἁμαρτίας καὶ διὰ τοῦτο, ἵν' οὕτως εἴπω, ζῆν θανάτου τυγχάνειν.
ἐπίστησον δὲ εἰ μὴ τοῦτο πολλαχοῦ παριστᾶσιν αἱ θεῖαι γραφαί, [τὸ] 116
ὅπου μὲν τοῦ σωτῆρος φάσκοντος· »Ἢ οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ἐπὶ
»τῆς βάτου Ἐγὼ θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ; οὐκ
»ἔστι θεὸς νεκρῶν ἀλλὰ ζώντων« καὶ »Οὐ δικαιωθήσεται κατενώ-
»πιόν σου πᾶς ζῶν«. τί δὲ περὶ αὐτοῦ λέγειν δεῖ τοῦ θεοῦ ἢ τοῦ
σωτῆρος; ἀμφιβάλλεται γὰρ ὁποτέρου εἶναι ἡ λέγουσα ἐν τοῖς προ-
φήταις φωνή· »Ζῶ ἐγώ, λέγει κύριος.«
70R XVII. (11) Καὶ πρῶτόν γε ἴδωμεν τὸ »Οὐκ ἔστι θεὸς νεκρῶν 117
»ἀλλὰ ζώντων« ἴσον δυνάμενον τῷ »οὐκ ἔστιν ἁμαρτωλῶν ἀλλὰ
ἁγίων θεός«. μεγάλη γὰρ δωρεὰ τοῖς πατριάρχαις τὸ τὸν θεὸν
139v ἀντὶ ὀνόματος προσάψαι | τὴν ἐκείνων ὀνομασίαν τῇ »θεὸς« ἰδίᾳ αὐτοῦ
προσηγορίᾳ, καθ' ἃ καὶ ὁ Παῦλός φησι· »Διὸ οὐκ ἐπαισχύνεται ὁ θεὸς 118
»θεὸς καλεῖσθαι αὐτῶν«· οὐκοῦν θεός ἐστιν τῶν πατέρων καὶ πάν-
των τῶν ἁγίων· καὶ οὐκ ἄν που ἀναγεγραμμένον εὑρίσκοιτο τὸ θεὸν
εἶναι τὸν θεόν τινος τῶν ἀσεβῶν. εἰ τοίνυν ὁ θεὸς ἁγίων ἐστὶν καὶ

2 Vgl. Ps. Plato, defin. p. 415B. — **8** Joh. 1, 4. — **11** Vgl. Joh. 1, 1. — **15** Joh. 11, 25. — **16** Vgl. Röm. 6, 11. — **20** Vgl. Mark. 12, 26f. (Exod. 3, 6). — **22** Ps. 142, 2. — **25** Num. 14, 28; Ez. 34, 8. — **26** Mark. 12, 27. — **28** Vgl. Exod. 3, 6. — **30** Hebr. 11, 16.

4 συγκρίσεως] συγκρίσεων, corr. Del | **9** ⟨ἐν⟩ τῷ? We | **11** nach δεῖξαι ist viell. ⟨ταῦτα καὶ⟩ hinzuzufügen. | **16** ⟨δὲ⟩ + V | **17** ζῆν²] ἦν a. Ras., viell. hier u. **18** in ζωὴν z. ändern. | **19** τὸ z. str. | **24** εἶναι] ἐστιν We, wohl mit Recht | **29** ἀντὶ a. Ras. | τὴν a. Ras.; urspr. standen c. 5—6 Buchst. da. | 33 ἐστιν M*.

Digitized by Google

θεὸς ζώντων εἶναι λέγεται, οἱ ἅγιοι ζῶντές εἰσι καὶ οἱ ζῶντες ἅγιοι,
οὔτε ἁγίου ὄντος ἔξω τῶν ζώντων οὔτε ζῶντος χρηματίζοντος μόνον
119 καὶ οὐχὶ μετὰ τοῦ ζῆν ἔχοντος καὶ τὸ ἅγιον αὐτὸν τυγχάνειν. τὸ
παραπλήσιον δὲ ἔστι καὶ ἐπὶ τοῦ »Εὐαρεστήσω τῷ κυρίῳ ἐν χώρᾳ
»ζώντων« ἰδεῖν, ὡς εἰ ἔλεγεν »ἐν τάξει ἁγίων« ἢ »ἐν τῷ τόπῳ τῶν
ἁγίων«, τῆς κυρίως εὐαρεστήσεως ἤτοι ἐν τῇ τάξει τῶν ἁγίων ἢ
ἐν τῷ τόπῳ τῶν ἁγίων τυγχανούσης, οὐδέπω ἄκρως εὐαρεστοῦν-
τος τοῦ μὴ εἰς τὴν τάξιν τῶν ἁγίων κεχωρηκότος ἢ τοῦ μὴ εἰς τὸν
τόπον τῶν ἁγίων γεγενημένου· εἰς ὃν χωρῆσαι δεήσει πάντα τὸν
οἱονεὶ σκιὰν καὶ εἰκόνα τῆς εὐαρεστήσεως τῆς ἀληθινῆς ἐν τῷ βίῳ
120 τούτῳ προανειληφότα. καὶ τὸ »οὐ δικαιωθήσεσθαι δὲ κατ' ἐνώπιον
»τοῦ θεοῦ πάντα ζῶντα« δηλοῖ, ὅτι ὡς πρὸς θεὸν καὶ τὴν ἐν αὐτῷ
δικαιοσύνην οὐδεὶς δικαιωθήσεται τῶν πάνυ μακαρίων, ὡς εἰ καὶ
ἐλέγομεν ἐπὶ ἑτέρου παραδείγματος τοιοῦτον· οὐ φωτιεῖ πᾶς λύχνος
ἐνώπιον ἡλίου· φωτιεῖ μὲν γὰρ πᾶς λύχνος, ἀλλ' ὅταν μὴ καταυγά-
ζηται ὑπὸ ἡλίου· δικαιωθήσεται δὲ καὶ πᾶς ζῶν, ἀλλ' οὐκ ἐνώπιον
τοῦ θεοῦ, ὅτε δὲ τοῖς κάτω συγκρίνεται καὶ ὑπὸ τοῦ σκότους κεκρα- 65 E
121 τημένοις παρ' οἷς λάμψει αὐτῶν τὸ φῶς. καὶ ὅρα εἰ κατὰ τοῦτο
καὶ τὸ ἐν τῷ εὐαγγελίῳ νοητέον· »Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσ-
θεν τῶν ἀνθρώπων«. οὐ γάρ ⟨φησιν⟩ »λαμψάτω τὸ φῶς ὑμῶν
ἔμπροσθεν τοῦ θεοῦ«· τοῦτο γὰρ εἰ ἐνετέλλετο, ἀδύνατον ἂν ἐδίδου
ἐντολήν, ὡς εἰ καὶ τοῖς λύχνοις ἐμψύχοις οὖσιν ἐντολὴν ἐδίδου τοῦ
122 λάμψαι τὸ φῶς αὐτῶν ἔμπροσθεν τοῦ ἡλίου. οὐχ οἱ τυχόντες οὖν μόνοι
τῶν ζώντων οὐ δικαιωθήσονται κατενώπιον τοῦ θεοῦ, ἀλλὰ καὶ οἱ ὡς
ἐν ζωσι τῶν ἐλαττόνων διαφέροντες· ἤ, ὅπερ μᾶλλον, ἅμα ἡ πάντων
τῶν ζώντων δικαιοσύνη οὐ δικαιωθήσεται ὡς πρὸς τὴν τοῦ θεοῦ
δικαιοσύνην· ὡς εἰ καὶ ἅμα πάντα τὰ ἐπὶ γῆς νυκτερινὰ συναγαγὼν
123 φῶτα ἔφασκον μὴ δύνασθαι ταῦτα φωτίζειν ὡς πρὸς τὰς τούτου
τοῦ ἡλίου αὐγάς. κατ' ἐπανάβασιν δὲ ἐκ τῶν εἰρημένων νοητέον καὶ 71 R
τὸ »Ζῶ ἐγώ, λέγει κύριος«, τάχα τοῦ κυρίως ζῆν μάλιστα ἐκ τῶν
εἰρημένων περὶ τοῦ ζῆν παρὰ μόνῳ τυγχάνοντος τῷ θεῷ. καὶ ὅρα
εἰ διὰ τοῦτο δύναται ὁ ἀπόστολος τὴν εἰς ὑπερβολὴν ὑπεροχὴν νοή-
σας τῆς ζωῆς τοῦ θεοῦ καὶ ἀξίως θεοῦ συνιεὶς τὸ »Ζῶ ἐγώ, λέγει
»κύριος« εἰρηκέναι περὶ θεοῦ· »Ὁ μόνος ἔχων ἀθανασίαν«, οὐδενὸς τῶν

4 Ps. 114, 9. — 11 Vgl. Ps. 142. 2. — 19 Matth. 5, 16. — 24 Vgl. Ps. 142, 2. — 30 Num. 14, 28. Ez. 34, 8. — 34 Num. 14, 28. Ez. 34, 8. — 35 I. Tim. 6, 16.

6 ἤ a. Ras. | 12 ὡσι (= ὡσεὶ), corr. V | 20 ⟨φησιν⟩ + Pr | 23 τοῦ] τὸ, corr. Pr | 25 viell. ὅπερ μᾶλλον ἁρμόνιον zu lesen | πάντων] v^2 nachträgl. zugefügt | 28 ἔφασκεν? We | τούτου wohl z. str. We | 32 ἀπὸ a. E. d. Z. a. Rand nachgetragen.

Digitized by Google

παρὰ τὸν θεὸν ζώντων ἔχοντος τὴν ἄτρεπτον πάντη καὶ ἀναλλοίωτον ζωήν. καὶ τί διστάζομεν περὶ τῶν λοιπῶν, ὅτε οὐδὲ ὁ χριστὸς ἔσχε τὴν τοῦ πατρὸς ἀθανασίαν; ἐγεύσατο γὰρ ὑπὲρ παντὸς θανάτου.

XVIII. (12) Ἅμα δὲ ἐξετάζοντες τὰ περὶ τοῦ ζῶντος θεοῦ καὶ 124
ζωῆς, ἥτις ἐστὶν ὁ χριστός, καὶ ζώντων ἐν χώρᾳ ἰδίᾳ τυγχανόντων καὶ ζώντων οὐ δικαιουμένων ἐνώπιον τοῦ θεοῦ, ἀκολούθως τούτοις παρατιθέμενοι τὸ »Ὁ μόνος ἔχων ἀθανασίαν« τὰ ὑπονοούμενα συμπαραληψόμεθα περὶ τοῦ πᾶν ὁτιποτοῦν λογικὸν μὴ οὐσιωδῶς ἔχειν ὡς ἀχώριστον συμβεβηκὸς τὴν μακαριότητα. ἐὰν γὰρ ἀχώριστον ἔχῃ 125
τὴν μακαριότητα καὶ τὴν προηγουμένην ζωήν, πῶς ἔτι ἔσται ἀληθὲς τὸ περὶ τοῦ θεοῦ λεγόμενον· »Ὁ μόνος ἔχων ἀθανασίαν«; χρὴ μέντοι γε εἰδέναι ὅτι τινὰ ὁ σωτὴρ οὐχ αὐτῷ ἐστιν ἀλλ' ἑτέροις, τινὰ δὲ αὐτῷ καὶ ἑτέροις· ζητητέον δὲ εἴ τινα ἑαυτῷ καὶ οὐδενί. σαφῶς μὲν γὰρ ἑτέροις ἐστὶν »ποιμήν«, οὐχ ὡς οἱ παρὰ ἀνθρώποις ποιμένες ὄνησιν ἐκ τοῦ ποιμαίνειν εἰς ἑαυτὸν λαμβάνων, εἰ μὴ ἄρα τὴν τῶν ποιμαινομένων ὠφέλειαν διὰ φιλανθρωπίαν ἰδίαν εἶναι λογίσαιτο.
ἀλλὰ καὶ »ὁδός« ἐστιν ἑτέροις ὁμοίως καὶ »θύρα«, ὁμολογουμένως 126
δὲ καὶ »ῥάβδος«· ἑαυτῷ δὲ καὶ ἑτέροις »σοφία«, τάχα δὲ καὶ »λόγος«. ζητητέον δὲ εἰ συστήματος θεωρημάτων ὄντος ἐν αὐτῷ, καθ' ὃ »σοφία« ἐστίν, ἐστί τινα θεωρήματα ἀχώρητα τῇ λοιπῇ παρ' αὐτὸν γεννητῇ φύσει, ἅτινα οἶδεν ἑαυτῷ. καὶ οὐκ ἀνεξέταστον ⟨τὸν⟩ λόγον 127
ἑατέον διὰ τὴν περὶ ἁγίου πνεύματος εὐλάβειαν. ὅτι μὲν γὰρ καὶ αὐτὸ αὐτῷ μαθητεύεται, σαφὲς ἐκ τοῦ λεγομένου περὶ παρακλήτου καὶ ἁγίου πνεύματος· »Ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν«. εἰ δὲ μαθητευόμενον πάντα χωρεῖ, ἃ ἐνατενίζων τῷ πατρὶ ἀρχόμενος ὁ υἱὸς γινώσκει, ἐπιμελέστερον ζητητέον.

Εἰ τοίνυν ὁ σωτὴρ ἃ μέν τινα ἑτέροις, τινὰ δὲ τάχα που αὐτῷ 128
καὶ ἢ οὐδενὶ ἢ ἑνὶ ἢ ὀλίγοις, καθ' ὃ »ζωή« ἐστιν ἡ γενομένη ἐν τῷ λόγῳ, βασανιστέον πότερον αὐτῷ καὶ ἑτέροις ζωή ἐστιν ἢ ἑτέροις, καὶ ⟨εἰ⟩ ἑτέροις, τίσι τούτοις. εἰ δὴ ταὐτόν ἐστι »ζωὴ« καὶ »φῶς τῶν ἀνθρώπων« — φησὶ γάρ· »Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων« — τὸ δὲ φῶς τῶν ἀνθρώπων τινῶν ἐστι φῶς, καὶ τοῦτο οὐ πάντων τῶν λογικῶν, ὅσον ἐπὶ † τῷ κεῖσθαι τὸ »Ἀνθρώπων«, ἀλλὰ »τῶν ἀνθρώπων« ἐστὶ φῶς, εἴη ἂν καὶ ζωὴ

3 Vgl. Hebr. 2, 9. — **5** Vgl. Ps. 114, 9. — **6** Vgl. Ps. 142, 2. — **7** I. Tim. 6. 16. — **11** I. Tim. 6, 16. — **14** Vgl. Ex. 34. — **17** Vgl. I, 27. 21. 23. 22. — **24** Joh. 16, 14. — **27** Vgl. Z. 11 f. — **28** Vgl. Joh. 1, 4. — **31** Joh. 1, 4.

3 *πάντων*? We | **12** *ἐστιν*] *εἶναι*, corr. We | **14** *ἐστιν* M* | **21** ⟨*τὸν*⟩ + We | **23** *μαθητεύεται*] *ευ* a. Ras. | *σαφῶς* M; corr. Hu | **26** *ἀρχόμενος*] viell. ⟨*ἐν*⟩ *ἀρχῇ μόνος* z. l. | **30** ⟨*εἰ*⟩ + Jacobi | **31** [*καὶ ἡ ζ*]*ωὴ* a. Ras. | **34** *τῷ*] *τούτων*? Pr, *τὸ μὴ πάντων τῶν*⟩ *ἀνθρώπων*? We.

Digitized by Google

ἀνθρώπων, ὧν καὶ φῶς ἐστιν· καὶ καθ' ὃ ζωή, λέγοιτο ἂν ὁ σωτὴρ
129 οὐχ αὑτῷ ἀλλὰ ἑτέροις εἶναι ζωὴ ὧν ἐστι καὶ φῶς. αὕτη δὴ ἡ ζωὴ τῷ λόγῳ ἐπιγίνεται, ἀχώριστος αὐτοῦ μετὰ τὸ ἐπιγενέσθαι τυγχάνουσα. λόγον γὰρ προϋπάρξαι τὸν καθαίροντα τὴν ψυχὴν ἐν τῇ ψυχῇ δεῖ, ἵνα κατὰ τοῦτον καὶ τὴν ἀπ' αὐτοῦ κάθαρσιν, πάσης περιαιρεθείσης νεκρότητος καὶ ἀσθενείας, ἡ ἀκραιφνὴς ζωὴ ἐγγένηται παρὰ παντὶ τῷ τοῦ λόγου καθ' ὃ θεός ἐστιν αὐτὸν ποιήσαντι χωρητικόν.

130 XIX. (13) Τηρητέον δὲ | τὰ δύο »Ἐν« καὶ τὴν διαφορὰν αὐτῶν 140v
ἐξεταστέον· πρῶτον μὲν γὰρ ἐν τῷ »λόγος ἐν ἀρχῇ«, δεύτερον δὲ ἐν
τῷ »ζωὴ ἐν λόγῳ«. ἀλλὰ λόγος μὲν »ἐν ἀρχῇ« οὐκ ἐγένετο· οὐκ ἦν γάρ, ὅτε ἡ ἀρχὴ ἄλογος ἦν, διὸ λέγεται· »Ἐν ἀρχῇ ἦν ὁ λόγος·« ζωὴ δὲ ἐν τῷ λόγῳ οὐκ ἦν· ἀλλὰ ζωὴ ἐγένετο, εἴ γε »ζωή ἐστι τὸ »φῶς τῶν ἀνθρώπων«. ὅτε γὰρ οὐδέπω ἄνθρωπος ἦν, οὐδὲ »φῶς »τῶν ἀνθρώπων« ἦν, τοῦ φωτὸς τῶν ἀνθρώπων κατὰ τὴν πρὸς
131 ἀνθρώπους σχέσιν νοουμένου. μηδεὶς δ' ἡμᾶς θλιβέτω χρονικῶς οἰόμενος ταῦτα ἀπαγγέλλειν, τῆς τάξεως τὸ πρῶτον καὶ τὸ δεύτερον καὶ τὰ ἑφεξῆς ἀπαιτούσης, κἂν χρόνος μὴ εὑρίσκηται, ὅτε τὰ ὑπὸ τοῦ λόγου [τὰ] ὑποβαλλόμενα τρίτα καὶ τέταρτα οὐδαμῶς ἦν. ὃν τρόπον 67H
τοίνυν »πάντα δι' αὐτοῦ ἐγένετο«, καὶ οὐχὶ πάντα δι' αὐτοῦ ἦν, καὶ »χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν«, οὐχὶ δὲ χωρὶς αὐτοῦ ἦν οὐδὲ ἕν, οὕτως ὃ γέγονεν ἐν αὐτῷ, οὐχὶ ὃ ἦν ἐν αὐτῷ, ζωὴ ἦν. καὶ πάλιν οὐχὶ ὃ ἐγένετο
132 ἐν ἀρχῇ ὁ λόγος ἦν, ἀλλὰ ὃ ἦν ἐν ἀρχῇ λόγος ἦν. τινὰ μέντοι γε τῶν ἀντιγράφων ἔχει, καὶ τάχα οὐκ ἀπιθάνως· »Ὃ γέγονεν ἐν αὐτῷ ζωή »ἐστιν«. εἰ δὲ ζωὴ ταὐτόν ἐστι τῷ τῶν ἀνθρώπων φωτί, οὐδεὶς ἐν σκότῳ τυγχάνων ζῇ καὶ οὐδεὶς τῶν ζώντων ἐν σκότῳ ἐστίν, ἀλλὰ πᾶς ὁ ζῶν καὶ ἐν φωτὶ ὑπάρχει, καὶ πᾶς ὁ ἐν φωτὶ ὑπάρχων ζῇ· ὥστε μόνον τὸν ζῶντα καὶ πάντα εἶναι φωτὸς υἱόν· φωτὸς δὲ υἱός, οὗ 73R
λάμπει τὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων.

133 XX. (14) Πάλιν, ἐπεὶ ἔστι τὰ παραλελειμμένα τῶν ἐναντίων
νοεῖσθαι ἐκ τῶν εἰρημένων περὶ τῶν ἐναντίων, λέγεται δὲ περὶ ζωῆς καὶ φωτὸς ἀνθρώπων, ἐναντίον δὲ τῇ ζωῇ θάνατος καὶ ἐναντίον φωτὶ ἀνθρώπων σκότος ἀνθρώπων, ἔστιν ἰδεῖν ὅτι ὁ ἐν σκότῳ τῶν ἀνθρώπων τυγχάνων ἐν θανάτῳ ἐστὶν καὶ ὁ τὰ τοῦ θανάτου πράττων οὐκ ἀλλαχόσε τοῦ σκότους ἐστίν. ὁ δὲ μνημο-

10 Vgl. Joh. 1, 1. — 11 Vgl. Joh. 1, 4. — 12 Joh. 1, 1. — 13 Vgl. Joh. 1, 4 — 20 Vgl. Joh. 1, 3. — 23 Vgl. Joh. 1, 1. — 24 Joh. 1, 4 (nach Dκ verss.). — 28 Vgl. Luk. 16, 8. — 29 Vgl. Matth. 5, 16

5 κατὰ] μετὰ, corr. We | 7 τῷ τοῦ a. Ras. | 19 [τὰ] str. V | 26 ἐστιν a. Ras.

Digitized by Google

νεύων τοῦ θεοῦ, ἐάν γε νοῶμεν τί τὸ μνημονεύειν αὐτοῦ, οὐκ ἔστιν
ἐν τῷ θανάτῳ κατὰ τὸ εἰρημένον· »Οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ
»μνημονεύων σου«. εἴτε δὲ σκότος ἀνθρώπων εἴτε θάνατος, οὐ φύσει 134
τοιαῦτά ἐστιν † ἄλλου λόγου »Ἡμεῖς ἦμεθά ποτε σκότος, νῦν δὲ φῶς
»ἐν κυρίῳ«, κἂν μάλιστα ἅγιοι καὶ πνευματικοὶ ἤδη χρηματίζωμεν.
ὥσπερ δὲ δεκτικὸς ὁ Παῦλος σκότος ὢν γέγονε τοῦ γενέσθαι φῶς
ἐν κυρίῳ οὕτως ὅστις ποτ' ἂν ᾖ σκότος. κατὰ δὲ τοὺς οἰομένους
εἶναι φύσεις πνευματικάς, ὥσπερ τὸν Παῦλον καὶ τοὺς ἁγίους ἀπο-
στόλους, οὐκ οἶδα εἰ σώζεται τὸ τὸν πνευματικὸν εἶναί ποτε σκότος
καὶ ὕστερον αὐτὸν γεγονέναι φῶς. εἰ γὰρ ὁ πνευματικός ποτε σκότος 135
ἦν, ὁ χοϊκὸς τί ἐστιν; εἰ δ' ἀληθές ἐστι τὸ σκότος γεγονέναι φῶς,
τίς ἡ ἀποκλήρωσις τοῦ μὴ πᾶν σκότος δύνασθαι γενέσθαι φῶς; εἰ
141r μὴ γὰρ ἐπὶ Παύλου | ἐλέγετο, ὅτι »ἦμεθά ποτε ἐν σκότῳ, νῦν δὲ
»φωτεινοὶ ἐν κυρίῳ«, ἐπὶ δὲ ὧν οἴονται φύσεων ἀπολλυμένων, ὅτι
σκότος ἦσαν ἢ σκότος εἰσί, κἂν χώραν εἶχεν ἡ περὶ φύσεων ὑπόθεσις.
νυνὶ δὲ ὁ Παῦλός φησι γεγονέναι »ποτὲ σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ«. 136
ὡς δυνατοῦ ὄντος τοῦ σκότος εἰς φῶς μεταβαλεῖν. οὐ χαλεποὶ δὲ
τὰ περὶ παντὸς σκότους ἀνθρώπων καὶ περὶ τοῦ θανάτου τοῦ
⟨αὐ⟩τοῦ τυγχάνοντος τῷ σκότῳ τῶν ἀνθρώπων ἐπιμελῶς ἰδεῖν ἐκ
68H τῶν εἰρημένων, τὸ ἐνδεχόμενον ὁρῶντα τῆς ἐπὶ τὸ χεῖρον καὶ κρεῖτ-
τον ἑκάστου μεταβολῆς.

XXI. (15) *Πάνυ δὲ βιαίως κατὰ τὸν τόπον γενόμενος ὁ* 137
Ἡρακλέων τὸ »Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν« ἐξείληφεν ἀντὶ τοῦ
»Ἐν αὐτῷ« Εἰς τοὺς ἀνθρώπους τοὺς πνευματικούς,
25 *οἱονεὶ ταὐτὸν νομίσας εἶναι τὸν λόγον καὶ τοὺς πνευματικούς,*
εἰ καὶ μὴ σαφῶς ταῦτ' εἴρηκε· καὶ ὡσπερεὶ αἰτιολογῶν φησιν·
Αὐτὸς γὰρ τὴν πρώτην μόρφωσιν τὴν κατὰ τὴν γένεσιν
αὐτοῖς παρέσχε, τὰ ὑπ' ἄλλου σπαρέντα εἰς μορφὴν καὶ
74R *εἰς φωτισμὸν καὶ περιγραφὴν ἰδίαν ἀγαγὼν καὶ ἀνα-*
30 *δείξας. οὐ παρετήρησε δὲ καὶ τὸ περὶ τῶν πνευματικῶν παρὰ* 138
τῷ Παύλῳ λεγόμενον, ὅτι ἀνθρώπους αὐτοὺς εἶναι ἀπεσιώπησε·
»Ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ,
»μωρία γὰρ αὐτῷ ἐστιν· ὁ δὲ πνευματικὸς ἀνακρίνει πάντα.«

2 Ps. 6, 6. — **4** Ephes. 5, 8. — **9** Vgl. Ephes. 5, 8. — **16** Vgl. Ephes. 5, 8. — **23** Joh. 1, 4. — **32** I Kor. 2, 14 f.

4 ἄλλου λόγου verderbt; *Παύλου λέγοντος* We; *ἀλλαχοῦ λέγοντος* Pr | **7** die Worte *οὕτως* bis *σκότος* stehen in M vor **6** *ὥσπερ;* von Br umgestellt | **11** *τί*] *τις*, corr. We | *ἐστι*] *ὅτι*, corr. Del | **17** *τοῦ σκότους εἰς φῶς* a. Ras. | *σκότους*] *σκότους*, corr. We | **18/19** *τοῦ αὐτοῦ*] *τούτου*, corr. Pr | **28** *σπαρέντα*] *παρέντα* (davor eine kleine Ras.) M; corr. Stieren | **29** *παραγραφὴν* corr. Jacobi.

Digitized by Google

ἡμεῖς γὰρ οὐ μάτην αὐτόν φαμεν ἐπὶ τοῦ πνευματικοῦ μὴ προστεθεικέναι τὸ »Ἄνθρωπος«· κρεῖττον γὰρ ἡ »ἄνθρωπος« ὁ πνευματικός, τοῦ ἀνθρώπου ἤτοι ἐν ψυχῇ ἢ ἐν σώματι ἢ ἐν συναμφοτέροις χαρακτηριζομένου, οὐχὶ δὲ καὶ ἐν τῷ τούτων θειοτέρῳ πνεύματι, οὗ κατὰ μετοχὴν ἐπικρατοῦσαν χρηματίζει
139 ὁ πνευματικός. ἅμα δὲ καὶ τὰ τῆς τοιαύτης ὑποθέσεως χωρὶς κἂν φαινομένης ἀποδείξεως ἀποφαίνεται, οὐδὲ μέχρι τῆς τυχούσης πιθανότητος φθάσαι εἰς τὸν περὶ τούτων δυνηθεὶς λόγον. καὶ ταῦτα μὲν περὶ ἐκείνου.

140 XXII. (16) Φέρε δὲ καὶ ἡμεῖς καὶ τοῦτο ζητήσωμεν, εἰ ἡ ζωὴ ἦν μόνων ἀνθρώπων φῶς καὶ μὴ παντὸς οὑτινοσοῦν ἐν μακαριότητι τυγχάνοντος. ἐὰν γὰρ ταὐτὸν ᾖ »ζωὴ« καὶ »φῶς ἀνθρώπων« καὶ μόνων ἀνθρώπων ᾖ τὸ τοῦ χριστοῦ φῶς, μόνων ἀνθρώπων καὶ ἡ ζωή. τοῦτο δ' ὑπολαμβάνειν ἐστὶν ἠλίθιον ἅμα καὶ ἀσεβές, ἀντιμαρτυρουσῶν τῶν ἄλλων γραφῶν ταύτῃ τῇ ἐκδοχῇ. εἴ γε, ὅταν προκό-
141 ψωμεν, ἰσάγγελοι ἐσόμεθα. οὕτω δὲ λυτέον τὸ ἀπορηθέν· οὐχὶ εἴ τι λέγεταί τινων, ἐκείνων μόνων ἐστὶ τὸ λεγόμενον· οὕτως οὖν οὐχὶ εἰ λέγεται φῶς ἀνθρώπων, μόνων ἀνθρώπων ἐστὶ φῶς· ἐδύνατο γὰρ προσκεῖσθαι· »ἡ ζωὴ ἦν τὸ τῶν ἀνθρώπων ›μόνων‹ φῶς.« ἔξεστι γὰρ τὸ φῶς τῶν ἀνθρώπων καὶ ἑτέρων παρὰ τοὺς ἀνθρώπους εἶναι φῶς, ὡς ἔξεστι τάδε τὰ ζῷα καὶ τάδε τὰ φυτά, ἀνθρώπων ὄντα τροφήν, καὶ ἑτέρων παρὰ τοὺς ἀνθρώπους τὰ αὐτὰ εἶναι τροφήν.
142 καὶ τοῦτο μὲν ἀπὸ τῆς συνηθείας τὸ παράδειγμα· ἄξιον δὲ ἀπὸ τῶν θεοπνεύστων λόγων ὅμοιον ἀντιπαραβαλεῖν. ἐνθάδε τοίνυν ζητοῦμεν εἰ μηδὲν κωλύει | τὸ φῶς τῶν ἀνθρώπων καὶ ἑτέρων εἶναι φῶς, 141v
λέγοντες ὅτι οὐχί, ἐπεὶ λέγεται φῶς ἀνθρώπων, ἤδη ἀποκέκλεισται καὶ ἑτέρων παρὰ τοὺς ἀνθρώπους κρειττόνων ἢ ἀνθρώποις ὁμοίων 69 H
143 εἶναι φῶς. ἀναγέγραπται δὴ ὁ θεὸς θεὸς εἶναι »Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ«· ὁ δὴ βουλόμενος (ἐπειδὴ εἴρηται· »Ἡ ζωὴ »ἦν τὸ φῶς τῶν ἀνθρώπων«) τὸ φῶς μηδενὸς ἑτέρου εἶναι ἢ τῶν ἀνθρώπων, κατὰ τὸ ὅμοιον οἰήσεται τὸν θεὸν Ἀβραὰμ καὶ θεὸν Ἰσαὰκ καὶ θεὸν Ἰακὼβ μηδενὸς εἶναι θεὸν ἢ τῶν τριῶν μόνων τούτων πατέρων. ἔστι δέ γε καὶ Ἡλίου θεός, καί, ὥς φησιν Ἰουδίθ, 75 R
τοῦ πατρὸς αὐτῆς Συμεών, καὶ θεὸς τῶν Ἑβραίων. διόπερ κατὰ τὸ ὅμοιον εἰ μηδὲν κωλύει εἶναι αὐτὸν καὶ ἑτέρων θεόν, οὐδὲν

16 Vgl. Luk. 20, 36. — 19 Vgl. Joh. 1, 4. — 28 Vgl. Exod. 3, 6. — 29 Joh. 1, 4. — 33 Vgl. II Kön. 2, 14. — Vgl. Judith 9, 2. — 34 Vgl. Exod. 3, 18; 5, 3. 17; 9, 1. 13; 10, 3.

6 ἅμα δὲ] viell. ἀλλὰ δὴ z. l. | 12 ᾖ] ἦν, corr. V | 13 ᾖ] εἴη, corr. We | 17 εἰ] ἤ, corr. We | 20 τὸ über d. Linie M, von Br gestr. | 27 ἀνθρώποις] ἀνθρώποι corr. Hu | 33 nach Ἰουδίθ viell. zuzusetzen ⟨θεὸς⟩.

Digitized by Google

κωλύει εἶναι τὸ φῶς τῶν ἀνθρώπων καὶ ἑτέρων παρὰ τοὺς ἀνθρώπους φῶς.

XXIII. (17) Ἄλλος δέ τις προσχρησάμενος τῷ »Ποιήσωμεν ἄνθρω- 144
»πον κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν« · πᾶν τὸ »κατ᾽ εἰκόνα καὶ
»ὁμοίωσιν« γενόμενον »θεοῦ« ἄνθρωπον εἶναι φήσει, μυρίοις χρώμενος
εἰς τοῦτο παραδείγμασιν, ὅτι οὐδὲν διαφέρει τῇ γραφῇ ἄνθρωπον ἢ
ἄγγελον φάναι· ἐπὶ γὰρ τοῦ αὐτοῦ ὑποκειμένου κεῖται ἡ »Ἄγγελος«
καὶ »Ἄνθρωπος« προσηγορία, ὥσπερ ἐπὶ τῶν ξενισθέντων παρὰ τῷ
Ἀβραὰμ τριῶν καὶ γενομένων ἐν Σοδόμοις δύο· καὶ ἐν ὅλῳ τῷ εἱρμῷ τῆς
γραφῆς ὁτὲ μὲν ἄνδρες ὁτὲ δὲ ἄγγελοι εἶναι λέγονται. πλὴν ὁ τοῦτο νο- 145
μίζων ἐρεῖ, ὅτι, ὥσπερ παρὰ τοῖς ὁμολογουμένοις ἀνθρώποις εἰσὶν ἄγγε-
λοι, ὡς ὁ Ζαχαρίας λέγων· »Ἄγγελος θεοῦ, ἐγὼ μεθ᾽ ὑμῶν εἰμι, λέγει
»κύριος παντοκράτωρ« καὶ ὁ Ἰωάννης, περὶ οὗ γέγραπται· »Ἰδοὺ ἐγὼ
»ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου«, οὕτως καὶ οἱ τοῦ
θεοῦ ἄγγελοι παρὰ τὸ ἔργον τοῦτο χρηματίζουσι καὶ οὐ παρὰ τὴν
φύσιν »ἄνδρες« κληθέντες. καὶ ἔτι μᾶλλον παραμυθήσεται, ὅτι ἐπὶ 146
τῶν κρειττόνων δυνάμεων τὰ ὀνόματα οὐχὶ φύσεων ζῴων ἐστὶν
ὀνόματα ἀλλὰ τάξεων, ὧν ἥδε τις καὶ ἥδε λογικὴ φύσις τέτευχεν
ἀπὸ θεοῦ. »θρόνος« γὰρ οὐκ εἶδος ζῴου οὐδὲ »ἀρχὴ« οὐδὲ »κυριό-
»της« οὐδὲ »ἐξουσία«, ἀλλὰ ὀνόματα πραγμάτων, ἐφ᾽ ὧν ἐτάχθησαν οἱ
οὕτως προσαγορευόμενοι, ὧν τὸ ὑποκείμενον οὐκ ἄλλο τί ἐστιν ἢ ἄν-
θρωπος, καὶ τῷ ὑποκειμένῳ συμβέβηκε τὸ θρόνῳ εἶναι ἢ κυριότητι ἢ
ἀρχῇ ἢ ἐξουσίᾳ. καὶ ἐν τῷ Ἰησοῦ δὲ τῷ τοῦ Ναυῆ κεῖται τὸ »Ὤφθη 147
»τῷ Ἰησοῦ ἄνθρωπος ἐν Ἰεριχῶ«, ὅς φησιν· »Ἐγὼ ἀρχιστράτηγος δυνά-
»μεως κυρίου νυνὶ παραγέγονα«.

Κατὰ τοῦτο οὖν ὡς ἴσον δυνάμενον ἐκλήψεται τὸ φῶς τῶν ἀν- 148
θρώπων καὶ φῶς παντὸς λογικοῦ, παντὸς λογικοῦ τῷ »κατ᾽ εἰκόνα
»καὶ ὁμοίωσιν« εἶναι θεοῦ ἀνθρώπου τυγχάνοντος. τὸ αὐτὸ μέντοι
γέ ἐστι τριχῶς ὀνομαζόμενον »φῶς τῶν ἀνθρώπων« καὶ ἁπαξαπλῶς
»φῶς« καὶ »φῶς ἀληθινόν«· φῶς μὲν οὖν ἀνθρώπων, ἤτοι, ὡς προα-
ποδέδεικται, οὐδενὸς κωλύοντος τὸ ἐκλαμβάνειν καὶ ἑτέρων παρὰ
τὸν ἄνθρωπον εἶναι τὸ φῶς φῶς, ἢ πάντων τῶν λογικῶν διὰ τὸ
»κατ᾽ εἰκόνα θεοῦ« γεγονέναι ἀνθρώπων καλουμένων.

3 Gen. 1, 26. — 8 Vgl. Gen. 18, 2. — 8 Hebr. 13, 2. — 9 Gen. 19, 1. — 12 Vgl. Hagg. 1, 13. — Sachar. 1, 4. 6. u. ö. Mal. 3, 1. — 13 Mark. 1, 2. — 19 Vgl. Ephes. 1, 21. — 23 Jos. 5, 13 f. — 27 Vgl. Gen. 1, 26. — 30 Vgl. S. 78, 19 ff.

4 ἡμετέραν bis 5 ὁμοίωσιν am Rande mit ÷ nachgetr. von II H. M | 5 φήσει] φησὶ, corr. Br | 7 nach ὑποκειμένου + οὐ M, που Ferrarius | 15 τοῦτο] τοῦ a. Ras. | 20 nach πραγμάτων] + τῶν M | 31 οὐδενὸς] οὐδὲν, corr. Hu.

Digitized by Google

149 (18) Ἐπεὶ δὲ »φῶς« ἁπαξαπλῶς ἐνταῦθα μὲν ὁ σωτήρ, ἐν δὲ τῇ καθολικῇ τοῦ αὐτοῦ Ἰωάννου ἐπιστολῇ λέγεται ὁ θεὸς εἶναι φῶς, ὁ μέν τις οἴεται καὶ ἐντεῦθεν κατασκευάζεσθαι τῇ οὐσίᾳ μὴ διεστηκέναι τοῦ υἱοῦ τὸν πατέρα· ὁ δέ τις ἀκριβέστερον τηρήσας, ὃ καὶ ὑγιέστερον λέγων, φήσει οὐ ταὐτὸν εἶναι τὸ φαῖνον ἐν τῇ σκοτίᾳ φῶς καὶ μὴ καταλαμβανόμενον ὑπ' αὐτῆς, καὶ τὸ φῶς ἐν ᾧ οὐδαμῶς ἐστι σκοτία.
150 τὸ μὲν γὰρ φαῖνον ἐν τῇ σκοτίᾳ φῶς οἱονεὶ ἐπέρχεται τῇ σκοτίᾳ, καὶ διωκόμενον ὑπ' αὐτῆς καί, ἵν' οὕτως εἴπω, ἐπιβουλευόμενον οὐ καταλαμβάνεται· τὸ δὲ φῶς, ἐν ᾧ οὐδεμία ἐστὶ σκοτία, οὔτε φαίνει ἐν τῇ σκοτίᾳ οὔτε τὴν ἀρχὴν διώκεται ὑπ' αὐτῆς, ἵνα καὶ ὡς νικῶν ἀναγράφηται τῷ μὴ καταλαμβάνεσθαι ὑπ' αὐτῆς διωκούσης.
151 Τρίτον ἦν τὸ λεγόμενον τοῦτο τὸ φῶς »φῶς ἀληθινόν«· ᾧ δὲ λόγῳ ὁ πατὴρ τῆς ἀληθείας θεὸς πλείων ἐστὶ καὶ μείζων ἢ ἀλήθεια καὶ ὁ πατὴρ ὢν σοφίας κρείττων ἐστὶ καὶ διαφέρων ἢ σοφία, τούτῳ ὑπερέχει τοῦ εἶναι »φῶς ἀληθινόν«.
152 Παραστατικώτερον δὲ δύο φῶτα τὸν πατέρα καὶ τὸν υἱὸν ἀπὸ τοῦ Δαβὶδ τυγχάνειν διὰ τούτων εἰσόμεθα, ὅσγε φησὶν ἐν τριακοστῷ πέμπτῳ ψαλμῷ· »Ἐν φωτί σου ὀψόμεθα φῶς«. τοῦτο δὲ αὐτὸ τὸ φῶς τῶν ἀνθρώπων, τὸ ἐν τῇ σκοτίᾳ φαῖνον, τὸ ἀληθινὸν φῶς, ἐν τοῖς ἑξῆς τοῦ εὐαγγελίου »φῶς τοῦ κόσμου« ἀναγορεύεται, φάσκοντος Ἰησοῦ·
153 »Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου«. μηδὲ τοῦτο δὴ ἀπαρασήμαντον ἐάσωμεν, ὅτι ἐνδεχομένου γεγράφθαι· »Ὃ γέγονεν ἐν αὐτῷ φῶς ἦν »τῶν ἀνθρώπων, καὶ τὸ φῶς τῶν ἀνθρώπων ζωὴ ἦν«, τὸ ἀνάπαλιν πεποίηκε· προτάσσει γὰρ τὴν ζωὴν τοῦ τῶν ἀνθρώπων φωτός, εἰ καὶ ταὐτόν ἐστι »ζωὴ« καὶ »ἀνθρώπων φῶς«, τῷ προαπαντᾶν ἡμῖν ἐπὶ τῶν μετεχόντων τῆς ζωῆς, τυγχανούσης καὶ φωτὸς ἀνθρώπων, τὸ ζῆν αὐτοὺς τὴν προειρημένην θείαν ζωὴν παρὰ τὸ πεφωτίσθαι· ὑποκεῖσθαι γὰρ δεῖ τὸ ζῆν, ἵν' ὁ ζῶν πεφωτισμένος γένηται· οὐκ ἦν δὲ ἀκόλουθον πεφωτίσθαι τὸν μηδέπω ζῆν νενοημένον καὶ ἐπιγί-
154 νεσθαι τῷ πεφωτίσθαι τὸ ζῆν. εἰ γὰρ καὶ ταὐτόν ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς τῶν ἀνθρώπων, ἀλλ' αἵ γε ἐπίνοιαι καθ' ἕτερον καὶ ἕτερον λαμβάνονται. τοῦτο δὴ τὸ »φῶς τῶν ἀνθρώπων« καὶ »φῶς ἐθνῶν« παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ λέγεται κατὰ τὸ »Ἰδοὺ τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν«· καὶ τούτῳ τῷ φωτὶ πεποιθὼς ὁ 77 R
Δαβὶδ φησιν ἐν εἰκοστῷ ἕκτῳ ψαλμῷ· »Κύριος φωτισμός μου καὶ 71 H
σωτήρ μου, τίνα | φοβηθήσομαι;« 142v

2 I Joh. 1, 5 — 5 Vgl. Joh. 1, 5. — 6 Vgl. I Joh. 1, 5. — 12 Vgl. Joh. 1, 9. — 18 Ps. 35, 10. — 21 Joh. 8, 12. — 33 Jes. 42, 6 (nach B^{ab} ℵ^{b} AQΓ). — 35 Ps. 26, 1.

17 ὅσγε] ὅγε, corr. V | 18 τοῦτο] ταὐτὸ, corr. We | 25 ἡμῖν] ἡμᾶς, corr. We.

Digitized by Google

XXIV. (19) *Πρὸς δὲ τοὺς τὴν περὶ αἰώνων ἀναπλάσαντας ἐν* 155
συζυγίαις μυθολογίαν καὶ οἰομένους ὑπὸ νοῦ καὶ ἀληθείας προβε-
βλῆσθαι λόγον καὶ ζωὴν οὐκ ἀπίθανον καὶ ταῦτα ἀπορῆσαι. πῶς
γὰρ ἡ κατ' αὐτοὺς σύζυγος τοῦ λόγου ζωὴ τὸ γεγονέναι ἐν τῷ συζύγῳ
λαμβάνει; »Ὃ γέγονε, γάρ φησιν, ἐν αὐτῷ« (δηλονότι τῷ προειρημένῳ
λόγῳ) »ζωὴ ἦν«. λεγέτωσαν οὖν ἡμῖν, πῶς ἡ σύζυγος τοῦ λόγου
ζωὴ γέγονεν ἐν τῷ λόγῳ, καὶ πῶς μᾶλλον τοῦ λόγου ἡ ζωὴ φῶς
ἐστι τῶν ἀνθρώπων. εἰκὸς δὲ τοὺς εὐγνωμονεστέρους ἐν ταῖς ζητή- 156
σεσιν ἀνατρεπομένους, πληγέντας ὑπὸ τοῦ ἐπαπορήματος, ἀντερωτή-
σειν ἡμᾶς, καὶ αὐτοὺς θλιβομένους, ἐὰν μὴ εὕρωμεν αἰτίαν, δι' ἣν
οὐχὶ »λόγος« εἴρηται τὸ »φῶς τῶν ἀνθρώπων«, ἀλλ' ἡ γενομένη ἐν
τῷ λόγῳ »ζωή«. πρὸς οὓς τοιαῦτα ἀποκρινούμεθα, ὅτι »ζωὴ« ἐν-
ταῦθα οὐχ ἡ κοινὴ λογικῶν καὶ ἀλόγων λέγεται, ἀλλ' ἡ ἐπιγινομένη
τῷ ἐν ἡμῖν συμπληρουμένῳ λόγῳ, τῆς μετοχῆς ἀπὸ τοῦ πρώτου λαμ-
βανομένης λόγου· καὶ κατὰ μὲν τὸ ἀποστραφῆναι τὴν δοκοῦσαν ζωήν,
οὐκ οὖσαν δὲ ἀληθῶς, καὶ ποθεῖν χωρῆσαι τὴν ἀληθῶς ζωὴν πρῶ-
τον κοινωνοῦμεν αὐτῇ, ἥτις γενομένη ἐν ἡμῖν καὶ φωτὸς γνώσεως
ὑπόστασις γίνεται. καὶ τάχα αὕτη ἡ ζωὴ παρ' οἷς μὲν δυνάμει καὶ 157
οὐκ ἐνεργείᾳ φῶς ἐστι, τοῖς τὰ τῆς γνώσεως ἐξετάζειν μὴ φιλοτιμου-
μένοις, παρ' ἑτέροις δὲ καὶ ἐνεργείᾳ γινομένη φῶς· δῆλον δὲ ὅτι
παρ' οἷς κατορθοῦται τὸ ὑπὸ τοῦ Παύλου προστεταγμένον »Ζηλοῦτε
»τὰ χαρίσματα τὰ κρείττονα«· μείζονα δὲ τῶν χαρισμάτων τὸ καὶ
πάντων προτεταγμένον, ὅπερ ἐστὶ »λόγος σοφίας«, καὶ ⟨ὃ⟩ τούτῳ
ἕπεται »λόγος γνώσεως«. περὶ δὲ τῆς διαφορᾶς αὐτῶν, παρακειμένων
ἀλλήλοις τῶν σημαινομένων »σοφίας« καὶ »γνώσεως«, οὐ τοῦ παρόν-
τος ἐστὶν εἰπεῖν καιροῦ.

I, 5 *Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ*
οὐ κατέλαβεν.

XXV. (20) *Ἔτι περὶ τοῦ τῶν ἀνθρώπων, ἐπεὶ προτέτακται, ζη-* 158
τοῦμεν φωτός, οἶμαι δ' ὅτι καὶ τοῦ ἐναντίου, καλουμένου »σκοτίας«.
† ἂν δὲ οὕτω δοκιμασθείσης, — »τῶν ἀνθρώπων« φημί, — ὅτι τάχα
γενικόν ἐστι τὸ »φῶς τῶν ἀνθρώπων« δύο ἰδικῶν πραγμάτων, ὁμοίως
δὲ καὶ ἡ σκοτία αὐτῶν. ἔστι γὰρ τὸν τὸ φῶς τῶν ἀνθρώπων κεκτη-

1 Clemens Al., Excerpta ex Theod. 6. Vgl. Iren. I, 1, 1. Hippol., Philosoph. VI, 29. Tertullian., de praescr. haer. 33, 8. adv. Valent. 7. — **5** Joh. 1, 4. — **13** Vgl. zu S. 48, 19. — **17** Vgl. Hos. 10, 12. — **21** I Kor. 12, 31 (nach DE ς). — **23** Vgl. I Kor. 12, 8. —

11 nach *οὐχὶ* + ⟨*ὁ*⟩ Jacobi | **17** *φως* M* | **20** zwischen *ἐνεργείᾳ* und *γινομένη* Ras., auf der c. 3 Buchst. gestanden haben | *γινομένη* Br, *γινομένης* M, *γινομένοις* V | **23** ⟨*δ*⟩ + We | **27** *ἡ* a. Ras. | **31** *ἂν δὲ οὕτω* sinnlos; *ἅμα δὲ τούτῳ* We.

Digitized by Google

μένον καὶ κοινωνοῦντα τῶν αὐγῶν αὐτοῦ »ἔργα φωτὸς« ἐπιτελεῖν καὶ γινώσκειν φωτιζόμενον φῶς γνώσεως· τὸ δὲ ἀνάλογον καὶ ἐκ τῶν ἐναντίων νοητέον, τῶν τε μοχθηρῶν πράξεων καὶ τῆς νομιζο- 72H
μένης γνώσεως, οὐκ οὔσης κατὰ ἀλήθειαν, τὸν λόγον τῆς σκοτίας
159 ἐχόντων. καὶ ὅτι μὲν τὰ προστάγματα φῶς ὁ ἱερὸς οἶδε λόγος, φη- 5
σὶν ⟨γὰρ⟩ ὁ Ἡσαΐας· »Διότι φῶς | τὰ προστάγματά σου ἐπὶ τῆς γῆς« 143r
καὶ ὁ Δαβὶδ ἐν ιη΄ ψαλμῷ· »Ἡ ἐντολὴ κυρίου τηλαυγής, φωτίζουσα »ὀφθαλμούς«. ὅτι δὲ φῶς παρὰ τὰ προστάγματα καὶ τὰς ἐντολάς ἐστί τι γνώσεως, παρά τινι τῶν δώδεκα εὕρομεν· »Σπείρατε ἑαυτοῖς »εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς, φωτίσατε ἑαυτοῖς φῶς 10
160 »γνώσεως«. ὡς γὰρ ὄντος καὶ ἑτέρου φωτὸς παρὰ τὰς ἐντολὰς τῆς γνώσεως λέγεται τὸ »Φωτίσατε ἑαυτοῖς φῶς«, οὐχ ἁπλῶς »φῶς« ἀλλὰ ποιὸν φῶς, ὅτι τὸ »τῆς γνώσεως«· εἰ γὰρ πᾶν φῶς, ὃ φωτίζει ἄνθρωπος ἑαυτῷ, »φῶς γνώσεως« ἦν, μάτην ⟨ἂν⟩ προσέκειτο τὸ »Φωτί- »σατε ἑαυτοῖς φῶς γνώσεως«. πάλιν ὅτι ἡ σκοτία ἐπὶ τῶν μοχθηρῶν 15
ἔργων παραλαμβάνεται, διδάσκει ὁ αὐτὸς ἐν τῇ ἐπιστολῇ Ἰωάννης φάσκων, ὅτι »Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ᾽ αὐτοῦ, καὶ ἐν »τῷ σκότει περιπατῶμεν, ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν« καὶ πάλιν· »Ὁ λέγων ἐν τῷ φωτὶ εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μι- »σῶν, ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι« καὶ ἔτι· »Ὁ δὲ μισῶν τὸν ἀδελ- 20
»φὸν αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστὶ καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ καὶ οὐκ »οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ«.
161 τὸ γὰρ ἐν τῷ σκότῳ περιπατεῖν ἐμφαίνει τὴν ψεκτὴν πρᾶξιν· καὶ τὸ μισεῖν δὲ τὸν ἀδελφὸν αὐτοῦ [οὐ] τῆς κυρίως καλουμένης γνώσεώς ἐστιν ἀπόπτωμα. ὅτι δὲ καὶ ὁ ἀγνοῶν τὰ θεῖα κατ᾽ αὐτὸ τὸ ἀγνοεῖν 25
ἐν σκότῳ διαπορεύεται, φησὶν ὁ Δαβίδ· »Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν,
162 »ἐν σκότει διαπορεύονται«. ἐπίστησον δὲ τῷ »Ὁ θεὸς φῶς ἐστι καὶ »σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία«, εἰ μὴ διὰ τοῦτο λέγεται τῷ εἶναι μὴ μίαν σκοτίαν, ἀλλ᾽ ἤτοι διὰ τὸ γενικὸν δύο, ἢ καὶ διὰ τὸ καθ᾽ ἕκαστον τῶν ἰδικῶν πολλὰς εἶναι πράξεις μοχθηρὰς καὶ πολλὰ 30
δόγματα ψευδῆ πολλαί εἰσι σκοτίαι, ὧν οὐδεμία ἐν τῷ θεῷ ἐστιν· οὐκ ἂν λεχθέντος ἐπὶ τοῦ ἁγίου, ᾧ φησιν ὁ σωτὴρ τὸ »Ὑμεῖς ἐστε »τὸ φῶς τοῦ κόσμου«, ὅτι »φῶς« ἐστιν [τοῦ κόσμου] ὁ ἅγιος, »καὶ »σκοτία οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία«.

2 Vgl. Hos. 10, 12. — 6 Jes. 26, 9. — 7 Ps. 18, 9. — 9 Hos. 10, 12. — 12 Hos. 10, 12. — 14 Hos. 10, 12. — 17 I Joh. 1, 6. — 19 I Joh. 2, 9. — 20 I Joh. 2, 11 — 26 Ps. 81, 5. — 27 I Joh. 1, 5. — 32 Matth. 5, 14. — 33 I Joh. 1, 5.

5 προστάγματα] πρακτικὰ, corr. We, cf. Z. 6 | 6 ⟨γὰρ⟩ + We | 14 ⟨ἂν⟩ + Voltz | 20 ἕως bis 21 ἐστὶ von II H. a. Rande nachgetragen; die Worte [ὁ δὲ μισῶν τὸν ἀ]δελφὸν stehen auf Ras. | 24 οὐ ist z. str. | 32 ᾧ] ὃ, corr. Br | 33 [τοῦ κόσμου] von Br gestr.

Digitized by Google

XXVI. (21) *Ζητήσει δέ τις, εἰ ἐπὶ τοῦ πατρὸς τέτακται τὸ* 163
»Σκοτία οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία«, πῶς τὸ ἐξαίρετον ἐροῦμεν
79 R *εἶναι ἐν αὐτῷ, πάντη ἀναμάρτητον καὶ τὸν σωτῆρα νοοῦντες, ὥστε*
καὶ περὶ αὐτοῦ ἂν εἰπεῖν, ὅτι »Φῶς ἐστι καὶ σκοτία οὐκ ἔστιν ἐν
»αὐτῷ οὐδεμία«. ἀπὸ μέρους μὲν οὖν ἐν τοῖς ἀνωτέρω τὴν διαφορὰν
73 H *παρεστήσαμεν· τολμηρότερον δὲ ἔτι ἐκείνοις καὶ νῦν προσθήσομεν,*
ὅτι εἰ »τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε«, τὸν
χριστόν, [εἰ ἐποίησεν αὐτὸν ὑπὲρ ἡμῶν ἁμαρτίαν ὁ θεός], οὐκ ἂν
δύναιτο λέγεσθαι περὶ αὐτοῦ· »Σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία«.
κἂν γὰρ »ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας« κατακρίνας τυγχάνῃ ὁ
Ἰησοῦς τὴν ἁμαρτίαν τῷ τὸ ὁμοίωμα τῆς σαρκὸς τῆς ἁμαρτίας ἀνει-
ληφέναι, οὐκέτι ἕξει πάντη ὑγιῶς ⟨τὰ⟩ λεγόμενα περὶ αὐτοῦ ὅτι
»Σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία«. προσθήσομεν δ' ὅτι »αὐτὸς 164
»τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασε«, καὶ ἀσθενείας
143 v *τὰς τῆς ψυχῆς καὶ νόσους τὰς τοῦ κρυπτοῦ τῆς καρδίας | ἡμῶν ἀν-*
θρώπου· δι' ἃς ἀσθενείας καὶ νόσους, βαστάσας αὐτὰς ἀφ' ἡμῶν,
περίλυπον ἔχειν τὴν ψυχὴν ὁμολογεῖ καὶ τεταραγμένην καὶ ῥυπαρὰ
ἱμάτια ἐνδεδύσθαι παρὰ τῷ Ζαχαρίᾳ ἀναγέγραπται· ἅπερ, ὅτε ἐκ-
δύεσθαι ἔμελλε, λέγεται εἶναι ἁμαρτήματα. ἐπιφέρει γοῦν ἐκεῖ· »Ἰδοὺ
»ἀφῄρηκα τὰς ἁμαρτίας σου«. διὰ γὰρ τὸ ἀναλαβεῖν αὐτὸν τὰ τοῦ 165
λαοῦ τῶν πιστευόντων εἰς αὐτὸν ἁμαρτήματα πολλαχοῦ φησι· »Μα-
»κρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου« καὶ
»Σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ
»ἐκρύβησαν«. μηδεὶς δ' ἡμᾶς ὑπολαμβανέτω ταῦτα λέγειν ἀσεβοῦντας 166
εἰς τὸν χριστὸν τοῦ θεοῦ· ᾧ γὰρ λόγῳ ὁ πατὴρ »μόνος ἔχει ἀθανα-
»σίαν«, τοῦ κυρίου ἡμῶν διὰ φιλανθρωπίαν θάνατον τὸν ὑπὲρ ἡμῶν
ἀνειληφότος, τούτῳ ὁ πατὴρ ἔχει μόνος τὸ »Σκοτία ἐν αὐτῷ οὐκ
»ἔστιν οὐδεμία«, τοῦ χριστοῦ διὰ τὴν πρὸς ἀνθρώπους εὐεργεσίαν ἐφ'
αὐτὸν τὰς ἡμῶν σκοτίας ἀναδεδεγμένου, ἵνα τῇ δυνάμει αὐτοῦ κατ-
αργήσῃ ἡμῶν τὸν θάνατον καὶ ἐξαφανίσῃ τὸ ἐν τῇ ψυχῇ ἡμῶν
σκότος, ἵνα πληρωθῇ τὸ παρὰ τῷ Ἡσαΐᾳ· »Ὁ λαὸς ὁ καθήμενος ἐν

2 I Joh. 1, 5. — **4** I Joh. 1, 5. — **5** Vgl. o. I, 37 f. — **7** Vgl. II Kor. 5, 21. — **9** I Joh. 1, 5. — **10** Vgl. Röm. 8, 3. — **13** I Joh. 1, 5. — **13** Vgl. Matth. 8, 17; Jes. 53, 4. — **15** Vgl. I Petr. 3, 4. — **17** Vgl. Mark. 14, 34; Joh. 12, 27. — **18** Vgl. Sachar. 3, 3. — **19** Sachar. 3, 4. — **21** Ps. 21, 2. — **23** Ps. 68, 6. — **25** Vgl. I Tim. 6, 16. — **27** I Joh. 1, 5. — **29** Vgl. II Tim. 1, 10. — **31** Matth. 4, 16; vgl. Jes. 9, 2.

8 *εἰ — θεός* str. We als Glosse | **9** *δύναιτο*] *ιτο* a. Ras. | **10** nach *ἁμαρτίας* *περὶ ἁμαρτίας* v. II H. in dicken Zügen über d. Linie nachgetragen; scheint eine vom Rand in den Text versetzte Glosse zu sein, wenn es nicht hinter 11 *ἁμαρτίας* gehört | **11** *τῆς*²] stark verblichen | **12** ⟨*τὰ*⟩ + Br, oder *ἔσται . . λεγόμενα.*

Digitized by Google

167 »σκοτίᾳ φῶς εἶδε μέγα«. τοῦτο δὴ τὸ φῶς, ὃ γέγονεν ἐν τῷ λόγῳ, τυγχάνον καὶ ζωή. »φαίνει ἐν τῇ σκοτίᾳ« τῶν ψυχῶν ἡμῶν καὶ ἐπιδεδήμηκεν ὅπου οἱ κοσμοκράτορες τοῦ σκότους τούτου (οἵτινες διὰ τοῦ παλαίειν τῷ τῶν ἀνθρώπων γένει τῷ σκότῳ ὑπάγειν † ἀγωνίζονται τοὺς μὴ παντὶ τρόπῳ ἱσταμένους) ὑπὲρ τοῦ αὐτοὺς πεφωτισμένους φωτὸς χρηματίσαι υἱούς. καὶ φαῖνον ἐν τῇ σκοτίᾳ τοῦτο τὸ φῶς διώκεται μὲν ὑπ' αὐτῆς, οὐ καταλαμβάνεται δέ. 80 B

168 XXVII. (22) Ἐὰν δέ τις νομίσῃ τὸ μὴ γεγραμμένον ἡμᾶς προστιθέναι, τὸ διώκεσθαι τὸ φῶς ὑπὸ τῆς σκοτίας, ἀκουέτω, ὅτι τὸ »Ἡ σκοτία αὐτὸ οὐ κατέλαβε«, μηδαμοῦ τῆς σκοτίας διωξάσης τὸ φῶς, μάτην λέγεται. ὡς δὲ ἔχουσι νοῦν ἐκδέξασθαι δυνάμενον ἀκολούθως τοῖς γεγραμμένοις τὰ νομιζόμενα παραλελεῖφθαι ἔγραψεν ὁ 74 B Ἰωάννης τὸ »Ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν«· εἰ γὰρ »οὐ κατέλαβε«.

169 διώξασα »οὐ κατέλαβε«. καὶ ὅτι ἐδίωξεν ἡ σκοτία τὸ φῶς, δῆλον ἔκ τε ὧν πέπονθεν ὁ σωτὴρ καὶ οἱ παραδεξάμενοι αὐτοῦ τὰ μαθήματα, τὰ ἴδια τέκνα, τῆς σκοτίας ἐνεργούσης κατὰ τῶν υἱῶν τοῦ φωτὸς καὶ βουληθείσης ἀποδιῶξαι ἀπὸ τῶν ἀνθρώπων τὸ φῶς. ἀλλ' ἐπεί, ἐὰν »θεὸς ὑπὲρ ἡμῶν«, οὐδείς, κἂν βούληται, δυνήσεται »καθ' ἡμῶν«, ὅσῳ ἑαυτοὺς ἐταπείνουν, τοσούτῳ πλείους ἐγίνοντο

170 καὶ κατίσχυον σφόδρα σφόδρα. διχῶς δὲ ἡ σκοτία τὸ φῶς οὐ κατείληφεν, ἢ σφόδρα αὐτοῦ ἀπολειπομένη καὶ διὰ τὴν ἰδίαν βραδυτῆτα τῇ ὀξύτητι τοῦ δρόμου τοῦ φωτὸς οὐδὲ κατὰ τὸ ποσὸν παρακολουθῆσαι δυναμένη, ἢ εἴ που ἐνεδρεῦσαι βεβούληται τὸ φῶς τὴν σκοτίαν καὶ κατ' οἰκονομίαν παρέμεινεν ἐπερχομένην αὐτήν, ἐγγίσασα ἡ σκοτία τοῦ φωτὸς | ἠφανίζετο. πλὴν ἑκατέρως ἡ σκοτία οὐ κατέλαβε 144 I τὸ φῶς.

171 XXVIII. (23) Ἀναγκαῖον δὲ ἐν τούτοις ἡμᾶς γενομένους ἐπισημειώσασθαι ὅτι οὐ πάντως, εἴ που ὀνομάζεται »σκότος«, ἐπὶ τοῦ χείρονος λαμβάνεται, ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τοῦ κρείττονος ἀναγέγραπται· ὅπερ οἱ ἑτερόδοξοι μὴ διαστειλάμενοι δυσφημότατα περὶ τοῦ δημιουργοῦ δόγματα παραδεξάμενοι ἀπέστησαν αὐτοῦ. ἀναπλάσμασιν μύθων ἑαυτοὺς ἐπιδεδωκότες. πῶς οὖν καὶ πότε καὶ ἐπὶ τοῦ κρείττονος τὸ ὄνομα τοῦ

1 Vgl. Joh. 1, 4. — 2 Joh. 1, 5. — 3 Vgl. Ephes. 6, 12. — 10 Joh. 1, 5. — 13 Joh. 1, 5. — 18 Vgl. Röm. 8, 31. — 19 Vgl. Exod. 1, 12. — 25 Vgl. Joh. 1, 5. — 31 Vgl. II Tim. 4, 4.

4 *ἀγωνίζονται*] viell. *βιάζονται* z. l. | 6 *τὸ* über d. Linie | 17 *τὸ φῶς*] *τοῦ φωτὸς*, corr. Br | 20 *σφόδρα*² unter der Linie | 21 nach *καὶ* Ras. von c. 5—6 Buchst. 22 nach *ὀξύτητι* + *καὶ ταχύτητι* über d. Linie v. II oder III H. | 23 *τὸ φῶς* (*καὶ τὸ φῶς τὴν σκοτίαν* [*καὶ*] *κατ' οἰκονομίαν π. ἐπερχ. αὐτῷ* We | 25 *ἑκατέρως*] *ἑκατέρῳ*, corr. V | 28 *ἐπισημειῶσαι* V Edd. | *τοῦ χείρονος . . . τοῦ κρείττονος*] *τῷ χείρονι . . . τῷ κρείττονι*, corr. We; vgl. Z. 32.

Digitized by Google

σκότους παραλαμβάνεται, παραδεικτέον ἤδη. σκότος, γνόφος, θύελλα 172
ἐν τῇ Ἐξόδῳ περὶ τὸν θεὸν εἶναι λέγεται καὶ ἐν τῷ ιζ' ψαλμῷ· »Ὁ θεὸς ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐ»τοῦ. σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων«. ἐὰν γάρ τις κατανοήσῃ τὸ πλῆθος τῶν περὶ θεοῦ θεωρημάτων καὶ γνώσεως ἄληπτον τυγχάνον ἀνθρωπίνῃ φύσει, τάχα δὲ καὶ ἑτέροις παρὰ Χριστὸν καὶ τὸ ἅγιον πνεῦμα γενητοῖς, εἴσεται πῶς περὶ τὸν θεόν ἐστι σκότος, κατὰ τὸ ἀγνοεῖσθαι τὸν κατ' ἀξίαν περὶ αὐτοῦ πλούσιον λόγον· ἐν ᾧ
81R σκότῳ »ἔθετο αὐτοῦ τὴν ἀποκρυφήν« τῷ τὰ περὶ αὐτοῦ ἀγνοεῖσθαι
10 ἀχώρητα ὄντα τοῦτο πεποιηκώς. ἐὰν δέ τις ταῖς τοιαύταις προσ- 173
κόπτῃ ἐκδοχαῖς, προαγέσθω ἀπό τε τῶν σκοτεινῶν λόγων καὶ τῶν διδομένων ὑπὸ θεοῦ Χριστῷ θησαυρῶν σκοτεινῶν, ἀποκρύφων, ἀοράτων· οὐκ ἄλλο γάρ τι ἡγοῦμαι εἶναι τοὺς σκοτεινοὺς θησαυροὺς ἐν Χριστῷ ἀποκαλυπτομένους (τὸ »Σκότος ἔθετο ὁ θεὸς ἀποκρυφὴν
75H »ἑαυτοῦ«) ἢ »Ὁ ἅγιος νοήσει παραβολὴν καὶ σκοτεινὸν λόγον«. ἐπί-
σκεψαι δὲ εἰ διὰ τοῦτό φησιν ὁ σωτὴρ τοῖς μαθηταῖς· »Ἀνθ' ὧν 174
»ὅσα ἠκούσατε ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτί«. τὰ γὰρ ἐν ἀπορρή-
τῳ καὶ μὴ ἐπηκόῳ πολλῶν δύσγνωστα καὶ ἀσαφῆ αὐτοῖς παραδεδο-
μένα μυστήρια προστάσσει αὐτούς, φωτιζομένους καὶ διὰ τοῦτο λεγο-
20 μένους εἶναι ἐν φωτί, ἀπαγγέλλειν παντὶ τῷ γινομένῳ φωτί. παρα-
δοξότερον δ' ἂν ἐπὶ τοῦ ἐπαινουμένου σκότους εἴποιμι, ὅτι τοῦτο σπεύδει ἐπὶ τὸ φῶς καὶ καταλαμβάνει αὐτὸ καὶ γίνεταί ποτε, διὰ τὸ ἀγνοεῖσθαι σκότος, τῷ μὴ ὁρῶντι τὴν δύναμιν αὐτοῦ οὕτω μεταβάλλον, ὥστε τὸν μεμαθηκότα ἀποφαίνεσθαι γεγονέναι φῶς τὸ
25 γνωσθέν ποτε ὑπάρχον αὐτῷ σκότος.

I, 6. *Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης.*

XXIX. (24) *Ἀκριβέστερόν τις ἀκούων τοῦ »Ἀπεσταλμένος«, ἐπειδὴ* 175
ὁ ἀπεσταλμένος ποθέν που ἀποστέλλεται, ζητήσει πόθεν ὁ Ἰωάννης
30 *ἀπεστάλη καὶ ποῦ. σαφοῦς δ' ὄντος τοῦ »ποῦ«, κατὰ μὲν τὴν ἱστορίαν ὅτι πρὸς τὸν Ἰσραὴλ καὶ τοὺς βουλομένους αὐτοῦ ἀκούειν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας διατρίβοντος καὶ παρὰ τῷ Ἰορδάνῃ ποταμῷ βαπτίζοντος, κατὰ δὲ βαθύτερον λόγον, ὅτι εἰς τὸν κόσμον (»κόσμου« λαμβανομένου τοῦ περιγείου τόπου, ἔνθα εἰσὶν οἱ ἄνθρωποι), ἐξετάσει,*

1 Vgl. Exod. 19, 9. 16. 20, 21. — **3** Ps. 17, 12. — **14** Ps. 17, 12. — **15** Prov. 1, 6. — **16** Luk. 12, 3; vgl. Matth. 10, 27. — **32** Vgl. Matth. 3, 1. 5 u. Parall.

11 *προαγέσθω*] *προσαγέσθω*, corr. Pr | **15** *ἢ*] *καὶ*, corr. Pr | **18** nach *μὴ* + *ἐν* V | **20** *γινομένῳ* (*ἐν*) *φωτὶ* viell. z. schr. wegen Matth. 10, 27 | **26** *ἐγένετο*] *εν* a. Ras.

Digitized by Google

πῶς δεῖ λαμβάνειν τὸ »πόθεν«. ἐπὶ πλεῖον δὲ βασανίζων τὴν λέξιν,
176 τάχα καὶ ἀποφαίνεται, ὅτι ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ γέγραπται· »Καὶ
»ἐξαπέστειλεν | αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς 144
»ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη«, οὕτω καὶ ὁ Ἰωάννης ἀπεστάλη,
ἤτοι ἐξ οὐρανοῦ ἢ ἐκ τοῦ παραδείσου ἢ ὅθεν δήποτε ἑτέρωθεν παρὰ 5
τὸν ἐπὶ γῆς τοῦτον τόπον, καὶ ἀπεστάλη, »ἵνα μαρτυρήσῃ περὶ τοῦ
177 »φωτός«. ἔχει δὲ ἀνθυποφορὰν οὐκ εὐκαταφρόνητον ὁ λόγος, ἐπεὶ
καὶ παρὰ Ἡσαΐᾳ γέγραπται· »Τίνα ἀποστείλω καὶ τίς πορεύσεται
»πρὸς τὸν λαὸν τοῦτον;« ὅτε ἀποκρινόμενος ὁ προφήτης φησίν· »Ἰδοὺ 82R
178 »εἰμὶ ἐγώ, ἀπόστειλόν με«. ἐρεῖ γὰρ ὁ ἑστὼς τῇ βαθυτέρᾳ ἐμφαι- 10
νομένῃ ὑπονοίᾳ, ὅτι ὥσπερ ὁ Ἡσαΐας ἀπεστάλη, οὐχὶ ἀφ' ἑτέρου τό-
που παρὰ τὸν κόσμον τοῦτον, ἀλλὰ μετὰ τὸ ἑωρακέναι »τὸν κύριον
»καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου« πρὸς τὸν λαόν, ἵνα
εἴπῃ· »Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε« καὶ τὰ ἑξῆς, οὕτω καὶ ὁ
Ἰωάννης »διαπωμένης τῆς ἀρχῆς τῆς ἀποστολῆς ἀναλογίαν ἐχούσης 15
πρὸς τὴν ἀποστολὴν τοῦ Ἡσαΐου, ἀποστέλλεται βαπτίζειν καὶ ἑτοι-
μάζειν »κυρίῳ λαὸν κατεσκευασμένον« καὶ μαρτυρεῖν »περὶ τοῦ φω-
179 »τός«. τούτων δ' οὕτως λεχθέντων ἂν πρὸς τὸν πρῶτον λόγον, 76R
λύσεις τοιαῦται προσάγονται συγκατάθεσιν ἐπισπώμεναι πρὸς τὸ περὶ
Ἰωάννου βαθύτερον ὑπονοούμενον· αὐτόθεν μὲν ἐπιφέρεται· »Οὗτος 20
»ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός«· εἰ γὰρ ἦλθε,
ποθὲν ἦλθε, καὶ λεκτέον πρὸς τὸν δυσπαραδεκτοῦντα τὸ ἐν τοῖς
ἑξῆς ὑπὸ Ἰωάννου λεγόμενον ἐπὶ τοῦ ἑωρακέναι τὸ πνεῦμα τὸ ἅγιον
ὡς περιστερὰν κατερχόμενον ἐπὶ τὸν σωτῆρα (φησὶ γάρ· »Ὁ πέμψας
»με βαπτίζειν ἐν τῷ ὕδατι ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ 25
»πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν
»πνεύματι ἁγίῳ καὶ πυρί«). πότε γὰρ πέμψας τοῦτ' ἐνετείλατο; ἀλλ'
εἰκὸς ἀποκρίνεσθαι πρὸς τὸ πύσμα τοῦτο ὅτι, ὅτε δήποτε ἔπεμπεν
ἐπὶ τὸ ἄρξασθαι βαπτίζειν, τότε τοῦτον τὸν λόγον εἶπεν ὁ χρηματί-
ζων πρὸς αὐτόν. 30

180 XXX. Ἔτι δὲ πληκτικώτερον πρὸς τὸ ἑτέρωθέν ποθεν ἀπεστάλ-
θαι τὸν Ἰωάννην ἐνσωματούμενον ὑπόθεσιν οὐκ ἄλλην τῆς εἰς τὸν

2 Gen. 3, 23. — 6 Joh. 1, 7. — 8 Jes. 6, 8. — 12 Vgl. Jes. 6, 1. — 14 Jes. 6, 9. — 16 Vgl. Luk. 1, 17. | 17 Vgl. Joh. 1, 7. — 20 Joh. 1, 7. — 23 Vgl. Joh. 1, 32 f. — 25 Joh. 1, 33.

2 *ἀποφαίνεται* We | 5 *ἤτοι*] *εἴτε* M, *ἤ* V, corr. Pr | 6 *περὶ* aus Missverständnis eines Compendiums in der Vorlage; corr Bodl. | 8 *πορεύσεται*] *σ* über der Linie | 19 *ἐπισπώμεναι*] *ἐπισπ* a. Ras., sehr eng zusammengedrückt und von II H. | 23 *τοῦ*] *τῷ*, corr. We | 25 *βαπτίζειν*] *βαπτίσαι*, corr. V; vgl. S. 67, 10; 94, 28. *βαπτίσαι* ohne Zeugen im NT. | 28 *ἀποκρίνεσθαι*] *νεσ* a. Ras. | 31 *πληκτικώτερον*] *ἐκπληκτικώτερον*, corr. Pr, aber vgl. C. Cels. VII, 12 (II, 164, 9 K.) u. Index.

Digitized by Google

βίον ἐπιδημίας ἔχοντα ἢ τὴν περὶ τοῦ φωτὸς μαρτυρίαν, τὸ πνεύματος ἁγίου πλησθῆναι ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, λεγόμενον ὑπὸ Γαβριὴλ εὐαγγελιζομένου τῷ μὲν Ζαχαρίᾳ τὴν Ἰωάννου γένεσιν τῇ δὲ Μαριὰμ τὴν τοῦ σωτῆρος ἡμῶν ἐν ἀνθρώποις ἐπιδημίαν, καὶ τὸ »*Ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ εἰς τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου*«. *τῷ γὰρ τηροῦντι* 181
τὸ μηδὲν ἀδίκως μηδὲ κατὰ συντυχίαν ἢ ἀποκλήρωσιν ποιεῖν ἀναγκαῖον παραδέξασθαι πρεσβυτέραν οὖσαν τὴν Ἰωάννου ψυχὴν τοῦ σώματος καὶ πρότερον ὑφεστῶσαν πεπέμφθαι ἐπὶ διακονίαν τῆς περὶ
10 *τοῦ φωτὸς μαρτυρίας. πρὸς τούτοις δὲ οὐ καταφρονητέον καὶ τοῦ*
145r »*Αὐτός ἐστιν Ἠλίας ὁ μέλλων* | *ἔρχεσθαι*«. *ἐὰν δὲ κρατῇ ὁ καθόλου* 182
83R *περὶ ψυχῆς λόγος ὡς οὐ συνεσπαρμένης τῷ σώματι ἀλλὰ πρὸ αὐτοῦ τυγχανούσης καὶ διὰ ποικίλας αἰτίας ἐνδουμένης σαρκὶ καὶ αἵματι, τὸ* »*Ἀπεσταλμένος ὑπὸ θεοῦ*« *οὐκέτι δόξει ἐξαίρετον εἶναι περὶ Ἰωάν-*
15 *νου λεγόμενον. ὁ γοῦν πάντων κάκιστος,* »*ὁ ἄνθρωπος τῆς ἁμαρτίας ὁ υἱὸς τῆς ἀπωλείας*«, *λέγεται παρὰ τῷ Παύλῳ πέμπεσθαι ὑπὸ τοῦ θεοῦ·* »*Διὰ τοῦτο, γάρ φησι, πέμπει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες τῇ ἀδικίᾳ*«. *τὸ δὲ* 183
20 *ζητηθὲν ὅρα εἰ οὕτως λῦσαι δυνησόμεθα, ὅτι ὥσπερ ἁπλούστερον πᾶς ἄνθρωπος τῷ ὑπὸ θεοῦ ἐκτίσθαι ἄνθρωπός ἐστι θεοῦ, ἀλλ' οὐ*
77H *χρηματίζει πᾶς ἄνθρωπος* »〈*ἄνθρωπος*〉 *θεοῦ*«, *ἢ μόνος ὁ θεῷ ἀνακείμενος (ὃν τρόπον Ἠλίας καὶ οἱ ἐν ταῖς γραφαῖς ἀναγεγραμμένοι* »*ἄνθρωποι θεοῦ*«), *οὕτως δύναται κατὰ μὲν τὸ κοινότερον πᾶς ἄν-*
25 *θρωπος ἀπεστάλθαι ἀπὸ θεοῦ, κυρίως δὲ λέγεσθαι ἀπεστάλθαι ὑπὸ θεοῦ οὐκ ἄλλος ἢ ὁ ἐπὶ διακονίᾳ θείᾳ καὶ λειτουργίᾳ σωτηρίας γένους ἀνθρώπων ἐπιδημῶν τῷ βίῳ. οὐχ εὕρομεν γοῦν τὸ ἀποστέλ-* 184
λεσθαι ἀπὸ θεοῦ ἐπ' ἄλλου του ἢ τῶν ἁγίων κείμενον· ἐπὶ μὲν τοῦ Ἡσαίου, ὡς προπαρεθέμεθα· ἐπὶ δὲ τοῦ Ἱερεμίου· »*Πρὸς πάντας οὓς*
30 »*ἐὰν ἐξαποστείλω σε πορεύσῃ*«, *ἐπὶ δὲ τοῦ Ἰεζεκιήλ·* »*Ἰδοὺ ἐγὼ ἀποστέλλω σε πρὸς ἔθνη τὰ ἀφεστηκότα καὶ ἀποστήσαντά μοι*«. *δόξει* 185
δὲ οὐ πρὸς τὸ προκείμενον παρειλῆφθαι τὰ παραδείγματα ἀποστολῆς

1 Vgl. Joh. 1, 7. — **2** Vgl. Luk. 1, 15. 26 ff. — **5** Luk. 1, 44. — **11** Matth. 11, 14. — **13** Vgl. Clemens Al., ecl. 50. — **14** Joh. 1, 6. — **15** Vgl. II Thess. 2, 3. — **17** II Thess. 2, 11 f. — **29** Vgl. S. 86, 7 ff. — Jer. 1, 7. — **30** Ez. 2, 3. (vgl. Field z. d. St.)

1 *ἔχοντα*] *ἔχοντος*, corr. Del | **6** *ἐν*[1]] über d. Linie | **11** *αὐτός*] *οὗτος*, corr. Pr nach S. 96, 15. 119, 11. (und NT) | *ἠλίας* in M verblichen; eine spätere H. hat daran herumcorr., sodass die Abschrr. *ὁ λόγος* lasen | **13** *ἐνδεδεμένης*? | **15** *ἁμαρτίας*] viell. mit B ℵ *ἀνομίας* z. l. vgl. C. Cels. II, 50 (I. 172, 18 K) | **22** 〈*ἄνθρωπος*〉 + Pr **24** nach *ἄνθρωπος* sind 1 bis 2 Buchst. ausrad. | **31** *ἀποστήσαντα*] *ἀπιστήσαντα* V; doch s. Field | 32 nach *παραδείγματα* + *τῆς* V.

Digitized by Google

τῆς εἰς τὸν βίον ζητουμένης, ἀποστολὴν λέγοντα οὐ γυμνῶς τὴν ἔξωθεν τοῦ βίου ἐπὶ τὸν βίον. πλὴν καὶ οὕτως οὐκ ἀπίθανον μετάγειν τὸν λόγον ἐπὶ τὸ ζητηθέν, φάσκοντα ὅτι ὥσπερ μόνους τοὺς ἁγίους, ἐφ' οἷς παρεθέμεθα, ἀποστέλλειν λέγεται ὁ θεός, οὕτως καὶ ἐπὶ τῶν εἰς τὸν βίον ἀποστελλομένων ἐκδεκτέον.

186 XXXI. (25) Καὶ ἐπεὶ ἁπαξαπλῶς ἐν τῷ περὶ τοῦ Ἰωάννου ἐσμὲν λόγῳ, ζητοῦντες αὐτοῦ τὴν ἀποστολήν, οὐκ ἀκαίρως ὑπόνοιαν ἡμετέραν, ἣν περὶ αὐτοῦ ἔχομεν, προσθήσομεν. ἐπεὶ γὰρ ἀνέγνωμεν περὶ αὐτοῦ προφητείαν· »Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσ»ώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου«, ἐφίστα- 10
187 μεν μήποτε εἷς τῶν ἁγίων ἀγγέλων τυγχάνων ἐπὶ λειτουργίᾳ κατα-
πέμπεται τοῦ σωτῆρος ἡμῶν πρόδρομος. καὶ οὐδὲν θαυμαστὸν τοῦ
πρωτοτόκου πάσης κτίσεως ἐνσωματουμένου κατὰ φιλανθρωπίαν 84R
ζηλωτάς τινας καὶ μιμητὰς γεγονέναι Χριστοῦ, ἀγαπήσαντας τὸ διὰ
τοῦ ὁμοίου ⟨αὐ⟩τοῦ σώματος ὑπηρετῆσαι τῇ εἰς ἀνθρώπους αὐτοῦ 15
χρηστότητι. τίνα δ' οὐκ ἂν κινήσαι σκιρτῶν ἐν ἀγαλλιάσει ἔτι ἐν
τῇ κοιλίᾳ τυγχάνων, ὡς τὴν κοινὴν τῶν ἀνθρώπων ὑπερπαίων φύ-
188 σιν; εἰ δέ τις προσίεται καὶ τῶν παρ' Ἑβραίοις φερομένων ἀποκρύ-
φων τὴν ἐπιγραφομένην Ἰωσὴφ προσευχήν, ἄντικρυς τοῦτο τὸ δόγμα
καὶ σαφῶς εἰρημένον ἐκεῖθεν | λήψεται, ὡς ἄρα οἱ ἀρχῆθεν ἐξαίρετόν 145v
τι ἐσχηκότες παρὰ ἀνθρώπους, πολλῷ κρείττους τυγχάνοντες τῶν
λοιπῶν ψυχῶν, ἀπὸ τοῦ εἶναι ἄγγελοι ἐπὶ τὴν ἀνθρωπίνην καταβε-
189 βήκασι φύσιν. φησὶ γοῦν ὁ Ἰακώβ· »Ὁ γὰρ λαλῶν πρὸς ὑμᾶς ἐγὼ
»Ἰακὼβ καὶ Ἰσραὴλ ἄγγελος θεοῦ εἰμι ἐγὼ καὶ πνεῦμα ἀρχικόν, καὶ
»Ἀβραὰμ καὶ Ἰσαὰκ προεκτίσθησαν πρὸ παντὸς ἔργου· ἐγὼ δὲ Ἰακώβ, 25
»ὁ κληθεὶς ὑπὸ ἀνθρώπων Ἰακώβ, τὸ δὲ ὄνομά μου Ἰσραήλ, ὁ κλη-
»θεὶς ὑπὸ θεοῦ Ἰσραήλ, ἀνὴρ ὁρῶν θεόν, ὅτι ἐγὼ πρωτόγονος παντὸς 78H
190 »ζῴου ζωουμένου ὑπὸ θεοῦ«. καὶ ἐπιφέρει· »Ἐγὼ δὲ ὅτε ἠρχόμην
»ἀπὸ Μεσοποταμίας τῆς Συρίας, ἐξῆλθεν Οὐριὴλ ὁ ἄγγελος τοῦ θεοῦ,
»καὶ εἶπεν ὅτι κατέβην ἐπὶ τὴν γῆν καὶ κατεσκήνωσα ἐν ἀνθρώποις, 30
»καὶ ὅτι ἐκλήθην ὀνόματι Ἰακώβ· ἐξήλωσε καὶ ἐμαχέσατό μοι, καὶ
»ἐπάλαιε πρός με, λέγων προτερήσειν ἐπάνω τοῦ ὀνόματός μου τὸ
»ὄνομα αὐτοῦ καὶ τοῦ πρὸ παντὸς ἀγγέλου. καὶ εἶπα αὐτῷ τὸ ὄνομα
»αὐτοῦ καὶ πόσος ἐστὶν ἐν υἱοῖς θεοῦ· Οὐχὶ σὺ Οὐριὴλ ὄγδοος ἐμοῦ,
»κἀγὼ Ἰσραὴλ ἀρχάγγελος δυνάμεως κυρίου καὶ ἀρχιχιλίαρχός εἰμι ἐν 35

9 Matth. 11, 10. Mal. 3, 1. — **13** Vgl. Kol. 1, 15. — **16** Vgl. Luk. 1, 44. — **18** Vgl. Schürer, Gesch. des jüd. Volkes III³, 265 f. — **26** Vgl. Gen. 32, 24. 28.

7 [τὴν ἀ]ποστολὴν a. Ras. | **9** αὐτοῦ] τοῦ a. Ras. | **15** ⟨αὐ⟩τοῦ] τοῦ, corr. Pr, vgl. Röm. 8, 3. Phil. 2, 7. Christus dient, weil er einen dem menschlichen ähnlichen Leib hat | **23** φύσιν über d. Linie M | **33** τοῦ str. Jacobi, πρὸ τοῦ Schürer; wahrsch. ist κτισθέντος nach παντός z. erg. oder hinzuzudenken.

Digitized by Google

»υἱοῖς θεοῦ; οὐχὶ ἐγὼ Ἰσραὴλ ὁ ἐν προσώπῳ θεοῦ λειτουργὸς πρῶτος,
»καὶ ἐπεκαλεσάμην ἐν ὀνόματι ἀσβέστῳ τὸν θεόν μου;« εἰκὸς γὰρ 191
τούτων ἀληθῶς ὑπὸ τοῦ Ἰακὼβ λεγομένων καὶ διὰ τοῦτο ἀναγεγραμμένων, καὶ τὸ »Ἐν κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελφὸν αὐτοῦ« συνετῶς
5 γεγονέναι. ἐπίστησον δὲ εἰ τὸ διαβόητον περὶ Ἰακὼβ καὶ Ἡσαῦ ζήτημα λύσιν ἔχει, ἐπεὶ »μήπω γεννηθέντων μηδὲ πραξάντων τι ἀγαθὸν
»ἢ φαῦλον, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ θεοῦ μένῃ, οὐκ ἐξ ἔργων
»ἀλλ' ἐκ τοῦ καλοῦντος, ἐρρέθη ὅτι Ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι,
»καθάπερ γέγραπται· Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα«.
85R »τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ θεῷ; μὴ γένοιτο«. [μήπω δὲ
γεννηθέντων μηδὲ πραξάντων τι ἀγαθὸν ἢ φαῦλον, ἵν' ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ θεοῦ μένῃ, οὐκ ἐξ ἔργων ἀλλ' ἐκ τοῦ καλοῦντος,
ἐρρέθη.] οὐ κατατρεχόντων οὖν ἡμῶν ἐπὶ τὰ πρὸ τοῦ βίου τούτου 192
ἔργα, πῶς ἀληθὲς τὸ μὴ εἶναι ἄδικον παρὰ θεῷ τοῦ μείζονος δου-
15 λεύοντος τῷ ἐλάττονι καὶ μισουμένου, πρὶν ποιῆσαι τὰ ἄξια τοῦ
δουλεύειν καὶ τὰ ἄξια τοῦ μισεῖσθαι; ἐπὶ πλεῖον δὲ παρεξέβημεν παραλαβόντες τὸν περὶ Ἰακὼβ λόγον, καὶ μαρτυράμενοι ἡμῖν οὐκ εὐκαταφρόνητον γραφήν, ἵνα πιστικώτερος ὁ περὶ Ἰωάννου γένηται
λόγος, κατασκευάζων αὐτόν, κατὰ τὴν τοῦ Ἡσαΐου φωνήν, ἄγγελον
20 ὄντα ἐν σώματι γεγονέναι ὑπὲρ τοῦ μαρτυρῆσαι τῷ φωτί. καὶ ταῦτα
μὲν περὶ Ἰωάννου τοῦ ἀνθρώπου.

XXXII. (26) Ἡγοῦμαι δὲ ὅτι ὥσπερ ἐν ἡμῖν φωνὴ καὶ λόγος 193
146r διαφέρει, δυναμένης μέντοι γέ ποτε φωνῆς τῆς μηδὲν σημαινούσης προφέρεσθαι χωρὶς λόγου, οἵου τε δὲ ὄντος καὶ λόγου χωρὶς τῷ νῷ
25 ἀπαγγέλλεσθαι φωνῆς, ὡς ἐπὰν ἐν ἑαυτοῖς διεξοδεύωμεν, οὕτω τοῦ
σωτῆρος κατά τινα ἐπίνοιαν ὄντος λόγου διαφέρει τούτου ὁ Ἰωάννης,
ὡς πρὸς τὴν ἀναλογίαν τοῦ χριστοῦ τυγχάνοντος λόγου φωνὴ ὤν.
ἐπὶ τοῦτο δέ με προκαλεῖται αὐτὸς ὁ Ἰωάννης, ὅστις ποτὲ εἴη, πρὸς 194
τοὺς πυνθανομένους ἀποκρινόμενος· »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ
79H »ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους
»αὐτοῦ«. καὶ τάχα διὰ τοῦτο ἀπιστήσας ὁ Ζαχαρίας τῇ γενέσει τῆς
δεικνυούσης τὸν λόγον τοῦ θεοῦ φωνῆς ἀπόλλυσι τὴν φωνήν, λαμβάνων αὐτήν, ὅτε γεννᾶται ἡ πρόδρομος τοῦ λόγου φωνή. ἐνωτί-

4 Hos. 12, 3. — **6** Röm. 9, 11—14. — **8** (Gen. 25, 23). — **9** (Mal. 1, 2. 3). — **14** Vgl. Gen. 25, 23. Röm. 9, 13. — **19** Vgl. Jes. 40, 3. — **20** Vgl. Joh. 1, 7. — **23** Vgl. Aristot., hist. anim. 4, 9. — **29** Joh. 1, 23; Mark. 1, 3. — **31** Vgl. Luk. 1, 20. — **32** Vgl. Luk. 1, 64.

6 *μήπω*] *μηδέπω*, corr. Pr nach Z. 10 | **10** *γένοιτο*] *γ* a. Ras., urspr. wohl zwei Buchst. | *μήπω* bis 13 *ἐρρέθη* als unnötige Dublette zu str. | **17** *οὐκ*] *ον* über d. Linie | **18** *πιστικώτερος*] *πιστικώτερον*, corr. We | **23** *διαφ* M, *διαφέρει* V *διαφέρουσι* Edd. | **32** ⟨*ἀνα λαμβάνων* We.

Digitized by Google

σασθαι γὰρ δεῖ φωνήν, ἵνα μετὰ ταῦτα ὁ νοῦς τὸν δεικνύμενον ὑπὸ
195 τῆς φωνῆς λόγον δέξασθαι δυνηθῇ. διόπερ καὶ ὀλίγῳ πρεσβύτερος κατὰ τὸ γεννᾶσθαι ὁ Ἰωάννης ἐστὶ τοῦ χριστοῦ· φωνῆς γὰρ πρὸ λόγου ἀντιλαμβανόμεθα. ἀλλὰ καὶ δείκνυσι τὸν χριστὸν ὁ Ἰωάννης· φωνῇ γὰρ παρίσταται ὁ λόγος. ἀλλὰ καὶ βαπτίζεται ὑπὸ Ἰωάννου 5
ὁ χριστός, ὁμολογοῦντος χρείαν ἔχειν ὑπ' αὐτοῦ βαπτισθῆναι· ἀνθρώποις γὰρ ὑπὸ φωνῆς καθαίρεται λόγος, τῇ φύσει τοῦ λόγου καθαίροντος πᾶσαν τὴν σημαίνουσαν φωνήν. καὶ ἁπαξαπλῶς ὅτε Ἰωάννης τὸν χριστὸν δείκνυσιν, ἄνθρωπος θεὸν δείκνυσι καὶ σωτῆρα τὸν ἀσώ-
ματον, καὶ φωνὴ τὸν λόγον. 86R

196 XXXIII. (27) Χρήσιμον δ' ἂν εἴη, ὥσπερ ἐπὶ πολλῶν ἡ τῶν ὀνομάτων ἐνάργεια, οὕτω καὶ ἐπὶ τοῦ τόπου τούτου τὸ ἰδεῖν ὅ τι σημαίνει ὁ Ἰωάννης καὶ ὁ Ζαχαρίας. καὶ γὰρ ὡς ὄντος τινὸς οὐκ εὐκαταφρονήτου κατὰ τὴν τοῦ ὀνόματος θέσιν, οἱ μὲν συγγενεῖς Ζαχαρίαν αὐτὸν καλεῖσθαι βούλονται, ξενιζόμενοι ἐπὶ τῷ βούλεσθαι τὴν 15
Ἐλισάβετ Ἰωάννην αὐτὸν ὀνομάζειν· ὁ δὲ Ζαχαρίας γράψας τὸ »Ἰωάν-
197 »νης ἔσται ὄνομα αὐτῷ« ἀπολύεται τῆς ἐπιπόνου σιωπῆς. εὕρομεν τοίνυν ἐν τῇ ἑρμηνείᾳ τῶν ὀνομάτων [Ἰωάννης] τὸ »Ἰωὰ⟨ν⟩« χωρὶς τοῦ »ης« μεταλαμβανόμενον, ὅπερ ταὐτὸν οἰόμεθα εἶναι τῷ »Ἰωάννης«· ἐπεὶ καὶ ἄλλα ἡ καινὴ διαθήκη Ἑβραίων ὀνόματα ἐξελλήνισε, χαρα- 20
κτῆρι αὐτὰ εἰποῦσα ἑλληνικῷ, ὥσπερ ἀντὶ »Ἰακὼβ« »Ἰάκωβος«, καὶ ἀντὶ »Συμεὼν« »Σίμων«. »Ζαχαρίας« δὲ »μνήμη« εἶναι λέγεται, ἡ δὲ
198 »Ἐλισάβετ« »θεοῦ μου ὅρκος« ἢ »θεοῦ μου ἑβδομάς«. ἀπὸ θεοῦ δὴ »χάρις« ἐκ τῆς περὶ θεοῦ »μνήμης« κατὰ τὸν τοῦ θεοῦ ἡμῶν »ὅρκον«

4 Vgl. Joh. 1, 29. 36. — **5** Vgl. Matth. 3, 13 ff. — **15** Vgl. Luk. 1, 59 ff. — **16** Luk. 1, 63. — **17** Vgl. Luk. 1, 64. — **18** Vgl. Schürer, Geschichte d. jüd. Volkes III³, 540 f. — **19** Lagarde, Onomastica sacra² p. 94, 6: Johannan, cui est gratia vel domini gratia; Armen. Onom. „Jônan (andere Lesart Jôan): Gnade." — **21** Lagarde, Onomastica sacra² p. 82, 4: Zacharia, memor domini. Vgl. p. 96, 16. 197, 82 *Ζαχαρ μνήμη* (80 f. *Ζαχαριας μνήμη θεοῦ, μνήμη ἀοράτου κτλ.*) 204, 12 *Ζαχαριας μνήμη κυρίου*. Armen. Onom. „Zacharia: Erinnerung des Herrn." — **23** Lagarde, l. c. p. 40, 2: Elisabeth dei mei saturitas uel dei mei iuramentum aut dei mei septimus. Vgl. p. 14, 17; Armen. Onom. „Elisabeth: mein Gott ist Eid."

3 *γεννᾶσθαι*] *γενέσθαι* Edd. | **11** *εἴη*] *ἦν*, corr. We | **12** *ἐνάργεια*] *ἐνέργεια*, corr. We | *τὸ* viell. mit Hu zu str. | **18** *Ἰωὰ⟨ν⟩* Pr, *Ἰωὰ* M; das Onomasticon wird wohl *Ἰωνάν* (für יוֹחָנָן) geboten haben; vgl. d. armen. Onom., wo *Ἰωάν* kaum richtig ist **19** Die Etymologie ist wohl ausgefallen; nach 100, 3 »*θεοῦ χάρις*«: יְהוֹחָנָן (יְהוֹ = „Jahve ist gnädig" | **21** *ἀντὶ*] ב M, von V richtig aufgelöst, doch auf Ras., *ἐπὶ* Edd. | *Ἰάκωβος*] *Ἰάκωβον*, corr. We | **22** *ἀντὶ*] ב M | *σίμωνα* V | **23** *ἑβδομάς* nach S. 91, 3 u. Hieronymus „dei mei septimus" [Hieronym. verlas *ἑβδομάς* zu *ἕβδομος*] *ἕβδομον* MV Edd. | *δὴ*] *δὲ* Edd.

Digitized by Google

τὸν περὶ τοὺς πατέρας ἐγεννήθη ὁ Ἰωάννης, ἑτοιμάζων »κυρίῳ λαὸν κατεσκευασμένον« ἐπὶ τέλει τῆς παλαιᾶς γενόμενος διαθήκης, ἥ ἐστι σαββατισμοῦ κορωνίς· διὸ οὐ δύναται γεγεννῆσθαι ἀπὸ τῆς »ἑβδομάδος τοῦ »θεοῦ« ἡμῶν, τὴν μετὰ τὸ σάββατον ἀνάπαυσιν τοῦ σωτῆρος ἡμῶν κατὰ τὴν ἀνάπαυσιν αὐτοῦ ἐμποιοῦντος τοῖς συμμόρφοις τοῦ θανάτου αὐτοῦ | γεγενημένοις καὶ διὰ τοῦτο καὶ τῆς ἀναστάσεως. 1405

I, 7. *Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ.*

XXXIV. (28) *Τῶν ἑτεροδόξων τινὲς πιστεύειν φάσκοντες εἰς τὸν* 199
χριστόν, καὶ διὰ τὸ ἀναπλάσσειν ἕτερον ⟨θεὸν⟩ παρὰ τὸν δημιουργὸν 89 H
ὡς ἀκόλουθον αὐτοῖς οὐ προσιέμενοι τὴν ἐπιδημίαν αὐτοῦ ὑπὸ τῶν προφητῶν προκατηγγέλθαι, ἀνατρέπειν πειρῶνται τὰς διὰ τῶν προφητῶν περὶ Χριστοῦ μαρτυρίας. φάσκοντες μὴ δεῖσθαι μαρτύρων τὸν υἱὸν τοῦ θεοῦ, ἔχοντα τὸ τοῦ πιστεύεσθαι ἄξιον ἔν τε οἷς κατήγγειλε σωτηρίοις λόγοις δυνάμεως πεπληρωμένοις καὶ ἐν τερατείοις ἔργοις αὐτόθεν καταπλήξασθαι πάνθ' ὁντινοῦν δυναμένοις. καί φασιν· 200
57 R *»Εἰ Μωσῆς πεπίστευται διὰ τὸν λόγον καὶ τὰς δυνάμεις, οὐ »δεηθεὶς μαρτύρων πρὸ αὐτοῦ τινων αὐτὸν καταγγειλάντων. »ἀλλὰ καὶ ἕκαστος τῶν προφητῶν παρεδέχθη ὑπὸ τοῦ λαοῦ »ὡς ἀπὸ θεοῦ ἀποσταλείς, πῶς οὐχὶ μᾶλλον Μωϋσέως καὶ »τῶν προφητῶν διαφέρων δύναται χωρὶς προφητῶν μαρτυ»ρούντων τὰ περὶ αὐτοῦ ἀνῦσαι ὃ βούλεται καὶ ὠφελῆσαι »τὸ τῶν ἀνθρώπων γένος«; παρέλκειν οὖν οἴονται τὸ ὑπὸ προ- 201
φητῶν αὐτὸν νομίζεσθαι προκατηγγέλθαι, τοῦτο πραγματευσαμένων, ὡς εἴποιεν ἂν ἐκεῖνοι, τῶν τὴν καινότητα τῆς θεότητος παραδέξασθαι τοὺς εἰς Χριστὸν πιστεύοντας οὐ βουλομένων, ἀλλὰ ἐπὶ τὸν αὐτὸν καταντῆσαι θεόν, ὃν καὶ πρὸ Ἰησοῦ Μωσῆς καὶ οἱ προφῆται ἐδίδαξαν.

Λεκτέον οὖν πρὸς αὐτούς, ὅτι πολλῶν αἰτίων δυναμένων γενέσθαι 202
προκαλουμένων εἰς τὸ πιστεύειν, ἐνίοτέ τινων ἀπὸ τῆσδε μὲν τῆς ἀποδείξεως οὐ πληττομένων, ἀπὸ ἑτέρας δέ, ἔχειν τὸν θεὸν πλείονας

1 Vgl. Luk. 1, 17. — **2** Vgl. Luk. 16, 16. — **5** Vgl. Röm. 6, 5. — **10** Vgl. Irenaeus, IV, 34, 5ff. — **15** Vgl. Matth. 7, 29. — **17** Der Ursprung dieses gnostischen Fragments ist ungewiss.

1 *ἐγενήθη* | **2** *γενόμενος*] *γενομένης* corr. Pr; vgl. Luk. 16, 16 | **3** *γεγεννῆσθαι*] *γεγενῆσθαι*, corr. Pr | **5** *τοῦ θανάτου*] *τῷ θανάτῳ*, corr. Pr, vgl. 6 *τῆς ἀναστάσεως* und Röm. 8, 29, welche Stelle Orig. mit 6, 5 contaminiert zu haben scheint; in Matth. XIII, 9 [III, 229, 9 f. L] *συμμόρφους οὐ μόνον τοῦ θανάτου αὐτοῦ ἀλλὰ καὶ τῆς ἀναστάσεως* | **10** ⟨*θεὸν*⟩ + Pr | **20** ⟨*ὁ*⟩ *Μωυσέως*? We.

Digitized by Google

ἀφορμὰς ἀνθρώποις παρέχειν, ἵνα παραδεχθῇ, ὅτι θεὸς ὁ ὑπὲρ πάντα
203 τὰ γενητὰ ἐνηνθρώπησεν. ἐναργῶς γοῦν ἔστιν ἰδεῖν τινας ἐκ τῶν
προφητικῶν προρρήσεων εἰς θαυμασμὸν τοῦ χριστοῦ ἐρχομένους, κα-
ταπληττομένους τὴν τῶν τοσούτων πρὸ αὐτοῦ προφητῶν φωνὴν
συνιστᾶσαν τόπον γενέσεως αὐτοῦ καὶ χώραν ἀνατροφῆς καὶ ἰσχὺν 5
διδασκαλίας, δυνάμεών τε θαυμασίων ποίησιν καὶ πάθος ἀνθρώπινον
204 ὑπὸ ἀναστάσεως καταλυόμενον. καὶ τοῦτο δὲ ἐπισκεπτέον, ὅτι αἱ
μὲν τεράστιοι δυνάμεις τοὺς κατὰ τὸν χρόνον τοῦ κυρίου γενομένους
προκαλεῖσθαι ἐπὶ τὸ πιστεύειν ἐδύναντο, οὐκ ἔσωζον δὲ τὸ ἐμφαν-
τικὸν μετὰ χρόνους πλείονας ἤδη καὶ μῦθοι εἶναι ὑπονοηθεῖσαι. πλεῖον 10
γὰρ τῶν τότε γενομένων δυνάμεων ἰσχύει πρὸς πειθὼ ἡ νῦν συνεξ-
εταζομένη ταῖς δυνάμεσι προφητεία, κἀκείνας ἀπιστεῖσθαι ὑπὸ τῶν
205 ἐρευνώντων αὐτὰς κωλύουσα. τάχα δὲ αἱ προφητικαὶ μυρτυρίαι οὐ
μόνον κηρύσσουσι Χριστὸν ἐλευσόμενον οὐδὲ τοῦθ' ἡμᾶς διδάσκουσι
καὶ ἄλλο οὐθέν, ἀλλὰ πολλὴν θεολογίαν σχέσιν τε πατρὸς πρὸς υἱὸν S1H
καὶ υἱοῦ πρὸς πατέρα ἔστι μαθεῖν οὐκ ἔλαττον ἀπὸ τῶν προφητῶν,
διʼ ὧν ἀπαγγέλλουσι τὰ περὶ αὐτοῦ ἢ ἀπὸ τῶν ἀποστόλων | διηγου- 147r
206 μένων τὴν μεγαλειότητα ⟨τοῦ⟩ υἱοῦ τοῦ θεοῦ. ἔστι δὲ τολμήσαντα
καὶ χωρὶς τούτων τοιοῦτόν τι εἰπεῖν, ὅτι εἰσὶ Χριστοῦ μάρτυρες τῷ S8R
μαρτυρεῖν περὶ αὐτοῦ κοσμούμενοι καὶ οὐ πάντως ἐκείνῳ τι διὰ τοῦ 20
μαρτυρεῖν περὶ τοῦ υἱοῦ τοῦ θεοῦ καταχαριζόμενοι, ὡς ὁμολογήσαιεν
207 ἂν πάντες περὶ τῶν ἰδίως ὀνομαζομένων μαρτύρων Χριστοῦ. τί οὖν
θαυμαστόν, εἰ ὥσπερ ἐκοσμήθησαν τῷ μάρτυρες εἶναι Χριστοῦ πολλοὶ
τῶν γνησίων Χριστοῦ μαθητῶν, οὕτως οἱ προφῆται τὸ προκαταγγεῖ-
λαι Χριστὸν νοήσαντες αὐτὸν δῶρον ἀπὸ θεοῦ εἰλήφασι, διδάσκοντες 25
οὐ μόνον τοὺς μετὰ τὴν Χριστοῦ ἐπιδημίαν, ἃ δεῖ φρονεῖν περὶ τοῦ
208 υἱοῦ τοῦ θεοῦ, ἀλλὰ καὶ τοὺς ἐν προτέραις ἐκείνων γενεαῖς; ὥσπερ
⟨γὰρ⟩ ὁ μὴ ἐγνωκὼς τὸν υἱὸν νῦν οὐδὲ τὸν πατέρα ἔχει, οὕτω καὶ
πρότερον νοητέον· διόπερ »Ἀβραὰμ ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν
»Χριστοῦ, καὶ εἶδε καὶ ἐχάρη«. ἀποστερεῖν τοίνυν βούλεται τὸν χορὸν 30
τῶν προφητῶν χάριν τὴν μεγίστην ὁ βουλόμενος αὐτοὺς μὴ δεῖν
μαρτυρεῖν περὶ Χριστοῦ· τί γὰρ ἂν καὶ ἡ προφητεία ἡ ἐξ ἐπιπνοίας
ἁγίου πνεύματος εἶχε τηλικοῦτον, εἰ ὑπεξήρητο αὐτῆς τὰ περὶ τῆς
209 κυρίου ἡμῶν οἰκονομίας; ὡς γὰρ ἡ θεοσέβεια κεκόσμηται τῶν διὰ

26 Vgl. II Clem. 1, 1. — 28 Vgl. I Joh. 2, 23. — 29 Vgl. Joh. 8, 56. —

2 γενητὰ] nach ε ist ν ausr. | 3 προρρήσεων] ορρ a. Ras. | 9 ἐμφαντικὸν] ἐμφατικὸν, corr. V | 10 μῦθοι] μύθους, corr. We | ὑπονοηθεῖσαι] ὑπονοηθείσας, corr. Hu | 11 ἰσχύει] ἴσχει M, ἴσχυε V, corr. B | 12 κακείναις darüber ÷ und Compend. für ας | 17 ἐπαγγέλλουσι | ἀπὸ] ὑπὸ, corr. V | 18 ⟨τοῦ⟩ + V | 25 ἀπὸ] ὑπὸ, corr. We | 28 ⟨γὰρ⟩ + We | 33 nach τῆς + τοῦ V.

Digitized by Google

μεσίτου καὶ ἀρχιερέως καὶ παρακλήτου καὶ † ἐπιστημονικῶς προσερχομένων τῷ τῶν ὅλων θεῷ, σκάζουσα ἂν εἰ μὴ διὰ τῆς θύρας τις εἰσίοι πρὸς τὸν πατέρα, οὕτως καὶ ἡ τῶν πάλαι θεοσέβεια τῇ νοήσει καὶ πίστει καὶ προσδοκίᾳ Χριστοῦ ἱερὰ ἦν καὶ παρὰ θεῷ ἀποδεκτή· ἐπεὶ τετηρήκαμεν ὅτι ὁ θεὸς μάρτυς εἶναι ὁμολογεῖ, καὶ περὶ τοῦ χριστοῦ τὸ αὐτὸ ἀποφαίνεται, πάντας ἐπὶ τὸ μιμητὰς αὐτοῦ καὶ τοῦ χριστοῦ γενέσθαι παρακαλῶν, κατὰ τὸ μαρτυρεῖν αὐτούς, οἷς χρὴ μαρτυρεῖν· φησὶ γάρ· »Γένεσθέ μοι μάρτυρες, κἀγὼ μάρτυς, λέγει »κύριος ὁ θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην«. πᾶς δὲ ὁ μαρτυρῶν τῇ 210
ἀληθείᾳ, εἴτε λόγοις εἴτε ἔργοις εἴτε ὁπωσποτὲ ταύτῃ παριστάμενος, »μάρτυς« εὐλόγως ἂν χρηματίζοι. ἀλλ' ἤδη κυρίως ⟨ὡς⟩ τὸ τῆς ἀδελφότητος ἔθος ἐκπλαγέντες διάθεσιν τῶν ἕως θανάτου ἀγωνισαμένων ὑπὲρ ἀληθείας ἢ ἀνδρείας, κυρίως μόνους »μάρτυρας« ὠνόμασαν τοὺς τῇ ἐκχύσει τοῦ ἑαυτῶν αἵματος μαρτυρήσαντας τῷ τῆς θεοσεβείας μυστηρίῳ, τοῦ σωτῆρος πάντα τὸν μαρτυροῦντα τοῖς περὶ
82H αὐτοῦ καταγγελλομένοις »μάρτυρα« ὀνομάζοντος. φησὶ γοῦν ἀνα- 211
λαμβανόμενος τοὺς ἀποστόλους· »Ἔσεσθέ μου μάρτυρες ἔν τε Ἰερου-
89R »σαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς«. ἔτι δὲ ὥσπερ ὁ καθαρθεὶς λεπρὸς τὸ προστεταγμένον ὑπὸ Μωσέως προσάγει δῶρον, »εἰς μαρτύριον« τοῦτο ποιῶν τοῖς μὴ πιστεύσασιν εἰς τὸν χριστόν, οὕτως εἰς μαρτύριον τοῖς ἀπίστοις οἱ μάρτυρες μαρτυροῦσι καὶ πάντες οἱ ἅγιοι, ὧν λάμπει τὰ ἔργα »ἔμ-
147v »προσθεν τῶν ἀνθρώπων«. πολιτεύονται | γὰρ παρρησιαζόμενοι ἐν τῷ σταυρῷ τοῦ χριστοῦ καὶ μαρτυροῦντες περὶ τοῦ ἀληθινοῦ φωτός.

XXXV. (29) Καὶ Ἰωάννης τοίνυν ἦλθεν, ἵνα μαρτυρήσῃ περὶ 212
τοῦ φωτός· ὃς μαρτυρῶν »κέκραγε λέγων«· »Ὁ ὀπίσω μου ἐρχόμε-
»νος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. ὅτι ἐκ τοῦ πλη-
»ρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος· ὅτι
»ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ
»Χριστοῦ ἐγένετο. θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς θεὸς
»ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο«. πᾶς γοῦν 213
οὗτος ὁ λόγος ἐκ προσώπου τοῦ βαπτιστοῦ μαρτυροῦντος τῷ χριστῷ

1 Vgl. Gal. 3, 19f. Hebr. 7, 26ff. I Joh. 2, 1. — **2** Vgl. Joh. 10, 9. — **5** Vgl. Jer. 49, 5. Jes. 43, 10. — **8** Jes. 43, 10. — **14** Vgl. I Tim. 3, 16. — **17** Act. 1, 8. **19** Vgl. Matth 8, 4. — **22** Vgl. Matth. 5, 16. — **25** Vgl. Joh. 1, 7. — **26** Joh. 1, 15—18.

1 ἐπιστημονικῶς verderbt, ἐπιστάτῃ μόνον? We; ἐπιστημόνως? (vgl. hom 5, 11 in Jer. p. 40,23) | **3** εἰσίοι] εἰσίῃ, corr. We | **6** ἀποφαίνεται] ἀποφαίνεσθαι, corr. Jacobi αὐτοῦ] αὐτοὺς, corr. Jacobi | **7** αὐτοὺς] αὐτοῦ, corr. Pr | **11** ⟨ὡς⟩ + Pr | **16** μάρτυρα] μάρτυρας, corr. Pr | ὀνομάζοντα] ὀνομάζοντας, corr. V | **19** ἔτι] ἔστι, corr. We | **20** προσάγει] προσάγων, corr. We | **29** Statt Μωσέως ist mit BCLXΔ33K Μωϋσέως zu schr. vgl. S. 109, 5.

Digitized by Google

εἴρηται, ὅπερ λανθάνει τινὰς οἰομένους ἀπὸ τοῦ »Ἐκ τοῦ πληρώμα-
»τος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν« ἕως τοῦ »Ἐκεῖνος ἐξηγήσατο«
214 ἐκ τοῦ προσώπου Ἰωάννου τοῦ ἀποστόλου λέγεσθαι. πρὸς τῇ προ-
ειρημένῃ δὲ τοῦ βαπτιστοῦ μαρτυρίᾳ, ἀρχομένῃ ἀπὸ τοῦ »Ὁ ὀπίσω
»μου ἐρχόμενος ἔμπροσθέν μου γέγονε« καὶ ληγούσῃ εἰς τὸ »Ἐκεῖνος
»ἐξηγήσατο« καὶ αὕτη ἡ μαρτυρία ἐστὶν Ἰωάννου μετ' ἐκείνην δευ-
τέρα, ὅτε πρὸς τοὺς ἀποστείλαντας ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευί-
τας, Ἰουδαίων αὐτοὺς ἀποστειλάντων, ὁμολογεῖ οὐκ ἀρνούμενος τὸ
ἀληθές, ὡς ἄρα οὐκ αὐτὸς εἴη ὁ χριστὸς οὐδὲ Ἠλίας οὐδὲ ὁ προφή-
της, ἀλλὰ »φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν κυρίου,
»καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης«.

215 Μετὰ δὲ ταῦτα ἄλλη μαρτυρία τοῦ αὐτοῦ βαπτιστοῦ περὶ Χριστοῦ
ἐστι, τὴν προηγουμένην αὐτοῦ ὑπόστασιν ἔτι διδάσκουσα διήκουσαν
ἐπὶ πάντα τὸν κόσμον κατὰ τὰς ψυχὰς τὰς λογικάς, ὅτε φησί· »Μέσος
»ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε, ὀπίσω μου ἐρχόμενος, οὗ οὐκ
»εἰμὶ ἄξιος ἐγὼ ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος«. καὶ
ἐπίσκεψαι, εἰ διὰ τὸ ἐν μέσῳ τοῦ παντὸς εἶναι σώματος τὴν καρδίαν,
ἐν δὲ τῇ καρδίᾳ τὸ ἡγεμονικόν, κατὰ τὸν ἐν ἑκάστῳ λόγον δύναται
νοεῖσθαι τὸ »Μέσος ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε«.

216 Τετάρτη δὲ πρὸς τούτοις μαρτυρία Ἰωάννου περὶ Χριστοῦ ἤδη
καὶ τὸ ἀνθρώπινον αὐτοῦ πάθος ὑπογράφουσα, ὅτε λέγει· »Ἴδε ὁ
»ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὗτός ἐστιν
»ὑπὲρ οὗ ἐγὼ εἶπον ὅτι ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου S3H
»γέγονεν, ὅτι πρῶτός μου ἦν· κἀγὼ οὐκ ἤδειν αὐτόν, ἀλλ' ἵνα φανε- 90R
»ρωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων«.

217 Καὶ πέμπτη μαρτυρία ἀναγέγραπται κατὰ τὸ »Τεθέαμαι τὸ πνεῦμα
»καταβαῖνον ὡς περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν· κἀγὼ
»οὐκ ἤδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι
»εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν,
»οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ * *. κἀγὼ ἑώρακα, καὶ
»μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ«. 148r

218 Ἕκτον δὲ μαρτυρεῖ τῷ χριστῷ ἐπὶ δύο μαθητῶν ὁ Ἰωάννης, ὅτε
ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει· »Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ«,
μεθ' ἣν μαρτυρίαν, ἀκουσάντων τῶν δύο μαθητῶν τοῦ Ἰωάννου καὶ
ἀκολουθησάντων τῷ Ἰησοῦ, στραφεὶς ὁ Ἰησοῦς καὶ θεασάμενος τοὺς

6 Vgl. Joh. 1, 19—23. — **10** Joh. 1, 23. — **14** Joh. 1, 26 f. — **21** Joh. 1, 29—31. — **26** Joh. 1, 32—34. — **32** Vgl. Joh. 1, 35. — **33** Joh. 1, 35. — **34** Vgl. Joh. 1, 38.

12 τοῦ nachträgl. eingeflickt | **13** nach διδάσκουσα ist ein Buchst. ausradiert | **18** κατὰ] καὶ, corr. Br | **30** nach ἁγίῳ fügt Orig. an andern Stellen noch καὶ πυρὶ hinzu; s. o. S. 67, 12. 86, 27. Doch ist das wohl ein durch Contaminierung mit Matth. 3, 11. Luk. 3, 16 entstandener, nur von einer Hs. (C*) gebotener Zusatz.

Digitized by Google

δύο ἀκολουθοῦντας ἀποκρίνεται λέγων »Τί ζητεῖτε;« (XXXVI) καὶ τάχα 219
οὐ μάτην μετὰ ἓξ μαρτυρίας παύεται μὲν ὁ Ἰωάννης μαρτυρῶν, Ἰησοῦς
δὲ κατὰ τὸ ἕβδομον προτείνει τὸ »Τί ζητεῖτε«; πρέπουσα δὲ ὠφελη-
μένοις ὑπὸ τῆς Ἰωάννου μαρτυρίας ἡ φωνὴ ἀναγορεύουσα τὸν χριστὸν
διδάσκαλον καὶ ὁμολογοῦσα τὸ οἰκητήριον ποθεῖν θεάσασθαι τοῦ
υἱοῦ τοῦ θεοῦ· φασὶ γὰρ αὐτῷ· »Ῥαββὶ (ὃ λέγεται μεθερμηνευόμενον
»Διδάσκαλε«), ποῦ μένεις«; καὶ ἐπεὶ »πᾶς ὁ ζητῶν εὑρίσκει«, ζητήσασι
τὴν Ἰησοῦ μονὴν τοῖς Ἰωάννου μαθηταῖς ὑποδείκνυσι, λέγων αὐτοῖς·
»Ἔρχεσθε καὶ ὄψεσθε«, τάχα διὰ τοῦ μὲν »Ἔρχεσθε« ἐπὶ τὸ πρακτι-
κὸν αὐτοὺς παρακαλῶν, διὰ δὲ τοῦ »Ὄψεσθε« τὴν ἀκολουθοῦσαν τῇ
κατορθώσει τῶν πράξεων θεωρίαν πάντως ἔσεσθαι τοῖς βουλομένοις
ὑπογράφων, γινομένην ἐν τῇ τοῦ Ἰησοῦ μονῇ. προὔκειτο δὲ τοῖς ζητήσασι 220
ποῦ μένει Ἰησοῦς, ἀκολουθήσασι τῷ διδασκάλῳ καὶ θεασαμένοις, πα-
ραμεῖναι τῷ Ἰησοῦ καὶ τὴν ἡμέραν ἐκείνην συνδιατρῖψαι τῷ υἱῷ τοῦ
θεοῦ. ἐπεὶ δὲ ὁ δέκατος ἀριθμὸς τετήρηται ὡς ἅγιος, οὐκ ὀλίγων
μυστηρίων ἐν τῇ δεκάδι ἀναγραφομένων γεγονέναι, νοητέον οὐ μάτην
καὶ ἐν τῷ εὐαγγελίῳ τὴν δεκάτην ἀναγράφεσθαι ὥραν τῆς τῶν Ἰω-
άννου μαθητῶν παρὰ τῷ Ἰησοῦ καταγωγῆς, ὧν Ἀνδρέας ὁ ἀδελφὸς
Σίμωνος Πέτρου ἦν, ὅστις ὠφεληθεὶς ἐν τῷ παραμεμενηκέναι τῷ
Ἰησοῦ, εὑρὼν τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα (τάχα γὰρ πρότερον οὐχ
εὕρητο) φησὶν εὑρηκέναι τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον
Χριστός. ἐπεὶ γὰρ »ὁ ζητῶν εὑρίσκει«, ἐζήτησε δὲ ποῦ μένει ὁ Ἰη- 221
σοῦς, καὶ ἀκολουθήσας, θεωρήσας αὐτοῦ τὴν μονήν, παραμένει τῷ
84H κυρίῳ ἐν τῇ δεκάτῃ ὥρᾳ καὶ εὑρίσκει τὸν υἱὸν τοῦ θεοῦ, τὸν λόγον καὶ
91R τὴν σοφίαν, βασιλεύεταί τε ὑπ' αὐτοῦ, διὰ τοῦτό φησιν· »Εὑρήκαμεν
»τὸν Μεσσίαν«. αὕτη δὲ ἡ φωνὴ ὑπὸ παντὸς ἂν λέγοιτο τοῦ τὸν
τοῦ θεοῦ λόγον εὑρηκότος καὶ ὑπὸ τῆς θειότητος αὐτοῦ βασιλευομέ-
νου. καιρὸν δὲ εὐθέως προσάγει τὸν ἀδελφὸν τῷ χριστῷ, ᾧ Σίμωνι 222
ἐχαρίσατο ὁ Ἰησοῦς τὸ ἐμβλέψαι αὐτῷ, ὅπερ ἐστὶ διὰ τοῦ ἐμβλέψαι
ἐπισκοπῆσαι καὶ φωτίσαι αὐτοῦ τὸ ἡγεμονικόν· καὶ δεδύνηται διὰ τὸ
ἐμβεβλεφέναι αὐτῷ τὸν Ἰησοῦν ὁ Σίμων βεβαιωθῆναι, ὥστε τοῦ ἔργου
τῆς βεβαιότητος καὶ τῆς στερρότητος ἐπώνυμος γενέσθαι καὶ κληθῆ-
ναι »Πέτρος«.

XXXVII. (30) Ἀλλ' ἐρεῖ τις, τί δήποτε προκειμένου διηγήσασθαι 223
148v τὸ »Οὗτος ἦλθεν | εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός«

3 Joh. 1, 38. — 7 Vgl. Luk. 11, 10. — 9 Joh. 1, 39. — 12 Vgl. Joh. 1, 39f. — 17 Vgl. Joh. 1, 39. — 20 Vgl. Joh. 1, 41. — 22 Vgl. Luk. 11, 10. — 25 Joh. 1, 41. 29 Vgl. Joh. 1, 42. — 35 Joh. 1, 7.

21 *μεσίαν* nach der Schreibweise der meisten jüngeren Hss | 26 *μεσίαν* | *τοῦ τὸν*] *τοῦτον*, corr We | 28 ⟨*Σίμωνα*⟩ *ᾧ Σίμωνι*? We.

Digitized by Google

πάντα ταῦτα διεξεληλύθαμεν; λεκτέον δέ, ὅτι ἔδει παραστῆσαι τὰς μαρτυρίας τοῦ Ἰωάννου τὰς περὶ τοῦ φωτός, καὶ τὴν τάξιν αὐτῶν ἐκθέσθαι τήν τε ἀκολουθήσασαν οἷς ἐμαρτύρησεν ὠφέλειαν, γενομένην μετὰ τὴν Ἰωάννου μαρτυρίαν ἀπὸ τοῦ Ἰησοῦ, ἵνα τὸ ἀνύσιμον τῆς
224 Ἰωάννου μαρτυρίας δηλωθῇ. καὶ πρὸ τῶν ἐνταῦθα δὲ μαρτυριῶν ἡ ἐν τῇ ἀγαλλιάσει σκίρτησις τοῦ βαπτιστοῦ ἐν τῇ κοιλίᾳ τῆς Ἐλισάβετ ἐπὶ τῷ ἀσπασμῷ τῆς Μαρίας μαρτυρία περὶ Χριστοῦ ἦν, μαρτυροῦντος τῇ θειότητι τῆς συλλήψεως καὶ γενέσεως αὐτοῦ. καὶ τί γὰρ ἧττον πανταχοῦ μάρτυς καὶ πρόδρομος τοῦ Ἰησοῦ ἐστιν ὁ Ἰωάννης, προλαμβάνων τὴν γένεσιν αὐτοῦ καὶ πρὸ ὀλίγου τοῦ θανάτου ἀποθνήσκων τοῦ υἱοῦ τοῦ θεοῦ, ἵνα μὴ μόνον τοῖς ἐν γενέσει ἀλλὰ καὶ τοῖς προσδοκῶσι τὴν διὰ Χριστοῦ ἀπὸ θανάτου ἐλευθερίαν πρὸ τοῦ χριστοῦ ἐπιδημῶν, πανταχοῦ ἑτοιμάσῃ κυρίῳ λαὸν κατεσκευασμένον; φθάνει δὲ καὶ ἐπὶ τὴν δευτέραν Χριστοῦ παρουσίαν καὶ θειοτέραν ἡ Ἰωάννου μαρτυρία· »Εἰ γὰρ θέλετε, φησί, δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων »ἔρχεσθαι. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω«.

225 Οὔσης δὲ ἀρχῆς, ἐν ᾗ ὁ λόγος (ἥντινα σοφίαν εἶναι ἀπὸ τῶν Παροιμιῶν ἀπεδείξαμεν), ὄντος δὲ καὶ τοῦ λόγου, γενομένης τε ἐν τούτῳ ζωῆς, τῆς τε ζωῆς τυγχανούσης φωτὸς ἀνθρώπων, ζητῶ τί δήποτε ὁ γενόμενος »ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ᾧ ὄνομα »Ἰωάννης, ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός«.
226 διὰ τί γοῦν οὐχ »ἵνα μαρτυρήσῃ περὶ τῆς ζωῆς«, ἢ »ἵνα μαρτυρήσῃ »περὶ τοῦ λόγου«, ἢ »περὶ τῆς ἀρχῆς«, ἢ ὁποιασδήποτε ἄλλης ἐπινοίας τοῦ χριστοῦ; ἐπίσκεψαι δὲ εἰ μή, ⟨ἐπεὶ⟩ »ὁ λαὸς ὁ καθήμενος ἐν σκότῳ »φῶς εἶδε μέγα«, καὶ ἐπεὶ »τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει« μὴ κατα-
λαμβανόμενον ὑπ' αὐτῆς, οἱ ἐν σκότῳ τυγχάνοντες δέονται φωτός, 85H
227 τοῦτ' ἔστιν οἱ ἄνθρωποι. εἰ γὰρ τὸ φῶς τῶν ἀνθρώπων »ἐν τῇ »σκοτίᾳ φαίνει«, ἔνθα οὐδαμῶς ἐνέργεια σκοτίας τυγχάνει, ἑτέρων 92R
ἐπινοιῶν τοῦ χριστοῦ κοινωνήσομεν, νῦν κυρίως καὶ κατὰ τὸ ἀκριβὲς οὐ μετέχοντες αὐτῶν. πῶς γὰρ μετέχομεν ζωῆς οἱ ἔτι τὸ σῶμα τοῦ θανάτου περικείμενοι, ὧν ἡ ζωὴ »κέκρυπται σὺν τῷ χριστῷ ἐν τῷ θεῷ«; ὅταν γὰρ ὁ χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ἡμεῖς
228 σὺν αὐτῷ φανερωθησόμεθα ἐν δόξῃ. οὐχ οἷόν τε οὖν ἦν τὸν ἐλθόντα μαρτυρῆσαι περὶ τῆς ζωῆς τῆς ἔτι κρυπτομένης σὺν τῷ χριστῷ ἐν τῷ θεῷ· ἀλλ' οὐδὲ ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ

6 Vgl. Luk. 1, 44. — **13** Vgl. Luk. 1, 17. — **15** Matth. 11, 14f. — **17** Vgl. Prov. 8, 22. vgl. I, § 101ff. — **20** Vgl. Joh. 1, 6f. — **24** Matth. 4, 16; vgl. Jes. 9, 2. — **25** Joh. 1, 5. — **30** Vgl. Röm. 7, 24. — **31** Vgl. Kol. 3, 3f. — **35** Vgl. Joh. 1, 7.

8 *συλλήψεως*] *ψεως* a. Ras. | **20** *γενόμενος*] *νο α.* Ras. | **24** ⟨*ἐπεὶ*⟩ + We | Die singuläre LA. *σκότῳ* statt des sonst von Orig. gebotenen *σκοτίᾳ* beruht wohl auf dem Streben nach Abwechselung | **30** *αὐτῶν* a. Ras.

Digitized by Google

λόγου, λόγον ἡμῶν νοούντων τὸν ἐν ἀρχῇ πρὸς τὸν θεὸν καὶ θεὸν λόγον· ἐπὶ γῆς γὰρ »ὁ λόγος σὰρξ ἐγένετο«. καὶ ἦν ἂν μαρτυρία, εἰ
149r καὶ | ἐδόκει γίνεσθαι περὶ τοῦ λόγου, κυρίως ἂν λεχθησομένη ἡ περὶ λόγου γενομένου σαρκός, οὐχὶ δὲ λόγου θεοῦ· διόπερ οὐκ ἦλθεν, ἵνα
5 μαρτυρήσῃ περὶ τοῦ λόγου. πῶς δὲ μαρτυρία ἐδύνατο γίνεσθαι περὶ 229
τῆς σοφίας τοῖς, κἂν δοκῶσιν ἐγνωκέναι, οὐ τὸ καθαρῶς ἀληθὲς κατανοοῦσιν ἀλλὰ βλέπουσι »δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι«; εἰκὸς μέντοι γε πρὸ τῆς δευτέρας καὶ θειοτέρας Χριστοῦ ἐπιδημίας ἐλεύσεσθαι μαρτυρήσοντα τὸν Ἰωάννην ἢ Ἠλίαν περὶ ζωῆς πρὸ ὀλίγου
10 τοῦ χριστὸν φανερωθήσεσθαι, τὴν ζωὴν ἡμῶν, καὶ τότε μαρτυρήσειν περὶ τοῦ λόγου, παραστήσειν τε τὸ περὶ τῆς σοφίας μαρτύριον. βασάνου δὲ δεῖται, εἰ ἔνεστιν οἷον ἡ Ἰωάννου μαρτυρία πρόδρομος ἑκάστῃ τῶν τοῦ χριστοῦ ἐπινοιῶν. ταῦτα μὲν εἰς τὸ »Οὗτος ἦλθεν »εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός«. ἑξῆς δὲ ἐπισκεπτέον,
15 τί δεῖ νοεῖν εἰς τὸ »Ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ«.

1 Vgl. Joh. 1, 1. — **2** Joh. 1, 14. — **4** Vgl. Joh. 1, 14. — **7** Vgl. I Kor. 13, 12. **10** Vgl. Kol. 3, 4. — **13** Joh. 1, 7. — **15** Joh. 1, 7.

5 *ἐδύνατο*] *ἐγίνετο*, corr. Hu | **12** *Ἓν ἐστιν* M.

Digitized by Google

Bruchstück des IV. Buches.

(Philocalia c. 4)

Περὶ σολοικισμῶν καὶ εὐτελοῦς φράσεως τῆς γραφῆς.

ΕΚ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΟΜΟΥ

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

[*Μετὰ τρία φύλλα τῆς ἀρχῆς.*] 93R

I. *Ὁ διαιρῶν παρ᾽ ἑαυτῷ φωνὴν καὶ σημαινόμενα καὶ πράγματα, καθ᾽ ὧν κεῖται τὰ σημαινόμενα, οὐ προσκόψει τῷ τῶν φωνῶν σολοικισμῷ, ἐπὰν ἐρευνῶν εὑρίσκῃ τὰ πράγματα, καθ᾽ ὧν κεῖνται αἱ φωναί, ὑγιῆ· καὶ μάλιστα ἐπὰν ὁμολογῶσιν οἱ ἅγιοι ἄνδρες τὸν λόγον αὐτῶν καὶ τὸ κήρυγμα »οὐκ ἐν πειθοῖς σοφίας εἶναι λόγων, ἀλλ᾽ ἐν »ἀποδείξει πνεύματος καὶ δυνάμεως«.*

[*Εἶτα εἰπὼν τὸν τοῦ εὐαγγελιστοῦ σολοικισμόν ἐπάγει.*]

II. *Ἅτε δὲ οὐκ ἀσυναίσθητοι τυγχάνοντες οἱ ἀπόστολοι τῶν ἐν οἷς προσκόπτουσι, καὶ περὶ ἃ οὐκ ἠσχόληνται, φασὶν ἰδιῶται εἶναι »τῷ λόγῳ, ἀλλ᾽ οὐ τῇ γνώσει«· νομιστέον γὰρ αὐτὸ οὐχ ὑπὸ Παύλου μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν λοιπῶν ἀποστόλων λέγεσθαι ἄν. ἡμεῖς δὲ καὶ τὸ »ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα »ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ καὶ μὴ ἐξ ἡμῶν« ἐξειλήφαμεν, ὡς »θησαυροῦ« μὲν λεγομένου τοῦ ἀλλαχόσε θησαυροῦ τῆς γνώσεως καὶ σοφίας τῆς ἀποκρύφου, »ὀστρακίνων« δὲ »σκευῶν« τῆς εὐτελοῦς καὶ εὐκαταφρονήτου παρ᾽ Ἕλλησι λέξεως τῶν γραφῶν, ἀληθῶς ὑπερβολῆς δυνάμεως τοῦ θεοῦ ἐμφαινομένης. ὅτι ἴσχυσε τὰ τῆς ἀληθείας μυστήρια καὶ ἡ δύναμις τῶν λεγομένων οὐκ ἐμποδιζο-*

5 I Kor. 2, 4. — 10 Vgl. II Kor. 11, 6. — 13 II Kor. 4, 7. — 15 Vgl. Kol. 2, 3.

5 ἐν < B | πειθοῖ D | 9 φαῖεν B | 17 τῶν < B*, corr. II H.

Digitized by Google

μένη ὑπὸ τῆς εὐτελοῦς φράσεως φθάσαι ἕως περάτων γῆς καὶ ὑπαγαγεῖν τῷ Χριστοῦ λόγῳ οὐ μόνον τὰ μωρὰ τοῦ κόσμου, ἀλλ' ἔστιν ὅτε καὶ τὰ σοφὰ αὐτοῦ. βλέπομεν γὰρ τὴν κλῆσιν, οὐχ ὅτι οὐδεὶς σοφὸς κατὰ σάρκα, ἀλλ' »ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα«. ἀλλὰ καὶ »ὀφειλέτης« ἐστὶ Παῦλος καταγγέλλων τὸ εὐαγγέλιον, οὐ μόνον »βαρβάροις« παραδιδόναι τὸν λόγον, ἀλλὰ καὶ »Ἕλλησιν«, καὶ οὐ μόνον »ἀνοήτοις« τοῖς εὐχερέστερον συγκατατιθεμένοις, ἀλλὰ καὶ »σοφοῖς«· ἱκάνωτο γὰρ ὑπὸ θεοῦ »διάκονος« εἶναι »τῆς καινῆς διαθήκης«, χρώμενος »ἀποδείξει πνεύματος καὶ δυνάμεως«, ἵνα ἡ τῶν πιστευόντων συγκατάθεσις »μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει 94R »θεοῦ«. ἴσως γὰρ εἰ κάλλος καὶ περιβολὴν φράσεως ὡς τὰ παρ' Ἕλλησι θαυμαζόμενα εἶχεν ἡ γραφή, ὑπενόησεν ἄν τις οὐ τὴν ἀλήθειαν κεκρατηκέναι τῶν ἀνθρώπων, ἀλλὰ τὴν ἐμφαινομένην ἀκολουθίαν καὶ τὸ τῆς φράσεως κάλλος ἐψυχαγωγηκέναι τοὺς ἀκροωμένους, καὶ ἡπατηκὸς αὐτοὺς προσειληφέναι.

1 Vgl. Ps. 18, 5. — **2** Vgl. I Kor. 1, 26f. — **5** Vgl. Röm. 1, 14. — **8** Vgl. II Kor. 3, 6. — **9** Vgl. I Kor. 2, 4f.

7 τοῖς < B | **10** κατάθεσις B | **14** nach τοὺς + ἀνους B, doch ist das Wort, w. e. sch., v. I H. ausgestr.

Digitized by Google

Bruchstück des V. Buches.

(Philocalia c. 5).

Τίς ἡ πολυλογία καὶ τίνα τὰ πολλὰ βιβλία· καὶ ὅτι πᾶσα ἡ θεόπνευστος γραφὴ ἓν βιβλίον ἐστίν.

ΕΚ ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΟΜΟΥ

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

[*Εἰς τὸ προοίμιον.*]

I. *Ἐπεὶ μὴ ἀρκούμενος τὸ παρὸν ἀνειληφέναι πρὸς ἡμᾶς ἔργον τῶν τοῦ θεοῦ ἐργοδιωκτῶν, καὶ ἀπόντας τὰ πολλά σοι σχολάζειν καὶ τῷ πρὸς σὲ καθήκοντι ἀξιοῖς, ἐγὼ ἐκκλίνων τὸν κάματον καὶ περιϊστάμενος τὸν παρὰ θεοῦ τῶν ἐπὶ τὸ γράφειν εἰς τὰ θεῖα ἑαυτοὺς ἐπιδεδωκότων κίνδυνον, συναγορεύσαιμι ἂν ἐμαυτῷ ἀπὸ τῆς γραφῆς παραιτούμενος τὸ πολλὰ ποιεῖν βιβλία· φησὶ γὰρ ἐν τῷ Ἐκκλησιαστῇ Σολομῶν· »υἱέ μου, φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά· οὐκ »ἔστι περασμὸς καὶ μελέτη πολλὴ κόπωσις σαρκός«. ἡμεῖς γάρ, εἰ μὴ ἔχοι νοῦν τινα κεκρυμμένον καὶ ἔτι ἡμῖν ἀσαφῆ ἡ προκειμένη λέξις, ἄντικρυς παραβεβήκαμεν τὴν ἐντολὴν μὴ φυλαξάμενοι ποιῆσαι βιβλία πολλά.*

[*Εἶτα, εἰπὼν ὡς εἰς ὀλίγα τοῦ εὐαγγελίου ῥητὰ τέσσαρες αὐτῷ διηνύθησαν τόμοι, ἐπιφέρει.*]

II. *Ὅσον γὰρ ἐπὶ τῇ λέξει δύο σημαίνεται ἐκ τοῦ »υἱέ μου, φύ»λαξαι τοῦ ποιῆσαι βιβλία πολλά«· ἓν μὲν ὅτι οὐ δεῖ κεκτῆσθαι βιβλία πολλά, ἕτερον δὲ ὅτι οὐ δεῖ συντάξαι βιβλία πολλά· καὶ εἰ μὴ τὸ*

6 Pred. Sal. 12, 12. — **14** Pred. Sal. 12, 12.

1 a. Rande hat B. d. Notiz: *τὸν ἀμβρόσιον αὐτίττεται, πρὸς ὃν πάντα σχεδὸν τὰ ἐξηγητικὰ αὐτοῦ πεποίηκε συγγράμματα.* Vgl. zu dem Ausdruck *ἐργοδιώκτης*, den Origenes von Ambrosius braucht, Hieron., de viris inl. 61 | **4** *τὸ* B*, *τῷ* B².

Digitized by Google

πρῶτον, πάντως τὸ δεύτερον, εἰ δὲ τὸ δεύτερον, οὐ πάντως τὸ πρότερον. πλὴν ἑκατέρωθεν δόξομεν μανθάνειν, μὴ δεῖν ποιεῖν βιβλία πλείονα. ἠδυνάμην δὲ πρὸς τὸ νῦν ἡμῖν ὑποπεπτωκὸς ἱστάμενος, ἐπιστεῖλαί σοι ὡς ἀπολογίαν τὸ ῥητὸν καί, κατασκευάσας τὸ πρᾶγμα ἐκ τοῦ μηδὲ τοὺς ἁγίους πολλῶν βιβλίων συντάξεσιν ἐσχολακέναι, παύσασθαι πρὸς τὸ ἑξῆς τοῦ κατὰ τὰς συνθήκας, ἃς ἐποιησάμεθα πρὸς ἀλλήλους, ὑπαγορεύειν τὰ διαπεμφθησόμενά σοι· καὶ τάχα σὺ πληγεὶς ὑπὸ τῆς λέξεως πρὸς τὸ ἑξῆς ἂν ἡμῖν συνεχώρησας. ἀλλ' ἐπεὶ τὴν γραφὴν εὐσυνειδότως ἐξετάζειν δεῖ, μὴ προπετῶς ἑαυτῷ καταχαριζόμενον τὸ νενοηκέναι ἐκ τοῦ ψιλὴν τὴν λέξιν ἐξειληφέναι, οὐχ ὑπομένω, μὴ τὴν φαινομένην μοι ὑπὲρ ἐμαυτοῦ ἀπολογίαν, ἣ χρήσαιο ἂν κατ' ἐμοῦ, εἰ παρὰ τὰς συνθήκας ποιήσαιμι, παρατιθείς. καὶ πρῶτόν γε, ἐπεὶ δοκεῖ τῇ λέξει συναγορεύειν ἡ ἱστορία, οὐδενὸς τῶν ἁγίων ἐκδεδωκότος συντάξεις πλείονας καὶ ἐν πολλαῖς βίβλοις τὸν νοῦν αὐτοῦ ἐκτιθεμένου, περὶ τούτου λεκτέον. ὁ δὲ ἐγκαλῶν μοι εἰς σύνταξιν πλειόνων ἐρχομένῳ, τὸν τηλικοῦτον Μωσέα φήσει μόνας πέντε βίβλους καταλελοιπέναι.

[Aus Eusebius, KG VI, 25, 7—10]

[καὶ ἐν τῷ πέμπτῳ δὲ τῶν εἰς τὸ κατὰ Ἰωάννην ἐξηγητικῶν ὁ αὐτὸς ταῦτα περὶ τῶν ἀποστόλων φησίν·]

III. Ὁ δὲ ἱκανωθεὶς διάκονος γενέσθαι τῆς καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος, Παῦλος, ὁ πεπληρωκὼς τὸ εὐαγγέλιον ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ, οὐδὲ πάσαις ἔγραψεν αἷς ἐδίδαξεν ἐκκλησίαις· ἀλλὰ καὶ αἷς ἔγραψεν, ὀλίγους στίχους ἐπέστειλε. Πέτρος δέ, ἐφ' ᾧ οἰκοδομεῖται ἡ Χριστοῦ ἐκκλησία, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσιν, μίαν ἐπιστολὴν ὁμολογουμένην καταλέλοιπεν. ἔστω δὲ καὶ δευτέραν· ἀμφιβάλλεται γάρ. τί δεῖ περὶ τοῦ ἀναπεσόντος ἐπὶ τὸ στῆθος λέγειν τοῦ Ἰησοῦ, Ἰωάννου, ὃς εὐαγγέλιον ἓν καταλέλοιπεν, ὁμολογῶν δύνασθαι τοσαῦτα ποιήσειν, ἃ οὐδὲ ὁ κόσμος χωρῆσαι ἐδύνατο; ἔγραψε δὲ καὶ τὴν Ἀποκάλυψιν, κελευσθεὶς σιωπῆσαι καὶ μὴ γράψαι τὰς τῶν ἑπτὰ βροντῶν φωνάς, [καταλέλοιπε] καὶ ἐπιστολὴν πάνυ ὀλίγων στίχων, ἔστω δὲ καὶ δευτέραν καὶ τρίτην, ἐπεὶ οὐ πάντες φασὶ γνησίους εἶναι ταύτας· πλὴν οὐκ εἰσὶ στίχων ἀμφότεραι ἑκατόν. . . . .

22 Vgl. II Kor. 3, 6. — 23 Vgl. Röm. 15, 19. — 25 Vgl. Matth. 16, 18. — 29 Vgl. Joh. 21, 25. — 30 Vgl. Apok. 10, 4.

1 πρότερον] πρῶτον AD | **4** κατασκευάσαι B | **6** τὰ B | **21** γενέσθαι BDM γεγενῆσθαι ATER | **24** αἷς² ATᶜERM ἐν αἷς Σ^{arm} ἃς T¹BDΣ^{e} | ὀλιγοστίχους BD | **27** δευτέραν ABD δευτέρα TERM | δεῖ ABD, δ' εἰ M δὲ TER | **28** λέγειν ἐπὶ τὸ στῆθος BD | **29** ἓν ATᶜTʳERMΣ < T¹BD | ποιήσειν] ποιεῖν M; Orig. schrieb etwa γράφειν ὅσα ὁ Ἰησοῦς ἐποίησεν | **31** [καταλέλοιπε] voreusebian. Interpol. | **32** δευτέραν καὶ τρίτην ADM δευτέραν τρίτην B δευτέρα καὶ τρίτη TER.

Digitized by Google

[*Εἶτα ἀπαριθμησάμενος προφήτας καὶ ἀποστόλους, ὀλίγα ἑκάστου ἢ οὐδὲ ὀλίγα γράψαντος, ἐπάγει μετὰ ταῦτα·*]

IV. *Πάλιν δὴ μετὰ ταῦτα ἰλιγγιᾶν μοι ἐπέρχεται σκοτοδινιῶντι,* 96 R
μὴ ἄρα πειθαρχῶν σοι οὐκ ἐπειθάρχησα θεῷ οὐδὲ τοὺς ἁγίους ἐμιμησάμην. εἰ μὴ σφάλλομαι τοίνυν ἐμαυτῷ συναγορεύων διὰ τὸ πάνυ 5
σε φιλεῖν, καὶ ἐν μηδενὶ ἐθέλειν λυπεῖν, τοιαύτας εὑρίσκω εἰς ταῦτα ἀπολογίας. πρὸ πάντων παρεθέμεθα τὸ ἐκ τοῦ Ἐκκλησιαστοῦ λέγοντος· »υἱέ μου, φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά«. τούτῳ ἀντιπαραβάλλω ἐκ τῶν Παροιμιῶν τοῦ αὐτοῦ Σολομῶντος ῥητόν, ὅς φησιν· 10
»ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν, φειδόμενος δὲ χειλέων νοήμων 10
»ἔσῃ«. καὶ ζητῶ, εἰ τὸ ὁποῖά ποτ' οὖν λέγειν πολλὰ »πολυλογεῖν« ἐστιν, κἂν ἁγιά τις καὶ σωτήρια λέγῃ πολλά. εἰ γὰρ τοῦθ' οὕτως ἔχει, καὶ πολυλογεῖ ὁ πολλὰ διεξιὼν ὠφέλιμα, αὐτὸς ὁ Σολομῶν οὐκ ἐκπέφευγε τὴν ἁμαρτίαν, λαλήσας »τρεῖς χιλιάδας παραβολῶν καὶ 15
»ᾠδὰς πεντακισχιλίας, καὶ ὑπὲρ τῶν ξύλων ἀπὸ τῆς κέδρου τῆς ἐν 15
»τῷ Λιβάνῳ καὶ ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης διὰ τοῦ τοίχου· »ἔτι δὲ καὶ περὶ τῶν κτηνῶν καὶ περὶ τῶν πετεινῶν καὶ περὶ τῶν »ἑρπετῶν καὶ περὶ τῶν ἰχθύων«. πῶς γὰρ δύναται διδασκαλία ἀνύειν τι χωρὶς τῆς ἁπλούστερον νοουμένης πολυλογίας καὶ αὐτῆς τῆς σοφίας φασκούσης τοῖς ἀπολλυμένοις· »Ἐξέτεινον λόγους καὶ οὐ προσ- 20
»είχετε«; ὁ δὲ Παῦλος φαίνεται διατελῶν ἕωθεν μέχρι μεσονυκτίου ἐν τῷ διδάσκειν, ὅτε καὶ Εὔτυχος καταφερόμενος ὕπνῳ βαθεῖ καταπεσὼν ἐτάραξε τοὺς ἀκούοντας ὡς τεθνηκώς.

V. *Εἰ τοίνυν ἀληθὲς τὸ »Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν«,* 25
ἀληθὲς δὲ καὶ τὸ μὴ ἡμαρτηκέναι πολλὰ περὶ τῶν προειρημένων τὸν Σολομῶντα ἀπαγγείλαντα, μηδὲ τὸν Παῦλον παρατείναντα μέχρι μεσονυκτίου, ζητητέον, τίς ἡ πολυλογία, κἀκεῖθεν μεταβατέον ἐπὶ τὸ ἰδεῖν, τίνα τὰ πολλὰ βιβλία. ὁ πᾶς δὴ [λόγος] τοῦ θεοῦ λόγος ὁ ἐν 97 R
ἀρχῇ πρὸς τὸν θεὸν οὐ πολυλογία ἐστίν· οὐ γὰρ λόγοι· λόγος γὰρ 30
εἷς συνεστὼς ἐκ πλειόνων θεωρημάτων, ὧν ἕκαστον θεώρημα μέρος ἐστὶ τοῦ ὅλου λόγου. οἱ δὲ ἔξω τούτου ἀπαγγελλόμενοι περιέχειν διέξοδον καὶ ἀπαγγελίαν ὁποίαν δήποτε, εἰ καὶ ὡς περὶ ἀληθείας εἰσὶ λόγοι, καὶ παραδοξότερόν γε ἐρῶ, οὐδεὶς αὐτῶν λόγος, ἀλλ' ἕκαστοι λόγοι. οὐδαμοῦ γὰρ ἡ μονάς, καὶ οὐδαμοῦ τὸ σύμφωνον καὶ ἕν, ἀλλὰ παρὰ τὸ διεσπάσθαι καὶ μάχεσθαι τὸ ἓν ἀπ' ἐκείνων ἀπώλετο καὶ 35

8 Pred. Sal. 12, 12. — **10** Prov. 10, 19. — **14** 1 Kön. 4, 28f. — **20** Prov. 1, 24. — **21** Vgl. Act. 20, 7ff. — **24** Prov. 10, 19. — **28** Vgl. Joh. 1, 1.

3 *δή*] *δὲ* A, *δὲ ἤ* D | **7** *λέγων* B | **10** *οὐκ ἐκ πολυλογίας* B | *ἐκφεύξεται* B (= Cod. Alex.) | *ἁμαρτία* B (= Cod. Alex.) | **11** *πολὺ λέγειν* B | **13** *ὁ* < B | **15** *ὑπὲρ* B, *περὶ* AD | **23** *πεσὼν* AD | **28** *λόγος*[1] < AD | **31** *ἐπαγγελλόμενοι*, corr. Pr | **32** *εἰ* E, *ἤ* BD, *ἡ* A | **33** *ἕκαστος* D.

Digitized by Google

γεγόνασιν ἀριθμοί, καὶ τάχα ἀριθμοὶ ἄπειροι· ὥστε κατὰ τοῦτ' ἂν ἡμᾶς εἰπεῖν, ὅτι ὁ φθεγγόμενος ὃ δήποτε τῆς θεοσεβείας ἀλλότριον πολυλογεῖ, ὁ δὲ λέγων τὰ τῆς ἀληθείας, κἂν εἴπῃ τὰ πάντα ὡς μηδὲν παραλιπεῖν, ἕνα ἀεὶ λέγει λόγον καὶ οὐ πολυλογοῦσιν οἱ ἅγιοι τοῦ σκοπoῦ τοῦ κατὰ τὸν ἕνα ἐχόμενοι λόγον. εἰ τοίνυν ἡ πολυλογία ἐκ τῶν δογμάτων κρίνεται καὶ οὐκ ἐκ τῆς τῶν πολλῶν λέξεων ἀπαγγελίας, ὅρα εἰ οὕτω δυνάμεθα ἓν βιβλίον τὰ πάντα ἅγια εἰπεῖν, πολλὰ δὲ τὰ ἔξω τούτων.

VI. Ἀλλ' ἐπεὶ μαρτυρίου μοι δεῖ τοῦ ἀπὸ τῆς θείας γραφῆς, ἐπίσκεψαι, εἰ πληκτικώτατα δύναμαι τοῦτο παραστῆσαι, κατασκευάσας ὅτι περὶ Χριστοῦ καθ' ἡμᾶς οὐκ ἐν ἑνὶ γέγραπται βιβλίῳ, κοινότερον ἡμῶν τὰ βιβλία νοούντων. γέγραπται γὰρ καὶ ἐν τῇ πεντατεύχῳ· εἴρηται δὲ καὶ ἐν ἑκάστῳ τῶν προφητῶν καὶ τοῖς ψαλμοῖς καὶ ἁπαξαπλῶς, ὡς φησιν αὐτὸς ὁ σωτήρ, ἐν πάσαις ταῖς γραφαῖς, ἐφ' ἃς ἀναπέμπων ἡμᾶς φησιν· »Ἐρευνᾶτε τὰς γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν. καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι »περὶ ἐμοῦ«. εἰ τοίνυν ἀναπέμπει ἡμᾶς ἐπὶ »τὰς γραφὰς« ὡς μαρτυρούσας περὶ αὐτοῦ, οὐκ ἐπὶ τήνδε μὲν πέμπει, ἐπὶ τήνδε δὲ οὔ, ἀλλ' ἐπὶ πάσας τὰς ἀπαγγελλούσας περὶ αὐτοῦ, ἄστινας ἐν τοῖς ψαλμοῖς κεφαλίδα ὀνομάζει βιβλίου λέγων· »Ἐν κεφαλίδι βιβλίου γέ»γραπται περὶ ἐμοῦ«. ὁ γὰρ ἁπλῶς θέλων ἐκλαβεῖν τὸ »ἐν κεφαλίδι »βιβλίου« ἐπὶ οἵου δήποτε ἑνὸς τῶν περιεχόντων τὰ περὶ αὐτοῦ, ἀπαγγελλέτω τίνι λόγῳ τήνδε τὴν βίβλον ἑτέρας προκρίνει. ἵνα γὰρ καὶ ὑπολαμβάνῃ τις, ἐπ' αὐτὴν τὴν τῶν ψαλμῶν βίβλον ἀναφέρειν ἡμᾶς τὸν λόγον, λεκτέον πρὸς αὐτόν, ὅτι ἐχρῆν εἰρῆσθαι· »ἐν ταύτῃ »τῇ βίβλῳ γέγραπται περὶ ἐμοῦ«. νῦν δέ φησι πάντα μίαν κεφαλίδα, τῷ ἀνακεφαλαιοῦσθαι τὸν περὶ ἑαυτοῦ εἰς ἡμᾶς ἐληλυθότα λόγον εἰς ἕν. τί δὲ καὶ τὸ βιβλίον ἐωρᾶσθαι ὑπὸ τοῦ Ἰωάννου γεγραμμένον ἔμπροσθεν καὶ ὄπισθεν, καὶ κατεσφραγισμένον, ὅπερ οὐδεὶς ἠδύνατο ἀναγνῶναι καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ, εἰ μὴ ὁ λέων ὁ ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δανεὶδ ὁ ἔχων τὴν κλεῖν τοῦ Δανείδ, καὶ ἀνοίγων καὶ οὐδεὶς κλείσει καὶ κλείων καὶ οὐδεὶς ἀνοίξει; ἡ γὰρ πᾶσα
98R γραφή ἐστιν ἡ δηλουμένη διὰ τῆς βίβλου, ἔμπροσθεν μὲν γεγραμμένη διὰ τὴν πρόχειρον αὐτῆς ἐκδοχήν, ὄπισθεν δὲ διὰ τὴν ἀνακεχωρηκυῖαν καὶ πνευματικήν.

VII. Παρατηρητέον πρὸς τούτοις, εἰ δύναται ἀποδεικτικὸν τοῦ τὰ ἅγια μίαν τυγχάνειν βίβλον, τὰ δὲ ἐναντίως ἔχοντα πολλάς, τὸ

15 Joh. 5, 39. — **20** Ps. 39, 8. — **28** Vgl. Apok. 5, 1 ff. — **30** Vgl. Apok. 5, 5. — **31** Vgl. Apok. 3, 7.

4 παραλείπειν B | **27** αὐτοῦ AD | **31** nach φυλῆς + τοῦ A | nach καὶ + ὁ AD | **32** καὶ² aus ὁ corr. B | **33** μὲν < B | **37** τὸ] τῷ AB, ἐμφαίνειν τὸ C.

Digitized by Google

ἐπὶ μὲν τῶν ζώντων μίαν εἶναι τὴν βίβλον, ἀφ' ἧς ἀπαλείφονται οἱ ἀνάξιοι αὐτῆς γεγενημένοι, ὡς γέγραπται· »Ἐξαλειφθήτωσαν ἐκ βίβλου »ζώντων«, ἐπὶ δὲ τῶν κρίσει ὑποκειμένων βίβλους φέρεσθαι· φησὶν γὰρ ὁ Δανιήλ· »κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν«. τῷ δὲ ἑνικῷ τῆς θείας βίβλου καὶ Μωσῆς μαρτυρεῖ λέγων· »Εἰ μὲν ἀφεῖς »τῷ λαῷ τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου »σου ἧς ἔγραψας«. ἐγὼ καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ οὕτως ἐκλαμβάνω· οὐ γὰρ ἴδιον τῆς τούτου προφητείας τὸ εἶναι τοὺς λόγους τοῦ βιβλίου ἐσφραγισμένους, μήτε ὑπὸ τοῦ μὴ ἐπισταμένου γράμματα ἀναγινωσκομένους διὰ τὸ μὴ εἰδέναι αὐτὸν γράμματα, μήτε ὑπὸ τοῦ ἐπισταμένου διὰ τὸ ἐσφραγίσθαι τὴν βίβλον. ἀλλὰ καὶ τοῦτο ἐπὶ πάσης γραφῆς ἀληθεύεται, δεομένης τοῦ κλείσαντος λόγου καὶ ἀνοίξοντος· »Οὗτος γὰρ κλείσει καὶ οὐδεὶς ἀνοίξει«· καὶ ἐπὰν ἀνοίξῃ, οὐκέτι οὐδεὶς ἀπορίαν δύναται τῇ ἀπ' αὐτοῦ σαφηνείᾳ προσενεγκεῖν· διὰ τοῦτο λέγεται ὅτι »ἀνοίξει καὶ οὐδεὶς κλείσει«. τὸ παραπλήσιον δὲ καὶ ἐπὶ τῆς εἰρημένης βίβλου παρὰ τῷ Ἰεζεκιὴλ ἐκλαμβάνω, ἐν ᾗ »ἐγέγραπτο θρῆνος καὶ μέλος καὶ οὐαί«. πᾶσα γὰρ βίβλος περιέχει τὸ τῶν ἀπολλυμένων »οὐαὶ« καὶ τὸ περὶ τῶν σωζομένων »μέλος« καὶ τὸν περὶ τῶν μεταξὺ »θρῆνον«. ἀλλὰ καὶ ὁ ἐσθίων Ἰωάννης μίαν κεφαλίδα, ἐν ᾗ γέγραπται »τὰ ὄπισθεν καὶ τὰ ἔμπροσθεν«, τὴν πᾶσαν νενόηκε γραφὴν ὡς βίβλον μίαν, ἡδίστην κατὰ τὰς ἀρχὰς νοουμένην, ὅτε τις αὐτὴν μασᾶται, πικρὰν δὲ τῇ ἑκάστου τῶν ἐγνωκότων συναισθήσει τῇ περὶ ἑαυτοῦ ἀναφαινομένην. ἔτι προσθήσω εἰς τὴν τούτου ἀπόδειξιν ῥητὸν ἀποστολικὸν μὴ νενοημένον ὑπὸ τῶν Μαρκίωνος καὶ διὰ τοῦτο ἀθετούντων τὰ εὐαγγέλια· τῷ γὰρ τὸν ἀπόστολον λέγειν· »Κατὰ τὸ εὐαγγέλιόν μου ἐν Χριστῷ Ἰησοῦ« καὶ μὴ φάσκειν »εὐαγγέλια« ἐκεῖνοι ἐφιστάντες φασίν, οὐκ ἂν πλειόνων ὄντων εὐαγγελίων τὸν ἀπόστολον ἑνικῶς »τὸ εὐαγγέλιον« εἰρηκέναι, οὐ συνιέντες ὅτι ὡς εἷς ἐστιν ὃν εὐαγγελίζονται πλείονες, οὕτως ἓν ἐστι τῇ δυνάμει τὸ ὑπὸ τῶν πολλῶν εὐαγγέλιον ἀναγεγραμμένον καὶ τὸ ἀληθῶς διὰ τεσσάρων ἓν ἐστιν εὐαγγέλιον.

VIII. Εἰ τοίνυν ταῦτα ἡμᾶς πεῖσαι δύναται, τί ποτέ ἐστι τὸ ἓν βιβλίον καὶ τί τὰ πολλά, νῦν μᾶλλον φροντίζω οὐ διὰ τὸ πλῆθος 99R

2 Ps. 68, 29. — 4 Dan. 7, 10. — 5 Exod. 32, 32. — 8 Vgl. Jes. 29, 11 ff. — 13 Jes. 22, 22. — Vgl. Apok. 3, 7. — 17 Ez. 2, 10. — 19 Vgl. Apok. 10, 10. — 20 Ez. 2, 10. — 26 Röm. 2, 16.

4 ἐκάθησεν B | 5 Μωνσῆς B, Μωσῆς ACDE Rob. | ἀφεῖς] ἀφεὶς B (= LXX), ἀφῇς ACDE Rob. | 6 ἐξάλειψόν με] καὶμὲ ἐξάλειψον C (vgl. Alex. ἐξ. καμὲ) | 7 σου < AC | τῷ < B | ἡσαίου B | 11 καὶ < AC | 12 καὶ < AC | 17 γέγραπτο B | 25 τῶ B, τὸ AD Rob.; d. Dativ, von ἐφιστάντες abhängig, ist notwendig.

Digitized by Google

τῶν γραφομένων ἀλλὰ διὰ τὴν δύναμιν τῶν νοουμένων, μήποτε περιπέσω τῷ παραβαίνειν τὴν ἐντολήν, ἐάν τι παρὰ τὴν ἀλήθειαν ὡς ἀλήθειαν ἐκθῶμαι κἂν ἐν ἑνὶ τῶν γραφομένων· ἐκεῖ γὰρ ἔσομαι γράψας βιβλία πολλά. καὶ νῦν δὲ προφάσει γνώσεως ἐπανισταμένων τῶν ἑτεροδόξων τῇ ἁγίᾳ τοῦ χριστοῦ ἐκκλησίᾳ καὶ πολυβίβλους συντάξεις φερόντων, ἐπαγγελλομένας διήγησιν τῶν τε εὐαγγελικῶν καὶ ἀποστολικῶν λέξεων, ἐὰν σιωπήσωμεν μὴ ἀντιπαρατιθέντες αὐτοῖς τὰ ἀληθῆ καὶ ὑγιῆ δόγματα, ἐπικρατήσουσι τῶν λίχνων ψυχῶν, ἀπορίᾳ τροφῆς σωτηρίου ἐπὶ τὰ ἀπηγορευμένα σπευδουσῶν καὶ ἀληθῶς ἀκάθαρτα καὶ βδελυκτὰ βρώματα. διόπερ ἀναγκαῖόν μοι δοκεῖ [εἶναι], τὸν δυνάμενον πρεσβεύειν ὑπὲρ τοῦ ἐκκλησιαστικοῦ λόγου ἀπαραχαράκτως, [καὶ πρεσβεύειν] καὶ ἐλέγχειν τοὺς τὴν ψευδώνυμον γνῶσιν μεταχειριζομένους, ἵστασθαι κατὰ τῶν αἱρετικῶν ἀναπλασμάτων ἀντιπαραβάλλοντα τὸ ὕψος τοῦ εὐαγγελικοῦ κηρύγματος, πεπληρωμένον συμφωνίας δογμάτων κοινῶν τῇ καλουμένῃ παλαιᾷ πρὸς τὴν ὀνομαζομένην καινὴν διαθήκην. αὐτὸς γοῦν ἀπορίᾳ τῶν πρεσβευόντων τὰ κρείττονα, μὴ φέρων τὴν ἄλογον καὶ ἰδιωτικὴν πίστιν διὰ τὴν πρὸς Ἰησοῦν ἀγάπην ἐπεδεδώκεις ποτὲ σαυτὸν λόγοις, ὧν ὕστερον τῇ δεδομένῃ σοι συνέσει καταχρησάμενος εἰς δέον καταγνοὺς ἀπέστης.

Ταῦτα δέ φημι κατὰ τὸ φαινόμενόν μοι ἀπολογούμενος περὶ τῶν δυναμένων λέγειν καὶ γράφειν, περὶ δὲ ἐμαυτοῦ ἀπολογούμενος, μὴ ἄρα οὐ τοιαύτης ὢν ἕξεως, ὁποίαν ἐχρῆν τὸν παρὰ θεοῦ ἱκανούμενον διάκονον τῆς καινῆς διαθήκης, οὐ γράμματος ἀλλὰ πνεύματος, τολμηρότερον ἐμαυτὸν τῷ ὑπαγορεύειν ἐπιδίδωμι.

22 Vgl. II Kor. 3, 6.

3 ὡς ἀλήθειαν < B | 5 τοῦ < B | 10 εἶναι < B | 11 καὶ πρεσβεύειν < AD.

Digitized by Google

ΩΡΙΓΕΝΟΥΣ ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

ΤΟΜΟΣ ϛ′.

1 I. *Πᾶσα μὲν οἰκία. ὡς ἔνι μάλιστα στερρότατα κατασκευασθησο-* 100R
μένη, ἐν εὐδίᾳ καὶ νηνεμίᾳ οἰκοδομεῖται, ἵνα μὴ ἐμποδίζηται τὴν 92H
δέουσαν πῆξιν ἀναλαβεῖν, ὅπως δύνηται καὶ τοιαύτη γενέσθαι ὥστε
ὑπομεῖναι πλημμύρας ὁρμὴν καὶ πρόσρηξιν ποταμοῦ καὶ ὅσα φιλεῖ
χειμῶνος συμβαίνοντος ἐλέγχειν μὲν τὰ σαθρὰ τῶν οἰκοδομημάτων, 5
δεικνύναι δὲ τὰ τὴν οἰκείαν ἀρετὴν ἀπειληφότα τῶν κατασκευασμά-
2 *των. ἐξαιρέτως δὲ ἡ τῶν τῆς ἀληθείας θεωρημάτων δεκτική, λογικὴ*
ὡς ἐν ἀπαγγελίᾳ καὶ γράμμασιν οἰκοδομή, τότε μάλιστα οἰκοδομεῖται,
καλῶς συνοικοδομοῦντος τῷ προθεμένῳ τὸ ἄριστον τοῦτο ἔργον
ἐπιτελεῖν τοῦ θεοῦ, ἐπὰν γαληνιάζῃ τῇ ὑπερεχούσῃ πάντα νοῦν εἰρήνῃ 93H
χρωμένη ἡ ψυχή, πάσης ταραχῆς ἀλλοτριουμένη καὶ οὐδαμῶς κυμα-
τουμένη.

3 *Ταῦτα δή μοι δοκοῦσιν ἀκριβῶς κατανενοηκότες οἱ τοῦ προφη-*
τικοῦ πνεύματος ὑπηρέται καὶ οἱ τοῦ εὐαγγελικοῦ κηρύγματος διά-
κονοι ἀξίους ἑαυτοὺς παρειληφέναι τοῦ λαβεῖν τὴν ἐν κρυπτῷ εἰρήνην 15
ἀπὸ τοῦ αἰεὶ τοῖς ἀξίοις διδόντος αὐτήν, τοῦ εἰρηκότος· »Εἰρήνην
»ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος
4 *»δίδωσιν εἰρήνην κἀγὼ δίδωμι εἰρήνην«. ἐπισκόπησον δὲ μήποτε*
τοιοῦτόν τι αἰνίττεται ἡ περὶ τὸν Δαβὶδ καὶ Σολομῶντα περὶ τοῦ
ναοῦ ἱστορία. Δαβὶδ μὲν γὰρ πολέμους κυρίου πολεμῶν καὶ πρὸς 20
πλείονας ἱστάμενος ἐχθροὺς ἑαυτοῦ καὶ τοῦ Ἰσραήλ, θέλων οἰκοδο-
μῆσαι ναὸν τῷ θεῷ, ὑπὸ τοῦ θεοῦ διὰ τοῦ | Ναθὰν κωλύεται λέγοντος 149V

4 Vgl. Luk. 6, 48. — **10** Vgl. Phil. 4, 7. — **16** Joh. 14, 27.

In der Überschrift *εἰς τὸν* M | **8** *ἀπαγγελίᾳ*] *ἐπαγγελία*, corr. Pr | *καὶ*] *ἡ*, corr. V | **18** Zu dem Schluss des Citates Joh. 14, 27 vgl. C. Cels. VIII, 14 (II, 231, 28), wo das *ὑμῖν* aus dem gewöhnl. Texte eingedrungen und daher z. str. ist | *δὲ*] *δὴ*, corr. Br.

Digitized by Google

πρὸς αὐτόν· »Οὐκ οἰκοδομήσεις μοι οἶκον, ὅτι ἀνὴρ αἱμάτων σύ«. Σολομῶν δὲ ὄναρ τὸν θεὸν ἰδὼν καὶ ὄναρ τὴν σοφίαν λαβών (ἐτηρεῖτο γὰρ τὸ ὕπαρ τῷ λέγοντι »Ἰδοὺ πλεῖον Σολομῶντος ὧδε«) ἐν βαθυτάτῃ γενόμενος εἰρήνῃ, ὡς ἀναπαύεσθαι τότε ἕκαστον ὑποκάτω τῆς ἀμπέλου αὐτοῦ καὶ ὑποκάτω τῆς συκῆς αὐτοῦ, καὶ τῆς κατὰ τοὺς
101R χρόνους αὐτοῦ εἰρήνης ἐπώνυμος τυγχάνων (Σολομῶν γὰρ ἑρμηνεύεται »εἰρηνικός«) διὰ τὴν εἰρήνην σχολάζει τὸν διαβόητον οἰκοδομῆσαι ναὸν τῷ θεῷ. καὶ κατὰ τοὺς Ἔσδρα δὲ χρόνους, ὅτε νικᾷ ἡ ἀλήθεια τὸν οἶνον καὶ τὸν ἐχθρὸν βασιλέα καὶ τὰς γυναῖκας, ἀνοικοδομεῖται ὁ ναὸς τῷ θεῷ.

II. Ταῦτα δ' ἡμῖν ἀπολογουμένοις πρὸς σέ, ἱερὲ Ἀμβρόσιε, εἴρηται, ἐπεὶ τὸν εὐαγγελικὸν πύργον κατὰ τὴν ἁγίαν σου προτροπὴν ἐν γράμμασιν οἰκοδομῆσαι θελήσαντες ἐψηφίσαμεν μὲν καθεσθέντες τὴν δαπάνην, εἰ ἔχομεν τὰ εἰς ἀπαρτισμόν, ἵνα μὴ ἐμπαιζώμεθα ὑπὸ τῶν θεωρούντων καταγινωσκόμενοι ὡς θεμέλιον μὲν καταβαλλόμενοι, ἐκτελέσαι δὲ τὸ ἔργον μὴ δεδυνημένοι. ψηφίσαντες δὲ ἕτοιμα μὲν τὰ εἰς ἀπαρτισμὸν τῆς οἰκοδομῆς ἡμῖν παρόντα οὐ κατειλήφαμεν, τῷ θεῷ δὲ πεπιστεύκαμεν τῷ πλουτίζοντι ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, ὅτι ἀγωνιζομένους ἡμᾶς αὐτοὺς τηρεῖν τοὺς πνευματικοὺς νόμους πλουτίσει, καὶ ἐκ τῶν ἐπιχορηγουμένων ὑπ' αὐτοῦ προκόπτοντες ἐν τῷ οἰκοδομεῖν φθάσομεν καὶ ἐπὶ τὴν στεφάνην τοῦ οἰκοδομήματος, κωλύουσαν πίπτειν τὸν ἀνεληλυθότα ἐπὶ τὸ δῶμα τοῦ λόγου, ἀπὸ μόνων τῶν ἑστερημένων τῆς στεφάνης πιπτόντων τῶν πιπτόντων διὰ τὸ ἀτελὲς τῶν οἰκοδομημάτων, φόνων αἰτίων τοῖς ἐν αὐτῷ τυγχάνουσι καὶ πτωμάτων γινομένων. καὶ μέχρι γε τοῦ πέμπτου τόμου,
94H εἰ καὶ ὁ κατὰ τὴν Ἀλεξανδρείαν χειμὼν ἀντιπράττειν ἐδόκει, τὰ διδόμενα ὑπηγορεύσαμεν, ἐπιτιμῶντος τοῖς ἀνέμοις καὶ τοῖς κύμασι τῆς θαλάσσης τοῦ Ἰησοῦ· καὶ ἕκτου δὲ ἐπὶ ποσὸν προεληλυθότες ἐξειλκύσθημεν ἀπὸ γῆς Αἰγύπτου, ῥυσαμένου ἡμᾶς τοῦ θεοῦ τοῦ ἐξαγαγόντος τὸν λαὸν αὐτοῦ ἀπ' αὐτῆς. ἔπειτα τοῦ ἐχθροῦ πικρότατα ἡμῶν καταστρατευσαμένου διὰ τῶν καινῶν αὐτοῦ γραμμάτων τῶν ἀληθῶς ἐχθρῶν τῷ εὐαγγελίῳ καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ

1 I Chron. 28, 3; II Sam. 16, 8. — **2** Vgl. II Chron. 1, 7 ff. — **3** Matth. 12, 42. — **4** Vgl. Mich. 4, 4. — **6** Vgl. I Chron. 22, 9. — Vgl. Lagarde, Onomastica sacra² p. 208, 40: *Σολομων εἰρηνικός*. Vgl. p. 96, 5. 104, 5. 204, 94. Vgl. arm. Onom. „Solomôn: der den Frieden bewahrt." — **8** Vgl. I Esr. 4, 37 ff. — **11** Vgl. Luk. 14, 28 ff. — **17** Vgl. I Kor. 1, 5. — **20** Vgl. Comm. in Matth. XVII, 7 (IV, 103, 10 ff. Lomm.). — **26** Vgl. Matth. 8, 26; Luk. 8, 24.

4 *ἀναπαύεσθαι*] *να* a. Ras. | **8** *Ἔσδρα* V, M* verschmiert; noch *ρα* zu lesen; urspr. wohl *ἔσρα* | **12** *θελήσαντες*] *θελήσαντος* M*, corr. M² | **13** *εἰς*] *πρὸς*, corr. Pr nach Z. 16; *πρὸς* ist LA des textus receptus und X 1 | *ἐμπαιζώμεθα*] *ἐμποδιζώμεθα*, corr. Hu, vgl. Luk. 14, 29 | **27** *ἕκτου δὲ ἐπὶ ποσὸν*] *ἐκ τοῦ δε ἔπι πεσὸν*, corr. Br, vgl. S. 113, 33 | *προεληλυθότος*? We | **28** *γῆς* M, *τῆς* V Edd.

Digitized by Google

ἀνέμους τῆς πονηρίας καθ' ἡμῶν ἐγείραντος, στῆναι μᾶλλόν με πρὸς τὸν ἀγῶνα παρεκάλει ὁ λόγος καὶ τηρῆσαι τὸ ἡγεμονικόν, μήποτε μοχθηροὶ λογισμοὶ ἐξισχύσωσι τὸν χειμῶνα καὶ τῇ ψυχῇ μου ἐπεισαγαγεῖν, ἥπερ ἀκαίρως, πρὶν γαλήνην τὴν διάνοιαν λαβεῖν, συνάπτειν τὰ ἑξῆς τῆς γραφῆς· καὶ οἱ συνήθεις δὲ ταχυγράφοι μὴ παρόντες 102R
10 τοῦ | ἔχεσθαι τῶν ὑπαγορεύσεων ἐκώλυον. νῦν δ' ὅτε τὰ καθ' ἡμῶν 150r
πεπυρωμένα πολλὰ σβεννύντος θεοῦ βέλη ἤμβλυνται καὶ ἐνεθισθεῖσα ἡμῶν ἡ ψυχὴ τοῖς συμβεβηκόσι διὰ τὸν οὐράνιον λόγον φέρειν ῥᾷον βιάζεται τὰς γεγενημένας ἐπιβουλάς, ὡσπερεὶ ποσῆς εὐδίας λαβόμενοι οὐκέτι ὑπερτιθέμενοι ὑπαγορεύειν τὰ ἀκόλουθα βουλόμεθα, θεὸν διδάσκαλον ὑπιχοῦντα ἐν τῷ ἀδύτῳ τῆς ψυχῆς ἡμῶν παρεῖναι εὐχόμενοι, ἵνα τέλος λάβῃ ἡ τῆς διηγήσεως τοῦ κατὰ Ἰωάννην εὐαγγελίου
11 οἰκοδομή. γένοιτο δ' ὁ θεὸς ἐπήκοος ἡμῶν τῇ εὐχῇ, εἰς τὸ συνάψαι δυνηθῆναι τὸ σῶμα τοῦ ὅλου λόγου, μηκέτι μεσολαβούσης περιστάσεως διακοπὴν τοῦ εἱρμοῦ τῆς γραφῆς ὁποίαν δήποτε ἐνεργάσασθαι δυναμένης. ἴσθι δὲ ὅτι ἀπὸ πολλῆς προθυμίας δευτέραν ταύτην ἀρχὴν ποιοῦμαι ἕκτου τόμου διὰ τὸ τὰ προϋπαγορευθέντα ἡμῖν ἐν τῇ Ἀλε-
12 ξανδρείᾳ οὐκ οἶδ' ὅπως μὴ κεκομίσθαι· βέλτιον γὰρ ἡγησάμην, ὑπὲρ τοῦ μὴ ἀπράκτως μοι τοῦδε τοῦ ἔργου παρελθεῖν καὶ τοῦτον τὸν χρόνον, ἤδη τῶν λοιπῶν ἄρξασθαι καὶ μὴ μετ' ἀδήλου τοῦ εὑρεθήσεσθαι τὰ προϋπαγορευθέντα ἡμῖν ἀναμένων, κέρδος οὐκ ὀλίγον ἀπολέσαι τὸ τῶν μεταξὺ ἡμερῶν. καὶ ταῦτα μὲν αὐτάρκως πεπροοιμιάσθω· ἤδη δὲ καὶ τῆς λέξεως ἐχώμεθα.

I, 19. *Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου.*

13 III. (2) *Δευτέρα αὕτη ⟨ἡ⟩ ἀναγεγραμμένη Ἰωάννου τοῦ βαπτιστοῦ περὶ Χριστοῦ μαρτυρία, τῆς προτέρας ἀρξαμένης ἀπὸ τοῦ »Οὗτος »ἦν ὁ εἰπών Ὁ ὀπίσω μου ἐρχόμενος« καὶ ληγούσης εἰς τὸ »Μονο»γενὴς θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο«.*

7 Vgl. Ephes. 6, 16. — 26 Joh. 1, 15. — 27 Joh. 1, 18.

15 *ἐνεργάσασθαι*] *ἐνεργήσασθαι* Edd., urspr. w. e. sch. auch V | 17 *προυπαγορευθέντα*] *προ* a. Ras. | 20 *μετ'*] *ἐπ'* V | *ἀδήλῳ τῷ*] corr. We | 22 *αὐταρκες* M, corr. *αὐτάρκως* V | *πεπροοιμιάσθω*] *πε* M² | 25 *δευτέρα*] *α* a. Ras. M² | ⟨*ἡ*⟩ add. We 27 *ὁ εἰπὼν*] *ὃν εἶπον* II. H. über d. Linie; *ὁ εἰπὼν* lesen ℵ^a B¹ C* | *μονογενὴς θ̄ς* I. H., die II. schrieb über d. Linie *ὁ* und *υἱὸς* M; (*ὁ μονογενὴς υἱὸς θεὸς* liest auch Clemens Al., Quis div. 37); *ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ* V (= Irenaeus, III, 11, 6; aber Iren. liest IV, 20, 6 unigenitus filius u. § 11 unigenitus deus, sodass auch seine Lesart jedenfalls nicht aus beiden contaminiert war, wie sie der Text jetzt an der ersten Stelle zeigt); Origenes liest C. Cels. II, 71 (I, 193, 15 K.) *μονογενὴς θεός*. Vgl. die Anmerkung bei Tregelles, der die Überlieferung sehr sorgfältig registriert hat; zu Clemens u. Or. vgl. Griesbach, symbolae criticae II, p. 401 sq.

Digitized by Google

Οὐχ ὑγιῶς δὲ ὁ Ἡρακλέων ὑπολαμβάνει »Οὐδεὶς τὸν θεὸν »ἑώρακεν πώποτε« καὶ τὰ ἑξῆς, φάσκων εἰρῆσθαι οὐκ ἀπὸ τοῦ βαπτιστοῦ ἀλλ' ἀπὸ τοῦ μαθητοῦ. εἰ γὰρ καὶ κατ' 14
95H αὐτὸν τὸ »Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν,
5 »καὶ χάριν ἀντὶ χάριτος· ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ »χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο« ὑπὸ τοῦ βαπτιστοῦ εἴρηται, πῶς οὐκ ἀκόλουθον ⟨τὸ⟩ τὸν ἐκ τοῦ πληρώματος τοῦ χριστοῦ εἰληφότα καὶ χάριν δευτέραν ἀντὶ προτέρας χάριτος ὁμολογοῦντά τε διὰ Μωσέως μὲν δεδόσθαι τὸν νόμον, τὴν δὲ
10 χάριν καὶ τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ γεγονέναι, ἐκ τῶν ἀπὸ τοῦ πληρώματος εἰς αὐτὸν ἐληλυθότων νενοηκέναι πῶς »θεὸν οὐδεὶς ἑώρακεν πώποτε«, καὶ τὸ τὸν μονογενῆ εἰς τὸν κόλπον ὄντα τοῦ πατρὸς τὴν ἐξήγησιν αὐτῷ καὶ πᾶσι τοῖς ἐκ
193R τοῦ πληρώματος εἰληφόσι παραδεδωκέναι;
15 Οὐ γὰρ νῦν πρῶτον ἐξηγήσατο »⟨ὁ ὢν⟩ εἰς τὸν κόλπον τοῦ 15 »πατρὸς« ὡς οὐδενὸς ἐπιτηδείου πρότερον γεγενημένου λαβεῖν, ἃ τοῖς ἀποστόλοις διηγήσατο· εἴγε πρὶν Ἀβραὰμ γενέσθαι ὢν διδάσκει ἡμᾶς
150V τὸν | Ἀβραὰμ ἠγαλλιᾶσθαι, ἵνα ἴδῃ τὴν ἡμέραν αὐτοῦ καὶ ἐν χαρᾷ γεγονέναι. καὶ τὸ »Ἐκ τοῦ πληρώματος δὲ αὐτοῦ ἡμεῖς πάντες ἐλά-
20 »βομεν« καὶ τὸ »Χάριν ἀντὶ χάριτος«, ὡς ἐν τοῖς πρὸ τούτων εἰρήκαμεν, δηλοῖ καὶ τοὺς προφήτας ἀπὸ τοῦ πληρώματος Χριστοῦ τὴν δωρεὰν κεχωρηκέναι, καὶ τὴν δευτέραν χάριν ἀντὶ τῆς προτέρας αὐτοὺς εἰληφέναι· ἐφθάκεισαν γὰρ κἀκεῖνοι ὑπὸ τοῦ πνεύματος χειραγωγούμενοι μετὰ τὴν ἐν τοῖς τύποις εἰσαγωγὴν ἐπὶ τὴν τῆς ἀληθείας
25 θέαν. διόπερ οὐ πάντες οἱ προφῆται ἀλλὰ »πολλοὶ« ἐπεθύμησαν ἰδεῖν, 16 ἃ οἱ ἀπόστολοι ἔβλεπον. εἰ γὰρ ἦν προφητῶν διαφορά, οἱ τετελειωμένοι καὶ διαφέροντες οὐκ ἐπεθύμησαν ἰδεῖν, ἃ εἶδον οἱ ἀπόστολοι· τεθεωρήκασι γὰρ αὐτά· οἱ δὲ μὴ φθάσαντες ὁμοίως τούτοις εἰς τὸ ὕψος ἀναβῆναι τοῦ λόγου ἐν ὀρέξει γεγόνασι τῶν τοῖς ἀποστόλοις
30 διὰ Χριστοῦ ἐγνωσμένων. τὸ γὰρ »ἰδεῖν« ἡμεῖς οὐ σωματικῶς εἰρῆσθαι ἐξειλήφαμεν, καὶ τὸ »ἀκοῦσαι« πνευματικῶς ἀπαγγελλόμενον

4 Joh. 1, 16f. — **12** Joh. 1, 18. — **15** Joh. 1, 18. — **17** Vgl. Joh. 8, 58. — **18** Vgl. Joh. 8, 56. — **19** Joh. 1, 16. — **20** Die angezogene Ausführung ist jetzt verloren. — **25** Vgl. Matth. 13, 17. — **30** S. zu Z. 20.

2 ἀπὸ wäre nach Z. 6 in ὑπὸ z. ändern, wenn es sich hier nicht um Worte Herakleons handelte. | Eine jüngere H, viell. der Schreiber von V selbst, hat in M über τοῦ ein α, über βαπτιστοῦ ein δ, über ἀλλ' ein γ und über μαθητοῦ ein β gesetzt; dieselbe Ordnung befolgt V, in dem μαθητοῦ a. Ras. steht | **3** κατὰ ταυτὸν M¹, corr. M² | **5** μωυσέως] υ auf breiter Ras. | **7** ⟨τὸ⟩ add. We, cf. Z. 12 | **15** ⟨ὁ ὢν⟩ + V | **17** ⟨ὁ⟩ ὢν?.

Digitized by Google

νενοήκαμεν, μόνου τοῦ ὦτα κτησαμένου ἀκούειν παρεσκευασμένου τῶν λόγων τοῦ Ἰησοῦ· ὅπερ οὐ πάνυ ἀθρόως γίνεται.

17 IV. *Ἔτι δὲ περὶ τοῦ τοὺς πρὸ τῆς σωματικῆς ἐπιδημίας τοῦ Ἰησοῦ ἁγίους πλέον τι τῶν πολλῶν τῶν πιστευόντων ἐσχηκότας τὰ τῆς θειότητος μυστήρια κατανενοηκέναι, τοῦ λόγου τοῦ θεοῦ διδάσκοντος αὐτοὺς καὶ πρὶν γένηται σάρξ, (ἀεὶ γὰρ εἰργάζετο, μιμητὴς τοῦ πατρὸς ὢν περὶ οὗ λέγει· »Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται«)*

18 *ἔστιν ἐπιλογίσασθαι καὶ ἀπὸ τούτων τῶν λέξεων· φησί που πρὸς τοὺς Σαδδουκαίους ἀπιστοῦντας τῷ περὶ ἀναστάσεως λόγῳ· »Οὐκ »ἀνέγνωτε τὸ ῥηθὲν ἐπὶ τῆς βάτου ὑπὸ τοῦ θεοῦ· Ἐγὼ θεὸς Ἀβραὰμ* 96H *»καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ; θεὸς δὲ οὐκ ἔστι νεκρῶν ἀλλὰ »ζώντων«. εἰ τοίνυν ὁ θεὸς »οὐκ ἐπαισχύνεται θεὸς« τῶν ἀνδρῶν τούτων »καλεῖσθαι«, καὶ ἐν ζῶσιν ὑπὸ Χριστοῦ καταριθμοῦνται, υἱοί τε τοῦ Ἀβραὰμ πάντες εἰσὶν οἱ πιστεύοντες, ἐπεὶ ἐνευλογοῦνται τῷ πιστῷ Ἀβραὰμ πάντα τὰ ἔθνη, πατρὶ τῶν ἐθνῶν ὑπὸ θεοῦ τεθειμένῳ,* 15

διστάζομεν παραδέξασθαι ἐγνωκέναι τοὺς ζῶντας τὰ τῶν ζώντων μαθήματα, μαθητευθέντας Χριστῷ τῷ πρὸ Ἑωσφόρου γεγενημένῳ

19 *πρὶν γένηται σάρξ; διὰ τοῦτο δὲ ἔζων, ἐπεὶ μετεῖχον τοῦ εἰπόντος· »Ἐγώ εἰμι ἡ ζωή«· καὶ ἐχώρουν ὡς τηλικούτων κληρονόμοι ἐπαγγε-* 104R *λιῶν ἐπιφάνειαν οὐ μόνον ἀγγέλων ἀλλὰ καὶ θεοῦ ἐν Χριστῷ καὶ* 20 *τάχα ὁρῶντες τὴν εἰκόνα τοῦ θεοῦ τοῦ ἀοράτου, ἐπεὶ ὁ ἑωρακὼς τὸν υἱὸν ἑώρακε τὸν πατέρα, ἀναγεγραμμένοι εἰσί, θεὸν νενοηκότες καὶ θεοῦ λόγων θεοπρεπῶς ἀκηκοότες, ἑωρακέναι θεὸν καὶ ἀκηκοέναι αὐτοῦ.*

20 *Ἐγὼ δ' οἶμαι ὅτι οἱ τελείως | καὶ γνησίως υἱοὶ τοῦ Ἀβραὰμ τῶν* 151r *πνευματικῶν νοουμένων πράξεων αὐτοῦ εἰσιν υἱοὶ καὶ τῆς φανερωθείσης αὐτῷ γνώσεως, τῶν ἐκείνῳ γνωσθέντων καὶ πραχθέντων ἐγγινομένων τοῖς χρηματίζουσιν υἱοῖς τοῦ πατριάρχου, καθ' ἃ διδάσκει τοὺς ἔχοντας ὦτα λέγων· »Εἰ τέκνα τοῦ Ἀβραὰμ † ἦτε, τὰ ἔργα τοῦ*

21 *»Ἀβραὰμ ἐποιεῖτε«. καὶ εἰ »Σοφὸς νοήσει τὰ ἀπὸ ἰδίου στόματος,* 30

1 Vgl. Mark. 4, 9. — **6** Vgl. Joh. 1, 14. — **7** Joh. 5, 17. — **9** Matth. 22, 31ff.; Mark. 12, 26f.; Luk. 20, 37f. — **12** Vgl. Hebr. 11, 16. — **18** Vgl. Röm. 4, 11. — **14** Vgl. Gal. 3, 8. — **15** Vgl. Gen. 17, 5. — **17** Vgl. Ps. 109, 3. — **19** Joh. 11, 25. — **21** Vgl. Kol. 1, 15. — Joh. 14, 9. — **29** Vgl. Matth. 11, 15. — Joh. 8, 39. — **30** Prov. 16, 23.

1 *παρεσκευασμένου*] *παρασκευασαμένου*, corr. Hu | **9** ff. d. eigentüml. Form, die d. Citat hier hat, findet sich sonst nicht, sie ist aus den drei Parallelstellen zusammengeflossen; in Matth. XVII, 36 (IV, 169, 1ff. L.) steht die gewöhnliche Form **17** *γεγεννημένῳ* V | **26** *πνευματικῶν* aus *ὧς* oder umgekehrt **M** | **29** *ἦτε* (= ϛC(X)*A* 1. 33. 69 u. a.); wohl *ἐστέ* z. l. denn t. XX steht überall *ἐστὲ* (= BℵDTL Vulg. ff.) Letztere Form ist auch exhort. 38 (I, 36, 1 vgl. 3!) herzustellen.

Digitized by Google

»ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην«, ἀναγκαῖον ἤτοι προπετῶς ἀποφήνασθαί τινα περὶ τῶν προφητῶν ὡς οὐ σοφῶν, εἰ μὴ νενοήκασι »τὰ ἀπὸ τοῦ ἰδίου στόματος«, ἢ τὸ εὔφημον καὶ ἀληθὲς παραδεξαμένους, ὅτι ἦσαν οἱ προφῆται σοφοί, ὁμολογεῖν νενοηκέναι αὐτοὺς »⟨τὰ⟩ ἀπὸ ἰδίου στόματος« καὶ ἐπὶ τοῖς χείλεσι πεφορεκέναι τὴν ἐπιγνωμοσύνην. καὶ δῆλον ὅτι Μωσῆς ἑώρα τῷ νοΐ τὴν ἀλήθειαν 22
τοῦ νόμου καὶ τὰς κατὰ ἀναγωγὴν ἀλληγορίας τῶν ἀναγεγραμμένων παρ' αὐτῷ ἱστοριῶν· Ἰησοῦς δὲ τὴν ἀληθῆ κληροδοσίαν γενομένην μετὰ τὴν καθαίρεσιν τῶν εἴκοσι καὶ ἐννέα βασιλέων συνίει, μᾶλλον ἡμῶν δυνάμενος συνορᾶν τίνων ἀληθῶν σκιαὶ ἐτύγχανον τὰ δι' αὐτοῦ ἐπιτελούμενα. δῆλον δ' ὅτι καὶ Ἡσαΐας τὸ μυστήριον ἑώρα τοῦ 23
ἐπὶ τοῦ θρόνου καθεζομένου καὶ τῶν δύο Σεραφὶμ καὶ τῶν πτερύγων αὐτῶν, τοῦ τε θυσιαστηρίου καὶ τῆς λαβίδος, καὶ τῆς ἐπικαλύψεως τοῦ προσώπου καὶ τῶν ποδῶν γινομένης ὑπὸ τῶν Σεραφίμ· Ἰεζεκιὴλ δὲ τὰ Χερουβὶμ καὶ τὴν πορείαν αὐτῶν καὶ τὸ ἐπ' αὐτῶν στερέωμα καὶ τὸν ἐπικαθεζόμενον τῷ θρόνῳ. ὧν τί ἂν εἴη ἐνδοξότερον καὶ ὑψηλότερον;

97H Καὶ ἵνα μὴ καθ' ἓν λέγων ἐπὶ πολὺ μηκύνω τὸν λόγον βουλό- 24
μενος κατασκευάζειν οὐκ ἔλαττον τῶν τοῖς ἀποστόλοις ὑπὸ Χριστοῦ ἀποκαλυφθέντων ἐγνωκέναι τοὺς τετελειωμένους ἐν ταῖς προτέραις γενεαῖς, ἀποκαλύπτοντος αὐτοῖς τοῦ καὶ τοὺς ἀποστόλους διδάξαντος τὰ ἀπόρρητα τῆς θεοσεβείας μυστήρια, ἔτι ὀλίγα προσθεὶς κρίνειν τοῖς ἐντυγχάνουσι καταλείψω καὶ ὃ βούλονται περὶ τούτων σκοπεῖν. φησὶ γὰρ ἐν τῇ πρὸς τοὺς Ῥωμαίους ἐπιστολῇ ὁ Παῦλος· »Τῷ δὲ 25
»δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου κατὰ ἀποκάλυψιν »μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν διά
105R »τε γραφῶν προφητικῶν καὶ τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ »Χριστοῦ«. εἰ γὰρ διὰ γραφῶν προφητικῶν τὸ πάλαι σεσιωπημένον μυστήριον πεφανέρωται τοῖς ἀποστόλοις καὶ οἱ προφῆται ἐνόουν »τὰ ἀπὸ ἰδίου στόματος«, ἅτε ὄντες »σοφοί«, τὰ πεφανερωμένα τοῖς ἀποστόλοις οἱ προφῆται ᾔδεσαν.

Ἐπεὶ δὲ τοῖς πολλοῖς οὐκ ἀπεκαλύπτετο, διὰ τοῦτό φησιν ὁ 26

3 Prov. 16, 23. — **5** Prov. 16, 23. — **8** Vgl. Jos. 12, 9ff. — **11** Vgl. Jes. 6, 1ff. — **14** Vgl. Ezech. 1, 4ff. — **24** Röm. 16, 25f.; II Tim. 1, 10. — **30** Vgl. Prov. 16, 23.

5 ⟨τὰ⟩ + Lommatzsch, vgl. S. 110 Z. 30 u. diese S. Z. 3 | **6** *τῷ νοΐ* a. Ras. **8** *γενομένην*] *γινομένην*, corr. Hu | **13** *αὐτῶν*] *αὐτοῦ*, corr. Pr, vgl. Ezech. 6, 2 | **16** *ὧν* a. Ras. | **22** *ἔτι*] *ὅτι*, corr. V (*ἑ* a. Ras.) | **25** *εὐαγγέλιόν*] *ον* a. Ras. | **27** *καὶ τῆς* bis **28** *Χριστοῦ* hier, XIII, 17. 46 u. C. Cels. III, 61 (I, 255, 19) aus II Tim. 1, 10 zugefügt. Die Form stammt wohl aus einer kirchl. Spruchsammlung | *καὶ τῆς* bis **28** *προφητικῶν* am Rande mit ÷ nachgetragen.

Digitized by Google

Παῦλος· »Ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν »ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις | αὐτοῦ καὶ προφήταις ἐν 151v
»πνεύματι, εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα«. V. ὅρα δέ (εἰ καὶ οὕτως οἷόν τε ἀνθυπενεχθησομένην ἀνθυποφορὰν ὑπὸ τῶν μὴ παραδεχομένων τὸν λόγον τὴν λέξιν ταύτην οὕτως ἐκλαβεῖν τὸ 5
»ἀποκαλυπτόμενον«) μήποτε διχῶς ἔστιν ἰδεῖν »ἀποκαλυπτόμενον«, καθ' ἕνα μὲν τρόπον ὅτε νοεῖται, καθ' ἕτερον δὲ ἐὰν † ᾖ τοῦτο προφητευόμενον, ὥστε γενέσθαι καὶ πληρωθῆναι αὐτό· τότε γὰρ
27 *ἀποκαλύπτεται, ὅτε ἐπιτελεῖται πληρούμενον. τὸ τοίνυν »τὰ ἔθνη* 10
»συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα« εἶναι τῆς ἐπαγγελίας ἐν Χριστῷ, ὅσον μὲν ἐπὶ τῇ γνώσει τοῦ ἔσεσθαι »τὰ ἔθνη συγκληρονόμα »καὶ σύσσωμα καὶ συμμέτοχα«, καὶ πότε ἔσεσθαι, καὶ διὰ τί, καὶ τίνα ὄντα, καὶ πῶς ξένα τῶν διαθηκῶν τυγχάνοντα καὶ ἀλλότρια τῆς ἐπαγγελίας »σύσσωμα καὶ συμμέτοχα« ὕστερον ἐσόμενα, ᾔδεσαν οἱ
28 *προφῆται. ἀποκαλυφθέντος αὐτοῖς τούτου. ἀλλ' οὐχ οὕτως τοῖς* 15
νοοῦσιν, οὐχ ὁρῶσι δὲ ἐπιτελούμενα τὰ προφητευόμενα, ἀποκεκάλυπται τὰ ἐσόμενα ὡς τοῖς ὑπ' ὄψιν θεωροῦσι τὴν ἔκβασιν αὐτῶν· ὅπερ γέγονεν ἐπὶ τῶν ἀποστόλων. οὕτω γάρ, ὡς οἶμαι, ἐνόουν τὰ πράγματα οὐ μᾶλλον τῶν πατέρων καὶ προφητῶν, ἀληθεύεται δὲ περὶ αὐτῶν τὸ »Ὃ ἑτέραις γενεαῖς οὐκ ἀπεκαλύφθη, ὡς νῦν τοῖς ἀποστό- 20
»λοις καὶ προφήταις, εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ »συμμέτοχα τῆς ἐπαγγελίας ἐν Χριστῷ« τῷ πρὸς τῷ νοεῖν αὐτοὺς 98H
τὰ μυστήρια καὶ τὴν ἐνάργειαν διὰ τοῦ πράγματος ἐπιτελουμένου κατανοεῖν.

29 *Δύναται δὲ καὶ τὸ »Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν* 25
»ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ † εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ »οὐκ ἤκουσαν« τὴν ὁμοίαν ἔχειν διήγησιν, οἱονεὶ ἐπιθυμησάντων κἀκείνων ἰδεῖν οἰκονομούμενον τὸ μυστήριον τῆς τοῦ υἱοῦ τοῦ θεοῦ ἐνσωματώσεως καὶ καταβάσεως ἐπὶ τὴν οἰκονομίαν τοῦ σωτηρίου τοῖς πολλοῖς πάθους αὐτοῦ. ὡς ἐπὶ παραδείγματος καὶ ἄλλο τι 30
τοιοῦτον ἐλαμβάνομεν· ἔστω τινὰ τῶν ἀποστόλων, συνιέντα »τὰ 106R

1 Ephes. 3, 5f. — **9. 11. 14** Vgl. Ephes. 3, 6. — **13** Vgl. Ephes. 2, 12. — **20** Ephes. 3, 5f. — **25** Matth. 13, 17. — **31** Vgl. II Kor. 12, 4.

1 nach *Παῦλος* ist viell. ⟨δ⟩ einzuschieben; vgl. Z. 20 | **3** *συνκληρονόμα* | **3** Z. 3—6 ist unverständlich; nach 5 *λόγον* + *λῦσαι τῷ* Br, ⟨*λύοντας*⟩ We **7** *ᾖ τοῦτο* verderbt; *τελῆται τὸ* Br; viell. *ἦκῃ τὸ* oder ⟨*τελειωθ*⟩*ῇ τὸ*; ⟨*ἐκβ*⟩*ῇ* oder ⟨*παρ ᾗ* We **11** *συνκληρονόμη* M, corr. V **14** *ἐπαγγελίας*] *λίας* a. Ras. M | **16** nach *νοοῦσιν* viell. z. erg. ⟨*μέν*⟩ | **22** *πρὸς τὸ* V, viell. mit Recht | **23** *ἐνάργειαν*] *ἐνέργειαν*, corr. Pr | **26** *βλέπετε*] *πε* a. Ras. | *εἶδον*] *ον* a. Ras., *o* scheint aus *α* hergestellt zu sein; *ν* ist unförml. gross; zu lesen ist wohl mit Bκ 33 *εἶδαν* | **31** *ἔστω*] *ἐστ* a. Ras.

Digitized by Google

»ἄρρητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι«, μὴ ὀφόμενον τὴν παρὰ τοῖς πεπιστευκόσι κατηγγελμένην δευτέραν σωματικὴν Ἰησοῦ ἔνδοξον ἐπιδημίαν, ἐπιθυμεῖν αὐτὴν ὁρᾶν· ἕτερον δέ τινα οὐ μόνον τὰ αὐτὰ τῷ ἀποστόλῳ ⟨οὐκ⟩ ἠκριβωκότα καὶ νενοηκότα, ἀλλὰ καὶ πολλῷ αὐτοῦ ἔλαττον ἀντεχόμενον τῆς θείας ἐλπίδος καταλαμβάνειν τὴν δευτέραν τοῦ σωτῆρος ἡμῶν ἐπιδημίαν, ἣν ἐπιτεθυμηκέτω μὲν κατὰ τὸ παράδειγμα ὁ ἀπόστολος, μὴ τεθεωρηκέτω δέ. οὐ ψεῦδος δὴ ἐροῦμεν ὅτι † οἵδε δύο, ἃ ἐπεθύμησεν ὁ ἀπόστολος ἰδεῖν ἢ καὶ ἀπόστολοι, τεθέανται, καὶ οὐ πάντως παρὰ τοῦτο συνετωτέρους αὐτοὺς ἢ μακαριωτέρους ἀνάγκη λέγειν τῶν ἀποστόλων· | οὕτως οὐδὲ τοὺς ἀποστόλους σοφωτέρους τῶν πατέρων ἢ Μωσέως καὶ τῶν προφητῶν, καὶ μάλιστα τῶν ἐπιπλεῖον δι' ἀρετὴν ἀξιωθέντων ἐπιφανειῶν καὶ ἐμφανειῶν θείων καὶ ἀποκαλύψεων μυστηρίων μεγάλων.

VI. (3) Ἐπιπλέον δὲ διετρίψαμεν ἐξετάζοντες περὶ τούτων, ἐπεὶ τῇ φαντασίᾳ τοῦ δοξάζειν τὴν Χριστοῦ ἐπιδημίαν πολλῷ σοφωτέρους τοὺς ἀποστόλους τῶν πατέρων καὶ τῶν προφητῶν λέγοντες οἱ μὲν καὶ ἕτερον ἀναπεπλάκασιν θεὸν μείζονα, οἱ δὲ μὴ τοῦτο τολμήσαντες ὅσον ἐπὶ τῷ αὐτῶν λόγῳ διὰ τὸ ἀβασάνιστον τῶν δογμάτων χρεωκοποῦσι τὴν δεδομένην τοῖς πατράσι καὶ τοῖς προφήταις ἀπὸ θεοῦ διὰ Χριστοῦ δωρεάν, δι' οὗ »τὰ πάντα ἐγένετο«· εἰ δὲ τὰ πάντα, δῆλον ὅτι καὶ τὰ ἐκείνοις ἀποκαλυφθέντα καλὰ καὶ πεπραγμένα σύμβολα μυστηρίων θεοσεβείας ἁγίων. ἐπεὶ δὲ πάντη φράσσεσθαι δεῖ τοὺς γενναίους Χριστοῦ στρατιώτας ὑπὲρ ἀληθείας, οὐδαμοῦ κατὰ τὸ δυνατὸν παρείσδυσιν ἐῶντας ἐγγενέσθαι τῇ ἀπὸ τοῦ ψεύδους πιθανότητι, φέρε καὶ ταῦτα σκοπήσωμεν. τάχα γὰρ φήσουσι τὴν προτέραν Ἰωάννου περὶ Χριστοῦ μαρτυρίαν εἶναι· »Ὁ ὀπίσω μου »ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν«. τὸ δὲ »Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβο»μεν καὶ χάριν ἀντὶ χάριτος« καὶ τὰ ἑξῆς εἰρῆσθαι ἐκ προσώπου τοῦ μαθητοῦ. ἀναγκαῖον δὲ καὶ οὕτως διελέγξαι ὡς βεβιασμένην καὶ ἀνακόλουθον τὴν ἐκδοχήν· πάνυ γὰρ βίαιον τὸ οἴεσθαι αἰφνίδιον οἱονεὶ ἀκαίρως διακόπτεσθαι τὸν τοῦ βαπτιστοῦ λόγον ὑπὸ τοῦ λόγου τοῦ μαθητοῦ, καὶ παντὶ τῷ καὶ ἐπὶ ποσὸν ἀκούειν συμφράσεως λεγομένων ἐπισταμένῳ σαφὲς τὸ τοῦ εἱρμοῦ τῆς λέξεως· »Οὗτος ἦν ὁ εἰπών· Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν,

1 Vgl. II Kor. 12, 4. — **11** Vgl. Luk. 16, 29. — **20** Vgl. Joh. 1, 3. — **23** Vgl. II Tim. 2, 3. — **25** Vgl. S. 109, 1 ff. — **26** Joh. 1, 15. — **28** Joh. 1, 16. — **35** Joh. 1, 15.

4 ⟨οὐκ⟩ + Hu | **8** οἵδε ⟨οἱ⟩ δύο V, οἱ τοιοίδε We, οἵδε δὴ Pr | **12** ἀξιωθέντων] θέντων a. Ras. | **14** ἐπὶ, corr. Del | **15** πολλῷ] πολλοὶ, corr. V | **22** ἐπεὶ δὲ] ἐπειδὴ, corr. Del | **30** δὲ] δὴ, corr. Hu.

Digitized by Google

35 »ὅτι πρῶτός μου ἦν«. διδάσκει δὲ ὁ βαπτιστὴς πῶς ἔμπροσθεν αὐτοῦ γέγονεν Ἰησοῦς τῷ πρῶτος αὐτοῦ (ἐπεὶ πρωτότοκος πάσης κτίσεως) εἶναι διὰ τοῦ »Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες »ἐλάβομεν«. διὰ τοῦτο γάρ, φησίν, »ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶ»τός μου ἦν«. διὰ τοῦτο δὲ νοῶ αὐτὸν πρῶτόν μου ὄντα καὶ τιμι- 5
ώτερον παρὰ τῷ πατρί, ἐπεὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἐγώ τε καὶ οἱ πρὸ ἐμοῦ προφῆται εἰλήφαμεν χάριν τὴν θειοτέραν καὶ μείζονα καὶ προφητικὴν ἀντὶ χάριτος τῆς κατὰ τὴν προαίρεσιν ἡμῶν ἀποδεχθείσης
36 παρ' αὐτοῦ. διὰ τοῦτο δὲ καὶ »ἔμπροσθεν γέγονεν ὅτι πρῶτός μου »ἦν«, ἐπεὶ καὶ νενοήκαμεν ἐκ τοῦ πληρώματος αὐτοῦ εἰληφότες, τὸν 10
μὲν νόμον »διὰ Μωσέως« δεδόσθαι, οὐχ »ὑπὸ Μωσέως«, τὴν δὲ χάριν καὶ τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ οὐ δεδόσθαι μόνον ἀλλὰ καὶ γεγονέναι, τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ τόν τε νόμον διὰ Μωσέως δεδωκότος, [τὴν χάριν καὶ τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ πεποιη-
κότος] χάριν δὲ | καὶ ἀλήθειαν πεποιηκότος διὰ Ἰησοῦ Χριστοῦ τὴν 152v
37 ἐπ' ἀνθρώπους φθάσασαν. εὐγνωμονέστερον γὰρ ἀκούσαντες τῆς λέξεως τῆς φασκούσης· »Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ »ἐγένετο« οὐ ταραχθησόμεθα ὡς ὑπὸ ἐναντιώματος ταύτῃ τῇ φωνῇ ὄντος τοῦ »Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή«. εἰ γὰρ Ἰησοῦς ἐστιν ὁ φάσκων· »Ἐγώ εἰμι ἡ ἀλήθεια«, πῶς ἡ ἀλήθεια διὰ Ἰησοῦ 20
38 Χριστοῦ γίνεται; αὐτὸς γάρ τις δι' ἑαυτοῦ οὐ γίνεται. ἀλλὰ νοητέον ὅτι ἡ αὐτοαλήθεια ἡ οὐσιώδης καί, ἵν' οὕτως εἴπω, πρωτότυπος τῆς ἐν ταῖς λογικαῖς ψυχαῖς ἀληθείας, ἀφ' ἧς ἀληθείας οἱονεὶ εἰκόνες ἐκείνης ἐντετύπωνται τοῖς φρονοῦσι τὴν ἀλήθειαν, οὐχὶ διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο οὐδ' ὅλως διά τινος, ἀλλ' ὑπὸ θεοῦ ἐγένετο· ὡς 25
καὶ ὁ λόγος οὐ διά τινος ὁ ἐν ἀρχῇ πρὸς τὸν θεὸν καὶ ἡ σοφία, ἣν »ἔκτισεν ἀρχὴν ὁδῶν αὐτοῦ ὁ θεός«, οὐ διά τινος, οὕτως οὐδὲ ἡ ἀλή- 100H
39 θεια διά τινος. ἡ δὲ παρ' ἀνθρώποις ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· οἷον ἡ ἐν Παύλῳ ἀλήθεια καὶ τοῖς ἀποστόλοις διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. καὶ οὐ θαυμαστὸν μιᾶς οὔσης ἀληθείας οἱονεὶ πολλὰς 30
ἀπ' ἐκείνης λέγειν ἐρρυηκέναι. οἵδε γοῦν ὁ προφήτης Δαβὶδ πολλὰς ἀληθείας λέγων· »Ἀληθείας ἐκζητεῖ κύριος«· οὐ γὰρ τὴν μίαν ἐκζητεῖ ἀλήθειαν ὁ πατὴρ αὐτῆς, ἀλλὰ τὰς πολλάς, δι' ἃς σώζονται οἱ ἔχοντες
40 αὐτάς. τὸ δ' ὅμοιον τῷ περὶ τῆς ἀληθείας καὶ τῶν ἀληθειῶν λόγῳ

2 Vgl. Kol. 1, 15. — 3 Joh. 1, 16. — 4 Joh. 1, 15. — 6 Vgl. Joh. 1, 16. — 9 Joh. 1, 15. — 17 Joh. 1, 17. — 19 Joh. 14, 6. — 26 Vgl. Joh. 1, 2. — 27 Prov. 8, 22. — 32 Ps. 30, 24.

3 διὰ τοῦ] δι' αὐτοῦ, corr. Hu | 8 ἀποδεχθείσης] ἀποδεχθεῖσαν, corr. Br | 9 αὐτοῦ] αὐτῷ, corr. Br | nach ἔμπροσθεν + μου V | γέγονεν] γε a. Ras. | 12 τὴν ἀλήθειαν bis οὐ von II. H. a. Rande | 14 τὴν χάριν bis πεποιηκότος als Dublette zum Folgenden zu str. | 21 γίνεται] γι a. Ras. | 30 καὶ a. Ras.

Digitized by Google

106R εὑρίσκομεν εἰρημένον περὶ δικαιοσύνης καὶ δικαιοσυνῶν. ἡ γὰρ αὐτοδικαιοσύνη ἡ οὐσιώδης Χριστός ἐστιν· »Ὃς ἐγενήθη σοφία ἡμῖν »ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις«. ἀπ' ἐκείνης δὲ τῆς δικαιοσύνης ἡ ἐν ἑκάστῳ δικαιοσύνη τυποῦται, ὡς γίνεσθαι ἐν τοῖς σωζομένοις πολλὰς δικαιοσύνας· διὸ καὶ γέγραπται »Ὅτι δί»καιος κύριος, καὶ δικαιοσύνας ἠγάπησεν«· οὕτω γὰρ ἐν τοῖς ἀκριβέσιν ἀντιγράφοις εὕρομεν καὶ ταῖς λοιπαῖς παρὰ τοὺς ἑβδομήκοντα ἐκδόσεσι καὶ τῷ Ἑβραϊκῷ. ἐπίστησον δὲ εἰ δύναται ὁμοίως καὶ τὰ ἄλλα, 41
ὅσα Χριστὸς εἶναι λέγεται ἐνικῶς, πληθυόμενα ἀνάλογον ὀνομάζεσθαι πληθυντικῶς, οἷον »Χριστός ἐστιν ἡ ζωὴ ἡμῶν«, ὡς αὐτὸς ὁ σωτὴρ φησιν· »Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή«· καὶ ὁ ἀπόστολος· »Ὅταν »⟨ὁ⟩ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερω»θήσεσθε ἐν δόξῃ«. ἐν ψαλμοῖς δὲ πάλιν ἀναγέγραπται· »Κρεῖττον »τὸ ἔλεός σου ὑπὲρ ζωάς«· διὰ γὰρ τὸν ἐν ἑκάστῳ χριστὸν ὄντα
ζωὴν πληθύονται αἱ ζωαί. τάχα δὲ οὕτω ζητητέον καὶ τὸ »Εἰ δο- 42
»κιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος χριστοῦ«; οἱονεὶ γὰρ καθ' ἕκαστον ἅγιον Χριστὸς εὑρίσκεται, καὶ γίνονται διὰ τὸν ἕνα χριστὸν πολλοὶ |
153r χριστοὶ οἱ ἐκείνου μιμηταὶ καὶ κατ' αὐτὸν εἰκόνα ὄντα θεοῦ μεμορφωμένοι· ὅθεν ὁ θεὸς διὰ τοῦ προφήτου φησίν· »Μὴ ἅψησθε τῶν
»χριστῶν μου«. ὃ τοίνυν ἐδόξαμεν παρεληλυθέναι διηγούμενοι τὸ »Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο«, τοῦτο νῦν κατὰ τὸ ἐμπεσὸν ἀνεπτύξαμεν· ἅμα δὲ παρεστήσαμεν ὅτι τοῦ βαπτιστοῦ Ἰωάννου ἐστὶν ἡ φωνὴ ἔτι καὶ διὰ τούτων μαρτυροῦντος τῷ υἱῷ τοῦ θεοῦ.

VII. (4) Ἤδη οὖν ἴδωμεν τὴν δευτέραν Ἰωάννου μαρτυρίαν. 43
ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι, ὡς συγγενεῖς ὄντες τοῦ βαπτιστοῦ ἀπὸ γένους ἱερατικοῦ τυγχάνοντος, ἱερεῖς πέμπουσι καὶ Λευῖτας πευσομένους, ὅστις ποτὲ εἴη ὁ Ἰωάννης. ὁ δὲ λέγων τὸ »Ἐγὼ οὐκ εἰμὶ ὁ »χριστός« δι' αὐτοῦ τούτου ὁμολογίαν ἀληθείας πεποίηται, καὶ οὐχ,
161H ὡς ἄν τις ὑπολάβοι, διὰ τὸ »Οὐκ εἰμὶ ὁ χριστός« ἠρνήσατο· οὐ γάρ ἐστιν ἄρνησις τὸ εἰς δόξαν Χριστοῦ λέγειν, μὴ αὐτὸν εἶναι Χριστόν. ἅπαξ δὲ οἱ πεμφθέντες ἀπὸ Ἱεροσολύμων ἱερεῖς καὶ Λευῖται ἀκού- 44
σαντες τὸ μὴ εἶναι αὐτὸν τὸν προσδοκώμενον χριστόν, πυνθάνονται περὶ τοῦ δευτέρου ἐλπιζομένου παρ' αὐτοῖς τιμίου ὀνόματος Ἠλίου,

2 I Kor. 1, 30. — **5** Ps. 10, 7 (wo N* U? vid. Clem. Al. p. 766 *δικαιοσύνην* lesen). — **11** Joh. 14, 6. — **12** Kol. 3, 4. — **13** Ps. 62, 4. — **15** II Kor. 13, 3. — **19** Ps. 104, 15. — **21** Joh. 1, 17. — **25** Vgl. S. 108, 25 ff. — **26** Vgl. Joh. 1, 19 ff. — **27** Vgl. Luk. 1, 5. — **28** Joh. 1, 20. — **30** Joh. 1, 20.

1 ἡ] τὸ, corr. V vgl. S. 114 Z. 22 | **2** ἐγενήθη] ηθη a. Ras. M | **12** ⟨ὁ⟩ + V vgl. in Matth. XII, 33 (III, 182, 21 L.) u. XV, 12 (III, 351, 6 L.) | ὄντες] über ὀντ Comp. für ας, darüber für ες M.

Digitized by Google

εἰ αὐτὸς εἴη ἐκεῖνος. λέγει δὲ μὴ τυγχάνειν Ἠλίας πάλιν ὁμολογῶν
45 διὰ τοῦ »Οὐκ εἰμὶ« τὸ ἀληθές. ἐπεὶ δὲ πολλῶν προφητῶν γινομένων
ἐν Ἰσραὴλ εἷς τις ὁ ὑπὸ Μωσέως προφητευθεὶς ἐξαιρέτως προσεδο-
κᾶτο κατὰ τὸ φάσκον ῥητόν· »Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ
»θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε. καὶ 109 R
»ἔσται πᾶσα [ἡ] ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου,
»ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ«, τρίτον ἐρωτῶσιν οὐχὶ εἰ
46 προφήτης εἴη, ἀλλ' εἰ »ὁ« προφήτης. καὶ τοῦτο τὸ ὄνομα ἐκείνων
οὐκ ἐπὶ Χριστοῦ ταττόντων ἀλλ' οἰομένων ἕτερον παρὰ τὸν χριστὸν
αὐτὸν εἶναι, αὐτὸς γινώσκων τὸν οὗ πρόδρομός ἐστιν ὅτι καὶ ὁ χρι- 10
στὸς καὶ ὁ προφήτης οὗτος ἐστὶν ὁ προφητευθείς, φησίν »Οὔ«· τάχα
〈ἂν〉 τὸ »Ναὶ« ἀποκρινάμενος, εἰ χωρὶς τοῦ ἄρθρου ἠρωτήκεισαν· οὐ
47 γὰρ ἠγνόει προφήτης ὤν. καὶ ἐν ταύταις ὅλαις ταῖς ἀποκρίσεσιν ἡ
δευτέρα οὐδέπω τετέλεσται μαρτυρία Ἰωάννου, ἕως τοῖς αἰτοῦσιν
ἀπόκρισιν ἀπαγγελθησομένην τοῖς πέμψασιν ἑαυτὸν ἀπὸ προφητικῆς 15
κατήγγειλε φωνῆς τῆς τοῦ Ἡσαίου οὕτως ἐχούσης· »Φωνὴ βοῶντος
»ἐν τῇ ἐρήμῳ, εὐθύνατε τὴν ὁδὸν κυρίου«.

48 VIII. (5) Ἄξιον δὲ ζητῆσαι πότερον τετέλεσται ἡ δευτέρα μαρ-
τυρία καὶ τρίτη γίνεται πρὸς ἀπεσταλμένους ἐκ τῶν Φαρισαίων καὶ
βουλομένους μαθεῖν τί δήποτε βαπτίζει, μήτε Χριστὸς μήτε Ἠλίας 20
μήτε ὁ προφήτης τυγχάνων, ἐν τῷ »Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος
»δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε, [ὁ] ὀπίσω μου ἐρχόμενος, οὗ
»οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος«, ἢ
μέρος τῆς δευτέρας ἐστὶ καὶ τὸ ἀπαγγελλόμενον | πρὸς τοὺς Φαρι- 153 V
49 σαίους. ἐγὼ δ' ὅσον ἐκ τῆς λέξεως ἔστι στοχάσασθαι εἴποιμ' ἂν 25
τρίτην εἶναι μαρτυρίαν τὸν πρὸς τοὺς ἀποσταλέντας ἀπὸ τῶν Φαρι-
σαίων λόγον. παρατηρητέον μέντοι γε ὅτι ἡ πρώτη μαρτυρία τὸ
ἔνθεον τοῦ σωτῆρος παρίστησιν, ἡ δὲ δευτέρα τὴν ὑπόνοιαν τῶν
δισταζόντων μήποτε Ἰωάννης εἴη Χριστὸς καθαιρεῖ, ἡ δὲ τρίτη τὸν
ἀοράτως τοῖς ἀνθρώποις παρόντα κηρύττει ὅσον οὐδέπω ἐλευσόμενον. 30
50 πρὶν δὲ τῶν ἑξῆς μαρτυριῶν, καθ' ἃς δεικνύμενος μαρτυρεῖται, 102 R
ἑκάστην λέξιν ἴδωμεν τῆς δευτέρας καὶ τρίτης μαρτυρίας, τοῦτο
πρῶτον ἐπιτηρήσαντες ὅτι δύο ἀποστολαὶ γίνονται πρὸς τὸν βαπ-
τιστήν· μία μὲν ἀπὸ Ἱεροσολύμων ὑπὸ Ἰουδαίων πεμπόντων »ἱερεῖς

2 Joh. 1, 21. — 4 Act. 3, 22f. (Vgl. Deut. 18, 15.) — 7 Vgl. Joh. 1, 21. — 12 Joh. 1, 21. — 16 Jes. 40, 3. — 20 Vgl. Joh. 1, 25. — 21 Joh. 1, 26. — 34 Vgl. Joh. 1, 19.

6 [ἡ] über d. Z.; z. str. nach S. 125, 1 | 7 ἐξολεθρευθήσεται (= ABCD), V (M*?) ἐξολοθρευθήσεται (= ς B^2 ℵ etc.) | 12 〈ἂν〉 + We | 19 πρὸς 〈τοὺς〉 V | 22 ὁ z. str. nach S. 94, 15. 139, 28. 140, 21. C. Cels. V, 12 [II, 13, 14 K] | 26 Φα[ρισσαίω]ν a. Ras. | 34 πεμπ[όντ]ων a. Ras.

Digitized by Google

»καὶ Λευῖτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ;« ἑτέρα δὲ Φαρισαίων ἀποστελλόντων καὶ πρὸς τὴν γεγενημένην ἀπόκρισιν τοῖς ἱερεῦσιν καὶ Λευίταις ἐπαπορούντων. παρατήρει τοίνυν πῶς κατὰ τὸ ἱερατι- 51
κὸν καὶ λευϊτικὸν πρόσωπόν ἐστι μεθ' ἡμερότητος λεγόμενα καὶ φιλο-
μαθείας τὸ »Σὺ τίς εἶ;« καὶ τὸ »Τί οὖν; σὺ Ἠλίας εἶ;« καὶ τὸ »Ὁ προ-
»φήτης ἄρα εἶ σύ;« καὶ ἐπὶ τούτοις· »Τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν
»τοῖς πέμψασιν ἡμᾶς; τί λέγεις περὶ σεαυτοῦ;« οὐδὲν γὰρ αὖθαδες
οὐδὲ θρασὺ ἐν τῇ τούτων ἐστὶ πεύσει, ἀλλὰ πάντα ἁρμόττοντα
110R ἀκριβέσιν θεραπευταῖς θεοῦ. οἱ δὲ ἀπὸ τῶν Φαρισαίων ἀπεσταλμένοι 52
οὐδὲν περιεργασαμένων πρὸς τὰ εἰρημένα ⟨ὑπὸ⟩ τῶν Λευϊτῶν καὶ
ἱερέων, οἱονεὶ ὑβριστικὰς καὶ ἀνοητοτέρας προσάγουσι τῷ βαπτιστῇ
φωνὰς διὰ τοῦ »Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ χριστὸς οὐδὲ Ἠλίας
»οὐδὲ ὁ προφήτης;« καὶ σχεδὸν οὐ μαθεῖν βουλόμενοι ὡς οἱ προειρη-
μένοι ἱερεῖς καὶ Λευῖται ἀποστέλλουσιν, ἀλλὰ κωλῦσαι ἀπὸ τοῦ βαπ-
τίζειν ἴσως οἰόμενοι οὐδενὸς ἑτέρου ἔργον τυγχάνειν τὸ βαπτίζειν ἢ
Χριστοῦ καὶ Ἠλίου καὶ τοῦ προφήτου. καὶ πανταχοῦ ἐπιμέλειαν τὸν 53
ἀκριβῶς ἐντευξόμενον τῇ γραφῇ ποιητέον, τηρεῖν ἀναγκαίου ὄντος
τὰ λεγόμενα ὑπὸ τίνων καὶ πότε λέγεται, ἵν' εὑρίσκωμεν τὸ τοῖς
προσώποις ἁρμοζόντως περιτεθεῖσθαι λόγους δι' ὅλων τῶν ἁγίων
βιβλίων.

I, 19f. *Τότε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ; καὶ ὡμολόγησε καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι Ἐγὼ οὐκ εἰμὶ ὁ χριστός.*

IX. (6) *Καὶ τίνας ἐχρῆν πρεσβύτας πεπέμφθαι πρὸς τὸν Ἰωάν-* 54
νην ἀπὸ Ἰουδαίων καὶ πόθεν ἢ τοὺς διαφέρειν νενομισμένους κατ'
ἐκλογὴν θεοῦ ἀπὸ τοῦ ἐξειλεγμένου παρὰ πᾶσαν τὴν λεγομένην γῆν
ἀγαθὴν τόπου Ἱεροσολύμων, ἔνθα ὁ ναὸς ἦν τοῦ θεοῦ; Ἰωάννου μὲν
οὖν μετὰ τοσαύτης πυνθάνονται τιμῆς· περὶ Χριστοῦ δὲ οὐδὲν τοιοῦ-
τον ἀναγέγραπται γεγονέναι ὑπὸ Ἰουδαίων· ἀλλ' ὅπερ Ἰουδαῖοι πρὸς
154r Ἰωάννην ποιοῦσι, τοῦτο Ἰωάν|νης πρὸς Χριστὸν διὰ τῶν ἰδίων μα-
θητῶν πυνθανόμενος· »Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν;«
καὶ Ἰωάννης μὲν πρὸς τοὺς ἐληλυθότας ὁμολογήσας καὶ μὴ ἀρνησά- 55
μενος ὕστερον τὸ »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ« ἀποφαίνεται·
103H Χριστὸς δὲ τὴν ἀπόκρισιν ποιεῖται ὡς μείζονα τὴν μαρτυρίαν Ἰωάννου

1 Vgl. Joh. 1, 24. — 5 Joh. 1, 21f. — 12 Joh. 1, 25. — 25 Vgl. Röm. 9, 11. — 31 Matth. 11, 3. — 32 Vgl. Joh. 1, 20. — 33 Joh. 1, 23. — 34 Vgl. Joh. 5, 36.

10 ⟨ὑπὸ⟩ + We | 11 ἀνοητοτέρας] ἀνθρωποτέρας, corr. We (aus ἀνοτέρας verdorben), ⟨ἀπ⟩ανθρωποτέρας Hu | 16 τοῦ über d. Z.

Digitized by Google

ἔχων λόγοις καὶ ἔργοις φάσκων· »Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ
»ἃ βλέπετε καὶ ἀκούετε· τυφλοὶ ἀναβλέπουσιν, χωλοὶ περιπατοῦσι,
»λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, πτωχοὶ εὐαγγελίζονται«. περὶ
ὧν εὐκαιρότερον, θεοῦ διδόντος, ἐν τοῖς οἰκείοις διαληψόμεθα τόποις.
56 ἴσως δ' ἂν οὐκ ἀλόγως τις ἐπιστήσειε τί δήποτε τῶν ἱερέων καὶ
Λευϊτῶν πυνθανομένων Ἰωάννου οὐχὶ εἰ αὐτὸς εἴη ὁ χριστός, ἀλλὰ
»Σὺ τίς εἶ;« ἀποκρίνεται ὁ βαπτιστὴς οὐχ ὅπερ ἐχρῆν πρὸς τὸ »Σὺ
»τίς εἶ;« »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«· ἀλλ' ὅπερ οἰκείως ἂν
ἐλέγετο εἰ ἦσαν πυθόμενοι »Σὺ εἶ ὁ χριστός;« ἤρμοττε γὰρ πρὸς τὸ
»Σὺ εἶ ὁ χριστός;« τὸ »Ἐγὼ οὐκ εἰμὶ ὁ χριστός«· πρὸς δὲ τὸ »Σὺ τίς 111R
57 »εἶ;« τὸ »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«. λεκτέον δὲ πρὸς τοῦτο
ὅτι, ὡς εἰκός, ἑώρα ἀπὸ τῆς πεύσεως τὸ εὐλαβὲς τῶν ἱερέων καὶ
Λευϊτῶν ἐμφαινόντων μὲν ὑπόνοιαν ὑπολήψεως, μήποτ' εἴη ὁ βαπ-
τίζων Χριστός, γυμνότερον δὲ ὀνομάσαι τοῦτο ὑπὲρ τοῦ μὴ δοκεῖν
εἶναι προπετεῖς φυλαττομένων. ὅθεν εὐλόγως ὑπὲρ τοῦ πᾶσαν ὑπό-
νοιαν αὐτῶν πρῶτον περιαιρεθῆναι ψευδῆ τὴν περὶ ἑαυτοῦ, εἶθ' οὕ-
τως παραστῆσαι τὸ ἀληθὲς τὸ οὐκ εἶναι Χριστὸς πρὸ πάντων ἀπο-
58 φαίνεται. δηλοῖ δὲ τὸ τοιοῦτόν τι αὐτοὺς ὑπονενοηκέναι ἡ δευτέρα
ἐρώτησις καὶ ἔτι ἡ τρίτη. ἐπεὶ γὰρ καὶ δεύτερον τῇ τιμῇ ἐλπιζόμε-
νον μὲν καὶ μετὰ Χριστὸν αὐτοῖς τετιμημένον Ἠλίαν εἶναι ὑπελάμ-
βανον, ἀποφαινομένου τοῦ Ἰωάννου ὡς οὐκ εἴη Χριστὸς ἠρώτησαν·
59 »Τί οὖν; σὺ Ἠλίας εἶ; καὶ εἶπεν Οὐκ εἰμί«. τὸ τρίτον εἰ αὐτὸς εἴη
ὁ προφήτης βούλονται μαθεῖν· οὗ ἀποκριναμένου τὸ Οὔ οὐκέτι ἔχοντες
ἰδικῶς ὄνομα ἐλπιζομένου ἐπιδημήσειν αὐτοῖς εἰπεῖν, φασίν· »Τίς εἶ;
»ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;«
τοῦτο δηλοῦντες· ταῦτα μὲν οὐκ εἶ ἅπερ ἐλπιζόμενα τῷ Ἰσραὴλ πα-
ρέσεσθαι προσδοκᾶται, ὅστις δὲ ὢν βαπτίζεις οὐκ ἴσμεν· διόπερ τοῦτο
ἡμᾶς δίδαξον, ἵν' ἔχωμεν ἀπαγγεῖλαι τοῖς ἡμᾶς διὰ τοῦτο πέμψασι
60 πρὸς σέ. ἔτι δὲ καὶ τοῦτο ἐχόμενον τῶν προκειμένων προσθήσομεν,
ὅτι ὁ καιρὸς τῆς Χριστοῦ ἐπιδημίας ἔσαινε τὸν λαὸν ἤδη πως ἐνεστη-
κὼς περὶ τὰ ἔτη τὰ ἀπὸ τῆς γενέσεως τοῦ Ἰησοῦ καὶ ὀλίγῳ ἀνωτέρω
61 μέχρι τῆς ἀναδείξεως τοῦ κηρύγματος. διόπερ, ὡς εἰκός, τῶν γραμ-
ματέων καὶ νομικῶν τὸν ἐλπιζόμενον, ἀπὸ τῶν θείων γραφῶν καταγ-
αγόντων αὐτοῦ τὸν χρόνον, | ἤδη προσδοκώντων, ἐπεφύησαν Θευδᾶς, 154v
οὐκ ὀλίγον πλῆθος ὡς Χριστός, οἶμαι, συναγαγών, καὶ μετ' ἐκεῖνον

1 Matth. 11, 4f. — 6 Vgl. Joh. 1, 19. — 22 Joh. 1, 21. — 24 Joh. 1, 22. — 34 Vgl. Act. 5, 36f. — 35 Joseph. Antiq. XX, 5, 1f.

13 ἐμφα[ινόντων μὲν ὑπόνοιαν] a. Ras. | εἴη ὁ] εἴης darüber ÷, corr. We, εἴης ὁ V | 21 ἠρώτησαν] ἐρωτησιν, v. 1l. Hd. zu ἐρωτήσειν corr., ἐρωτῶσι V, corr. Br | 23 οὔ über d. Z.

Digitized by Google

»Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς τῆς ἀπογραφῆς ἡμέραις«. εἰκότως οὖν θερμότερον τῆς Χριστοῦ ἐπιδημίας προσδοκωμένης καὶ λαλουμένης οἱ Ἰουδαῖοι ἀπὸ Ἱεροσολύμων τοὺς ἱερεῖς καὶ Λευίτας πέμπουσι πρὸς τὸν Ἰωάννην διὰ τοῦ »Σὺ τίς εἶ;« μαθεῖν βουλόμενοι, εἰ αὐτὸς Χριστὸς εἶναι ὁμολογήσει.

I, 21. *Καὶ ἠρώτησαν αυτόν· Τί οὖν; σὺ Ἠλίας εἶ; καὶ λέγει Οὐκ εἰμί.*

X. (7) *Τίς οὐκ ἂν ζητήσαι τῶν ἀκουόντων Ἰησοῦ λέγοντος περὶ* 62
Ἰωάννου· »Εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι«,
πῶς πρὸς τοὺς ἐρωτῶντας τὸ »Σὺ Ἠλίας εἶ;« λέγει Ἰωάννης· »Οὐκ
εἰμί«· πῶς δὲ καὶ νοῆσαι δεῖ τὸν Ἰωάννην αὐτὸν εἶναι Ἠλίαν τὸν
112R *μέλλοντα ἔρχεσθαι κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Μαλαχίου οὕτως ἔχον·*
»Καὶ ἰδού, ἐγὼ ἀποστέλλω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν
»ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίαν
»πατρὸς πρὸς υἱὸν καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ,
»μὴ ἔλθω καὶ πατάξω τὴν γῆν ἄρδην«; καὶ ὁ τοῦ ὀφθέντος δὲ τῷ 63
Ζαχαρίᾳ ἀγγέλου κυρίου ἑστῶτος ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ
θυμιάματος λόγος πρὸς τὸν Ζαχαρίαν παραπλήσιόν τι ἐμφαίνει τοῖς
ὑπὸ τοῦ Μαλαχίου εἰρημένοις διὰ τούτων· »Καὶ ἡ γυνή σου Ἐλισάβετ
»γεννήσει υἱόν σοι καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην·« καὶ μετ'
ὀλίγα· »Αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει
»Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα καὶ ἀπειθεῖς ἐν φρο-
»νήσει δικαίων, ἑτοιμάσαι κυρίῳ λαὸν κατεσκευασμένον«. πρὸς δὴ τὸ 64
πρῶτον ὁ μέν τις ἐρεῖ ὅτι ἑαυτὸν ἠγνόει Ἰωάννης Ἠλίαν ὄντα· καὶ
τάχα τούτῳ χρήσονται οἱ ἐκ τούτων τῷ περὶ μετενσωματώσεως
παριστάμενοι λόγῳ, ὡς τῆς ψυχῆς μεταμφιεννυμένης σώματα καὶ οὐ
πάντως μεμνημένης τῶν προτέρων βίων. οἱ δ' αὐτοὶ οὗτοι ἐροῦσι
καί τινας τῶν Ἰουδαίων τῷ δόγματι συγκατατιθεμένους περὶ τοῦ
σωτῆρος εἰρηκέναι ὡς ἄρα εἷς τις εἴη τῶν ἀρχαίων προφητῶν ἀνα-
στὰς οὐκ ἀπὸ τῶν μνημείων ἀλλ' ἀπὸ τῆς γενέσεως. πῶς γὰρ ἐδύ- 65
ναντο, σαφῶς δεικνυμένης τῆς μητρὸς αὐτοῦ Μαρίας ὑπολαμβανομένου
τε πατρὸς αὐτῷ τυγχάνειν Ἰωσὴφ τοῦ τέκτονος, νομίζειν ἕνα τινὰ
τῶν προφητῶν αὐτὸν τυγχάνοντα ἐγηγέρθαι ἀπὸ τῶν νεκρῶν; καὶ

3 Vgl. Joh. 1, 19. — **9** Matth. 11, 14. — **13** Mal. 4, 4f. (3, 22 f.) — **16** Vgl. Luk. 1, 11. — **19** Luk. 1, 13. — **21** Luk. 1, 17. — **25** Basilides bei Clemens Al., Excerpta ex Theod. 28. Vgl. Hilgenfeld, Ketzergesch. d. Urchristent. 213. 225. — **29** Vgl. Luk. 9, 19. — **31** Vgl. Matth. 13, 55. Mark. 6, 3. — **32** Vgl. Luk. 9, 8; Matth. 14, 2.

1 *εἰκός*, corr. We | **15** *πρὸς*² über d. Z. M¹ | **19** *εἰρημενοις*, Punkte v. Il. Hd. | **25** *τούτων*] viell. *τ⟨οι⟩ούτων* z. l. | **30** *ἐδύνατο* M, corr. V.

Digitized by Google

τῷ »Ἐξαλείψω δὲ πᾶσαν τὴν ἐξανάστασιν« ἀναγεγραμμένῳ ἐν τῇ Γενέσει οἱ αὐτοὶ χρώμενοι τὸν πεφροντικότα πιθανότητας ἀπατηλὰς προσαγομένας ἀπὸ τῶν γραφῶν λύειν εἰς ἀγῶνα παραστήσουσιν ἱστάμενον πρὸς τὸ δόγμα.

66 XI. Ἕτερος δέ τις ἐκκλησιαστικὸς τὸν περὶ τῆς μετενσωματώσεως ἀποπτύων ὡς ψευδῆ λόγον, μὴ προσιέμενος τὸ τὴν ψυχὴν Ἰωάννου Ἠλίαν ποτὲ γεγονέναι, τῷ προειρημένῳ | λόγῳ τοῦ ἀγγέλου χρήσεται 105H 155r ψυχὴν Ἠλίου μὴ ὀνομάσαντος ἐπὶ τῆς Ἰωάννου γενέσεως ἀλλὰ πνεῦμα καὶ δύναμιν διὰ τοῦ »Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύ»ματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα« διὰ μυρίων δυνάμενος ἀποδεικνύναι γραφῶν ἕτερον εἶναι τὸ πνεῦμα τῆς ψυχῆς καὶ ὀνομαζομένην δύναμιν τοῦ πνεύματος καὶ τῆς ψυχῆς· 113R περὶ ὧν οὐκ εὔκαιρον νῦν παρατίθεσθαι τὰ πολλά, ἵνα μὴ πάνυ τὸν 67 λόγον περισπάσωμεν. ἀρκεσθήσεται δὲ ἐπὶ τοῦ παρόντος πρὸς μὲν τὸ διαφέρειν δύναμιν πνεύματος τὸ »Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ »σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι«· πρὸς δὲ ⟨τὸ⟩ τὰ ἐν τοῖς προφήταις πνεύματα, ἅτε δεδωρημένα αὐτοῖς ὑπὸ θεοῦ οἱονεὶ ἐκείνων ὀνομάζεσθαι κτήματα τὸ »Πνεύματα προφητῶν προφήταις ὑποτάσσε»ται« καὶ τὸ »Ἀναπέπαυται τὸ πνεῦμα Ἠλίου ἐπὶ Ἐλισσαιέ«. οὕτω γὰρ οὐδὲν ἄτοπον, φησίν, ἔσται τὸν Ἰωάννην ἐν πνεύματι καὶ δυνάμει Ἠλίου ἐπιστρέφοντα καρδίας πατέρων ἐπὶ τέκνα, διὰ τοῦτο τὸ 68 πνεῦμα Ἠλίαν λέγεσθαι τὸν μέλλοντα ἔρχεσθαι. εἰς παραμυθίαν δὲ τούτων καὶ τούτῳ χρήσεται τῷ λόγῳ· εἰ ὁ τῶν ὅλων θεὸς οἰκειωθεὶς τοῖς ἁγίοις θεὸς αὐτῶν γίνεται, οὕτως ὀνομαζόμενος θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ, πόσῳ πλέον τὸ ἅγιον πνεῦμα οἰκειωθὲν τοῖς προφήταις πνεῦμα αὐτῶν χρηματίζειν οἷόν τε ἔσται, ἵν' ᾖ οὕτως πνεῦμα Ἠλίου καὶ πνεῦμα Ἡσαΐου λεγόμενον τὸ πνεῦμα; 69 ὁ αὐτός τε οὗτος ἐκκλησιαστικὸς ἐρεῖ δύνασθαι μὲν τοὺς ὑπειληφότας ἕνα τῶν προφητῶν εἶναι τὸν Ἰησοῦν ἀναστάντα ἐκ νεκρῶν ἠπατῆσθαι κατά τε τὸ προειρημένον δόγμα καὶ κατὰ τὸ ὑπολαμβάνειν αὐτὸν ἕνα τῶν προφητῶν τυγχάνειν, δύνασθαι δὲ πρὸς τῷ κατὰ τὸ νομίζειν αὐτὸν τῶν προφητῶν εἶναι ἕνα πταίειν καὶ ψευδοδοξεῖν καὶ κατὰ τὸ ἀγνοεῖν αὐτοῦ τὸν λεγόμενον πατέρα καὶ τὴν οὖσαν μητέρα, οἴεσθαί 70 τε αὐτὸν ἀπὸ τῶν μνημείων ἐγηγέρθαι. καὶ πρὸς τὸ ἐν τῇ Γενέσει

1 Gen. 7, 4. — 7 Vgl. S. 119, 21. — 9 Luk. 1, 17. — 15 Luk. 1, 35. — 18 I Kor. 14, 32. — 19 II Kön. 2, 15. — 21 Vgl. Matth. 10, 35. Luk. 12, 53. — 24 Vgl. Ex. 3, 6.

3 *παραστήσουσιν*] *περιστήσουσιν*, corr. V | 6 *προσιέμενος* bis *Ἰωάννου* a. Ras. | 15 *τὸ*²] *τῶ*, corr. Hu | 16 ⟨*τὸ*⟩ + We | 18 *τὸ*] *τῶ*, corr. Hu | 19 *τὸ*] *τῶ*, corr. Hu | *Ελισ*[*σαιέ*] a. Ras. | 22 *πνεῦμα* auf d. Rand M² | 32 *εἶναι* a. Ras.

Digitized by Google

δὲ περὶ τῆς ἐξαναστάσεως ἀπαντήσεται ὁ ἐκκλησιαστικὸς χρώμενος τῷ »Ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέ»κτεινε Κάϊν« τῆς »ἐξαναστάσεως« καὶ ἐπὶ »γενέσεως« κειμένης. οὗτος δὴ πρὸς τὸ πρῶτον ἀπορηθὲν ἑτέρως παρὰ τὸν ὑπολαμβάνοντα μετ-
5 ενσωμάτωσιν ἀπολογούμενος ἐρεῖ διὰ μὲν τὰ ἀρτίως κατασκευασθέντα λόγῳ τινὶ εἶναι τὸν Ἰωάννην Ἠλίαν τὸν μέλλοντα ἔρχεσθαι, ἀποκεκρίσθαι δὲ πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας τὸ »Οὐκ εἰμὶ« στοχασάμενον τοῦ βουλήματος τῆς ἐρωτήσεως αὐτῶν. οὐ γὰρ τοῦτο ἤθελεν ἡ 71
106H προγενομένη ἐξέτασις τῷ Ἰωάννῃ ἀπὸ τῶν ἱερέων καὶ Λευϊτῶν, τὸ
10 μαθεῖν εἰ τὸ αὐτὸ πνεῦμα ἐν ἀμφοτέροις ἐτύγχανεν, ἀλλ᾽ εἰ ὁ Ἰωάν-
155v νης αὐτὸς Ἠλίας ὁ ἀναληφθεὶς νῦν ἐπι|φαινόμενος κατὰ τὸ Ἰουδαίοις προσδοκώμενον χωρὶς γενέσεως, ἣν τάχα καὶ ἠγνόουν οἱ ἀπὸ Ἱεροσολύμων ἀποσταλέντες· πρὸς ἣν πεῦσιν εἰκότως ἀποκρίνεται τὸ »Οὐκ εἰμί«· οὐ γὰρ Ἠλίας ὁ ἀναληφθεὶς ἀμείψας σῶμα ἐληλύθει
15 Ἰωάννης ὀνομαζόμενος.

114R XII. Ὁ δὲ πρῶτος, οὗ τὸν νοῦν παρεθήκαμεν οἰομένου μετεν- 72
σωμάτωσιν ἐντεῦθεν κατασκευάζεσθαι, προσδιατρίβων τῇ βασάνῳ τῆς λέξεως ἐρεῖ πρὸς τὸν δεύτερον, ὅτι οὐκ ἀκόλουθον τὸν τηλικούτου ἱερέως Ζαχαρίου υἱὸν ἐπὶ γήρᾳ γεγεννημένον ἀμφοτέροις τοῖς
20 γονεῦσιν παρὰ πᾶσαν ἀνθρωπίνην προσδοκίαν ἀγνοεῖσθαι ὑπὸ τῶν τοσούτων ἐν Ἱεροσολύμοις Ἰουδαίων καὶ τῶν πεμφθέντων ὑπ᾽ αὐτῶν Λευϊτῶν καὶ ἱερέων, οὐ γινωσκόντων τὸ γεγεννῆσθαι ⟨οὕτως⟩ αὐτόν· καὶ μάλιστα Λουκᾶ μαρτυροῦντος ὅτι »Ἐγένετο ἐπὶ πάντας φόβος »τοὺς περιοικοῦντας αὐτοὺς« (δῆλον δὲ ὅτι τὸν Ζαχαρίαν καὶ τὴν
25 Ἐλισάβετ) »καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ »ῥήματα ταῦτα«. εἰ δὲ οὐκ ἠγνοεῖτο ἡ ἐκ Ζαχαρίου γένεσις Ἰωάννου, 73
ἔπεμπον δὲ οἱ ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι διὰ τῶν Λευϊτῶν καὶ ἱερέων πευσόμενοι τὸ »Σὺ Ἠλίας εἶ;« δῆλον ὅτι τοῦτο ἔλεγον τὸ περὶ μετενσωματώσεως δόγμα οἰόμενοι εἶναι ἀληθὲς ὡς πάτριον τυγχάνον καὶ
30 οὐκ ἀλλότριον τῆς ἐν ἀπορρήτοις διδασκαλίας αὐτῶν. διὰ τοῦτο οὖν λέγει »Οὐκ εἰμὶ Ἠλίας« ὁ Ἰωάννης, ἐπεὶ ἀγνοεῖ τὸν ἴδιον πρότερον βίον.

XIII. Τούτων δὴ οὐκ εὐκαταφρόνητον πιθανότητα ἐχόντων, 74
πάλιν ὁ ἐκκλησιαστικὸς ἀπορήσει πρὸς τὸν πρότερον εἰ κατὰ τὸν
35 προφήτην ἐστὶν ⟨τὸν⟩ ὑπὸ τοῦ πνεύματος φωτιζόμενον καὶ ὑπὸ

2 Gen. 4, 25. — 7 Vgl. Joh. 1, 21. — 23 Luk. 1, 65. — 35 Vgl. Luk. 1, 35.

1 δὲ] τε, corr. We, oder τε ist zu γε⟨γραμμένον⟩ zu erg. | 9 προ..νομένη M γε verblichen, νο könnte als γο gelesen werden; προγενομένη V | 10 εἰ ü. d. Z. | 19 γεγενημένον, corr. Pr | 22 γεγενῆσθαι, corr. Pr | ⟨οὕτως⟩ + We | 35 ⟨τὸν⟩ + Pr.

Digitized by Google

Ἡσαΐου προφητευόμενον, ὑπό τε τηλικούτου [*τοῦ*] *ἀγγέλου πρὶν γεννηθῆναι τεχθήσεσθαι προειρημένον, ἐκ τοῦ πληρώματος Χριστοῦ εἰληφότα, χάριτος τηλικαύτης μετεσχηκότα, τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ γεγενῆσθαι νενοηκότα, περὶ θεοῦ καὶ τοῦ μονογενοῦς τοῦ εἰς τὸν κόλπον τοῦ πατρὸς διηγησάμενον τὰ τοσαῦτα, τὸ ψεύσασθαι*
75 *καὶ ὅπερ ἦν οὐκ ἐγνωκότα κἂν ἐπισχεῖν. ἐχρῆν γὰρ περὶ τῶν ἀδηλοτέρων ἐπέχειν ὁμολογεῖν, καὶ μήτε τιθέναι μήτε αἴρειν τὴν πρότασιν. πῶς δὲ οὐκ ἦν εὔλογον, εἰ πολλῶν τοῦτο δόγμα ἐτύγχανεν, ἐπισχεῖν· τὸν Ἰωάννην περὶ αὐτοῦ, μήποτε ἡ ψυχὴ αὐτοῦ ποτε ἐν*
76 *Ἠλίᾳ ἦν; καὶ ἐπὶ τὴν ἱστορίαν δὲ ὁ ἐκκλησιαστικὸς προκαλέσεται τὸν* 10
πρότερον πευσόμενον παρὰ τῶν τὰ ἀπόρρητα ἐγνωκέναι παρ' Ἑβραίοις ἐπαγγελλομένων, εἰ τοιοῦτόν τι δόγμα ἐστὶ παρ' αὐτοῖς· ἐὰν γὰρ 107H
μηδαμῶς φαίνηται τοῦθ' οὕτως ἔχον, δῆλον ὅτι ἐσκέδασται ὁ τοῦ προ-
77 *τέρου λόγος. οὐδὲν | τοίνυν ἧττον ὁ ἐκκλησιαστικὸς χρήσεται τῇ προα-* 136r
ποδεδομένῃ λύσει, ἔτι καὶ αὐτὸς τὸ βούλημα τῶν πυθομένων παρα- 15
στῆσαι ἀπαιτούμενος. εἰ γάρ, ὡς κατεσκεύασεν, οἱ πέμψαντες ἴσασι γεγεννημένον ἐκ Ζαχαρίου καὶ Ἐλισάβετ τὸν Ἰωάννην, καὶ πολλῷ πλέον οἱ πεμφθέντες γένους ὄντες ἱερατικοῦ, οὓς οὐκ ἂν ἔλαθεν ἡ 115R
τοῦ οὕτως ἐπιφανοῦς συγγενοῦς Ζαχαρίου παράδοξος εὐπαιδία, τί νοήσαντες πυνθάνονται τὸ »Σὺ Ἠλίας εἶ;« ἄνδρες ἀνεγνωκότες ἀνει- 20
ληῆφθαι αὐτὸν ὡς εἰς τὸν οὐρανὸν καὶ προσδοκῶντες ἐπιδημίαν αὐτοῦ;
78 *τάχα οὖν, ἐπεὶ πρὸς τῇ συντελείᾳ προσδοκῶσιν Ἠλίαν πρὸ Χριστοῦ καὶ ἐπὶ τούτῳ Χριστόν, οἱονεὶ τροπικώτερον φαίνονται ἐρωτῶντες Εἰ σὺ εἶ ὁ προκαταγέλλων τὸν πρὸ Χριστοῦ ἐπὶ συντελείᾳ ἐλευσόμενον λόγον; καὶ ἐπιστημόνως πρὸς τοῦτο ἀποκρίνεται τὸ »Οὐκ* 25
»εἰμί«.

79 XIV. *Ἔτι δὲ ὁ ἐκκλησιαστικὸς ἱστάμενος πρὸς τὰ ἐξητασμένα ὑπὸ τοῦ ἑτέρου ἀποδεικνύναι πειρωμένου μὴ ἂν λεληθέναι τοὺς ἱερεῖς οὕτως ἐπιφανῆ γεγενημένην τὴν Ἰωάννου γένεσιν διὰ τὸ »ἐν τῇ »ὀρεινῇ τῆς Ἰουδαίας« διαλελαλῆσθαι »πάντα τὰ ῥήματα ταῦτα«,* 30
φήσει τὴν παραπλησίαν ἀπάτην πολλοῖς γεγονέναι καὶ περὶ τοῦ σωτῆρος, ἐπεὶ »Οἱ μὲν ἔλεγον αὐτὸν Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι »δὲ Ἠλίαν, † ἄλλοι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν«, ὡς καὶ οἱ μαθηταὶ πυνθανομένῳ τῷ κυρίῳ γενομένῳ ἐν τοῖς μέρεσι Καισαρείας

1 Vgl. Jes. 40, 3. — Vgl. Luk. 1, 11. — **2** Vgl. Joh. 1, 16ff. — **14** Vgl. S. 121, 3ff. — **20** Joh. 1, 21. — **22** Vgl. Schürer, Gesch. d. jüd. V. III³, 524f. — **29** Vgl. Luk. 1, 65. — **32** Matth. 16, 14.

6 *καὶ*] wohl *ἢ* z. l. | **8** *δόγμα*] *δόγματα*, corr. Hu | **14** *λόγος*] *λόγον*, corr. V *ἐκκλησιαστικὸς*] *ος* a. Ras. | **16** *κατεσκεύασεν*] *κατεσκεύασαν*, corr. Br | **17** *τὸν* aus *τῶν* corr. | **33** *ἄλλοι* statt *ἕτεροι* wohl nur Gedächtnisfehler.

Digitized by Google

τῆς Φιλίππου εἰρήκασι. καὶ ὁ Ἡρῴδης δὲ λέγων· »Ὃν ἐγὼ ἀπεκε- 80
»φάλισα Ἰωάννην, αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν« περὶ τοῦ χριστοῦ
ἔοικε μὴ εἰδέναι τὰ λεγόμενα ὑπὸ τῶν φασκόντων· »Οὐχ οὗτός ἐστιν
»ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελ-
»φοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ Ἰούδας; καὶ ⟨αἱ⟩ ἀδελ-
»φαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν«; οὐδὲν οὖν θαυμαστόν, 81
ὥσπερ ἐπὶ τοῦ σωτῆρος, πολλῶν ἐγνωκότων τὴν ἐκ Μαρίας γένεσιν
αὐτοῦ, ἄλλους ἠπατῆσθαι, οὕτω καὶ ἐπὶ τοῦ Ἰωάννου οὓς μὲν μὴ
λεληθέναι τὴν ἐκ Ζαχαρίου γένεσιν αὐτοῦ, ἑτέρους δὲ διστάζειν, μή-
ποτε ὁ προσδοκώμενος Ἠλίας ἐπεφάνη κατὰ τὸν Ἰωάννην (καὶ οὐ 82
χώραν γε μᾶλλον ἔχει ἡ περὶ τοῦ Ἰωάννου ἐπαπόρησις, μήποτε εἴη
Ἠλίας, ἥπερ ἡ περὶ τοῦ σωτῆρος, μὴ ἄρα αὐτὸς τυγχάνῃ Ἰωάννης)
ὢν τοῦ Ἠλίου μὲν τὸν χαρακτῆρα ἀπὸ μόνης τῆς λέξεως, καὶ οὐχὶ
ἀπὸ τῆς αἰσθήσεως † ἀποβάλλεσθαι διὰ τὸ »Ἀνὴρ δασὺς καὶ ζώνην
»δερματίνην περιεζωσμένος περὶ τὴν ὀσφὺν αὐτοῦ«· τοῦ δὲ Ἰωάννου
τὸ εἶδος προεγνωσμένον τάχα, οὐδὲ παραπλήσιον τυγχάνον τῷ χα-
65H ρακτῆρι τοῦ Ἰησοῦ, οὐδὲν ἧττον ὑπόνοιάν τισι παρεσχηκέναι, μήποτε
ὁ Ἰωάννης ἀνέστη ἐκ νεκρῶν Ἰησοῦς μετονομαζόμενος. καὶ περὶ 83
μετωνυμίας γάρ, ὡς ἐν ἀπορρήτοις, οὐκ οἶδα πόθεν κινούμενοι οἱ
156V Ἑβραῖοι παραδιδόασι Φινεές, τὸν Ἐλεαζάρου υἱόν, ὁμολογουμένως
παρατείναντα τὴν ζωὴν ἕως πολλῶν κριτῶν, ὡς ἐν τοῖς Κριταῖς
16R ἀνέγνωμεν, αὐτὸν εἶναι Ἠλίαν, καὶ τὸ ἀθάνατον ἐν τοῖς Ἀριθμοῖς
αὐτῷ διὰ τῆς ὀνομαζομένης εἰρήνης ἐπηγγέλθαι, ἀνθ' ὧν ζηλώσας
θείῳ ζήλῳ κεκινημένος ἐξεκέντησε τὴν Μαδιανῖτιν καὶ τὸν Ἰσραηλί-
την καὶ κατέπαυσε τὸν λεγόμενον θυμὸν τοῦ θεοῦ κατὰ τὸ γεγραμ-
μένον· »Φινεὲς υἱὸς Ἐλεαζὰρ υἱοῦ Ἀαρὼν κατέπαυσε τὸν θυμόν μου,
»ἀνθ' ὧν ἐζήλωσε τὸν ζῆλόν μου«. θαυμαστὸν οὖν οὐδὲν εἰ οἱ τὸν 84
αὐτὸν ὑπολαμβάνοντες Φινεὲς καὶ Ἠλίαν, (ἤτοι ὑγιῶς λέγοντες ἢ μή·
οὐ γὰρ περὶ τούτου νῦν πρόκειται ἐξετάζειν) τὸν αὐτὸν ἐνόμιζον
εἶναι Ἰωάννην καὶ Ἰησοῦν. ἢ ἐδίσταζόν γε περὶ τούτου μαθεῖν τε
ἐβούλοντο εἰ ὁ αὐτός ἐστιν Ἰωάννης καὶ Ἠλίας. προηγουμένως δὲ 85
ἐν ἄλλοις ἐπιμελέστερον ἐξεταστέον καὶ ἐπὶ πλεῖον τὸν λόγον ἐρευ-
νητέον τὸν περὶ τῆς οὐσίας τῆς ψυχῆς καὶ τῆς ἀρχῆς τῆς συστάσεως
αὐτῆς καὶ τῆς εἰς τὸ γήϊνον σῶμα εἰσκρίσεως αὐτῆς, τῶν τε ἐπιμε-
ρισμῶν τοῦ ἑκάστης βίου καὶ τῆς ἐντεῦθεν ἀπαλλαγῆς, καὶ εἰ ἐνδέχε-

1 Mark. 6, 16. Matth. 14, 2. — **3** Matth. 13, 55f. — **14** II Kön. 1, 8. — **21** Vgl. Richt. 20, 28. — **23** Vgl. Num. 25, 11. — **33** Vgl. de princ. 2, 8.

1 Das Citat aus Mark. u. Matth. vermischt, wohl ebenfalls gedächtnismässig | **5** αἱ nach Comm. in Mt. X, 17 (III, 45, 8 L.) zugesetzt. Das Fehlen von αἱ ist im NT. handschriftl. unbezeugt | **13.14** ἀπὸ] viell. ἐπὶ z. l. | ἀπολαβέσθαι? Pr, λαμβάνεσθαι? We | **30** nach γε + καὶ V, besser καὶ statt ἢ einzusetzen.

Digitized by Google

ται αὐτὴν εἰσκριθῆναι δεύτερον ἐν σώματι ἢ μή, καὶ τῇ αὐτῇ περιόδῳ καὶ τῇ αὐτῇ διακοσμήσει ἢ οὔ, καὶ τῷ αὐτῷ σώματι ἢ ἑτέρῳ, καὶ εἰ τῷ αὐτῷ, πότερον καθ' ὑποκείμενον μένοντι τῷ αὐτῷ κατὰ δὲ ποιότητα μεταβαλομένῳ, ἢ καὶ καθ' ὑποκείμενον καὶ ποιότητα ἐσομένῳ
86 τῷ αὐτῷ, καὶ εἰ ἀεὶ τῷ αὐτῷ σώματι χρήσεται ἢ ἀμείψει αὐτό. ἐν οἷς καὶ τί ἐστι κυρίως μετενσωμάτωσις ἐξετάσαι δεήσει, τί τε αὖτη διαφέρει ἐνσωματώσεως, καὶ εἰ ἀκολουθεῖ τῷ λέγοντι μετενσωμάτωσιν ἄφθαρτον τηρεῖν τὸν κόσμον. ἐν οἷς ἀναγκαῖον ἔσται παραθεῖναι καὶ τοὺς λόγους τῶν θελόντων κατὰ τὰς γραφὰς συσπείρεσθαι τὴν
87 ψυχὴν τῷ σώματι καὶ τὰ ἀκολουθοῦντα αὐτοῖς. καὶ ἁπαξαπλῶς ὁ περὶ ψυχῆς λόγος πολὺς καὶ δυσερμήνευτος ὢν ἀναλεχθησόμενος ἀπὸ τῶν ἐν ταῖς γραφαῖς σποράδην κειμένων ἰδίας δεῖται πραγματείας. διόπερ νῦν κατὰ τὸ παρῆκον ἐκ τῶν περὶ Ἠλίου καὶ Ἰωάννου ἐζητημένων ἐπὶ βραχὺ ἐξετάσαντες τὸ πρόβλημα μετίωμεν ἐπὶ τὰ ἑξῆς.

I, 21. Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη Οὔ. 109 H

88 XV. (8) Εἰ ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, καὶ τί ἄλλο ἂν λέγοιμεν εἶναι Ἰωάννην ἢ προφήτην; ὡς καὶ ὁ πατὴρ αὐτοῦ Ζαχα- 117 B
ρίας πλησθεὶς πνεύματος ἁγίου προφητεύων φησί· »Καὶ σὺ δέ, παιδίον, »προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ ἐνώπιον κυρίου ἑτοι- »μάσαι ὁδοὺς αὐτοῦ«· εἰ μὴ ἄρα τις ἐπιλήψεται τοῦ »Κληθήσῃ«, μὴ εἰρημέ- 20
νου τοῦ »Ἔσῃ«, καὶ μάλιστα διὰ τὸ πρὸς τοὺς ολομένους αὐτὸν προφήτην 157 r
εἶναι εἰρηκέναι τὸν σωτῆρα· »Ἀλλὰ τί † ἐξήλθετε ἰδεῖν; προφήτην;
89 »ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου«. παρατηρητέον δὲ ὅτι τῷ »Ναί, λέγω ὑμῖν« τίθησιν τὸ προφήτην εἶναι τὸν Ἰωάννην, καὶ οὐκ ἀναιρεῖ τὸ προφήτην αὐτὸν εἶναι. ἐὰν δὲ πρὸς τῷ προφήτης 25
τυγχάνειν καὶ »περισσότερον προφήτου« ὑπὸ τοῦ σωτῆρος λέγηται, πῶς οὖν, εἰ προφήτης ἐστίν, πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας ἐρωτῶντας· »Ὁ προφήτης εἶ σύ;« ἀπεκρίθη »Οὔ«; λεκτέον δὲ πρὸς τοῦτο ὅτι οὐ ταὐτόν ἐστιν »Ὁ προφήτης εἶ σύ;« τῷ »Προφήτης εἶ σύ;« τὰ δ' ὅμοια τετηρήκαμεν ἐξετάζοντες τί διαφέρει τὸ »Ὁ θεός« τοῦ »Θεός« καὶ 30
90 »Ὁ λόγος« τοῦ »Λόγος«. ἐπεὶ τοίνυν ἐν τῷ Δευτερονομίῳ γέγραπται· »Προφήτην ὑμῖν ἀναστήσει ⟨κύριος⟩ ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν

11 Vgl. Hebr. 5, 11. — **12** Ob Origenes eine solche Schrift verfasst hat, ist nicht bekannt. — **16** Vgl. Matth. 11, 13. — **17** Vgl. Luk. 1, 67. — **18** Luk. 1, 76. — **22** Matth. 11, 9. — **26** Matth. 11, 9. — **28** Joh. 1, 21. — **30** Vgl. II, 2 (S. 54, 12ff.) — **32** Act. 3, 22f.; (Vgl. Deut. 18, 15f. Lev. 23, 29).

20 ἐπιλήμψεται M* | **22** ἐξήλθ[ε]τε] ε a. Ras., z. l. ἐξήλθατε (mit B𝔄CDZLPΔ33); wie wohl ursprünglich dastand | **24** τῷ] τὸ, corr. Pr | **25** ἀναιρεῖται, corr. We | **29** τῷ bis σὺ am Rande nachgetr. | **31** λόγος²] λόγου, corr. Hu | **32** ⟨κύριος⟩ + Pr nach S. 116, 4 u. XIII, 55.

Digitized by Google


›ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε· καὶ ἔσται πᾶσα ψυχή, ἥτις ἂν μὴ ›ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ‹, προσεδοκᾶτο ἐξαιρέτως τις προφήτης ὅμοιον Μωσεῖ τι ἔχων, τὸ μεσιτεῦσαι θεοῦ καὶ ἀνθρώπων καὶ τὸ λαβὼν διαθήκην ἀπὸ θεοῦ δοῦναι τοῖς μαθητευομένοις τὴν καινήν· καὶ καθ' ἕκαστον τῶν προφητῶν ἐγίνωσκον ὁ λαὸς Ἰσραὴλ μηδένα ἐκείνων εἶναι τὸν ὑπὸ τοῦ Μωσέως προφητευθέντα. ὥσπερ οὖν ἐδίσταζον περὶ Ἰωάννου μήποτε ἄρα 91
Χριστὸς αὐτὸς ἦν, οὕτως καὶ μήποτε ›ὁ προφήτης‹. οὐ θαυμαστὸν δὲ εἰ μὴ ἠκρίβουν ὅτι ⟨ὁ⟩ αὐτός ἐστι ›Χριστός ⟨καὶ⟩ ὁ προφήτης‹ οἱ διστάζοντες περὶ Ἰωάννου, μήποτε αὐτὸς ὁ χριστὸς ἦν· ἀκόλουθον γὰρ τῷ περὶ τούτου δισταγμῷ τὸ ἀγνοεῖν τὸν αὐτὸν εἶναι ›Χριστὸν‹ καὶ ›τὸν προφήτην‹.

Ἔλαθε δὲ τοὺς πολλοὺς ἡ διαφορὰ τοῦ ›Ὁ προφήτης‹ καὶ 92
›Προφήτης‹, ὡς καὶ τὸν Ἡρακλέωνα, ὅστις αὐταῖς λέξεσί φησιν, ὡς ἄρα Ἰωάννης ὡμολόγησεν μὴ εἶναι ὁ χριστός, ἀλλὰ μηδὲ προφήτης μηδὲ Ἠλίας. καὶ δέον αὐτὸν οὕτως ἐκλαβόντα ἐξετάσαι τὰ κατὰ τοὺς τόπους, πότερον ἀληθεύει λέγων μὴ εἶναι προφήτης μηδὲ Ἠλίας, ἢ οὔ. ὁ δὲ μὴ ἐπιστήσας τοῖς τόποις, ἐν οἷς καταλέλοιπεν ὑπομνήμασιν ἀνεξετάστως παρελήλυθεν τὰ τηλικαῦτα, σφόδρα ὀλίγα καὶ μὴ βεβασανισμένα ἐν τοῖς ἑξῆς εἰπών, περὶ ὧν εὐθέως ἐροῦμεν.

I, 22 *Εἶπον οὖν αὐτῷ Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;*

XVI. (9) *Δυνάμει τοῦτο λέγουσιν οἱ ἀποσταλέντες· Ὅπερ ὑπονο- 93
οῦντες εἶναί σε ἐλπίζομεν μαθησόμενοι ἔγνωμεν οὐκ ὄντα· λείπεται δὲ μετὰ ταῦτα ἀπὸ σοῦ ἀκοῦσαι τὸ ὅστις εἶ, ἵνα τοῖς πέμψασιν τὴν σὴν ἀπόκρισιν περὶ σοῦ ἀπαγγείλωμεν.*

* * * \



Digitized by Google

παρεθέμεθα διηγούμενοι τὸ »Ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ«· περὶ τοῦ »Οὗτός ἐστιν περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν »ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου »ἔμπροσθέν σου«. καλῶς δὲ καὶ τὸ μὴ εἶναι αὐτὸν τὴν φωνὴν »λέ-
158r »γοντος ἐν τῇ ἐρήμῳ«, ἀλλὰ »βοῶντος | ἐν τῇ ἐρήμῳ«· ὁ μὲν γὰρ βοῶν τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου«, καὶ λέγει· ἐνδέχεται δὲ τὸν αὐτὸν τοῦτον λέγειν μὴ βοῶντα. βοᾷ δὲ καὶ κέκραγεν, ἵνα καὶ οἱ μακρὰν τοῦ **100** λέγοντος ἀκούσωσιν καὶ οἱ βαρυήκοοι συνῶσιν τοῦ μεγέθους τῶν λεγομένων μετὰ μεγέθους ἀπαγγελλομένων φωνῆς, βοηθῶν τοῖς τε ἀφεστῶσιν θεοῦ καὶ τοῖς τὸ ὀξὺ τῆς ἀκοῆς ἀπολωλεκόσιν. διὰ τοῦτο γὰρ καὶ »εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξεν λέγων· »Ἐάν τις διψᾷ ἐρχέσθω »πρὸς μὲ καὶ πινέτω«. διὰ τοῦτο καὶ ὁ »Ἰωάννης μαρτυρεῖ περὶ αὐ-»τοῦ καὶ κέκραγε λέγων«. διὰ τοῦτο καὶ κελεύει ὁ θεὸς τῷ Ἡσαΐᾳ βοᾶν ἐν τῇ φωνῇ »λέγοντος· Βόησον· κἀγὼ εἶπα· Τί βοήσω«; ἐὰν **101** δὲ μὴ παντελῶς ᾖ ἡ νοητὴ τῶν εὐχομένων φωνὴ μεγάλη καὶ οὐ βραχεῖα, οὐδὲ ἂν αὐξήσωσι τὴν βοὴν καὶ τὴν κραυγὴν ἀκούει τῶν οὕτως εὐχομένων ὁ θεὸς ὁ λέγων πρὸς Μωσέα· »Τί βοᾷς πρὸς μέ«; οὐκ αἰσθητῶς βεβοηκότα, (οὐ γὰρ ἀναγέγραπται τοῦτο ἐν τῇ Ἐξόδῳ,) μεγάλως δὲ τὴν ἀκουομένην μόνῳ θεῷ φωνὴν βεβοηκότα διὰ τῆς εὐχῆς. διὰ τοῦτο καὶ Δαβὶδ φησι· »Φωνῇ μου πρὸς κύριον ἐκέκραξα »καὶ ἐπήκουσέν μου«. χρεία δὲ τῆς φωνῆς τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, **102** ἵνα καὶ ἡ ἐστερημένη θεοῦ ψυχὴ καὶ ἔρημος ἀληθείας, (τίς γὰρ ἄλλη χαλεπωτέρα ἐρημία ψυχῆς θεοῦ καὶ πάσης ἀρετῆς ἠρημωμένης;) διὰ τὸ ἔτι σκολιῶς πορεύεσθαι δεομένη διδασκαλίας, ἐπὶ τὸ εὐθύνειν τὴν ὁδὸν κυρίου παρακαλῆται. ἥντινα ὁδὸν εὐθύνει μὲν ὁ μηδαμῶς τὴν σκολιότητα τῆς τοῦ ὄφεως πορείας μιμούμενος, ὁ δὲ τούτῳ ἐναντίος διαστρέφει. διόπερ καὶ ἐπιπλήσσεται ἅμα τοῖς ὁμοίοις ὁ τοιοῦτος διὰ τοῦ »Ἵνα τί διαστρέφετε τὰς ὁδοὺς κυρίου τὰς εὐθείας;«

XIX. (11) Δικῶς δὲ ἡ ὁδὸς κυρίου εὐθύνεται, κατά τε τὸ θεω- **103**
ρητικόν, τρανούμενον ἐν ἀληθείᾳ ἀπαραμίκτως τοῦ ψεύδους, καὶ κατὰ τὸ πρακτικὸν μετὰ τὴν ὑγιῆ θεωρίαν τοῦ πρακτέου ἁρμονίου πράξεως
R ἀποδιδομένης τῷ περὶ τῶν πρακτέων ὑγιεῖ λόγῳ. καὶ ἵνα ἀκριβέ-
H στερον τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου« νοήσωμεν, εὔκαιρον ἔσται

1 Joh. 1, 7. — **2** Matth. 11, 10. — **4** Vgl. Joh. 1, 23. — **7** Vgl. Joh. 1, 15. — **11** Joh. 7, 37. — **12** Joh. 1, 15. — **14** Jes. 40, 6. — **17** Ex. 14, 15. — **18** Vgl. Philo Bd. III S. 4, 11 ff. We. — **20** Ps. 76, 2. — **24** Vgl. Jes. 40, 3. — **28** Vgl. Act. 13, 10. — **33** Joh. 1, 23.

2 *ἰδοὺ*] ἴδε, corr. V | **4** nach *δὲ* viell. ⟨*κεῖται*⟩ einzuschieben | **6** *τὸ αὐτὸ τοῦτο*, über *τοῦτο* steht *τὸ* M, corr. We | **9** *ἀπαγγελλομένου*, corr. We | **14** *εἶπα* M*, v. l. H. zu *εἶπον* corr. | **15** *ἡ* str. Br | **16** *αὐξήσωσι*] *αὐξῆσαι*, corr. V | 25 *παράκληται*, corr. V | **28** *δια-*[*στρέφετε*] a. Ras. | **30** *τρανουμένη*? | *ἀπ*[*αραμίκτως*] a. Ras. | **31** *ἁρμονίου*] *ἁρμονίου*.

Digitized by Google

ἔχων λόγοις καὶ ἔργοις φάσκων· »Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ
»ἃ βλέπετε καὶ ἀκούετε· τυφλοὶ ἀναβλέπουσιν, χωλοὶ περιπατοῦσι,
»λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, πτωχοὶ εὐαγγελίζονται«. περὶ
ὧν εὐκαιρότερον, θεοῦ διδόντος, ἐν τοῖς οἰκείοις διαληψόμεθα τόποις.
56 ἴσως δ' ἂν οὐκ ἀλόγως τις ἐπιστήσειε τί δήποτε τῶν ἱερέων καὶ
Λευϊτῶν πυνθανομένων Ἰωάννου οὐχὶ εἰ αὐτὸς εἴη ὁ χριστός, ἀλλὰ
»Σὺ τίς εἶ;« ἀποκρίνεται ὁ βαπτιστὴς οὐχ ὅπερ ἐχρῆν πρὸς τὸ »Σὺ
»τίς εἶ;« »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«· ἀλλ' ὅπερ οἰκείως ἂν
ἐλέγετο εἰ ἦσαν πυθόμενοι »Σὺ εἶ ὁ χριστός;« ἤρκουν γὰρ πρὸς τὸ
»Σὺ εἶ ὁ χριστός;« τὸ »Ἐγὼ οὐκ εἰμὶ ὁ χριστός«· πρὸς δὲ τὸ »Σὺ τίς 111R
57 εἶ;« τὸ »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«. λεκτέον δὲ πρὸς τοῦτο
ὅτι, ὡς εἰκός, ἑώρα ἀπὸ τῆς πεύσεως τὸ εὐλαβὲς τῶν ἱερέων καὶ
Λευϊτῶν ἐμφαινόντων μὲν ὑπόνοιαν ὑπολήψεως, μήποτ' εἴη ὁ βα-
πτίζων Χριστός, γυμνότερον δὲ ὀνομάσαι τοῦτο ὑπὲρ τοῦ μὴ δοκεῖν
εἶναι προπετεῖς φυλαττομένων. ὅθεν εὐλόγως ὑπὲρ τοῦ πᾶσαν ὑπό-
νοιαν αὐτῶν πρῶτον περιαιρεθῆναι ψευδῆ τὴν περὶ ἑαυτοῦ, εἶθ' οὕ-
τως παραστῆσαι τὸ ἀληθὲς τὸ οὐκ εἶναι Χριστὸς πρὸ πάντων ἀπο-
58 φαίνεται. δηλοῖ δὲ τὸ τοιοῦτόν τι αὐτοὺς ὑπονενοηκέναι ἡ δευτέρα
ἐρώτησις καὶ ἔτι ἡ τρίτη. ἐπεὶ γὰρ καὶ δεύτερον τῇ τιμῇ ἐλπιζόμε-
νον μὲν καὶ μετὰ Χριστὸν αὐτοῖς τετιμημένον Ἠλίαν εἶναι ὑπελάμ-
βανον, ἀποφαινομένου τοῦ Ἰωάννου ὡς οὐκ εἴη Χριστὸς ἠρώτησαν·
59 »Τί οὖν; σὺ Ἠλίας εἶ; καὶ εἶπεν Οὐκ εἰμί«. τὸ τρίτον εἰ αὐτὸς εἴη
ὁ προφήτης βούλονται μαθεῖν· οὗ ἀποκριναμένου τὸ Οὗ οὐκέτι ἔχοντες
ἰδικῶς ὄνομα ἐλπιζομένου ἐπιδημήσειν αὐτοῖς εἰπεῖν, φασίν· »Τίς εἶ;
»ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;«
τοῦτο δηλοῦντες· ταῦτα μὲν οὐκ εἶ ἅπερ ἐλπιζόμενα τῷ Ἰσραὴλ παρ-
έσεσθαι προσδοκᾶται, ὅστις δὲ ὢν βαπτίζεις οὐκ ἴσμεν· διόπερ τοῦτο
ἡμᾶς δίδαξον, ἵν' ἔχωμεν ἀπαγγεῖλαι τοῖς ἡμᾶς διὰ τοῦτο πέμψασι
60 πρὸς σέ. ἔτι δὲ καὶ τοῦτο ἐχόμενον τῶν προκειμένων προσθήσομεν,
ὅτι ὁ καιρὸς τῆς Χριστοῦ ἐπιδημίας ἔσαινε τὸν λαὸν ἤδη πως ἐνεστη-
κὼς περὶ τὰ ἔτη τὰ ἀπὸ τῆς γενέσεως τοῦ Ἰησοῦ καὶ ὀλίγῳ ἀνωτέρω
61 μέχρι τῆς ἀναδείξεως τοῦ κηρύγματος. διόπερ, ὡς εἰκός, τῶν γραμ-
ματέων καὶ νομικῶν τὸν ἐλπιζόμενον, ἀπὸ τῶν θείων γραφῶν καταγ-
αγόντων αὐτοῦ τὸν χρόνον, | ἤδη προσδοκώντων, ἐπεφύησαν Θευδᾶς, 154v
οὐκ ὀλίγον πλῆθος ὡς Χριστός, οἶμαι, συναγαγών, καὶ μετ' ἐκεῖνον

1 Matth. 11, 4f. — 6 Vgl. Joh. 1, 19. — 22 Joh. 1, 21. — 24 Joh. 1, 22. — 34 Vgl. Act. 5, 36f. — 35 Joseph. Antiq. XX, 5, 1f.

13 ἐμφα[ινόντων μὲν ὑπόνοιαν] a. Ras. | εἴη ὁ] εἴης darüber ÷, corr. We, εἴης ὁ V | 21 ἠρώτησαν] ἐρωτησιν, v. II. Hd. zu ἐρωτήσειν corr., ἐρωτῶσι V, corr. Br | 23 οὗ über d. Z.

Digitized by Google

»Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς τῆς ἀπογραφῆς ἡμέραις«. εἰκότως οὖν θερμότερον τῆς Χριστοῦ ἐπιδημίας προσδοκωμένης καὶ λαλουμένης οἱ Ἰουδαῖοι ἀπὸ Ἱεροσολύμων τοὺς ἱερεῖς καὶ Λευίτας πέμπουσι πρὸς τὸν Ἰωάννην διὰ τοῦ »Σὺ τίς εἶ;« μαθεῖν βουλόμενοι, εἰ αὐτὸς Χριστὸς εἶναι ὁμολογήσει.

I, 21. *Καὶ ἠρώτησαν αυτόν· Τί οὖν; σὺ Ἠλίας εἶ; καὶ λέγει Οὐκ εἰμί.*

X. (7) *Τίς οὐκ ἂν ζητήσαι τῶν ἀκουόντων Ἰησοῦ λέγοντος περὶ* 62
Ἰωάννου· »Εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι«,
πῶς πρὸς τοὺς ἐρωτῶντας τὸ »Σὺ Ἠλίας εἶ;« λέγει Ἰωάννης· »Οὐκ
εἰμί«· πῶς δὲ καὶ νοῆσαι δεῖ τὸν Ἰωάννην αὐτὸν εἶναι Ἠλίαν τὸν
112R *μέλλοντα ἔρχεσθαι κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Μαλαχίου οὕτως ἔχον·*
»Καὶ ἰδού, ἐγὼ ἀποστέλλω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν
»ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίαν
»πατρὸς πρὸς υἱὸν καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ,
»μὴ ἔλθω καὶ πατάξω τὴν γῆν ἄρδην«; καὶ ὁ τοῦ ὀφθέντος δὲ τῷ 63
Ζαχαρίᾳ ἀγγέλου κυρίου ἑστῶτος ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ
θυμιάματος λόγος πρὸς τὸν Ζαχαρίαν παραπλήσιόν τι ἐμφαίνει τοῖς
ὑπὸ τοῦ Μαλαχίου εἰρημένοις διὰ τούτων· »Καὶ ἡ γυνή σου Ἐλισάβετ
»γεννήσει υἱόν σοι καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην·« καὶ μετ'
ὀλίγα· »Αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει
»Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα καὶ ἀπειθεῖς ἐν φρο-
»νήσει δικαίων, ἑτοιμάσαι κυρίῳ λαὸν κατεσκευασμένον«. πρὸς δὴ τὸ 64
πρῶτον ὁ μέν τις ἐρεῖ ὅτι ἑαυτὸν ἠγνόει Ἰωάννης Ἠλίαν ὄντα· καὶ
τάχα τούτῳ χρήσονται οἱ ἐκ τούτων τῷ περὶ μετενσωματώσεως
παριστάμενοι λόγῳ, ὡς τῆς ψυχῆς μεταμφιεννυμένης σώματα καὶ οὐ
πάντως μεμνημένης τῶν προτέρων βίων. οἱ δ' αὐτοὶ οὗτοι ἐροῦσι
καί τινας τῶν Ἰουδαίων τῷ δόγματι συγκατατιθεμένους περὶ τοῦ
σωτῆρος εἰρηκέναι ὡς ἄρα εἷς τις εἴη τῶν ἀρχαίων προφητῶν ἀνα-
στὰς οὐκ ἀπὸ τῶν μνημείων ἀλλ' ἀπὸ τῆς γενέσεως. πῶς γὰρ ἐδύ- 65
ναντο, σαφῶς δεικνυμένης τῆς μητρὸς αὐτοῦ Μαρίας ὑπολαμβανομένου
τε πατρὸς αὐτῷ τυγχάνειν Ἰωσὴφ τοῦ τέκτονος, νομίζειν ἕνα τινὰ
τῶν προφητῶν αὐτὸν τυγχάνοντα ἐγηγέρθαι ἀπὸ τῶν νεκρῶν; καὶ

3 Vgl. Joh. 1, 19. — **9** Matth. 11, 14. — **13** Mal. 4, 4f. (3, 22f.) — **16** Vgl. Luk. 1, 11. — **19** Luk. 1, 13. — **21** Luk. 1, 17. — **25** Basilides bei Clemens Al., Excerpta ex Theod. 28. Vgl. Hilgenfeld, Ketzergesch. d. Urchristent. 213. 225. — **29** Vgl. Luk. 9, 19. — **31** Vgl. Matth. 13, 55. Mark. 6, 3. — **32** Vgl. Luk. 9, 8; Matth. 14, 2.

1 *εἰκός*, corr. We | **15** *πρὸς*² über d. Z. M¹ | **19** *εἰρη εἰρημενοις*, Punkte v. II. Hd. | **25** *τούτων*] viell. *τ(οι οὑτων* z. l. | **30** *ἐδύνατο* M, corr. V.

Digitized by Google

νενοήκαμεν, μόνου τοῦ ὦτα κτησαμένου ἀκούειν παρεσκευασμένου τῶν λόγων τοῦ Ἰησοῦ· ὅπερ οὐ πάνυ ἀθρόως γίνεται.

17 IV. Ἔτι δὲ περὶ τοῦ τοὺς πρὸ τῆς σωματικῆς ἐπιδημίας τοῦ Ἰησοῦ ἁγίους πλέον τι τῶν πολλῶν τῶν πιστευόντων ἐσχηκότας τὰ τῆς θειότητος μυστήρια κατανενοηκέναι, τοῦ λόγου τοῦ θεοῦ διδάσκοντος αὐτοὺς καὶ πρὶν γένηται σάρξ, (ἀεὶ γὰρ εἰργάζετο, μιμητὴς τοῦ πατρὸς ὢν περὶ οὗ λέγει· »Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται«)
18 ἔστιν ἐπιλογίσασθαι καὶ ἀπὸ τούτων τῶν λέξεων· φησί που πρὸς τοὺς Σαδδουκαίους ἀπιστοῦντας τῷ περὶ ἀναστάσεως λόγῳ· »Οὐκ »ἀνέγνωτε τὸ ῥηθὲν ἐπὶ τῆς βάτου ὑπὸ τοῦ θεοῦ· Ἐγὼ θεὸς Ἀβραὰμ 96H »καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ; θεὸς δὲ οὐκ ἔστι νεκρῶν ἀλλὰ »ζώντων«. εἰ τοίνυν ὁ θεὸς »οὐκ ἐπαισχύνεται θεὸς« τῶν ἀνδρῶν τούτων »καλεῖσθαι«, καὶ ἐν ζῶσιν ὑπὸ Χριστοῦ καταριθμοῦνται, υἱοί τε τοῦ Ἀβραὰμ πάντες εἰσὶν οἱ πιστεύοντες, ἐπεὶ ἐνευλογοῦνται τῷ πιστῷ Ἀβραὰμ πάντα τὰ ἔθνη, πατρὶ τῶν ἐθνῶν ὑπὸ θεοῦ τεθειμένῳ, 15
διστάζομεν παραδέξασθαι ἐγνωκέναι τοὺς ζῶντας τὰ τῶν ζώντων μαθήματα, μαθητευθέντας Χριστῷ τῷ πρὸ Ἑωσφόρου γεγενημένῳ
19 πρὶν γένηται σάρξ; διὰ τοῦτο δὲ ἔξων, ἐπεὶ μετεῖχον τοῦ εἰπόντος· »Ἐγώ εἰμι ἡ ζωή«· καὶ ἐχώρουν ὡς τηλικούτων κληρονόμοι ἐπαγγε- 104R
λιῶν ἐπιφάνειαν οὐ μόνον ἀγγέλων ἀλλὰ καὶ θεοῦ ἐν Χριστῷ καὶ 20
τάχα ὁρῶντες τὴν εἰκόνα τοῦ θεοῦ τοῦ ἀοράτου, ἐπεὶ ὁ ἑωρακὼς τὸν υἱὸν ἑώρακε τὸν πατέρα, ἀναγεγραμμένοι εἰσί, θεὸν νενοηκότες καὶ θεοῦ λόγων θεοπρεπῶς ἀκηκοότες, ἑωρακέναι θεὸν καὶ ἀκηκοέναι αὐτοῦ.

20 Ἐγὼ δ' οἶμαι ὅτι οἱ τελείως | καὶ γνησίως υἱοὶ τοῦ Ἀβραὰμ τῶν 151r
πνευματικῶν νοουμένων πράξεων αὐτοῦ εἰσιν υἱοὶ καὶ τῆς φανερωθείσης αὐτῷ γνώσεως, τῶν ἐκείνῳ γνωσθέντων καὶ πραχθέντων ἐγγινομένων τοῖς χρηματίζουσιν υἱοῖς τοῦ πατριάρχου, καθ' ἃ διδάσκει τοὺς ἔχοντας ὦτα λέγων· »Εἰ τέκνα τοῦ Ἀβραὰμ † ἦτε, τὰ ἔργα τοῦ
21 »Ἀβραὰμ ἐποιεῖτε«. καὶ εἰ »Σοφὸς νοήσει τὰ ἀπὸ ἰδίου στόματος, 30

1 Vgl. Mark. 4, 9. — **6** Vgl. Joh. 1, 14. — **7** Joh. 5, 17. — **9** Matth. 22, 31ff.; Mark. 12, 26f.; Luk. 20, 37f. — **12** Vgl. Hebr. 11, 16. — **13** Vgl. Röm. 4, 11. — **14** Vgl. Gal. 3, 8. — **15** Vgl. Gen. 17, 5. — **17** Vgl. Ps. 109, 3. — **19** Joh. 11, 25. — **21** Vgl. Kol. 1, 15. — Joh. 14, 9. — **29** Vgl. Matth. 11, 15. — Joh. 8, 39. — **30** Prov. 16, 23.

1 *παρεσκευασμένου*] *παρασκευασαμένου*, corr. Hu | **9** ff. d. eigentüml. Form, die d. Citat hier hat, findet sich sonst nicht, sie ist aus den drei Parallelstellen zusammengeflossen; in Matth. XVII, 36 (IV, 169, 1 ff. L.) steht die gewöhnliche Form **17** *γεγεννημένῳ* V | **26** *πνευματικῶν* aus *ὡς* oder umgekehrt M | **29** *ἦτε* (= ϛC(X)*Δ* 1. 33. 69 u. a.); wohl *ἐστέ* z. l. denn t. XX steht überall *ἐστὲ* (= B𝔎DTL Vulg. ff.) Letztere Form ist auch exhort. 38 (I, 36, 1 vgl. 3!) herzustellen.

Digitized by Google

»ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην«. ἀναγκαῖον ἤτοι προπετῶς ἀποφήνασθαί τινα περὶ τῶν προφητῶν ὡς οὐ σοφῶν, εἰ μὴ νενοήκασι »τὰ ἀπὸ τοῦ ἰδίου στόματος«, ἢ τὸ εὔφημον καὶ ἀληθὲς παραδεξαμένους, ὅτι ἦσαν οἱ προφῆται σοφοί, ὁμολογεῖν νενοηκέναι αὐτοὺς »⟨τὰ⟩ ἀπὸ ἰδίου στόματος« καὶ ἐπὶ τοῖς χείλεσι πεφορεκέναι τὴν ἐπιγνωμοσύνην. καὶ δῆλον ὅτι Μωσῆς ἑώρα τῷ νοΐ τὴν ἀλήθειαν 22
τοῦ νόμου καὶ τὰς κατὰ ἀναγωγὴν ἀλληγορίας τῶν ἀναγεγραμμένων παρ' αὐτῷ ἱστοριῶν· Ἰησοῦς δὲ τὴν ἀληθῆ κληροδοσίαν γενομένην μετὰ τὴν καθαίρεσιν τῶν εἴκοσι καὶ ἐννέα βασιλέων συνίει, μᾶλλον ἡμῶν δυνάμενος συνορᾶν τίνων ἀληθῶν σκιαὶ ἐτύγχανον τὰ δι' αὐτοῦ ἐπιτελούμενα. δῆλον δ' ὅτι καὶ Ἡσαΐας τὸ μυστήριον ἑώρα τοῦ 23
ἐπὶ τοῦ θρόνου καθεζομένου καὶ τῶν δύο Σεραφὶμ καὶ τῶν πτερύγων αὐτῶν, τοῦ τε θυσιαστηρίου καὶ τῆς λαβίδος, καὶ τῆς ἐπικαλύψεως τοῦ προσώπου καὶ τῶν ποδῶν γινομένης ὑπὸ τῶν Σεραφίμ· Ἰεζεκιὴλ δὲ τὰ Χερουβὶμ καὶ τὴν πορείαν αὐτῶν καὶ τὸ ἐπ' αὐτῶν στερέωμα καὶ τὸν ἐπικαθεζόμενον τῷ θρόνῳ. ὧν τί ἂν εἴη ἐνδοξότερον καὶ ὑψηλότερον;

97H Καὶ ἵνα μὴ καθ' ἓν λέγων ἐπὶ πολὺ μηκύνω τὸν λόγον βουλό- 24
μενος κατασκευάζειν οὐκ ἔλαττον τῶν τοῖς ἀποστόλοις ὑπὸ Χριστοῦ ἀποκαλυφθέντων ἐγνωκέναι τοὺς τετελειωμένους ἐν ταῖς προτέραις γενεαῖς, ἀποκαλύπτοντος αὐτοῖς τοῦ καὶ τοὺς ἀποστόλους διδάξαντος τὰ ἀπόρρητα τῆς θεοσεβείας μυστήρια, ἔτι ὀλίγα προσθεὶς κρίνειν τοῖς ἐντυγχάνουσι καταλείψω καὶ ὃ βούλονται περὶ τούτων σκοπεῖν. φησὶ γὰρ ἐν τῇ πρὸς τοὺς Ῥωμαίους ἐπιστολῇ ὁ Παῦλος· »Τῷ δὲ 25
»δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ κατὰ ἀποκάλυψιν »μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν διά
105R »τε γραφῶν προφητικῶν καὶ τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ »Χριστοῦ«. εἰ γὰρ διὰ γραφῶν προφητικῶν τὸ πάλαι σεσιωπημένον μυστήριον πεφανέρωται τοῖς ἀποστόλοις καὶ οἱ προφῆται ἐνόουν »τὰ ἀπὸ ἰδίου στόματος«, ἅτε ὄντες »σοφοί«, τὰ πεφανερωμένα τοῖς ἀποστόλοις οἱ προφῆται ἤδεσαν.

Ἐπεὶ δὲ τοῖς πολλοῖς οὐκ ἀπεκαλύπτετο, διὰ τοῦτό φησιν ὁ 26

3 Prov. 16, 23. — **5** Prov. 16, 23. — **8** Vgl. Jos. 12, 9ff. — **11** Vgl. Jes. 6, 1ff. — **14** Vgl. Ezech. 1, 4ff. — **24** Röm. 16, 25f.; II Tim. 1, 10. — **30** Vgl. Prov. 16, 23.

5 ⟨τὰ⟩ + Lommatzsch, vgl. S. 110 Z. 30 u. diese S. Z. 3 | **6** τῷ νοΐ a. Ras. **8** γενομένην] γινομένην, corr. Hu | **13** αὐτῶν] αὐτοῦ, corr. Pr, vgl. Ezech. 6, 2 | **16** ὧν a. Ras. | **22** ἔτι] ὅτι, corr. V (ἑ a. Ras.) | **25** εὐαγγέλιόν] ον a. Ras. | **27** καὶ τῆς bis **28** Χριστοῦ hier, XIII, 17. 46 u. C. Cels. III, 61 (I, 255, 19) aus II Tim. 1, 10 zugefügt. Die Form stammt wohl aus einer kirchl. Spruchsammlung | καὶ τῆς bis **28** προφητικῶν am Rande mit ÷ nachgetragen.

Digitized by Google

Παῦλος· »Ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν »ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις | αὐτοῦ καὶ προφήταις ἐν 151v
»πνεύματι, εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα«. V. ὅρα δέ (εἰ καὶ οὕτως οἷόν τε ἀνθυπενεχθησομένην ἀνθυποφορὰν ὑπὸ τῶν μὴ παραδεχομένων τὸν λόγον τὴν λέξιν ταύτην οὕτως ἐκλαβεῖν τὸ »ἀποκαλυπτόμενον«) μήποτε διχῶς ἔστιν ἰδεῖν »ἀποκαλυπτόμενον«, καθ' ἕνα μὲν τρόπον ὅτε νοεῖται, καθ' ἕτερον δὲ ἐὰν † ᾖ τοῦτο προφητευόμενον, ὥστε γενέσθαι καὶ πληρωθῆναι αὐτό· τότε γὰρ
27 *ἀποκαλύπτεται, ὅτε ἐπιτελεῖται πληρούμενον. τὸ τοίνυν »τὰ ἔθνη »συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα« εἶναι τῆς ἐπαγγελίας ἐν Χριστῷ, ὅσον μὲν ἐπὶ τῇ γνώσει τοῦ ἔσεσθαι »τὰ ἔθνη συγκληρονόμα »καὶ σύσσωμα καὶ συμμέτοχα«, καὶ πότε ἔσεσθαι, καὶ διὰ τί, καὶ τίνα ὄντα, καὶ πῶς ξένα τῶν διαθηκῶν τυγχάνοντα καὶ ἀλλότρια τῆς ἐπαγγελίας »σύσσωμα καὶ συμμέτοχα« ὕστερον ἐσόμενα, ᾔδεσαν οἱ*
28 *προφῆται, ἀποκαλυφθέντος αὐτοῖς τούτου. ἀλλ' οὐχ οὕτως τοῖς νοοῦσιν, οὐχ ὁρῶσι δὲ ἐπιτελούμενα τὰ προφητευόμενα, ἀποκεκάλυπται τὰ ἐσόμενα ὡς τοῖς ὑπ' ὄψιν θεωροῦσι τὴν ἔκβασιν αὐτῶν· ὅπερ γέγονεν ἐπὶ τῶν ἀποστόλων. οὕτω γάρ, ὡς οἶμαι, ἐνόουν τὰ πράγματα οὐ μᾶλλον τῶν πατέρων καὶ προφητῶν, ἀληθεύεται δὲ περὶ αὐτῶν τὸ »Ὃ ἑτέραις γενεαῖς οὐκ ἀπεκαλύφθη, ὡς νῦν τοῖς ἀποστό-*
»λοις καὶ προφήταις, εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ »συμμέτοχα τῆς ἐπαγγελίας ἐν Χριστῷ« τῷ πρὸς τῷ νοεῖν αὐτοὺς 98H
τὰ μυστήρια καὶ τὴν ἐνάργειαν διὰ τοῦ πράγματος ἐπιτελουμένου κατανοεῖν.

29 *Δύναται δὲ καὶ τὸ »Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν »ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ † εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ »οὐκ ἤκουσαν« τὴν ὁμοίαν ἔχειν διήγησιν, οἱονεὶ ἐπιθυμησάντων κἀκείνων ἰδεῖν οἰκονομούμενον τὸ μυστήριον τῆς τοῦ υἱοῦ τοῦ θεοῦ ἐνσωματώσεως καὶ καταβάσεως ἐπὶ τὴν οἰκονομίαν τοῦ σωτηρίου τοῖς πολλοῖς πάθους αὐτοῦ. ὡς ἐπὶ παραδείγματος καὶ ἄλλο τι*
τοιοῦτον ἐλαμβάνομεν· ἔστω τινὰ τῶν ἀποστόλων, συνιέντα »τὰ 106R

1 Ephes. 3, 5f. — **9. 11. 14** Vgl. Ephes. 3, 6. — **13** Vgl. Ephes. 2, 12. — **20** Ephes. 3, 5f. — **25** Matth. 13, 17. — **31** Vgl. II Kor. 12, 4.

1 nach *Παῦλος* ist viell. ⟨ὃ⟩ einzuschieben; vgl. Z. 20 | **3** *συνκληρονόμα* 3 Z. 3—6 ist unverständlich; nach 5 *λόγον* + *λῦσαι τῷ* Br, ⟨*λύοντας*⟩ We | **7** *ᾖ τοῦτο* verderbt; *τελῆται τὸ* Br; viell. *ἦκῃ τὸ* oder ⟨*τελειωθ*⟩*ῇ τὸ*; ⟨*ἐκβ*⟩*ῇ* oder ⟨*παρ*⟩ *ᾖ* We | **11** *συνκληρονόμη* M, corr. V | **14** *ἐπαγγελίας*] *λίας* a. Ras. M | **16** nach *νοοῦσιν* viell. z. erg. ⟨*μέν*⟩ | **22** *πρὸς τὸ* V, viell. mit Recht | **23** *ἐνάργειαν*] *ἐνέργειαν*, corr. Pr | **26** *βλέπετε*] *πε* a. Ras. | *εἶδον*] *ον* a. Ras., *ο* scheint aus *α* hergestellt zu sein; *ν* ist unförml. gross; zu lesen ist wohl mit Bא 33 *εἶδαν* | **31** *ἔστω*] *ἐστ* a. Ras.

Digitized by Google

»ἄρρητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι«, μὴ ὀψόμενον τὴν παρὰ τοῖς πεπιστευκόσι κατηγγελμένην δευτέραν σωματικὴν Ἰησοῦ ἔνδοξον ἐπιδημίαν, ἐπιθυμεῖν αὐτὴν ὁρᾶν· ἕτερον δέ τινα οὐ μόνον τὰ αὐτὰ τῷ ἀποστόλῳ ⟨οὐκ⟩ ἠκριβωκότα καὶ νενοηκότα, ἀλλὰ καὶ πολλῷ αὐτοῦ ἔλαττον ἀντεχόμενον τῆς θείας ἐλπίδος καταλαμβάνειν τὴν δευτέραν τοῦ σωτῆρος ἡμῶν ἐπιδημίαν, ἣν ἐπιτεθυμηκέτω μὲν κατὰ τὸ παράδειγμα ὁ ἀπόστολος, μὴ τεθεωρηκέτω δέ. οὐ ψεῦδος 30
δὴ ἐροῦμεν ὅτι † οἵδε δύο, ἃ ἐπεθύμησεν ὁ ἀπόστολος ἰδεῖν ἢ καὶ ἀπόστολοι, τεθέανται, καὶ οὐ πάντως παρὰ τοῦτο συνετωτέρους αὐ-
152r τοὺς ἢ μακαριωτέρους ἀνάγκη λέγειν τῶν ἀποστόλων· | οὕτως οὐδὲ τοὺς ἀποστόλους σοφωτέρους τῶν πατέρων ἢ Μωσέως καὶ τῶν προφητῶν, καὶ μάλιστα τῶν ἐπιπλεῖον δι' ἀρετὴν ἀξιωθέντων ἐπιφανειῶν καὶ ἐμφανειῶν θείων καὶ ἀποκαλύψεων μυστηρίων μεγάλων.

VI. (3) Ἐπιπλέον δὲ διετρίψαμεν ἐξετάζοντες περὶ τούτων, ἐπεὶ 31
τῇ φαντασίᾳ τοῦ δοξάζειν τὴν Χριστοῦ ἐπιδημίαν πολλῷ σοφωτέρους τοὺς ἀποστόλους τῶν πατέρων καὶ τῶν προφητῶν λέγοντες οἱ μὲν καὶ ἕτερον ἀναπεπλάκασιν θεὸν μείζονα, οἱ δὲ μὴ τοῦτο τολμήσαντες ὅσον ἐπὶ τῷ αὐτῶν λόγῳ διὰ τὸ ἀβασάνιστον τῶν δογμάτων χρεωκοποῦσι τὴν δεδομένην τοῖς πατράσι καὶ τοῖς προφήταις ἀπὸ θεοῦ
διὰ Χριστοῦ δωρεάν, δι' οὗ »τὰ πάντα ἐγένετο«· εἰ δὲ τὰ πάντα, δῆλον ὅτι καὶ τὰ ἐκείνοις ἀποκαλυφθέντα καλὰ καὶ πεπραγμένα σύμβολα μυστηρίων θεοσεβείας ἁγίων. ἐπεὶ δὲ πάντη φράσσεσθαι δεῖ 32
τοὺς γενναίους Χριστοῦ στρατιώτας ὑπὲρ ἀληθείας, οὐδαμοῦ κατὰ τὸ δυνατὸν παρείσδυσιν ἐῶντας ἐγγενέσθαι τῇ ἀπὸ τοῦ ψεύδους πιθανότητι, φέρε καὶ ταῦτα σκοπήσωμεν. τάχα γὰρ φήσουσι τὴν προ- 33
τέραν Ἰωάννου περὶ Χριστοῦ μαρτυρίαν εἶναι· »Ὁ ὀπίσω μου »ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν«.
99H τὸ δὲ »Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβο-
»μεν καὶ χάριν ἀντὶ χάριτος« καὶ τὰ ἑξῆς εἰρῆσθαι ἐκ προ-
σώπου τοῦ μαθητοῦ. ἀναγκαῖον δὲ καὶ οὕτως διελέγξαι ὡς βε- 34
βιασμένην καὶ ἀνακόλουθον τὴν ἐκδοχήν· πάνυ γὰρ βίαιον τὸ οἴεσθαι αἰφνίδιον οἱονεὶ ἀκαίρως διακόπτεσθαι τὸν τοῦ βαπτιστοῦ λόγον ὑπὸ τοῦ λόγου τοῦ μαθητοῦ, καὶ παντὶ τῷ καὶ ἐπὶ ποσὸν ἀκούειν συμφράσεως λεγομένων ἐπισταμένῳ σαφὲς τὸ τοῦ εἱρμοῦ τῆς λέξεως·
107R »Οὗτος ἦν ὁ εἰπών· Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν,

1 Vgl. II Kor. 12, 4. — **11** Vgl. Luk. 16, 29. — **20** Vgl. Joh. 1, 3. — **23** Vgl. II Tim. 2, 3. — **25** Vgl. S. 109, 1 ff. — **26** Joh. 1, 15. — **28** Joh. 1, 16. — **35** Joh. 1, 15.

4 ⟨οὐκ⟩ + Hu | **8** οἵδε ⟨οἱ⟩ δύο V, οἱ τοιοίδε We, οἵδε δὴ Pr | **12** ἀξιωθέντων] θέντων a. Ras. | **14** ἐπὶ, corr. Del | **15** πολλῷ] πολλοὶ, corr. V | **22** ἐπεὶ δὲ] ἐπειδὴ, corr. Del | **30** δὲ] δὴ, corr. Hu.

Digitized by Google

35 »ὅτι πρῶτός μου ἦν«. διδάσκει δὲ ὁ βαπτιστὴς πῶς ἔμπροσθεν αὐτοῦ γέγονεν Ἰησοῦς τῷ πρῶτος αὐτοῦ (ἐπεὶ πρωτότοκος πάσης κτίσεως) εἶναι διὰ τοῦ »Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες »ἐλάβομεν«. διὰ τοῦτο γάρ, φησίν, »ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶ»τός μου ἦν«. διὰ τοῦτο δὲ νοῶ αὐτὸν πρῶτόν μου ὄντα καὶ τιμιώτερον παρὰ τῷ πατρί, ἐπεὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἐγώ τε καὶ οἱ πρὸ ἐμοῦ προφῆται εἰλήφαμεν χάριν τὴν θειοτέραν καὶ μείζονα καὶ προφητικὴν ἀντὶ χάριτος τῆς κατὰ τὴν προαίρεσιν ἡμῶν ἀποδεχθείσης
36 παρ' αὐτοῦ. διὰ τοῦτο δὲ καὶ »ἔμπροσθεν γέγονεν ὅτι πρῶτός μου »ἦν«, ἐπεὶ καὶ νενοήκαμεν ἐκ τοῦ πληρώματος αὐτοῦ εἰληφότες, τὸν μὲν νόμον »διὰ Μωσέως« δεδόσθαι, οὐχ »ὑπὸ Μωσέως«, τὴν δὲ χάριν καὶ τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ οὐ δεδόσθαι μόνον ἀλλὰ καὶ γεγονέναι, τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ τόν τε νόμον διὰ Μωσέως δεδωκότος, [τὴν χάριν καὶ τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ πεποιηκότος] χάριν δὲ | καὶ ἀλήθειαν πεποιηκότος διὰ Ἰησοῦ Χριστοῦ τὴν 152v
37 ἐπ' ἀνθρώπους φθάσασαν. εὐγνωμονέστερον γὰρ ἀκούσαντες τῆς λέξεως τῆς φασκούσης· »Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ »ἐγένετο« οὐ ταραχθησόμεθα ὡς ὑπὸ ἐναντιώματος ταύτῃ τῇ φωνῇ ὄντος τοῦ »Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή«. εἰ γὰρ Ἰησοῦς ἐστιν ὁ φάσκων· »Ἐγώ εἰμι ἡ ἀλήθεια«, πῶς ἡ ἀλήθεια διὰ Ἰησοῦ
38 Χριστοῦ γίνεται; αὐτὸς γάρ τις δι' ἑαυτοῦ οὐ γίνεται. ἀλλὰ νοητέον ὅτι ἡ αὐτοαλήθεια ἡ οὐσιώδης καί, ἵν' οὕτως εἴπω, πρωτότυπος τῆς ἐν ταῖς λογικαῖς ψυχαῖς ἀληθείας, ἀφ' ἧς ἀληθείας οἱονεὶ εἰκόνες ἐκείνης ἐντετύπωνται τοῖς φρονοῦσι τὴν ἀλήθειαν, οὐχὶ διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο οὐδ' ὅλως διά τινος, ἀλλ' ὑπὸ θεοῦ ἐγένετο· ὡς καὶ ὁ λόγος οὐ διά τινος ὁ ἐν ἀρχῇ πρὸς τὸν θεὸν καὶ ἡ σοφία, ἣν »ἔκτισεν ἀρχὴν ὁδῶν αὐτοῦ ὁ θεός«, οὐ διά τινος, οὕτως οὐδὲ ἡ ἀλή- 100H
39 θεια διά τινος. ἡ δὲ παρ' ἀνθρώποις ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· οἷον ἡ ἐν Παύλῳ ἀλήθεια καὶ τοῖς ἀποστόλοις διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. καὶ οὐ θαυμαστὸν μιᾶς οὔσης ἀληθείας οἱονεὶ πολλὰς ἀπ' ἐκείνης λέγειν ἐρρυηκέναι. οἶδε γοῦν ὁ προφήτης Δαβὶδ πολλὰς ἀληθείας λέγων· »Ἀληθείας ἐκζητεῖ κύριος«· οὐ γὰρ τὴν μίαν ἐκζητεῖ ἀλήθειαν ὁ πατὴρ αὐτῆς, ἀλλὰ τὰς πολλάς, δι' ἃς σώζονται οἱ ἔχοντες
40 αὐτάς. τὸ δ' ὅμοιον τῷ περὶ τῆς ἀληθείας καὶ τῶν ἀληθειῶν λόγῳ

2 Vgl. Kol. 1, 15. — 3 Joh. 1, 16. — 4 Joh. 1, 15. — 6 Vgl. Joh. 1, 16. — 9 Joh. 1, 15. — 17 Joh. 1, 17. — 19 Joh. 14, 6. — 26 Vgl. Joh. 1, 2. — 27 Prov. 8, 22. — 32 Ps. 30, 24.

3 διὰ τοῦ] δι' αὐτοῦ, corr. Hu | 8 ἀποδεχθείσης] ἀποδεχθεῖσαν, corr. Br | 9 αὐτοῦ] αὐτῷ, corr. Br | nach ἔμπροσθεν + μου V | γέγονεν] γε a. Ras. | 12 τὴν ἀλήθειαν bis οὐ von H. a. Rande | 14 τὴν χάριν bis πεποιηκότος als Dublette zum Folgenden zu str. | 21 γίνεται] γι a. Ras. | 30 καὶ a. Ras.

Digitized by Google

108R εὑρίσκομεν εἰρημένον περὶ δικαιοσύνης καὶ δικαιοσυνῶν. ἡ γὰρ αὐτοδικαιοσύνη ἡ οὐσιώδης Χριστός ἐστιν· »Ὃς ἐγενήθη σοφία ἡμῖν »ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις«. ἀπ' ἐκείνης δὲ τῆς δικαιοσύνης ἡ ἐν ἑκάστῳ δικαιοσύνη τυποῦται, ὡς γίνεσθαι ἐν τοῖς σωζομένοις πολλὰς δικαιοσύνας· διὸ καὶ γέγραπται »Ὅτι δί»καιος κύριος, καὶ δικαιοσύνας ἠγάπησεν«· οὕτω γὰρ ἐν τοῖς ἀκριβέσιν ἀντιγράφοις εὕρομεν καὶ ταῖς λοιπαῖς παρὰ τοὺς ἑβδομήκοντα ἐκδόσεσι καὶ τῷ Ἑβραϊκῷ. ἐπίστησον δὲ εἰ δύναται ὁμοίως καὶ τὰ ἄλλα, 41
ὅσα Χριστὸς εἶναι λέγεται ἐνικῶς, πληθυόμενα ἀνάλογον ὀνομάζεσθαι πληθυντικῶς, οἷον »Χριστός ἐστιν ἡ ζωὴ ἡμῶν«, ὡς αὐτὸς ὁ σωτὴρ φησιν· »Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή«· καὶ ὁ ἀπόστολος· »Ὅταν »⟨ὁ⟩ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερω»θήσεσθε ἐν δόξῃ«. ἐν ψαλμοῖς δὲ πάλιν ἀναγέγραπται· »Κρεῖττον »τὸ ἔλεός σου ὑπὲρ ζωάς«· διὰ γὰρ τὸν ἐν ἑκάστῳ χριστὸν ὄντα
ζωὴν πληθύονται αἱ ζωαί. τάχα δὲ οὕτω ζητητέον καὶ τὸ »Εἰ δο- 42
»κιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος χριστοῦ«; οἱονεὶ γὰρ καθ' ἕκαστον ἅγιον Χριστὸς εὑρίσκεται, καὶ γίνονται διὰ τὸν ἕνα χριστὸν πολλοὶ |
153r χριστοὶ οἱ ἐκείνου μιμηταὶ καὶ κατ' αὐτὸν εἰκόνα ὄντα θεοῦ μεμορφωμένοι· ὅθεν ὁ θεὸς διὰ τοῦ προφήτου φησίν· »Μὴ ἅψησθε τῶν »χριστῶν μου«. ὃ τοίνυν ἐδόξαμεν παρεληλυθέναι διηγούμενοι τὸ »Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο«, τοῦτο νῦν κατὰ τὸ ἐμπεσὸν ἀνεπτύξαμεν· ἅμα δὲ παρεστήσαμεν ὅτι τοῦ βαπτιστοῦ Ἰωάννου ἐστὶν ἡ φωνὴ ἔτι καὶ διὰ τούτων μαρτυροῦντος τῷ υἱῷ τοῦ θεοῦ.

VII. (4) Ἤδη οὖν ἴδωμεν τὴν δευτέραν Ἰωάννου μαρτυρίαν. 43
ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι, ὡς συγγενεῖς ὄντες τοῦ βαπτιστοῦ ἀπὸ γένους ἱερατικοῦ τυγχάνοντος, ἱερεῖς πέμπουσι καὶ Λευίτας πευσομένους, ὅστις ποτὲ εἴη ὁ Ἰωάννης. ὁ δὲ λέγων τὸ »Ἐγὼ οὐκ εἰμὶ ὁ »χριστός« δι' αὐτοῦ τούτου ὁμολογίαν ἀληθείας πεποίηται, καὶ οὐχ,
101H ὡς ἄν τις ὑπολάβοι, διὰ τὸ »Οὐκ εἰμὶ ὁ χριστός« ἠρνήσατο· οὐ γάρ ἐστιν ἄρνησις τὸ εἰς δόξαν Χριστοῦ λέγειν, μὴ αὐτὸν εἶναι Χριστόν. ἅπαξ δὲ οἱ πεμφθέντες ἀπὸ Ἱεροσολύμων ἱερεῖς καὶ Λευῖται ἀκού- 44
σαντες τὸ μὴ εἶναι αὐτὸν τὸν προσδοκώμενον χριστόν, πυνθάνονται περὶ τοῦ δευτέρου ἐλπιζομένου παρ' αὐτοῖς τιμίου ὀνόματος Ἠλίου,

2 I Kor. 1, 30. — **5** Ps. 10, 7 (wo N* U? vid. Clem. Al. p. 766 *δικαιοσύνην* lesen). — **11** Joh. 14, 6. — **12** Kol. 3, 4. — **13** Ps. 62, 4. — **15** II Kor. 13, 3. — **19** Ps. 104, 15. — **21** Joh. 1, 17. — 25 Vgl. S. 108, 25 ff. — **26** Vgl. Joh. 1, 19 ff. — **27** Vgl. Luk. 1, 5. — **28** Joh. 1, 20. — **30** Joh. 1, 20.

1 ἡ] *τὸ*, corr. V vgl. S. 114 Z. 22 | **2** *ἐγενήθη*] *ηθη* a. Ras. M | **12** ⟨ὁ⟩ + V vgl. in Matth. XII, 33 (III, 182, 21 L.) u. XV, 12 (III, 351, 6 L.) | *ὄντες*] über *ὀντ* Comp. für *ας*, darüber für *ες* M.

Digitized by Google

εἰ αὐτὸς εἴη ἐκεῖνος. λέγει δὲ μὴ τυγχάνειν Ἠλίας πάλιν ὁμολογῶν
45 διὰ τοῦ »Οὐκ εἰμὶ« τὸ ἀληθές. ἐπεὶ δὲ πολλῶν προφητῶν γινομένων
ἐν Ἰσραὴλ εἷς τις ὁ ὑπὸ Μωσέως προφητευθεὶς ἐξαιρέτως προσεδο-
κᾶτο κατὰ τὸ φάσκον ῥητόν· »Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ
»θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε. καὶ 109R
»ἔσται πᾶσα [ἡ] ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου,
»ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ«, τρίτον ἐρωτῶσιν οὐχὶ εἰ
46 προφήτης εἴη, ἀλλ᾽ εἰ »ὁ« προφήτης. καὶ τοῦτο τὸ ὄνομα ἐκείνων
οὐκ ἐπὶ Χριστοῦ ταττόντων ἀλλ᾽ οἰομένων ἕτερον παρὰ τὸν χριστὸν
αὐτὸν εἶναι, αὐτὸς γινώσκων τὸν οὗ πρόδρομός ἐστιν ὅτι καὶ ὁ χρι- 10
στὸς καὶ ὁ προφήτης οὗτος ἐστὶν ὁ προφητευθείς, φησίν »Οὔ«· τάχα
〈ἂν〉 τὸ »Ναὶ« ἀποκρινάμενος, εἰ χωρὶς τοῦ ἄρθρου ἠρωτήκεισαν· οὐ
47 γὰρ ἠγνόει προφήτης ὤν. καὶ ἐν ταύταις ὅλαις ταῖς ἀποκρίσεσιν ἡ
δευτέρα οὐδέπω τετέλεσται μαρτυρία Ἰωάννου, ἕως τοῖς αἰτοῦσιν
ἀπόκρισιν ἀπαγγελθησομένην τοῖς πέμψασιν ἑαυτὸν ἀπὸ προφητικῆς 15
κατήγγειλε φωνῆς τῆς τοῦ Ἡσαΐου οὕτως ἐχούσης· »Φωνὴ βοῶντος
»ἐν τῇ ἐρήμῳ, εὐθύνατε τὴν ὁδὸν κυρίου«.

48 VIII. (5) Ἄξιον δὲ ζητῆσαι πότερον τετέλεσται ἡ δευτέρα μαρ-
τυρία καὶ τρίτη γίνεται πρὸς ἀπεσταλμένους ἐκ τῶν Φαρισαίων καὶ
βουλομένους μαθεῖν τί δήποτε βαπτίζει, μήτε Χριστὸς μήτε Ἠλίας 20
μήτε ὁ προφήτης τυγχάνων, ἐν τῷ »Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος
»δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε, [ὁ] ὀπίσω μου ἐρχόμενος, οὗ
»οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος«, ἧ
μέρος τῆς δευτέρας ἐστὶ καὶ τὸ ἀπαγγελλόμενον | πρὸς τοὺς Φαρι- 153v
49 σαίους. ἐγὼ δ᾽ ὅσον ἐκ τῆς λέξεως ἔστι στοχάσασθαι εἴποιμ᾽ ἂν 25
τρίτην εἶναι μαρτυρίαν τὸν πρὸς τοὺς ἀποσταλέντας ἀπὸ τῶν Φαρι-
σαίων λόγον. παρατηρητέον μέντοι γε ὅτι ἡ πρώτη μαρτυρία τὸ
ἔνθεον τοῦ σωτῆρος παρίστησιν, ἡ δὲ δευτέρα τὴν ὑπόνοιαν τῶν
δισταζόντων μήποτε Ἰωάννης εἴη Χριστὸς καθαιρεῖ, ἡ δὲ τρίτη τὸν
ἀοράτως τοῖς ἀνθρώποις παρόντα κηρύττει ὅσον οὐδέπω ἐλευσόμενον. 30
50 πρὶν δὲ τῶν ἑξῆς μαρτυριῶν, καθ᾽ ἃς δεικνύμενος μαρτυρεῖται,
ἑκάστην λέξιν ἴδωμεν τῆς δευτέρας καὶ τρίτης μαρτυρίας. τοῦτο 102H
πρῶτον ἐπιτηρήσαντες ὅτι δύο ἀποστολαὶ γίνονται πρὸς τὸν βαπ-
τιστήν· μία μὲν ἀπὸ Ἱεροσολύμων ὑπὸ Ἰουδαίων πεμπόντων »ἱερεῖς

2 Joh. 1, 21. — **4** Act. 3, 22f. (Vgl. Deut. 18, 15.) — **7** Vgl. Joh. 1, 21. — **12** Joh. 1, 21. — **16** Jes. 40, 3. — **20** Vgl. Joh. 1, 25. — **21** Joh. 1, 26. — **34** Vgl. Joh. 1, 19.

6 [ἡ] über d. Z.; z. str. nach S. 125, 1 | **7** ἐξολεθρευθήσεται (= ABCD), V (M*?) ἐξολοθρευθήσεται (= ϛ B^2 ℵ etc.) | **12** 〈ἂν〉 + We | **19** πρὸς 〈τοὺς〉 V | **22** ὁ z. str. nach S. 94, 15. 139, 28. 140, 21. C. Cels. V, 12 [II, 13, 14 K] | **26** Φα[ρισσαίω]ν a. Ras. | **34** πεμπ[όντ]ων a. Ras.

Digitized by Google

»καὶ Λευῖται, ἵνα ἐρωτήσωσιν αὐτόν· **Σὺ** τίς εἶ;« ἑτέρα δὲ Φαρισαίων ἀποστελλόντων καὶ πρὸς τὴν γεγενημένην ἀπόκρισιν τοῖς ἱερεῦσιν καὶ Λευίταις ἐπαπορούντων. παρατήρει τοίνυν πῶς κατὰ τὸ ἱερατι- **51**
κὸν καὶ λευϊτικὸν πρόσωπόν ἐστι μεθ' ἡμερότητος λεγόμενα καὶ φιλο-
μαθείας τὸ »**Σὺ** τίς εἶ;« καὶ τὸ »Τί οὖν; σὺ Ἠλίας εἶ;« καὶ τὸ »Ὁ προ-
»φήτης ἄρα εἶ σύ;« καὶ ἐπὶ τούτοις· »Τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν
»τοῖς πέμψασιν ἡμᾶς; τί λέγεις περὶ σεαυτοῦ;« οὐδὲν γὰρ αὐθαδες
οὐδὲ θρασὺ ἐν τῇ τούτων ἐστὶ πεύσει, ἀλλὰ πάντα ἁρμόττοντα
110R ἀκριβέσιν θεραπευταῖς θεοῦ. οἱ δὲ ἀπὸ τῶν Φαρισαίων ἀπεσταλμένοι **52**
οὐδὲν περιεργασαμένων πρὸς τὰ εἰρημένα ⟨ὑπὸ⟩ τῶν Λευϊτῶν καὶ
ἱερέων, οἱονεὶ ὑβριστικὰς καὶ ἀνοητοτέρας προσάγουσι τῷ βαπτιστῇ
φωνὰς διὰ τοῦ »Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ χριστὸς οὐδὲ Ἠλίας
»οὐδὲ ὁ προφήτης;« καὶ σχεδὸν οὐ μαθεῖν βουλόμενοι ὡς οἱ προειρη-
μένοι ἱερεῖς καὶ Λευῖται ἀποστέλλουσιν, ἀλλὰ κωλῦσαι ἀπὸ τοῦ βαπ-
τίζειν ἴσως οἰόμενοι οὐδενὸς ἑτέρου ἔργον τυγχάνειν τὸ βαπτίζειν ἢ
Χριστοῦ καὶ Ἠλίου καὶ τοῦ προφήτου. καὶ πανταχοῦ ἐπιμέλειαν τὸν **53**
ἀκριβῶς ἐντευξόμενον τῇ γραφῇ ποιητέον, τηρεῖν ἀναγκαίου ὄντος
τὰ λεγόμενα ὑπὸ τίνων καὶ πότε λέγεται, ἵν' εὑρίσκωμεν τὸ τοῖς
προσώποις ἁρμοζόντως περιτεθεῖσθαι λόγους δι' ὅλων τῶν ἁγίων
βιβλίων.

I, 19f. *Τότε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ; καὶ ὡμολόγησε καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι Ἐγὼ οὐκ εἰμὶ ὁ χριστός.*

IX. (6) Καὶ τίνας ἐχρῆν πρεσβύτας πεπέμφθαι πρὸς τὸν Ἰωάν- **54**
νην ἀπὸ Ἰουδαίων καὶ πόθεν ἢ τοὺς διαφέρειν νενομισμένους κατ'
ἐκλογὴν θεοῦ ἀπὸ τοῦ ἐξειλεγμένου παρὰ πᾶσαν τὴν λεγομένην γῆν
ἀγαθὴν τόπου Ἱεροσολύμων, ἔνθα ὁ ναὸς ἦν τοῦ θεοῦ; Ἰωάννου μὲν
οὖν μετὰ τοσαύτης πυνθάνονται τιμῆς· περὶ Χριστοῦ δὲ οὐδὲν τοιοῦ-
τον ἀναγέγραπται γεγονέναι ὑπὸ Ἰουδαίων· ἀλλ' ὅπερ Ἰουδαῖοι πρὸς
154r Ἰωάννην ποιοῦσι, τοῦτο Ἰωάννης πρὸς Χριστὸν διὰ τῶν ἰδίων μα-
θητῶν πυνθανόμενος· »Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν;«
καὶ Ἰωάννης μὲν πρὸς τοὺς ἐληλυθότας ὁμολογήσας καὶ μὴ ἀρνησά- **55**
μενος ὕστερον τὸ »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ« ἀποφαίνεται·
103H Χριστὸς δὲ τὴν ἀπόκρισιν ποιεῖται ὡς μείζονα τὴν μαρτυρίαν Ἰωάννου

1 Vgl. Joh. 1, 24. — **5** Joh. 1, 21f. — **12** Joh. 1, 25. — **25** Vgl. Röm. 9, 11. — **31** Matth. 11, 3. — **32** Vgl. Joh. 1, 20. — **33** Joh. 1, 23. — **34** Vgl. Joh. 5, 36.

10 ⟨ὑπὸ⟩ + **We** | **11** *ἀνοητοτέρας*] *ἀνθρωποτέρας*, corr. We (aus *ἀνοτέρας* verdorben), *⟨ἀπ⟩ανθρωποτέρας* Hu | **16** *τοῦ* über d. Z.

Digitized by Google

ἔχων λόγοις καὶ ἔργοις φάσκων· »Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ
»ἃ βλέπετε καὶ ἀκούετε· τυφλοὶ ἀναβλέπουσιν, χωλοὶ περιπατοῦσι.
»λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, πτωχοὶ εὐαγγελίζονται«. περὶ
ὧν εὐκαιρότερον, θεοῦ διδόντος, ἐν τοῖς οἰκείοις διαληψόμεθα τόποις.
56 ἴσως δ' ἂν οὐκ ἀλόγως τις ἐπιστήσειε τί δήποτε τῶν ἱερέων καὶ
Λευϊτῶν πυνθανομένων Ἰωάννου οὐχὶ εἰ αὐτὸς εἴη ὁ χριστός, ἀλλὰ
»Σὺ τίς εἶ;« ἀποκρίνεται ὁ βαπτιστὴς οὐχ ὅπερ ἐχρῆν πρὸς τὸ »Σὺ
»τίς εἶ;« »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«· ἀλλ' ὅπερ οἰκείως ἂν
ἐλέγετο εἰ ἦσαν πυθόμενοι »Σὺ εἶ ὁ χριστός;« ἤρμοττε γὰρ πρὸς τὸ
»Σὺ εἶ ὁ χριστός;« τὸ »Ἐγὼ οὐκ εἰμὶ ὁ χριστός«· πρὸς δὲ τὸ »Σὺ τίς 111 R
57 »εἶ;« τὸ »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«. λεκτέον δὲ πρὸς τοῦτο
ὅτι, ὡς εἰκός, ἑώρα ἀπὸ τῆς πεύσεως τὸ εὐλαβὲς τῶν ἱερέων καὶ
Λευϊτῶν ἐμφαινόντων μὲν ὑπόνοιαν ὑπολήψεως, μήποτ' εἴη ὁ βαπ-
τίζων Χριστός, γυμνότερον δὲ ὀνομάσαι τοῦτο ὑπὲρ τοῦ μὴ δοκεῖν
εἶναι προπετεῖς φυλαττομένων. ὅθεν εὐλόγως ὑπὲρ τοῦ πᾶσαν ὑπό-
νοιαν αὐτῶν πρῶτον περιαιρεθῆναι ψευδῆ τὴν περὶ ἑαυτοῦ, εἶθ' οὕ-
τως παραστῆσαι τὸ ἀληθὲς τὸ οὐκ εἶναι Χριστὸς πρὸ πάντων ἀπο-
58 φαίνεται. δηλοῖ δὲ τὸ τοιοῦτόν τι αὐτοὺς ὑπονενοηκέναι ἡ δευτέρα
ἐρώτησις καὶ ἔτι ἡ τρίτη. ἐπεὶ γὰρ καὶ δεύτερον τῇ τιμῇ ἐλπιζόμε-
νον μὲν καὶ μετὰ Χριστὸν αὐτοῖς τετιμημένον Ἠλίαν εἶναι ὑπελάμ-
βανον, ἀποφαινομένου τοῦ Ἰωάννου ὡς οὐκ εἴη Χριστὸς ἠρώτησαν·
59 »Τί οὖν; σὺ Ἠλίας εἶ; καὶ εἶπεν Οὐκ εἰμί«. τὸ τρίτον εἰ αὐτὸς εἴη
ὁ προφήτης βούλονται μαθεῖν· οὗ ἀποκριναμένου τὸ Οὗ οὐκέτι ἔχοντες
ἰδικῶς ὄνομα ἐλπιζομένου ἐπιδημήσειν αὐτοῖς εἰπεῖν, φασίν· »Τίς εἶ;
»ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;«
τοῦτο δηλοῦντες· ταῦτα μὲν οὐκ εἶ ἅπερ ἐλπιζόμενα τῷ Ἰσραὴλ παρ-
έσεσθαι προσδοκᾶται, ὅστις δὲ ὢν βαπτίζεις οὐκ ἴσμεν· διόπερ τοῦτο
ἡμᾶς δίδαξον, ἵν' ἔχωμεν ἀπαγγεῖλαι τοῖς ἡμᾶς διὰ τοῦτο πέμψασι
60 πρὸς σέ. ἔτι δὲ καὶ τοῦτο ἐχόμενον τῶν προκειμένων προσθήσομεν,
ὅτι ὁ καιρὸς τῆς Χριστοῦ ἐπιδημίας ἔσαινε τὸν λαὸν ἤδη πως ἐνεστη-
κὼς περὶ τὰ ἔτη τὰ ἀπὸ τῆς γενέσεως τοῦ Ἰησοῦ καὶ ὀλίγῳ ἀνωτέρω
61 μέχρι τῆς ἀναδείξεως τοῦ κηρύγματος. διόπερ, ὡς εἰκός, τῶν γραμ-
ματέων καὶ νομικῶν τὸν ἐλπιζόμενον, ἀπὸ τῶν θείων γραφῶν καταγ-
αγόντων αὐτοῦ τὸν χρόνον, | ἤδη προσδοκώντων, ἐπεφύησαν Θευδᾶς, 154v
οὐκ ὀλίγον πλῆθος ὡς Χριστός, οἶμαι, συναγαγών, καὶ μετ' ἐκεῖνον

1 Matth. 11, 4f. — 6 Vgl. Joh. 1, 19. — 22 Joh. 1, 21. — 24 Joh. 1, 22. — 34 Vgl. Act. 5, 36f. — 35 Joseph. Antiq. XX, 5, 1f.

13 ἐμφα[ινόντων μὲν ὑπόνοιαν] a. Ras. | εἴη ὁ] εἴης darüber ÷, corr. We, εἴης ὁ V | 21 ἠρώτησαν] ἐρωτησαν, v. Il. Hd. zu ἐρωτήσειν corr., ἐρωτῶσι V, corr. Br | 23 οὗ über d. Z.

Digitized by Google

»Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς τῆς ἀπογραφῆς ἡμέραις«. εἰκότως οὖν θερμότερον τῆς Χριστοῦ ἐπιδημίας προσδοκωμένης καὶ λαλουμένης οἱ Ἰουδαῖοι ἀπὸ Ἱεροσολύμων τοὺς ἱερεῖς καὶ Λευίτας πέμπουσι πρὸς τὸν Ἰωάννην διὰ τοῦ »Σὺ τίς εἶ;« μαθεῖν βουλόμενοι, εἰ αὐτὸς Χριστὸς εἶναι ὁμολογήσει.

I, 21. *Καὶ ἠρώτησαν αυτόν· Τί οὖν; σὺ Ἠλίας εἶ; καὶ λέγει Οὐκ εἰμί.*

X. (7) Τίς οὐκ ἂν ζητήσαι τῶν ἀκουόντων Ἰησοῦ λέγοντος περὶ 62
Ἰωάννου· »Εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι«.
πῶς πρὸς τοὺς ἐρωτῶντας τὸ »Σὺ Ἠλίας εἶ;« λέγει Ἰωάννης· »Οὐκ
εἰμί«· πῶς δὲ καὶ νοῆσαι δεῖ τὸν Ἰωάννην αὐτὸν εἶναι Ἠλίαν τὸν
112R μέλλοντα ἔρχεσθαι κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Μαλαχίου οὕτως ἔχον·
»Καὶ ἰδού, ἐγὼ ἀποστέλλω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν
»ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίαν
»πατρὸς πρὸς υἱὸν καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ,
»μὴ ἐλθὼν καὶ πατάξω τὴν γῆν ἄρδην«; καὶ ὁ τοῦ ὀφθέντος δὲ τῷ 63
Ζαχαρίᾳ ἀγγέλου κυρίου ἑστῶτος ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ
θυμιάματος λόγος πρὸς τὸν Ζαχαρίαν παραπλήσιόν τι ἐμφαίνει τοῖς
ὑπὸ τοῦ Μαλαχίου εἰρημένοις διὰ τούτων· »Καὶ ἡ γυνή σου Ἐλισάβετ
»γεννήσει υἱόν σοι καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην·« καὶ μετ'
ὀλίγα· »Αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει
»Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα καὶ ἀπειθεῖς ἐν φρο-
»νήσει δικαίων, ἑτοιμάσαι κυρίῳ λαὸν κατεσκευασμένον«. πρὸς δὴ τὸ 64
πρῶτον ὁ μέν τις ἐρεῖ ὅτι ἑαυτὸν ἠγνόει Ἰωάννης Ἠλίαν ὄντα· καὶ
τάχα τούτῳ χρήσονται οἱ ἐκ τούτων τῷ περὶ μετενσωματώσεως
παριστάμενοι λόγῳ, ὡς τῆς ψυχῆς μεταμφιεννυμένης σώματα καὶ οὐ
πάντως μεμνημένης τῶν προτέρων βίων. οἱ δ' αὐτοὶ οὗτοι ἐροῦσι
καί τινας τῶν Ἰουδαίων τῷ δόγματι συγκατατιθεμένους περὶ τοῦ
σωτῆρος εἰρηκέναι ὡς ἄρα εἷς τις εἴη τῶν ἀρχαίων προφητῶν ἀνα-
στὰς οὐκ ἀπὸ τῶν μνημείων ἀλλ' ἀπὸ τῆς γενέσεως. πῶς γὰρ ἐδύ- 65
ναντο, σαφῶς δεικνυμένης τῆς μητρὸς αὐτοῦ Μαρίας ὑπολαμβανομένου
τε πατρὸς αὐτῷ τυγχάνειν Ἰωσὴφ τοῦ τέκτονος, νομίζειν ἕνα τινὰ
τῶν προφητῶν αὐτὸν τυγχάνοντα ἐγηγέρθαι ἀπὸ τῶν νεκρῶν; καὶ

3 Vgl. Joh. 1, 19. — **9** Matth. 11, 14. — **13** Mal. 4, 4f. (3, 22f.) — **16** Vgl. Luk. 1, 11. — **19** Luk. 1, 13. — **21** Luk. 1, 17. — **25** Basilides bei Clemens Al., Excerpta ex Theod. 28. Vgl. Hilgenfeld, Ketzergesch. d. Urchristent. 213. 225. — **29** Vgl. Luk. 9, 19. — **31** Vgl. Matth. 13, 55. Mark. 6, 3. — **32** Vgl. Luk. 9, 8; Matth. 14, 2.

1 *εἰκός*, corr. We | **15** *πρὸς*^{2} über d. Z. M^1 | **19** *εἰρῆ εἰρημενοις*, Punkte v. II. Hd. | **25** *τούτων*] viell. *τ⟨οι οὗτων* z. l. | **30** *ἐδύνατο* M, corr. V.

Digitized by Google

τῷ »Ἐξαλείψω δὲ πᾶσαν τὴν ἐξανάστασιν« ἀναγεγραμμένῳ ἐν τῇ Γενέσει οἱ αὐτοὶ χρώμενοι τὸν πεφροντικότα πιθανότητας ἀπατηλὰς προσαγομένας ἀπὸ τῶν γραφῶν λύειν εἰς ἀγῶνα παραστήσουσιν ἱστάμενον πρὸς τὸ δόγμα.

66 XI. Ἕτερος δέ τις ἐκκλησιαστικὸς τὸν περὶ τῆς μετενσωματώσεως ἀποπτύων ὡς ψευδῆ λόγον, μὴ προσιέμενος τὸ τὴν ψυχὴν Ἰωάννου Ἠλίαν ποτὲ γεγονέναι, τῷ προειρημένῳ | λόγῳ τοῦ ἀγγέλου χρήσεται 105H 155r ψυχὴν Ἠλίου μὴ ὀνομάσαντος ἐπὶ τῆς Ἰωάννου γενέσεως ἀλλὰ πνεῦμα καὶ δύναμιν διὰ τοῦ »Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύ»ματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα« διὰ μυρίων δυνάμενος ἀποδεικνύναι γραφῶν ἕτερον εἶναι τὸ πνεῦμα τῆς ψυχῆς καὶ ὀνομαζομένην δύναμιν τοῦ πνεύματος καὶ τῆς ψυχῆς· 113R περὶ ὧν οὐκ εὔκαιρον νῦν παρατίθεσθαι τὰ πολλά, ἵνα μὴ πάνυ τὸν
67 λόγον περισπάσωμεν. ἀρκεσθήσεται δὲ ἐπὶ τοῦ παρόντος πρὸς μὲν τὸ διαφέρειν δύναμιν πνεύματος τὸ »Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ »σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι«· πρὸς δὲ ⟨τὸ⟩ τὰ ἐν τοῖς προφήταις πνεύματα, ἅτε δεδωρημένα αὐτοῖς ὑπὸ θεοῦ οἱονεὶ ἐκείνων ὀνομάζεσθαι κτήματα τὸ »Πνεύματα προφητῶν προφήταις ὑποτάσσε»ται«· καὶ τὸ »Ἀναπέπαυται τὸ πνεῦμα Ἠλίου ἐπὶ Ἐλισσαιέ«. οὕτω γὰρ οὐδὲν ἄτοπον, φησίν, ἔσται τὸν Ἰωάννην ἐν πνεύματι καὶ δυνάμει Ἠλίου ἐπιστρέφοντα καρδίας πατέρων ἐπὶ τέκνα, διὰ τοῦτο τὸ
68 πνεῦμα Ἠλίαν λέγεσθαι τὸν μέλλοντα ἔρχεσθαι. εἰς παραμυθίαν δὲ τούτων καὶ τούτῳ χρήσεται τῷ λόγῳ· εἰ ὁ τῶν ὅλων θεὸς οἰκειωθεὶς τοῖς ἁγίοις θεὸς αὐτῶν γίνεται, οὕτως ὀνομαζόμενος θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ, πόσῳ πλέον τὸ ἅγιον πνεῦμα οἰκειωθὲν τοῖς προφήταις πνεῦμα αὐτῶν χρηματίζειν οἷόν τε ἔσται, ἵν' ᾖ οὕτως πνεῦμα Ἠλίου καὶ πνεῦμα Ἡσαΐου λεγόμενον τὸ πνεῦμα;
69 ὁ αὐτός τε οὗτος ἐκκλησιαστικὸς ἐρεῖ δύνασθαι μὲν τοὺς ὑπειληφότας ἕνα τῶν προφητῶν εἶναι τὸν Ἰησοῦν ἀναστάντα ἐκ νεκρῶν ἠπατῆσθαι κατά τε τὸ προειρημένον δόγμα καὶ κατὰ τὸ ὑπολαμβάνειν αὐτὸν ἕνα τῶν προφητῶν τυγχάνειν, δύνασθαι δὲ πρὸς τῷ κατὰ τὸ νομίζειν αὐτὸν τῶν προφητῶν εἶναι ἕνα πταίειν καὶ ψευδοδοξεῖν καὶ κατὰ τὸ ἀγνοεῖν αὐτοῦ τὸν λεγόμενον πατέρα καὶ τὴν οὖσαν μητέρα, οἴεσθαί
70 τε αὐτὸν ἀπὸ τῶν μνημείων ἐγηγέρθαι. καὶ πρὸς τὸ ἐν τῇ Γενέσει

1 Gen. 7, 4. — **7** Vgl. S. 119, 21. — **9** Luk. 1, 17. — **15** Luk. 1, 35. — **18** I Kor. 14, 32. — **19** II Kön. 2, 15. — **21** Vgl. Matth. 10, 35. Luk. 12, 53. — **24** Vgl. Ex. 3, 6.

3 *παραστήσουσιν*] περιστήσουσιν, corr. V | **6** *προσιέμενος* bis *Ἰωάννου* a. Ras. | **15** *τὸ*²] τῶ, corr. Hu | **16** ⟨*τὸ*⟩ + We | **18** *τὸ*] τῶ, corr. Hu | **19** *τὸ*] τῶ, corr. Hu | *Ελισ*[*σαιέ*] a. Ras. | 22 *πνεῦμα* auf d. Rand M² | 32 *εἶναι* a. Ras.

Digitized by Google

δὲ πέρὶ τῆς ἐξαναστάσεως ἀπαντήσεται ὁ ἐκκλησιαστικὸς χρώμενος τῷ »Ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέ»κτεινε Κάϊν« τῆς »ἐξαναστάσεως« καὶ ἐπὶ »γενέσεως« κειμένης. οὗτος δὴ πρὸς τὸ πρῶτον ἀπορηθὲν ἑτέρως παρὰ τὸν ὑπολαμβάνοντα μετ-
5 ενσωμάτωσιν ἀπολογούμενος ἐρεῖ διὰ μὲν τὰ ἀρτίως κατασκευασθέντα λόγῳ τινὶ εἶναι τὸν Ἰωάννην Ἠλίαν τὸν μέλλοντα ἔρχεσθαι, ἀποκεκρίσθαι δὲ πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας τὸ »Οὐκ εἰμὶ« στοχασάμενον τοῦ βουλήματος τῆς ἐρωτήσεως αὐτῶν. οὐ γὰρ τοῦτο ἤθελεν ἡ 71
106H προγενομένη ἐξέτασις τῷ Ἰωάννῃ ἀπὸ τῶν ἱερέων καὶ Λευϊτῶν, τὸ
10 μαθεῖν εἰ τὸ αὐτὸ πνεῦμα ἐν ἀμφοτέροις ἐτύγχανεν, ἀλλ' εἰ ὁ Ἰωάν-
155v νης αὐτὸς Ἠλίας ὁ ἀναληφθεὶς νῦν ἐπιφαινόμενος κατὰ τὸ Ἰουδαίοις προσδοκώμενον χωρὶς γενέσεως, ἣν τάχα καὶ ἠγνόουν οἱ ἀπὸ Ἱεροσολύμων ἀποσταλέντες· πρὸς ἣν πεῦσιν εἰκότως ἀποκρίνεται τὸ »Οὐκ εἰμί«· οὐ γὰρ Ἠλίας ὁ ἀναληφθεὶς ἀμείψας σῶμα ἐληλύθει
15 Ἰωάννης ὀνομαζόμενος.

114R XII. Ὁ δὲ πρῶτος, οὗ τὸν νοῦν παρεθήκαμεν οἰομένου μετεν- 72
σωμάτωσιν ἐντεῦθεν κατασκευάζεσθαι, προσδιατρίβων τῇ βασάνῳ τῆς λέξεως ἐρεῖ πρὸς τὸν δεύτερον, ὅτι οὐκ ἀκόλουθον τὸν τηλικούτου ἱερέως Ζαχαρίου υἱὸν ἐπὶ γήρᾳ γεγεννημένον ἀμφοτέροις τοῖς
20 γονεῦσιν παρὰ πᾶσαν ἀνθρωπίνην προσδοκίαν ἀγνοεῖσθαι ὑπὸ τῶν τοσούτων ἐν Ἱεροσολύμοις Ἰουδαίων καὶ τῶν πεμφθέντων ὑπ' αὐτῶν Λευϊτῶν καὶ ἱερέων, οὐ γινωσκόντων τὸ γεγεννῆσθαι ⟨οὕτως⟩ αὐτόν· καὶ μάλιστα Λουκᾶ μαρτυροῦντος ὅτι »Ἐγένετο ἐπὶ πάντας φόβος »τοὺς περιοικοῦντας αὐτούς« (δῆλον δὲ ὅτι τὸν Ζαχαρίαν καὶ τὴν
25 Ἐλισάβετ) »καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ »ῥήματα ταῦτα«. εἰ δὲ οὐκ ἠγνοεῖτο ἡ ἐκ Ζαχαρίου γένεσις Ἰωάννου, 73
ἔπεμπον δὲ οἱ ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι διὰ τῶν Λευϊτῶν καὶ ἱερέων πευσόμενοι τὸ »Σὺ Ἠλίας εἶ;« δῆλον ὅτι τοῦτο ἔλεγον τὸ περὶ μετενσωματώσεως δόγμα οἰόμενοι εἶναι ἀληθὲς ὡς πάτριον τυγχάνον καὶ
30 οὐκ ἀλλότριον τῆς ἐν ἀπορρήτοις διδασκαλίας αὐτῶν. διὰ τοῦτο οὖν λέγει »Οὐκ εἰμὶ Ἠλίας« ὁ Ἰωάννης, ἐπεὶ ἀγνοεῖ τὸν ἴδιον πρότερον βίον.

XIII. Τούτων δὴ οὐκ εὐκαταφρόνητον πιθανότητα ἐχόντων, 74
πάλιν ὁ ἐκκλησιαστικὸς ἀπορήσει πρὸς τὸν πρότερον εἰ κατὰ τὸν
35 προφήτην ἐστὶν ⟨τὸν⟩ ὑπὸ τοῦ πνεύματος φωτιζόμενον καὶ ὑπὸ

2 Gen. 4, 25. — 7 Vgl. Joh. 1, 21. — 23 Luk. 1, 65. — 35 Vgl. Luk. 1, 35.

1 δὲ] τε, corr. We, oder τε ist zu γε⟨γραμμένον⟩ zu erg. | 9 προ..νομένη M γε verblichen, νο könnte als γο gelesen werden; προγενομένη V | 10 εἰ ü. d. Z. | 19 γεγενημένον, corr. Pr | 22 γεγενῆσθαι, corr. Pr | ⟨οὕτως⟩ + We | 35 ⟨τὸν⟩ + Pr.

Digitized by Google

Ἡσαΐου προφητευόμενον, ὑπό τε τηλικούτου [τοῦ] ἀγγέλου πρὶν γεννηθῆναι τεχθήσεσθαι προειρημένον, ἐκ τοῦ πληρώματος Χριστοῦ εἰληφότα, χάριτος τηλικαύτης μετεσχηκότα, τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ γεγενῆσθαι νενοηκότα, περὶ θεοῦ καὶ τοῦ μονογενοῦς τοῦ εἰς τὸν κόλπον τοῦ πατρὸς διηγησάμενον τὰ τοσαῦτα, τὸ ψεύσασθαι
75 καὶ ὅπερ ἦν οὐκ ἐγνωκότα κἂν ἐπισχεῖν. ἐχρῆν γὰρ περὶ τῶν ἀδηλοτέρων ἐπέχειν ὁμολογεῖν, καὶ μήτε τιθέναι μήτε αἴρειν τὴν πρότασιν. πῶς δὲ οὐκ ἦν εὔλογον, εἰ πολλῶν τοῦτο δόγμα ἐτύγχανεν, ἐπισχεῖν τὸν Ἰωάννην περὶ αὐτοῦ, μήποτε ἡ ψυχὴ αὐτοῦ ποτε ἐν
76 Ἠλίᾳ ἦν; καὶ ἐπὶ τὴν ἱστορίαν δὲ ὁ ἐκκλησιαστικὸς προκαλέσεται τὸν πρότερον πευσόμενον παρὰ τῶν τὰ ἀπόρρητα ἐγνωκέναι παρ' Ἑβραίοις ἐπαγγελλομένων, εἰ τοιοῦτόν τι δόγμα ἐστὶ παρ' αὐτοῖς· ἐὰν γὰρ 107H μηδαμῶς φαίνηται τοῦθ' οὕτως ἔχον, δῆλον ὅτι ἐσκέδασται ὁ τοῦ προ-
77 τέρου λόγος. οὐδὲν | τοίνυν ἧττον ὁ ἐκκλησιαστικὸς χρήσεται τῇ προα- 156r ποδεδομένῃ λύσει, ἔτι καὶ αὐτὸς τὸ βούλημα τῶν πυθομένων παραστῆσαι ἀπαιτούμενος. εἰ γάρ, ὡς κατεσκεύασεν, οἱ πέμψαντες ἴσασι γεγενημένον ἐκ Ζαχαρίου καὶ Ἐλισάβετ τὸν Ἰωάννην, καὶ πολλῷ πλέον οἱ πεμφθέντες γένους ὄντες ἱερατικοῦ, οὓς οὐκ ἂν ἔλαθεν ἡ 115R τοῦ οὕτως ἐπιφανοῦς συγγενοῦς Ζαχαρίου παράδοξος εὐπαιδία, τί νοήσαντες πυνθάνονται τὸ »Σὺ Ἠλίας εἶ;« ἄνδρες ἀνεγνωκότες ἀνειλῆφθαι αὐτὸν ὡς εἰς τὸν οὐρανὸν καὶ προσδοκῶντες ἐπιδημίαν αὐτοῦ;
78 τάχα οὖν, ἐπεὶ πρὸς τῇ συντελείᾳ προσδοκῶσιν Ἠλίαν πρὸ Χριστοῦ καὶ ἐπὶ τούτῳ Χριστόν, οἱονεὶ τροπικώτερον φαίνονται ἐρωτῶντες Εἰ σὺ εἶ ὁ προκαταγγέλλων τὸν πρὸ Χριστοῦ ἐπὶ συντελείᾳ ἐλευσόμενον λόγον; καὶ ἐπιστημόνως πρὸς τοῦτο ἀποκρίνεται τὸ »Οὐκ
79 »εἰμί«.

XIV. Ἔτι δὲ ὁ ἐκκλησιαστικὸς ἱστάμενος πρὸς τὰ ἐξητασμένα ὑπὸ τοῦ ἑτέρου ἀποδεικνύναι πειρωμένου μὴ ἂν λεληθέναι τοὺς ἱερεῖς οὕτως ἐπιφανῆ γεγενημένην τὴν Ἰωάννου γένεσιν διὰ τὸ »ἐν τῇ »ὀρεινῇ τῆς Ἰουδαίας« διαλελαλῆσθαι »πάντα τὰ ῥήματα ταῦτα«, φήσει τὴν παραπλησίαν ἀπάτην πολλοῖς γεγονέναι καὶ περὶ τοῦ σωτῆρος, ἐπεὶ »Οἱ μὲν ἔλεγον αὐτὸν Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι »δὲ Ἠλίαν, † ἄλλοι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν«, ὡς καὶ οἱ μαθηταὶ πυνθανομένῳ τῷ κυρίῳ γενομένῳ ἐν τοῖς μέρεσι Καισαρείας

1 Vgl. Jes. 40, 3. — Vgl. Luk. 1, 11. — 2 Vgl. Joh. 1, 16ff. — 14 Vgl. S. 121, 3ff. — 20 Joh. 1, 21. — 22 Vgl. Schürer, Gesch. d. jüd. V. III³, 524f. — 29 Vgl. Luk. 1, 65. — 32 Matth. 16, 14.

6 καὶ] wohl ἢ z. l. | 8 δόγμα] δόγματα, corr. Hu | 14 λόγος] λόγον, corr. V ἐκκλησιαστικὸς] ος a. Ras. | 16 κατεσκεύασεν] κατεσκεύασαν, corr. Br | 17 τὸν aus τῶν corr. | 33 ἄλλοι statt ἕτεροι wohl nur Gedächtnisfehler.

Digitized by Google

τῆς Φιλίππου εἰρήκασι. καὶ ὁ Ἡρῴδης δὲ λέγων· »Ὃν ἐγὼ ἀπεκε- 80
»φάλισα Ἰωάννην, αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν« περὶ τοῦ χριστοῦ
ἔοικε μὴ εἰδέναι τὰ λεγόμενα ὑπὸ τῶν φασκόντων· »Οὐχ οὗτός ἐστιν
»ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελ-
»φοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ Ἰούδας; καὶ ⟨αἱ⟩ ἀδελ-
»φαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν«; οὐδὲν οὖν θαυμαστόν, 81
ὥσπερ ἐπὶ τοῦ σωτῆρος, πολλῶν ἐγνωκότων τὴν ἐκ Μαρίας γένεσιν
αὐτοῦ, ἄλλους ἠπατῆσθαι, οὕτω καὶ ἐπὶ τοῦ Ἰωάννου οὓς μὲν μὴ
λεληθέναι τὴν ἐκ Ζαχαρίου γένεσιν αὐτοῦ, ἑτέρους δὲ διστάζειν, μή-
ποτε ὁ προσδοκώμενος Ἠλίας ἐπεφάνη κατὰ τὸν Ἰωάννην (καὶ οὐ 82
χώραν γε μᾶλλον ἔχει ἡ περὶ τοῦ Ἰωάννου ἐπαπόρησις, μήποτε εἴη
Ἠλίας, ἥπερ ἡ περὶ τοῦ σωτῆρος, μὴ ἄρα αὐτὸς τυγχάνῃ Ἰωάννης)
ὧν τοῦ Ἠλίου μὲν τὸν χαρακτῆρα ἀπὸ μόνης τῆς λέξεως, καὶ οὐχὶ
ἀπὸ τῆς αἰσθήσεως † ἀποβάλλεσθαι διὰ τὸ »Ἀνὴρ δασὺς καὶ ζώνην
»δερματίνην περιεζωσμένος περὶ τὴν ὀσφὺν αὐτοῦ«· τοῦ δὲ Ἰωάννου
τὸ εἶδος προεγνωσμένον τάχα, οὐδὲ παραπλήσιον τυγχάνον τῷ χα-
108H ρακτῆρι τοῦ Ἰησοῦ, οὐδὲν ἧττον ὑπόνοιάν τισι παρεσχηκέναι, μήποτε
ὁ Ἰωάννης ἀνέστη ἐκ νεκρῶν Ἰησοῦς μετονομαζόμενος. καὶ περὶ 83
μετωνυμίας γάρ, ὡς ἐν ἀπορρήτοις, οὐκ οἶδα πόθεν κινούμενοι οἱ
156v Ἑβραῖοι παραδιδόασι Φινεές, τὸν Ἐλεαζάρου υἱόν, ὁμολογουμένως
παρατείναντα τὴν ζωὴν ἕως πολλῶν κριτῶν, ὡς ἐν τοῖς Κριταῖς
116R ἀνέγνωμεν, αὐτὸν εἶναι Ἠλίαν, καὶ τὸ ἀθάνατον ἐν τοῖς Ἀριθμοῖς
αὐτῷ διὰ τῆς ὀνομαζομένης εἰρήνης ἐπηγγέλθαι, ἀνθ' ὧν ζηλώσας
θείῳ ζήλῳ κεκινημένος ἐξεκέντησε τὴν Μαδιανῖτιν καὶ τὸν Ἰσραηλί-
την καὶ κατέπαυσε τὸν λεγόμενον θυμὸν τοῦ θεοῦ κατὰ τὸ γεγραμ-
μένον· »Φινεὲς υἱὸς Ἐλεαζὰρ υἱοῦ Ἀαρὼν κατέπαυσε τὸν θυμόν μου.
»ἀνθ' ὧν ἐζήλωσε τὸν ζῆλόν μου«. θαυμαστὸν οὖν οὐδὲν εἰ οἱ τὸν 84
αὐτὸν ὑπολαμβάνοντες Φινεὲς καὶ Ἠλίαν, (ἤτοι ὑγιῶς λέγοντες ἢ μή·
οὐ γὰρ περὶ τούτου νῦν πρόκειται ἐξετάζειν) τὸν αὐτὸν ἐνόμιζον
εἶναι Ἰωάννην καὶ Ἰησοῦν. ἢ ἐδίσταζόν γε περὶ τούτου μαθεῖν τε
ἐβούλοντο εἰ ὁ αὐτός ἐστιν Ἰωάννης καὶ Ἠλίας. προηγουμένως δὲ 85
ἐν ἄλλοις ἐπιμελέστερον ἐξεταστέον καὶ ἐπὶ πλεῖον τὸν λόγον ἐρευ-
νητέον τὸν περὶ τῆς οὐσίας τῆς ψυχῆς καὶ τῆς ἀρχῆς τῆς συστάσεως
αὐτῆς καὶ τῆς εἰς τὸ γήϊνον σῶμα εἰσκρίσεως αὐτῆς, τῶν τε ἐπιμε-
ρισμῶν τοῦ ἑκάστης βίου καὶ τῆς ἐντεῦθεν ἀπαλλαγῆς, καὶ εἰ ἐνδέχε-

1 Mark. 6, 16. Matth. 14, 2. — **3** Matth. 13, 55f. — **14** II Kön. 1, 8. — **21** Vgl. Richt. 20, 28. — **23** Vgl. Num. 25, 11. — **33** Vgl. de princ. 2, 8.

1 Das Citat aus Mark. u. Matth. vermischt, wohl ebenfalls gedächtnismässig | **5** ⟨αἱ⟩ nach Comm. in Mt. X, 17 (III, 45, 8 L.) zugesetzt. Das Fehlen von αἱ ist im NT. handschriftl. unbezeugt | **13.14** ἀπὸ] viell. ἐπὶ z. l. | ἀπολαβέσθαι? Pr, λαμβάνεσθαι? We | **30** nach γε + καὶ V, besser καὶ statt ἢ einzusetzen.

Digitized by Google

ται αὐτὴν εἰσκριθῆναι δεύτερον ἐν σώματι ἢ μή, καὶ τῇ αὐτῇ περιόδῳ καὶ τῇ αὐτῇ διακοσμήσει ἢ οὔ, καὶ τῷ αὐτῷ σώματι ἢ ἑτέρῳ, καὶ εἰ τῷ αὐτῷ, πότερον καθ' ὑποκείμενον μένοντι τῷ αὐτῷ κατὰ δὲ ποιότητα μεταβαλομένῳ, ἢ καὶ καθ' ὑποκείμενον καὶ ποιότητα ἑσομένῳ
86 *τῷ αὐτῷ, καὶ εἰ ἀεὶ τῷ αὐτῷ σώματι χρήσεται ἢ ἀμείψει αὐτό. ἐν* 5
οἷς καὶ τί ἐστι κυρίως μετενσωμάτωσις ἐξετάσαι δεήσει, τί τε αὕτη διαφέρει ἐνσωματώσεως, καὶ εἰ ἀκολουθεῖ τῷ λέγοντι μετενσωμάτωσιν ἄφθαρτον τηρεῖν τὸν κόσμον. ἐν οἷς ἀναγκαῖον ἔσται παραθεῖναι καὶ τοὺς λόγους τῶν θελόντων κατὰ τὰς γραφὰς συσπείρεσθαι τὴν
87 *ψυχὴν τῷ σώματι καὶ τὰ ἀκολουθοῦντα αὐτοῖς. καὶ ἁπαξαπλῶς ὁ* 10
περὶ ψυχῆς λόγος πολὺς καὶ δυσερμήνευτος ὢν ἀναλεχθησόμενος ἀπὸ τῶν ἐν ταῖς γραφαῖς σποράδην κειμένων ἰδίας δεῖται πραγματείας. διόπερ νῦν κατὰ τὸ παρῆκον ἐκ τῶν περὶ Ἰλίου καὶ Ἰωάννου ἐζητημένων ἐπὶ βραχὺ ἐξετάσαντες τὸ πρόβλημα μετίωμεν ἐπὶ τὰ ἑξῆς.

I, 21. *Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη Οὔ.* 109 H

88 XV. (8) *Εἰ ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, καὶ τί ἄλλο ἂν*
λέγοιμεν εἶναι Ἰωάννην ἢ προφήτην; ὡς καὶ ὁ πατὴρ αὐτοῦ Ζαχα- 117 R
ρίας πλησθεὶς πνεύματος ἁγίου προφητεύων φησί· »Καὶ σὺ δέ, παιδίον, »προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ ἐνώπιον κυρίου ἑτοι-»μάσαι ὁδοὺς αὐτοῦ«· εἰ μὴ ἄρα τις ἐπιλήψεται τοῦ »Κληθήσῃ«, μὴ εἰρημέ- 20
νου τοῦ »Ἔσῃ«, καὶ μάλιστα διὰ τὸ πρὸς τοὺς οἰομένους αὐτὸν προφήτην 157 r
εἶναι εἰρηκέναι τὸν σωτῆρα· »Ἀλλὰ τί † ἐξήλθετε ἰδεῖν; προφήτην;
89 *»ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου«. παρατηρητέον δὲ ὅτι τῷ »Ναί, λέγω ὑμῖν« τίθησιν τὸ προφήτην εἶναι τὸν Ἰωάννην, καὶ οὐκ ἀναιρεῖ τὸ προφήτην αὐτὸν εἶναι. ἐὰν δὲ πρὸς τῷ προφήτης* 25
τυγχάνειν καὶ »περισσότερον προφήτου« ὑπὸ τοῦ σωτῆρος λέγηται, πῶς οὖν, εἰ προφήτης ἐστίν, πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας ἐρωτῶντας· »Ὁ προφήτης εἶ σύ;« ἀπεκρίθη »Οὔ«; λεκτέον δὲ πρὸς τοῦτο ὅτι οὐ ταὐτόν ἐστιν »Ὁ προφήτης εἶ σύ;« τῷ »Προφήτης εἶ σύ;« τὰ δ' ὅμοια τετηρήκαμεν ἐξετάζοντες τί διαφέρει τὸ »Ὁ θεός« τοῦ »Θεός« καὶ 30
90 *»Ὁ λόγος« τοῦ »Λόγος«. ἐπεὶ τοίνυν ἐν τῷ Δευτερονομίῳ γέγραπται· »Προφήτην ὑμῖν ἀναστήσει ⟨κύριος⟩ ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν*

11 Vgl. Hebr. 5, 11. — **12** Ob Origenes eine solche Schrift verfasst hat, ist nicht bekannt. — **16** Vgl. Matth. 11, 13. — **17** Vgl. Luk. 1, 67. — **18** Luk. 1, 76. — **22** Matth. 11, 9. — **26** Matth. 11, 9. — **28** Joh. 1, 21. — **30** Vgl. II, 2 (S. 54, 12 ff.) — **32** Act. 3, 22 f.; (Vgl. Deut. 18, 15 f. Lev. 23, 29).

20 *ἐπιλήμψεται* M* | **22** *ἐξήλθ[ε]τε* ε a. Ras., z. l. *ἐξήλθατε* (mit B𝔑CDZLPΔ33); wie wohl ursprünglich dastand | **24** *τῷ*] *τὸ*, corr. Pr | **25** *ἀναιρεῖται*, corr. We | **29** *τῷ* bis *σὺ* am Rande nachgetr. | **31** *λόγος*²] *λόγον*, corr. Hu | **32** ⟨*κύριος*⟩ + Pr nach S. 116, 4 u. XIII, 55.

Digitized by Google

›ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε· καὶ ἔσται πᾶσα ψυχή, ἥτις ἂν μὴ ›ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ‹, προσεδοκᾶτο ἐξαιρέτως τις προφήτης ὅμοιον Μωσεῖ τι ἔχων, τὸ μεσιτεῦσαι θεοῦ καὶ ἀνθρώπων καὶ τὸ λαβὼν διαθήκην ἀπὸ θεοῦ δοῦναι τοῖς μαθητευομένοις τὴν καινήν· καὶ καθ' ἕκαστον τῶν προφητῶν ἐγίνωσκον ὁ λαὸς Ἰσραὴλ μηδένα ἐκείνων εἶναι τὸν ὑπὸ τοῦ Μωσέως προφητευθέντα. ὥσπερ οὖν ἐδίσταζον περὶ Ἰωάννου μήποτε ἄρα 91
Χριστὸς αὐτὸς ἦν, οὕτως καὶ μήποτε ›ὁ προφήτης‹. οὐ θαυμαστὸν δὲ εἰ μὴ ἠκρίβουν ὅτι ⟨ὁ⟩ αὐτός ἐστι ›Χριστός ⟨καὶ⟩ ὁ προφήτης‹ οἱ διστάζοντες περὶ Ἰωάννου, μήποτε αὐτὸς ὁ χριστὸς ἦν· ἀκόλουθον γὰρ τῷ περὶ τούτου δισταγμῷ τὸ ἀγνοεῖν τὸν αὐτὸν εἶναι ›Χριστὸν‹ καὶ ›τὸν προφήτην‹.

Ἔλαθε δὲ τοὺς πολλοὺς ἡ διαφορὰ τοῦ ›Ὁ προφήτης‹ καὶ 92
›Προφήτης‹, ὡς καὶ τὸν Ἡρακλέωνα, ὅστις αὐταῖς λέξεσί φησιν, ὡς ἄρα Ἰωάννης· ὡμολόγησεν μὴ εἶναι ὁ χριστός, ἀλλὰ μηδὲ προφήτης μηδὲ Ἠλίας. καὶ δέον αὐτὸν οὕτως ἐκλαβόντα ἐξετάσαι τὰ κατὰ τοὺς τόπους, πότερον ἀληθεύει λέγων μὴ εἶναι προφήτης μηδὲ Ἠλίας, ἢ οὔ. ὁ δὲ μὴ ἐπιστήσας τοῖς τόποις, ἐν οἷς καταλέλοιπεν ὑπομνήμασιν ἀνεξετάστως παρελήλυθεν τὰ τη-
110H λικαῦτα, σφόδρα ὀλίγα καὶ μὴ βεβασανισμένα ἐν τοῖς ἐξῆς εἰπών,
118R περὶ ὧν εὐθέως ἐροῦμεν.

I, 22 *Εἶπον οὖν αὐτῷ Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;*

XVI. (9) *Δυνάμει τοῦτο λέγουσιν οἱ ἀποσταλέντες· Ὅπερ ὑπονο-* 93
οῦντες εἶναί σε ἐλπίζομεν μαθησόμενοι ἔγνωμεν οὐκ ὄντα· λείπεται δὲ μετὰ ταῦτα ἀπὸ σοῦ ἀκοῦσαι τὸ ὅστις εἶ, ἵνα τοῖς πέμψασιν τὴν σὴν ἀπόκρισιν περὶ σοῦ ἀπαγγείλωμεν.

* * * \

ται αὐτὴν εἰσκριθῆναι δεύτερον ἐν σώματι ἢ μή, καὶ τῇ αὐτῇ περιόδῳ καὶ τῇ αὐτῇ διακοσμήσει ἢ οὔ, καὶ τῷ αὐτῷ σώματι ἢ ἑτέρῳ, καὶ εἰ τῷ αὐτῷ, πότερον καθ' ὑποκείμενον μένοντι τῷ αὐτῷ κατὰ δὲ ποιότητα μεταβαλομένῳ, ἢ καὶ καθ' ὑποκείμενον καὶ ποιότητα ἐσομένῳ
86 τῷ αὐτῷ, καὶ εἰ ἀεὶ τῷ αὐτῷ σώματι χρήσεται ἢ ἀμείψει αὐτό. ἐν 5
οἷς καὶ τί ἐστι κυρίως μετενσωμάτωσις ἐξετάσαι δεήσει, τί τε αὕτη διαφέρει ἐνσωματώσεως, καὶ εἰ ἀκολουθεῖ τῷ λέγοντι μετενσωμάτωσιν ἄφθαρτον τηρεῖν τὸν κόσμον. ἐν οἷς ἀναγκαῖον ἔσται παραθεῖναι καὶ τοὺς λόγους τῶν θελόντων κατὰ τὰς γραφὰς συσπείρεσθαι τὴν
87 ψυχὴν τῷ σώματι καὶ τὰ ἀκολουθοῦντα αὐτοῖς. καὶ ἁπαξαπλῶς ὁ 10
περὶ ψυχῆς λόγος πολὺς καὶ δυσερμήνευτος ὢν ἀναλεχθησόμενος ἀπὸ τῶν ἐν ταῖς γραφαῖς σποράδην κειμένων ἰδίας δεῖται πραγματείας. διόπερ νῦν κατὰ τὸ παρῆκον ἐκ τῶν περὶ Ἠλίου καὶ Ἰωάννου ἐζητημένων ἐπὶ βραχὺ ἐξετάσαντες τὸ πρόβλημα μετίωμεν ἐπὶ τὰ ἑξῆς.

I, 21. Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη Οὔ. 109 H

88 XV. (8) Εἰ ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, καὶ τί ἄλλο ἂν
λέγοιμεν εἶναι Ἰωάννην ἢ προφήτην; ὡς καὶ ὁ πατὴρ αὐτοῦ Ζαχα- 117 R
ρίας πλησθεὶς πνεύματος ἁγίου προφητεύων φησί· »Καὶ σὺ δέ, παιδίον,
»προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ ἐνώπιον κυρίου ἑτοι-
»μάσαι ὁδοὺς αὐτοῦ«· εἰ μὴ ἄρα τις ἐπιλήψεται τοῦ »Κληθήσῃ«, μὴ εἰρημέ- 20
νου τοῦ »Ἔσῃ«, καὶ μάλιστα διὰ τὸ πρὸς τοὺς οἰομένους αὐτὸν προ φήτην 157 r
εἶναι εἰρηκέναι τὸν σωτῆρα· »Ἀλλὰ τί † ἐξήλθετε ἰδεῖν; προφήτην;
89 »ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου«. παρατηρητέον δὲ ὅτι
τῷ »Ναί, λέγω ὑμῖν« τίθησιν τὸ προφήτην εἶναι τὸν Ἰωάννην, καὶ
οὐκ ἀναιρεῖ τὸ προφήτην αὐτὸν εἶναι. ἐὰν δὲ πρὸς τῷ προφήτης 25
τυγχάνειν καὶ »περισσότερον προφήτου« ὑπὸ τοῦ σωτῆρος λέγηται,
πῶς οὖν, εἰ προφήτης ἐστίν, πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας ἐρωτῶντας·
»Ὁ προφήτης εἶ σύ;« ἀπεκρίθη »Οὔ«; λεκτέον δὲ πρὸς τοῦτο ὅτι οὐ
ταὐτόν ἐστιν »Ὁ προφήτης εἶ σύ;« τῷ »Προφήτης εἶ σύ;« τὰ δ' ὅμοια
τετηρήκαμεν ἐξετάζοντες τί διαφέρει τὸ »Ὁ θεός« τοῦ »Θεός« καὶ 30
90 »Ὁ λόγος« τοῦ »Λόγος«. ἐπεὶ τοίνυν ἐν τῷ Δευτερονομίῳ γέγραπται·
»Προφήτην ὑμῖν ἀναστήσει ⟨κύριος⟩ ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν

11 Vgl. Hebr. 5, 11. — **12** Ob Origenes eine solche Schrift verfasst hat, ist nicht bekannt. — **16** Vgl. Matth. 11, 13. — **17** Vgl. Luk. 1, 67. — **18** Luk. 1, 76. — **22** Matth. 11, 9. — **26** Matth. 11, 9. — **28** Joh. 1, 21. — **30** Vgl. II, 2 (S. 54, 12 ff.) — **32** Act. 3, 22 f.; (Vgl. Deut. 18, 15 f. Lev. 23, 29).

20 ἐπιλήμψεται M* | **22** ἐξήλθ[ε]τε] ε a. Ras., z. l. ἐξήλθατε (mit B𝔑CDZLPΔ33); wie wohl ursprünglich dastand | **24** τῷ] τὸ, corr. Pr | **25** ἀναιρεῖται, corr. We | **29** τῷ bis σὺ am Rande nachgetr. | **31** λόγος²] λόγον, corr. Hu | **32** ⟨κύριος⟩ + Pr nach S. 116, 4 u. XIII, 55.

Digitized by Google

›ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε· καὶ ἔσται πᾶσα ψυχή, ἥτις ἂν μὴ ›ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ‹, προσεδοκᾶτο ἐξαιρέτως τις προφήτης ὅμοιον Μωσεῖ τι ἔχων, τὸ μεσιτεῦσαι θεοῦ καὶ ἀνθρώπων καὶ τὸ λαβὼν διαθήκην ἀπὸ θεοῦ δοῦναι τοῖς μαθητευομένοις τὴν καινήν· καὶ καθ' ἕκαστον τῶν προφητῶν ἐγίνωσκον ὁ λαὸς Ἰσραὴλ μηδένα ἐκείνων εἶναι τὸν ὑπὸ τοῦ Μωσέως προφητευθέντα. ὥσπερ οὖν ἐδίσταζον περὶ Ἰωάννου μήποτε ἄρα 91
Χριστὸς αὐτὸς ἦν, οὕτως καὶ μήποτε ›ὁ προφήτης‹. οὐ θαυμαστὸν δὲ εἰ μὴ ἠκρίβουν ὅτι ⟨ὁ⟩ αὐτός ἐστι ›Χριστός ⟨καὶ⟩ ὁ προφήτης‹ οἱ διστάζοντες περὶ Ἰωάννου, μήποτε αὐτὸς ὁ χριστὸς ἦν· ἀκόλουθον γὰρ τῷ περὶ τούτου δισταγμῷ τὸ ἀγνοεῖν τὸν αὐτὸν εἶναι ›Χριστὸν‹ καὶ ›τὸν προφήτην‹.

Ἔλαθε δὲ τοὺς πολλοὺς ἡ διαφορὰ τοῦ ›Ὁ προφήτης‹ καὶ 92
›Προφήτης‹, ὡς καὶ τὸν Ἡρακλέωνα, ὅστις αὐταῖς λέξεσί φησιν, ὡς ἄρα Ἰωάννης ὡμολόγησεν μὴ εἶναι ὁ χριστός, ἀλλὰ μηδὲ προφήτης μηδὲ Ἠλίας. καὶ δέον αὐτὸν οὕτως ἐκλαβόντα ἐξετάσαι τὰ κατὰ τοὺς τόπους, πότερον ἀληθεύει λέγων μὴ εἶναι προφήτης μηδὲ Ἠλίας, ἢ οὔ. ὁ δὲ μὴ ἐπιστήσας τοῖς τόποις, ἐν οἷς καταλέλοιπεν ὑπομνήμασιν ἀνεξετάστως παρελήλυθεν τὰ τηλικαῦτα, σφόδρα ὀλίγα καὶ μὴ βεβασανισμένα ἐν τοῖς ἑξῆς εἰπών, περὶ ὧν εὐθέως ἐροῦμεν.

I, 22 *Εἶπον οὖν αὐτῷ Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;*

XVI. (9) *Δυνάμει τοῦτο λέγουσιν οἱ ἀποσταλέντες· Ὅπερ ὑπονο-* 93
οῦντες εἶναί σε ἐλπίζομεν μαθησόμενοι ἔγνωμεν οὐκ ὄντα· λείπεται δὲ μετὰ ταῦτα ἀπὸ σοῦ ἀκοῦσαι τὸ ὅστις εἶ, ἵνα τοῖς πέμψασιν τὴν σὴν ἀπόκρισιν περὶ σοῦ ἀπαγγείλωμεν.

* * * \

I, 23 ⟨Ἔφη·⟩ *Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ Εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.*

94 XVII. (10) *Ὥσπερ ὁ κυρίως υἱὸς τοῦ θεοῦ οὐχ ἕτερος λόγου τυγχάνων χρῆται λόγῳ (αὐτὸς | γὰρ ὁ ἐν ἀρχῇ λόγος ἦν, ὁ πρὸς τὸν θεόν, ὁ* 157 v
λόγος θεός), οὕτως Ἰωάννης ὁ ὑπηρέτης ἐκείνου τοῦ λόγου, εἰ κυρίως 5
ἀκούοιμεν τῆς γραφῆς, οὐχ ἕτερος ὢν φωνῆς, χρῆται φωνῇ δεικνυούσῃ
95 *τὸν λόγον. οὗτος δὴ συνιεὶς τὴν περὶ ἑαυτοῦ προφητείαν παρὰ τῷ Ἡσαΐᾳ εἰρημένην φησὶν εἶναι φωνὴ οὐχὶ »βοῶσα ἐν τῇ ἐρήμῳ«, ἀλλὰ »βοῶντος ἐν τῇ ἐρήμῳ«, τοῦ ἑστῶτος καὶ κεκραγότος· »Ἐάν τις διψᾷ,*
»ἐρχέσθω πρὸς μὲ καὶ πινέτω«· λέγοντος καὶ τὸ »Εὐθύνατε τὴν ὁδὸν 10
»κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· πᾶσα φάραγξ πληρωθή-
»σεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται πάντα τὰ
96 *»σκολιὰ εἰς † εὐθεῖαν«. ὥσπερ γὰρ ἐν τῇ Ἐξόδῳ γέγραπται πρὸς Μωσέα λέγεσθαι ὑπὸ θεοῦ· »Ἰδοὺ δέδωκά σε θεὸν Φαραώ, καὶ Ἀαρὼν ὁ*
»ἀδελφός σου ἔσται σου προφήτης«, οὕτω νοητέον ἀνάλογόν τι τού- 15
τοις, εἰ καὶ μὴ πάντη ὅμοιον, εἶναι τὸν ἐν ἀρχῇ λόγον θεὸν καὶ Ἰωάννην· φωνὴ γὰρ δεικτικὴ καὶ παραστατικὴ ἐκείνου τοῦ λόγου ὁ
97 *Ἰωάννης ἦν. διόπερ πάνυ ἁρμοζόντως οὐκ ἄλλῃ κολάσει περιβάλλεται Ζαχαρίας, εἰπὼν πρὸς τὸν ἄγγελον· »Κατὰ τί γνώσομαι τοῦτο;*
»ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέ- 20
»ραις αὐτῆς« ἢ τῇ στερήσει τῆς φωνῆς διὰ τὴν ἀπιστίαν τῆς γενέσεως τῆς φωνῆς, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Γαβριὴλ πρὸς αὐτόν· »Ἰδοὺ
»ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα,
»ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πλησθήσονται εἰς
»τὸν καιρὸν αὐτῶν«· οὗτος δὴ ὁ Ζαχαρίας, ὅτε »Αἰτήσας πινακίδιον 25
»ἔγραψεν λέγων· Ἰωάννης ἐστὶν ὄνομα αὐτοῦ, καὶ ἐθαύμασαν πάντες«,
ἀπείληφεν τὴν φωνήν· »Ἀνεῴχθη γὰρ τὸ στόμα αὐτοῦ παραχρῆμα
»καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν«.

98 XVIII. *Ὥσπερ δὲ διαλαμβάνοντες περὶ τοῦ τίνα τρόπον νοητέον λόγον εἶναι τὸν υἱὸν τοῦ θεοῦ τὰ παριστάμενα ἐδηλώσαμεν, οὕτως* 30
κατὰ τὴν ἁρμόζουσαν ἀκολουθίαν, ἐπεὶ ὁ Ἰωάννης »ἦλθεν εἰς μαρ- 111 H
»τυρίαν«, »ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ«, »ἵνα μαρτυρήσῃ περὶ 119 R
τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ«, νοητέον φωνὴν εἶναι μόνην χωρῆσαι κατ' ἀξίαν τὸν ἀπαγγελλόμενον λόγον δυναμένην τὸν
99 *Ἰωάννην. καὶ μάλιστα τοῦτο συνήσομεν ἐὰν ὑπομνησθῶμεν ὧν προ-* 35

4 Vgl. Joh. 1, 1. — 5 Vgl. Luk. 1, 2. — 6 Vgl. Joh. 1, 23. — 9 Joh. 7, 37. — 10 Luk. 3, 4 f. (Jes. 40, 3 f.) — 14 Ex. 7, 1. — 16 Vgl. Joh. 1, 1. — 19 Luk. 1, 18. — 22 Luk. 1, 20. — 25 Luk. 1, 63. — 27 Luk. 1, 64. — 29 Vgl. I, 38 (S. 49, 3 ff.) — 31 Vgl. Joh. 1, 6 f.

3 *λόγου*] *λόγος*, corr. Ferrarius | 7 *χρῆται — αὐτὸς* a. Ras. | 16 *εὐθεῖαν*] *εὐθείας* z. l. nach S. 136, 25 ff., wo Orig. ausdrücklich *εὐθείας* als Lesart des Luk. bezeichnet.

Digitized by Google

παρεθέμεθα διηγούμενοι τὸ »Ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ« · περὶ τοῦ »Οὗτός ἐστιν περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν »ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου »ἔμπροσθέν σου«. καλῶς δὲ καὶ τὸ μὴ εἶναι αὐτὸν τὴν φωνὴν »λέ-
158r »γοντος ἐν τῇ ἐρήμῳ«, ἀλλὰ »βοῶντος | ἐν τῇ ἐρήμῳ« · ὁ μὲν γὰρ βοῶν τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου«, καὶ λέγει· ἐνδέχεται δὲ τὸν αὐτὸν τοῦτον λέγειν μὴ βοῶντα. βοᾷ δὲ καὶ κέκραγεν, ἵνα καὶ οἱ μακρὰν τοῦ 100
λέγοντος ἀκούσωσιν καὶ οἱ βαρυήκοοι συνῶσιν τοῦ μεγέθους τῶν λεγομένων μετὰ μεγέθους ἀπαγγελλομένων φωνῆς, βοηθῶν τοῖς τε
10 ἀφεστῶσιν θεοῦ καὶ τοῖς τὸ ὀξὺ τῆς ἀκοῆς ἀπολωλεκόσιν. διὰ τοῦτο γὰρ καὶ »εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξεν λέγων· »Ἐάν τις διψᾷ ἐρχέσθω »πρὸς μὲ καὶ πινέτω«. διὰ τοῦτο καὶ ὁ »Ἰωάννης μαρτυρεῖ περὶ αὐ-»τοῦ καὶ κέκραγε λέγων«. διὰ τοῦτο καὶ κελεύει ὁ θεὸς τῷ Ἡσαΐᾳ βοᾶν ἐν τῇ φωνῇ »λέγοντος· Βόησον· κἀγὼ εἶπα· Τί βοήσω«; ἐὰν 101
15 δὲ μὴ παντελῶς ᾖ ἡ νοητὴ τῶν εὐχομένων φωνὴ μεγάλη καὶ οὐ βραχεῖα, οὐδὲ ἂν αὐξήσωσι τὴν βοὴν καὶ τὴν κραυγὴν ἀκούει τῶν οὕτως εὐχομένων ὁ θεὸς ὁ λέγων πρὸς Μωσέα· »Τί βοᾷς πρὸς μέ«; οὐκ αἰσθητῶς βεβοηκότα, (οὐ γὰρ ἀναγέγραπται τοῦτο ἐν τῇ Ἐξόδῳ,) μεγάλως δὲ τὴν ἀκουομένην μόνῳ θεῷ φωνὴν βεβοηκότα διὰ τῆς
20 εὐχῆς. διὰ τοῦτο καὶ Δαβὶδ φησι· »Φωνῇ μου πρὸς κύριον ἐκέκραξα »καὶ ἐπήκουσέν μου«. χρεία δὲ τῆς φωνῆς τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, 102
ἵνα καὶ ἡ ἐστερημένη θεοῦ ψυχὴ καὶ ἔρημος ἀληθείας, (τίς γὰρ ἄλλη χαλεπωτέρα ἐρημία ψυχῆς θεοῦ καὶ πάσης ἀρετῆς ἠρημωμένης;) διὰ τὸ ἔτι σκολιῶς πορεύεσθαι δεομένη διδασκαλίας, ἐπὶ τὸ εὐθύνειν τὴν
25 ὁδὸν κυρίου παρακαλῆται. ἤντινα ὁδὸν εὐθύνει μὲν ὁ μηδαμῶς τὴν σκολιότητα τῆς τοῦ ὄφεως πορείας μιμούμενος, ὁ δὲ τούτῳ ἐναντίος διαστρέφει. διόπερ καὶ ἐπιπλήσσεται ἅμα τοῖς ὁμοίοις ὁ τοιοῦτος διὰ τοῦ »Ἵνα τί διαστρέφετε τὰς ὁδοὺς κυρίου τὰς εὐθείας;«

XIX. (11) Διχῶς δὲ ἡ ὁδὸς κυρίου εὐθύνεται, κατά τε τὸ θεω- 103
30 ρητικόν, τρανούμενον ἐν ἀληθείᾳ ἀπαραμίκτως τοῦ ψεύδους, καὶ κατὰ τὸ πρακτικὸν μετὰ τὴν ὑγιῆ θεωρίαν τοῦ πρακτέου ἁρμονίου πράξεως
120R ἀποδιδομένης τῷ περὶ τῶν πρακτέων ὑγιεῖ λόγῳ. καὶ ἵνα ἀκριβέ-
112H στερον τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου« νοήσωμεν, εὔκαιρον ἔσται

1 Joh. 1, 7. — **2** Matth. 11, 10. — **4** Vgl. Joh. 1, 23. — **7** Vgl. Joh. 1, 15. — **11** Joh. 7, 37. — **12** Joh. 1, 15. — **14** Jes. 40, 6. — **17** Ex. 14, 15. — **18** Vgl. Philo Bd. III S. 4, 11ff. We. — **20** Ps. 76, 2. — **24** Vgl. Jes. 40, 3. — **28** Vgl. Act. 13, 10. — **33** Joh. 1, 23.

2 *ἰδοὺ*] *ἴδε*, corr. V | **4** nach *δὲ* viell. ⟨*κεῖται*⟩ einzuschieben | **6** *τὸ αὐτὸ τοῦτο*, über *τοῦτο* steht *τὸ* M, corr. We | **9** *ἀπαγγελλομένου*, corr. We | **14** *εἶπα* M*, v. l. H. zu *εἶπον* corr. | **15** *ἡ* str. Br | **16** *αὐξήσωσι*] *αὐξῆσαι*, corr. V | **25** *παράκληται*, corr. V | **28** *διαστρέφετε* a. Ras. | **30** *τρανουμένη*? | *ἀπ*[*αραμίκτως*] a. Ras. | **31** *ἁρμονίου*] *ἁρμονίου*.

Digitized by Google

τῷ »Ἐξαλείψω δὲ πᾶσαν τὴν ἐξανάστασιν« ἀναγεγραμμένῳ ἐν τῇ Γενέσει οἱ αὐτοὶ χρώμενοι τὸν πεφροντικότα πιθανότητας ἀπατηλὰς προσαγομένας ἀπὸ τῶν γραφῶν λύειν εἰς ἀγῶνα παραστήσουσιν ἱστάμενον πρὸς τὸ δόγμα.

66 XI. Ἕτερος δέ τις ἐκκλησιαστικὸς τὸν περὶ τῆς μετενσωματώσεως ἀποπτύων ὡς ψευδῆ λόγον, μὴ προσιέμενος τὸ τὴν ψυχὴν Ἰωάννου Ἠλίαν ποτὲ γεγονέναι, τῷ προειρημένῳ | λόγῳ τοῦ ἀγγέλου χρήσεται 105 H 155 r
ψυχὴν Ἠλίου μὴ ὀνομάσαντος ἐπὶ τῆς Ἰωάννου γενέσεως ἀλλὰ πνεῦμα καὶ δύναμιν διὰ τοῦ »Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύ»ματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα« διὰ μυρίων δυνάμενος ἀποδεικνύναι γραφῶν ἕτερον εἶναι τὸ πνεῦμα τῆς ψυχῆς καὶ ὀνομαζομένην δύναμιν τοῦ πνεύματος καὶ τῆς ψυχῆς· 113 R
περὶ ὧν οὐκ εὔκαιρον νῦν παρατίθεσθαι τὰ πολλά, ἵνα μὴ πάνυ τὸν
67 λόγον περισπάσωμεν. ἀρκεσθήσεται δὲ ἐπὶ τοῦ παρόντος πρὸς μὲν τὸ διαφέρειν δύναμιν πνεύματος τὸ »Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ »σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι«· πρὸς δὲ ⟨τὸ⟩ τὰ ἐν τοῖς προφήταις πνεύματα, ἅτε δεδωρημένα αὐτοῖς ὑπὸ θεοῦ οἱονεὶ ἐκείνων ὀνομάζεσθαι κτήματα τὸ »Πνεύματα προφητῶν προφήταις ὑποτάσσε»ται« καὶ τὸ »Ἀναπέπαυται τὸ πνεῦμα Ἠλίου ἐπὶ Ἐλισσαιέ«. οὕτω γὰρ οὐδὲν ἄτοπον, φησίν, ἔσται τὸν Ἰωάννην ἐν πνεύματι καὶ δυνάμει Ἠλίου ἐπιστρέφοντα καρδίας πατέρων ἐπὶ τέκνα, διὰ τοῦτο τὸ
68 πνεῦμα Ἠλίαν λέγεσθαι τὸν μέλλοντα ἔρχεσθαι. εἰς παραμυθίαν δὲ τούτων καὶ τούτῳ χρήσεται τῷ λόγῳ· εἰ ὁ τῶν ὅλων θεὸς οἰκειωθεὶς τοῖς ἁγίοις θεὸς αὐτῶν γίνεται, οὕτως ὀνομαζόμενος θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ, πόσῳ πλέον τὸ ἅγιον πνεῦμα οἰκειωθὲν τοῖς προφήταις πνεῦμα αὐτῶν χρηματίζειν οἷόν τε ἔσται, ἵν' ᾖ οὕτως πνεῦμα Ἠλίου καὶ πνεῦμα Ἡσαΐου λεγόμενον τὸ πνεῦμα;
69 ὁ αὐτός τε οὗτος ἐκκλησιαστικὸς ἐρεῖ δύνασθαι μὲν τοὺς ὑπειληφότας ἕνα τῶν προφητῶν εἶναι τὸν Ἰησοῦν ἀναστάντα ἐκ νεκρῶν ἠπατῆσθαι κατά τε τὸ προειρημένον δόγμα καὶ κατὰ τὸ ὑπολαμβάνειν αὐτὸν ἕνα τῶν προφητῶν τυγχάνειν, δύνασθαι δὲ πρὸς τῷ κατὰ τὸ νομίζειν αὐτὸν τῶν προφητῶν εἶναι ἕνα πταίειν καὶ ψευδοδοξεῖν καὶ κατὰ τὸ ἀγνοεῖν αὐτοῦ τὸν λεγόμενον πατέρα καὶ τὴν οὖσαν μητέρα, οἴεσθαί
70 τε αὐτὸν ἀπὸ τῶν μνημείων ἐγηγέρθαι. καὶ πρὸς τὸ ἐν τῇ Γενέσει

1 Gen. 7, 4. — **7** Vgl. S. 119, 21. — **9** Luk. 1, 17. — **15** Luk. 1, 35. — **18** I Kor. 14, 32. — **19** II Kön. 2, 15. — **21** Vgl. Matth. 10, 35. Luk. 12, 53. — **24** Vgl. Ex. 3, 6.

3 παραστήσουσιν] περιστήσουσιν, corr. V | **6** προσιέμενος bis Ἰωάννου a. Ras. | **15** τὸ²] τῶ, corr. Hu | **16** ⟨τὸ⟩ + We | **18** τὸ] τῶ, corr. Hu | **19** τὸ] τῶ, corr. Hu | Ἐλισ[σαιέ] a. Ras. | **22** πνεῦμα auf d. Rand M² | **32** εἶναι a. Ras.

Digitized by Google

δὲ περὶ τῆς ἐξαναστάσεως ἀπαντήσεται ὁ ἐκκλησιαστικὸς χρώμενος τῷ »Ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέ»κτεινε Κάϊν« τῆς »ἐξαναστάσεως« καὶ ἐπὶ »γενέσεως« κειμένης. οὗτος δὴ πρὸς τὸ πρῶτον ἀπορηθὲν ἑτέρως παρὰ τὸν ὑπολαμβάνοντα μετ-
5 ενσωμάτωσιν ἀπολογούμενος ἐρεῖ διὰ μὲν τὰ ἀρτίως κατασκευασθέντα λόγῳ τινὶ εἶναι τὸν Ἰωάννην Ἠλίαν τὸν μέλλοντα ἔρχεσθαι, ἀποκεκρίσθαι δὲ πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας τὸ »Οὐκ εἰμὶ« στοχασάμενον τοῦ βουλήματος τῆς ἐρωτήσεως αὐτῶν. οὐ γὰρ τοῦτο ἤθελεν ἡ 71
106H προγενομένη ἐξέτασις τῷ Ἰωάννῃ ἀπὸ τῶν ἱερέων καὶ Λευϊτῶν, τὸ
10 μαθεῖν εἰ τὸ αὐτὸ πνεῦμα ἐν ἀμφοτέροις ἐτύγχανεν, ἀλλ' εἰ ὁ Ἰωάν-
155v νης αὐτὸς Ἠλίας ὁ ἀναληφθεὶς νῦν ἐπι|φαινόμενος κατὰ τὸ Ἰουδαίοις προσδοκώμενον χωρὶς γενέσεως, ἦν τάχα καὶ ἠγνόουν οἱ ἀπὸ Ἱεροσολύμων ἀποσταλέντες· πρὸς ἣν πεῦσιν εἰκότως ἀποκρίνεται τὸ »Οὐκ εἰμί«· οὐ γὰρ Ἠλίας ὁ ἀναληφθεὶς ἀμείψας σῶμα ἐληλύθει
15 Ἰωάννης ὀνομαζόμενος.

114R XII. Ὁ δὲ πρῶτος, οὗ τὸν νοῦν παρεθήκαμεν οἰομένου μετεν- 72
σωμάτωσιν ἐντεῦθεν κατασκευάζεσθαι, προσδιατρίβων τῇ βασάνῳ τῆς λέξεως ἐρεῖ πρὸς τὸν δεύτερον, ὅτι οὐκ ἀκόλουθον τὸν τηλικούτου ἱερέως Ζαχαρίου υἱὸν ἐπὶ γήρᾳ γεγεννημένον ἀμφοτέροις τοῖς
20 γονεῦσιν παρὰ πᾶσαν ἀνθρωπίνην προσδοκίαν ἀγνοεῖσθαι ὑπὸ τῶν τοσούτων ἐν Ἱεροσολύμοις Ἰουδαίων καὶ τῶν πεμφθέντων ὑπ' αὐτῶν Λευϊτῶν καὶ ἱερέων, οὐ γινωσκόντων τὸ γεγεννῆσθαι ⟨οὕτως⟩ αὐτόν· καὶ μάλιστα Λουκᾶ μαρτυροῦντος ὅτι »Ἐγένετο ἐπὶ πάντας φόβος »τοὺς περιοικοῦντας αὐτούς« (δῆλον δὲ ὅτι τὸν Ζαχαρίαν καὶ τὴν
25 Ἐλισάβετ) »καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ »ῥήματα ταῦτα«. εἰ δὲ οὐκ ἠγνοεῖτο ἡ ἐκ Ζαχαρίου γένεσις Ἰωάννου, 73
ἔπεμπον δὲ οἱ ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι διὰ τῶν Λευϊτῶν καὶ ἱερέων πευσόμενοι τὸ »Σὺ Ἠλίας εἶ;« δῆλον ὅτι τοῦτο ἔλεγον τὸ περὶ μετενσωματώσεως δόγμα οἰόμενοι εἶναι ἀληθὲς ὡς πάτριον τυγχάνον καὶ
30 οὐκ ἀλλότριον τῆς ἐν ἀπορρήτοις διδασκαλίας αὐτῶν. διὰ τοῦτο οὖν λέγει »Οὐκ εἰμὶ Ἠλίας« ὁ Ἰωάννης, ἐπεὶ ἀγνοεῖ τὸν ἴδιον πρότερον βίον.

XIII. Τούτων δὴ οὐκ εὐκαταφρόνητον πιθανότητα ἐχόντων, 74
πάλιν ὁ ἐκκλησιαστικὸς ἀπορήσει πρὸς τὸν πρότερον εἰ κατὰ τὸν
35 προφήτην ἐστὶν ⟨τὸν⟩ ὑπὸ τοῦ πνεύματος φωτιζόμενον καὶ ὑπὸ

2 Gen. 4, 25. — 7 Vgl. Joh. 1, 21. — 23 Luk. 1, 65. — 35 Vgl. Luk. 1, 35.

1 δὲ] τε, corr. We, oder τε ist zu γε⟨γραμμένον⟩ zu erg. | 9 προ..νομένη M γε verblichen, νο könnte als γο gelesen werden; προγενομένη V | 10 εἰ ü. d. Z. | 19 γεγενημένον, corr. Pr | 22 γεγενῆσθαι, corr. Pr | ⟨οὕτως⟩ + We | 35 ⟨τὸν⟩ + Pr.

Digitized by Google

Ἡσαΐου προφητευόμενον, ὑπό τε τηλικούτου [τοῦ] ἀγγέλου πρὶν γεννηθῆναι τεχθήσεσθαι προειρημένον, ἐκ τοῦ πληρώματος Χριστοῦ εἰληφότα, χάριτος τηλικαύτης μετεσχηκότα, τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ γεγενῆσθαι νενοηκότα, περὶ θεοῦ καὶ τοῦ μονογενοῦς τοῦ εἰς τὸν κόλπον τοῦ πατρὸς διηγησάμενον τὰ τοσαῦτα, τὸ ψεύσασθαι
75 καὶ ὅπερ ἦν οὐκ ἐγνωκότα κἂν ἐπισχεῖν. ἐχρῆν γὰρ περὶ τῶν ἀδηλοτέρων ἐπέχειν ὁμολογεῖν, καὶ μήτε τιθέναι μήτε αἴρειν τὴν πρότασιν. πῶς δὲ οὐκ ἦν εὔλογον, εἰ πολλῶν τοῦτο δόγμα ἐτύγχανεν, ἐπισχεῖν· τὸν Ἰωάννην περὶ αὐτοῦ, μήποτε ἡ ψυχὴ αὐτοῦ ποτε ἐν
76 Ἠλίᾳ ἦν; καὶ ἐπὶ τὴν ἱστορίαν δὲ ὁ ἐκκλησιαστικὸς προκαλέσεται τὸν πρότερον πευσόμενον παρὰ τῶν τὰ ἀπόρρητα ἐγνωκέναι παρ' Ἑβραίοις ἐπαγγελλομένων, εἰ τοιοῦτόν τι δόγμα ἐστὶ παρ' αὐτοῖς· ἐὰν γὰρ 107 H
μηδαμῶς φαίνηται τοῦθ' οὕτως ἔχον, δῆλον ὅτι ἐσκέδασται ὁ τοῦ προ-
77 τέρου λόγος. οὐδὲν | τοίνυν ἧττον ὁ ἐκκλησιαστικὸς χρήσεται τῇ προα- 156 r
ποδεδομένῃ λύσει, ἔτι καὶ αὐτὸς τὸ βούλημα τῶν πυθομένων παραστῆσαι ἀπαιτούμενος. εἰ γάρ, ὡς κατεσκεύασεν, οἱ πέμψαντες ἴσασι γεγενημένον ἐκ Ζαχαρίου καὶ Ἐλισάβετ τὸν Ἰωάννην, καὶ πολλῷ πλέον οἱ πεμφθέντες γένους ὄντες ἱερατικοῦ, οὓς οὐκ ἂν ἔλαθεν ἡ 115 R
τοῦ οὕτως ἐπιφανοῦς συγγενοῦς Ζαχαρίου παράδοξος εὐπαιδία, τί νοήσαντες πυνθάνονται τὸ »Σὺ Ἠλίας εἶ;« ἄνδρες ἀνεγνωκότες ἀνειλῆφθαι αὐτὸν ὡς εἰς τὸν οὐρανὸν καὶ προσδοκῶντες ἐπιδημίαν αὐτοῦ;
78 τάχα οὖν, ἐπεὶ πρὸς τῇ συντελείᾳ προσδοκῶσιν Ἠλίαν πρὸ Χριστοῦ καὶ ἐπὶ τούτῳ Χριστόν, οἱονεὶ τροπικώτερον φαίνονται ἐρωτῶντες Εἰ σὺ εἶ ὁ προκαταγγέλλων τὸν πρὸ Χριστοῦ ἐπὶ συντελείᾳ ἐλευσόμενον λόγον; καὶ ἐπιστημόνως πρὸς τοῦτο ἀποκρίνεται τὸ »Οὐκ
79 εἰμί«.

XIV. Ἔτι δὲ ὁ ἐκκλησιαστικὸς ἱστάμενος πρὸς τὰ ἐξητασμένα ὑπὸ τοῦ ἑτέρου ἀποδεικνύναι πειρωμένου μὴ ἂν λεληθέναι τοὺς ἱερεῖς οὕτως ἐπιφανῆ γεγενημένην τὴν Ἰωάννου γένεσιν διὰ τὸ »ἐν τῇ »ὀρεινῇ τῆς Ἰουδαίας« διαλελαλῆσθαι »πάντα τὰ ῥήματα ταῦτα«, φήσει τὴν παραπλησίαν ἀπάτην πολλοῖς γεγονέναι καὶ περὶ τοῦ σωτῆρος, ἐπεὶ »Οἱ μὲν ἔλεγον αὐτὸν Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι »δὲ Ἠλίαν, † ἄλλοι δὲ Ἱερεμίαν ἢ ἕνα τῶν προφητῶν«, ὡς καὶ οἱ μαθηταὶ πυνθανομένῳ τῷ κυρίῳ γενομένῳ ἐν τοῖς μέρεσι Καισαρείας

1 Vgl. Jes. 40, 3. — Vgl. Luk. 1, 11. — 2 Vgl. Joh. 1, 16ff. — 14 Vgl. S. 121, 3ff. — 20 Joh. 1, 21. — 22 Vgl. Schürer, Gesch. d. jüd. V. III³, 524f. — 29 Vgl. Luk. 1, 65. — 32 Matth. 16, 14.

6 καὶ] wohl ἢ z. l. | 8 δόγμα] δόγματα, corr. Hu | 14 λόγος] λόγου, corr. V ἐκκλησιαστικὸς] ος a. Ras. | 16 κατεσκεύασεν] κατεσκεύασαν, corr. Br | 17 τὸν aus τῶν corr. | 33 ἄλλοι statt ἕτεροι wohl nur Gedächtnisfehler.

Digitized by Google

τῆς Φιλίππου εἰρήκασι. καὶ ὁ Ἡρῴδης δὲ λέγων· »Ὃν ἐγὼ ἀπεκε- 80
»φάλισα Ἰωάννην, αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν« περὶ τοῦ χριστοῦ
ἔοικε μὴ εἰδέναι τὰ λεγόμενα ὑπὸ τῶν φασκόντων· »Οὐχ οὗτός ἐστιν
»ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελ-
»φοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ Ἰούδας; καὶ ⟨αἱ⟩ ἀδελ-
»φαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν«; οὐδὲν οὖν θαυμαστόν, 81
ὥσπερ ἐπὶ τοῦ σωτῆρος, πολλῶν ἐγνωκότων τὴν ἐκ Μαρίας γένεσιν
αὐτοῦ, ἄλλους ἠπατῆσθαι, οὕτω καὶ ἐπὶ τοῦ Ἰωάννου οὓς μὲν μὴ
λεληθέναι τὴν ἐκ Ζαχαρίου γένεσιν αὐτοῦ, ἑτέρους δὲ διστάζειν, μή-
ποτε ὁ προσδοκώμενος Ἠλίας ἐπεφάνη κατὰ τὸν Ἰωάννην (καὶ οὐ 82
χώραν γε μᾶλλον ἔχει ἡ περὶ τοῦ Ἰωάννου ἐπαπόρησις, μήποτε εἴη
Ἠλίας, ἤπερ ἡ περὶ τοῦ σωτῆρος, μὴ ἄρα αὐτὸς τυγχάνῃ Ἰωάννης)
ὧν τοῦ Ἠλίου μὲν τὸν χαρακτῆρα ἀπὸ μόνης τῆς λέξεως, καὶ οὐχὶ
ἀπὸ τῆς αἰσθήσεως † ἀποβάλλεσθαι διὰ τὸ »Ἀνὴρ δασὺς καὶ ζώνην
»δερματίνην περιεζωσμένος περὶ τὴν ὀσφὺν αὐτοῦ«· τοῦ δὲ Ἰωάννου
τὸ εἶδος προεγνωσμένον τάχα, οὐδὲ παραπλήσιον τυγχάνον τῷ χα-
108H ρακτῆρι τοῦ Ἰησοῦ, οὐδὲν ἧττον ὑπόνοιάν τισι παρεσχηκέναι, μήποτε
ὁ Ἰωάννης ἀνέστη ἐκ νεκρῶν Ἰησοῦς μετονομαζόμενος. καὶ περὶ 83
μετωνυμίας γάρ, ὡς ἐν ἀπορρήτοις, οὐκ οἶδα πόθεν κινούμενοι οἱ |
156v Ἑβραῖοι παραδιδόασι Φινεές, τὸν Ἐλεαζάρου υἱόν, ὁμολογουμένως
παρατείναντα τὴν ζωὴν ἕως πολλῶν κριτῶν, ὡς ἐν τοῖς Κριταῖς
116R ἀνέγνωμεν, αὐτὸν εἶναι Ἠλίαν, καὶ τὸ ἀθάνατον ἐν τοῖς Ἀριθμοῖς
αὐτῷ διὰ τῆς ὀνομαζομένης εἰρήνης ἐπηγγέλθαι, ἀνθ' ὧν ζηλώσας
θείῳ ζήλῳ κεκινημένος ἐξεκέντησε τὴν Μαδιανῖτιν καὶ τὸν Ἰσραηλί-
την καὶ κατέπαυσε τὸν λεγόμενον θυμὸν τοῦ θεοῦ κατὰ τὸ γεγραμ-
μένον· »Φινεὲς υἱὸς Ἐλεαζὰρ υἱοῦ Ἀαρὼν κατέπαυσε τὸν θυμόν μου.
»ἀνθ' ὧν ἐζήλωσε τὸν ζῆλόν μου«. θαυμαστὸν οὖν οὐδὲν εἰ οἱ τὸν 84
αὐτὸν ὑπολαμβάνοντες Φινεὲς καὶ Ἠλίαν, (ἤτοι ὑγιῶς λέγοντες ἢ μή·
οὐ γὰρ περὶ τούτου νῦν πρόκειται ἐξετάζειν) τὸν αὐτὸν ἐνόμιζον
εἶναι Ἰωάννην καὶ Ἰησοῦν. ἢ ἐδίσταζόν γε περὶ τούτου μαθεῖν τε
ἐβούλοντο εἰ ὁ αὐτός ἐστιν Ἰωάννης καὶ Ἠλίας. προηγουμένως δὲ 85
ἐν ἄλλοις ἐπιμελέστερον ἐξεταστέον καὶ ἐπὶ πλεῖον τὸν λόγον ἐρευ-
νητέον τὸν περὶ τῆς οὐσίας τῆς ψυχῆς καὶ τῆς ἀρχῆς τῆς συστάσεως
αὐτῆς καὶ τῆς εἰς τὸ γήϊνον σῶμα εἰσκρίσεως αὐτῆς, τῶν τε ἐπιμε-
ρισμῶν τοῦ ἑκάστης βίου καὶ τῆς ἐντεῦθεν ἀπαλλαγῆς, καὶ εἰ ἐνδέχε-

1 Mark. 6, 16. Matth. 14, 2. — **3** Matth. 13, 55f. — **14** II Kön. 1, 8. — **21** Vgl. Richt. 20, 28. — **23** Vgl. Num. 25, 11. — **33** Vgl. de princ. 2, 8.

1 Das Citat aus Mark. u. Matth. vermischt, wohl ebenfalls gedächtnismässig | **5** ⟨αἱ⟩ nach Comm. in Mt. X, 17 (III, 45, 8 L.) zugesetzt. Das Fehlen von αἱ ist im NT. handschriftl. unbezeugt | **13. 14** ἀπὸ] viell. ἐπὶ z. l. | ἀπολαβέσθαι? Pr, λαμβάνεσθαι? We | **30** nach γε + καὶ V, besser καὶ statt ἢ einzusetzen.

Digitized by Google

ται αὐτὴν εἰσκριθῆναι δεύτερον ἐν σώματι ἢ μή, καὶ τῇ αὐτῇ περιόδῳ καὶ τῇ αὐτῇ διακοσμήσει ἢ οὔ, καὶ τῷ αὐτῷ σώματι ἢ ἑτέρῳ, καὶ εἰ τῷ αὐτῷ, πότερον καθ' ὑποκείμενον μένοντι τῷ αὐτῷ κατὰ δὲ ποιότητα μεταβαλομένῳ, ἢ καὶ καθ' ὑποκείμενον καὶ ποιότητα ἐσομένῳ
86 τῷ αὐτῷ, καὶ εἰ ἀεὶ τῷ αὐτῷ σώματι χρήσεται ἢ ἀμείψει αὐτό. ἐν 5
οἷς καὶ τί ἐστι κυρίως μετενσωμάτωσις ἐξετάσαι δεήσει, τί τε αὕτη διαφέρει ἐνσωματώσεως, καὶ εἰ ἀκολουθεῖ τῷ λέγοντι μετενσωμάτωσιν ἄφθαρτον τηρεῖν τὸν κόσμον. ἐν οἷς ἀναγκαῖον ἔσται παραθεῖναι καὶ τοὺς λόγους τῶν θελόντων κατὰ τὰς γραφὰς συσπείρεσθαι τὴν
87 ψυχὴν τῷ σώματι καὶ τὰ ἀκολουθοῦντα αὐτοῖς. καὶ ἁπαξαπλῶς ὁ 10
περὶ ψυχῆς λόγος πολὺς καὶ δυσερμήνευτος ὢν ἀναλεχθησόμενος ἀπὸ τῶν ἐν ταῖς γραφαῖς σποράδην κειμένων ἰδίας δεῖται πραγματείας. διόπερ νῦν κατὰ τὸ παρῆκον ἐκ τῶν περὶ Ἠλίου καὶ Ἰωάννου ἐζητημένων ἐπὶ βραχὺ ἐξετάσαντες τὸ πρόβλημα μετίωμεν ἐπὶ τὰ ἑξῆς.

I, 21. *Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη Οὔ.* 109 H

88 XV. (8) *Εἰ ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, καὶ τί ἄλλο ἂν λέγοιμεν εἶναι Ἰωάννην ἢ προφήτην; ὡς καὶ ὁ πατὴρ αὐτοῦ Ζαχα-* 117 R
*ρίας πλησθεὶς πνεύματος ἁγίου προφητεύων φησί· »Καὶ σὺ δέ, παιδίον, »προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ ἐνώπιον κυρίου ἑτοι-»μάσαι ὁδοὺς αὐτοῦ«· εἰ μὴ ἄρα τις ἐπιλήψεται τοῦ »Κληθήσῃ«, μὴ εἰρημέ- 20
νου τοῦ »Ἔσῃ«, καὶ μάλιστα διὰ τὸ πρὸς τοὺς οἰομένους αὐτὸν προφήτην 157 r
εἶναι εἰρηκέναι τὸν σωτῆρα· »Ἀλλὰ τί † ἐξήλθετε ἰδεῖν; προφήτην;
89 »ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου«. παρατηρητέον δὲ ὅτι τῷ »Ναί, λέγω ὑμῖν« τίθησιν τὸ προφήτην εἶναι τὸν Ἰωάννην, καὶ οὐκ ἀναιρεῖ τὸ προφήτην αὐτὸν εἶναι. ἐὰν δὲ πρὸς τῷ προφήτης 25
τυγχάνειν καὶ »περισσότερον προφήτου« ὑπὸ τοῦ σωτῆρος λέγηται, πῶς οὖν, εἰ προφήτης ἐστίν, πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας ἐρωτῶντας· »Ὁ προφήτης εἶ σύ;« ἀπεκρίθη »Οὔ«; λεκτέον δὲ πρὸς τοῦτο ὅτι οὐ ταὐτόν ἐστιν »Ὁ προφήτης εἶ σύ;« τῷ »Προφήτης εἶ σύ;« τὰ δ' ὅμοια τετηρήκαμεν ἐξετάζοντες τί διαφέρει τὸ »Ὁ θεός« τοῦ »Θεός« καὶ 30
90 »Ὁ λόγος« τοῦ »Λόγος«. ἐπεὶ τοίνυν ἐν τῷ Δευτερονομίῳ γέγραπται· »Προφήτην ὑμῖν ἀναστήσει ⟨κύριος⟩ ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν

11 Vgl. Hebr. 5, 11. — **12** Ob Origenes eine solche Schrift verfasst hat, ist nicht bekannt. — **16** Vgl. Matth. 11, 13. — **17** Vgl. Luk. 1, 67. — **18** Luk. 1, 76. — **22** Matth. 11, 9. — **26** Matth. 11, 9. — **28** Joh. 1, 21. — **30** Vgl. II, 2 (S. 54, 12ff.) — **32** Act. 3, 22f.; (Vgl. Deut. 18, 15f. Lex. 23, 29).

20 ἐπιλήμψεται M* | **22** ἐξήλθ[ε]τε ε a. Ras., z. l. ἐξήλθατε (mit BℵCDZLPΔ33); wie wohl ursprünglich dastand | **24** τῷ] τὸ, corr. Pr | **25** ἀναιρεῖται, corr. We | **29** τῷ bis σὺ am Rande nachgetr. | **31** λόγος²] λόγον, corr. Hu | **32** ⟨κύριος⟩ + Pr nach S. 116, 4 u. XIII, 55.

Digitized by Google

›ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε· καὶ ἔσται πᾶσα ψυχή, ἥτις ἂν μὴ ›ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ‹, προσεδοκᾶτο ἐξαιρέτως τις προφήτης ὅμοιον Μωσεῖ τι ἔχων, τὸ μεσιτεῦσαι θεοῦ καὶ ἀνθρώπων καὶ τὸ λαβὼν διαθήκην ἀπὸ θεοῦ δοῦναι τοῖς μαθητευομένοις τὴν καινήν· καὶ καθ' ἕκαστον τῶν προφητῶν ἐγίνωσκον ὁ λαὸς Ἰσραὴλ μηδένα ἐκείνων εἶναι τὸν ὑπὸ τοῦ Μωσέως προφητευθέντα. ὥσπερ οὖν ἐδίσταζον περὶ Ἰωάννου μήποτε ἄρα 91
Χριστὸς αὐτὸς ἦν, οὕτως καὶ μήποτε ›ὁ προφήτης‹. οὐ θαυμαστὸν δὲ εἰ μὴ ἠκρίβουν ὅτι ⟨ὁ⟩ αὐτός ἐστι ›Χριστός ⟨καὶ⟩ ὁ προφήτης‹ οἱ διστάζοντες περὶ Ἰωάννου, μήποτε αὐτὸς ὁ χριστὸς ἦν· ἀκόλουθον γὰρ τῷ περὶ τούτου δισταγμῷ τὸ ἀγνοεῖν τὸν αὐτὸν εἶναι ›Χριστὸν‹ καὶ ›τὸν προφήτην‹.

Ἔλαθε δὲ τοὺς πολλοὺς ἡ διαφορὰ τοῦ ›Ὁ προφήτης‹ καὶ 92
›Προφήτης‹, ὡς καὶ τὸν Ἡρακλέωνα, ὅστις αὐταῖς λέξεσί φησιν, ὡς ἄρα Ἰωάννης ὡμολόγησεν μὴ εἶναι ὁ χριστός, ἀλλὰ μηδὲ προφήτης μηδὲ Ἠλίας. καὶ δέον αὐτὸν οὕτως ἐκλαβόντα ἐξετάσαι τὰ κατὰ τοὺς τόπους, πότερον ἀληθεύει λέγων μὴ εἶναι προφήτης μηδὲ Ἠλίας, ἢ οὔ. ὁ δὲ μὴ ἐπιστήσας τοῖς τόποις, ἐν οἷς καταλέλοιπεν ὑπομνήμασιν ἀνεξετάστως παρελήλυθεν τὰ τη-
110H λικαῦτα, σφόδρα ὀλίγα καὶ μὴ βεβασανισμένα ἐν τοῖς ἑξῆς εἰπών,
118R περὶ ὧν εὐθέως ἐροῦμεν.

I, 22 *Εἶπον οὖν αὐτῷ Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;*

XVI. (9) *Δυνάμει τοῦτο λέγουσιν οἱ ἀποσταλέντες· Ὅπερ ὑπονο-* 93
οῦντες εἶναί σε ἐλπίζομεν μαθησόμενοι ἔγνωμεν οὐκ ὄντα· λείπεται δὲ μετὰ ταῦτα ἀπὸ σοῦ ἀκοῦσαι τὸ ὅστις εἶ, ἵνα τοῖς πέμψασιν τὴν σὴν ἀπόκρισιν περὶ σοῦ ἀπαγγείλωμεν.

* *
* *
* *

3 Vgl. Gal. 3, 19f. — 7 Vgl. Luk. 3, 15. — 20 Vgl. S. 129, 28ff.

2 ἐξολ[ε]θρευθήσεται] ε a. Ras. | 5 καὶ ü. d. Z. M | 8 ἦν, ἢ V | 9 ⟨ὁ⟩ u. ⟨καὶ⟩ + Br | 10 ἦν, ἢ V | 15 ἄρα] ἀρ' εἰ, corr. Hu | 17 nach ἀληθεύει + ἢ M, corr. Hu | 22 εἶπον] ον a. Ras. | 24 ὑπονοῦντες, corr. V | 27 Der Rest der Erklärung von V. 22 ist verloren gegangen. Von dem Texte von V. 23 (126, 1) ist noch ⟨ἔφη⟩ ausgefallen. Dass die Erklärung des V. unvollständig ist, beweist schon die grosse **Kürze.**

Digitized by Google

I, 23 *〈Ἔφη·〉 Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ Εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.*

94 XVII. (10) *Ὥσπερ ὁ κυρίως υἱὸς τοῦ θεοῦ οὐχ ἕτερος λόγου τυγχάνων χρῆται λόγῳ (αὐτὸς | γὰρ ὁ ἐν ἀρχῇ λόγος ἦν, ὁ πρὸς τὸν θεόν, ὁ* 157 v
λόγος θεός), οὕτως Ἰωάννης ὁ ὑπηρέτης ἐκείνου τοῦ λόγου, εἰ κυρίως 5
ἀκούοιμεν τῆς γραφῆς, οὐχ ἕτερος ὢν φωνῆς, χρῆται φωνῇ δεικνυούσῃ
95 *τὸν λόγον. οὗτος δὴ συνιεὶς τὴν περὶ ἑαυτοῦ προφητείαν παρὰ τῷ Ἡσαΐᾳ εἰρημένην φησὶν εἶναι φωνὴ οὐχὶ »βοῶσα ἐν τῇ ἐρήμῳ«, ἀλλὰ »βοῶντος ἐν τῇ ἐρήμῳ«, τοῦ ἑστῶτος καὶ κεκραγότος· »Ἐάν τις διψᾷ,* 10
»ἐρχέσθω πρὸς μὲ καὶ πινέτω«· λέγοντος καὶ τὸ »Εὐθύνατε τὴν ὁδὸν
»κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· πᾶσα φάραγξ πληρωθή-
»σεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται πάντα τὰ
96 *»σκολιὰ εἰς † εὐθεῖαν«. ὥσπερ γὰρ ἐν τῇ Ἐξόδῳ γέγραπται πρὸς Μωσέα λέγεσθαι ὑπὸ θεοῦ· »Ἰδοὺ δέδωκά σε θεὸν Φαραώ, καὶ Ἀαρὼν ὁ* 15
»ἀδελφός σου ἔσται σου προφήτης«, οὕτω νοητέον ἀνάλογόν τι τούτοις, εἰ καὶ μὴ πάντη ὅμοιον, εἶναι τὸν ἐν ἀρχῇ λόγον θεὸν καὶ Ἰωάννην· φωνὴ γὰρ δεικτικὴ καὶ παραστατικὴ ἐκείνου τοῦ λόγου ὁ
97 *Ἰωάννης ἦν. διόπερ πάνυ ἁρμοζόντως οὐκ ἄλλῃ κολάσει περιβάλλεται Ζαχαρίας, εἰπὼν πρὸς τὸν ἄγγελον· »Κατὰ τί γνώσομαι τοῦτο;* 20
»ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέ-
»ραις αὐτῆς« ἢ τῇ στερήσει τῆς φωνῆς διὰ τὴν ἀπιστίαν τῆς γενέσεως τῆς φωνῆς, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Γαβριὴλ πρὸς αὐτόν· »Ἰδοὺ
»ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, 25
»ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πλησθήσονται εἰς
»τὸν καιρὸν αὐτῶν«· οὗτος δὴ ὁ Ζαχαρίας, ὅτε »Αἰτήσας πινακίδιον
»ἔγραψεν λέγων· Ἰωάννης ἐστὶν ὄνομα αὐτοῦ, καὶ ἐθαύμασαν πάντες«,
ἀπείληφεν τὴν φωνήν· »Ἀνεῴχθη γὰρ τὸ στόμα αὐτοῦ παραχρῆμα
»καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν«.
98 XVIII. *Ὥσπερ δὲ διαλαμβάνοντες περὶ τοῦ τίνα τρόπον νοητέον* 30
λόγον εἶναι τὸν υἱὸν τοῦ θεοῦ τὰ παριστάμενα ἐδηλώσαμεν, οὕτως
κατὰ τὴν ἁρμόζουσαν ἀκολουθίαν, ἐπεὶ ὁ Ἰωάννης »ἦλθεν εἰς μαρ- 111 H
»τυρίαν«, »ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ«, »ἵνα μαρτυρήσῃ περὶ 119 R
τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ«, νοητέον φωνὴν εἶναι
μόνην χωρῆσαι κατ' ἀξίαν τὸν ἀπαγγελλόμενον λόγον δυναμένην τὸν
99 *Ἰωάννην. καὶ μάλιστα τοῦτο συνήσομεν ἐὰν ὑπομνησθῶμεν ὧν προ-* 35

4 Vgl. Joh. 1, 1. — 5 Vgl. Luk. 1, 2. — 6 Vgl. Joh. 1, 23. — 9 Joh. 7, 37. — **10** Luk. 3, 4 f. (Jes. 40, 3 f.) — **14** Ex. 7, 1. — **16** Vgl. Joh. 1, 1. — **19** Luk. 1, 18. — **22** Luk. 1, 20. — 25 Luk. 1, 63. — 27 Luk. 1, 64. — 29 Vgl. I, 38 (S. 49, 3 ff.) — **31** Vgl. Joh. 1, 6 f.

3 *λόγου*] *λόγος*, corr. Ferrarius | 7 *χρῆται — αὐτὸς* a. Ras. | **16** *εὐθεῖαν*] *εὐθείας* z. l. nach S. 136, 25 ff., wo Orig. ausdrücklich *εὐθείας* als Lesart des Luk. bezeichnet.

Digitized by Google

παρεθέμεθα διηγούμενοι τὸ »Ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ« · περὶ τοῦ »Οὗτός ἐστιν περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν »ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου »ἔμπροσθέν σου«. καλῶς δὲ καὶ τὸ μὴ εἶναι αὐτὸν τὴν φωνὴν »λέ-
158r »γοντος ἐν τῇ ἐρήμῳ«, ἀλλὰ »βοῶντος | ἐν τῇ ἐρήμῳ« · ὁ μὲν γὰρ βοῶν τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου«, καὶ λέγει· ἐνδέχεται δὲ τὸν αὐτὸν τοῦτον λέγειν μὴ βοῶντα. βοᾷ δὲ καὶ κέκραγεν, ἵνα καὶ οἱ μακρὰν τοῦ 100
λέγοντος ἀκούσωσιν καὶ οἱ βαρυήκοοι συνῶσιν τοῦ μεγέθους τῶν λεγομένων μετὰ μεγέθους ἀπαγγελλομένων φωνῆς, βοηθῶν τοῖς τε
10 ἀφεστῶσιν θεοῦ καὶ τοῖς τὸ ὀξὺ τῆς ἀκοῆς ἀπολωλεκόσιν. διὰ τοῦτο γὰρ καὶ »εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξεν λέγων· »Ἐάν τις διψᾷ ἐρχέσθω »πρὸς μὲ καὶ πινέτω«. διὰ τοῦτο καὶ ὁ »Ἰωάννης μαρτυρεῖ περὶ αὐ-»τοῦ καὶ κέκραγε λέγων«. διὰ τοῦτο καὶ κελεύει ὁ θεὸς τῷ Ἡσαΐᾳ βοᾶν ἐν τῇ φωνῇ »λέγοντος· Βόησον· κἀγὼ εἶπα· Τί βοήσω«; ἐὰν 101
15 δὲ μὴ παντελῶς ᾖ ἡ νοητὴ τῶν εὐχομένων φωνὴ μεγάλη καὶ οὐ βραχεῖα, οὐδὲ ἂν αὐξήσωσι τὴν βοὴν καὶ τὴν κραυγὴν ἀκούει τῶν οὕτως εὐχομένων ὁ θεὸς ὁ λέγων πρὸς Μωσέα· »Τί βοᾷς πρὸς μέ«; οὐκ αἰσθητῶς βεβοηκότα, (οὐ γὰρ ἀναγέγραπται τοῦτο ἐν τῇ Ἐξόδῳ,) μεγάλως δὲ τὴν ἀκουομένην μόνῳ θεῷ φωνὴν βεβοηκότα διὰ τῆς
20 εὐχῆς. διὰ τοῦτο καὶ Δαβὶδ φησι· »Φωνῇ μου πρὸς κύριον ἐκέκραξα »καὶ ἐπήκουσέν μου«. χρεία δὲ τῆς φωνῆς τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, 102
ἵνα καὶ ἡ ἐστερημένη θεοῦ ψυχὴ καὶ ἔρημος ἀληθείας, (τίς γὰρ ἄλλη χαλεπωτέρα ἐρημία ψυχῆς θεοῦ καὶ πάσης ἀρετῆς ἠρημωμένης;) διὰ τὸ ἔτι σκολιῶς πορεύεσθαι δεομένη διδασκαλίας, ἐπὶ τὸ εὐθύνειν τὴν
25 ὁδὸν κυρίου παρακαλῆται. ἤντινα ὁδὸν εὐθύνει μὲν ὁ μηδαμῶς τὴν σκολιότητα τῆς τοῦ ὄφεως πορείας μιμούμενος, ὁ δὲ τούτῳ ἐναντίος διαστρέφει. διόπερ καὶ ἐπιπλήσσεται ἅμα τοῖς ὁμοίοις ὁ τοιοῦτος διὰ τοῦ »Ἵνα τί διαστρέφετε τὰς ὁδοὺς κυρίου τὰς εὐθείας;«

XIX. (11) Διχῶς δὲ ἡ ὁδὸς κυρίου εὐθύνεται, κατά τε τὸ θεω- 103
30 ρητικόν, τρανούμενον ἐν ἀληθείᾳ ἀπαραμίκτως τοῦ ψεύδους, καὶ κατὰ τὸ πρακτικὸν μετὰ τὴν ὑγιῆ θεωρίαν τοῦ πρακτέου ἁρμονίου πράξεως
120R ἀποδιδομένης τῷ περὶ τῶν πρακτέων ὑγιεῖ λόγῳ. καὶ ἵνα ἀκριβέ-
112H στερον τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου« νοήσωμεν, εὔκαιρον ἔσται

1 Joh. 1, 7. — **2** Matth. 11, 10. — **4** Vgl. Joh. 1, 23. — **7** Vgl. Joh. 1, 15. — **11** Joh. 7, 37. — **12** Joh. 1, 15. — **14** Jes. 40, 6. — **17** Ex. 14, 15. — **18** Vgl. Philo Bd. III S. 4, 11ff. We. — **20** Ps. 76, 2. — **24** Vgl. Jes. 40, 3. — **28** Vgl. Act. 13, 10. — **33** Joh. 1, 23.

2 *ἰδοὺ*] *ἴδε*, corr. V | **4** nach *δὲ* viell. ⟨*κεῖται*⟩ einzuschieben | **6** *τὸ αὐτὸ τοῦτο*, über *τοῦτο* steht *τὸ* M, corr. We | **9** *ἀπαγγελλομένου*, corr. We | **14** *εἶπα* M*, v. l. H. zu *εἶπον* corr. | **15** *ἡ* str. Br | **16** *αὐξήσωσι*] *αὐξῆσαι*, corr. V | **25** *παράκληται*, corr. V | **28** *δια-*[*στρέφετε*] a. Ras. | **30** *τρανουμένη*? | *ἀπ*[*αραμίκτως*] a. Ras. | **31** *ἁρμονίου*] *ἁρμονίου*.

Digitized by Google

τῷ »Ἐξαλείψω δὲ πᾶσαν τὴν ἐξανάστασιν« ἀναγεγραμμένῳ ἐν τῇ Γενέσει οἱ αὐτοὶ χρώμενοι τὸν πεφροντικότα πιθανότητας ἀπατηλὰς προσαγομένας ἀπὸ τῶν γραφῶν λύειν εἰς ἀγῶνα παραστήσουσιν ἱστάμενον πρὸς τὸ δόγμα.

66 XI. Ἕτερος δέ τις ἐκκλησιαστικὸς τὸν περὶ τῆς μετενσωματώσεως ἀποπτύων ὡς ψευδῆ λόγον, μὴ προσιέμενος τὸ τὴν ψυχὴν Ἰωάννου Ἠλίαν ποτὲ γεγονέναι, τῷ προειρημένῳ | λόγῳ τοῦ ἀγγέλου χρήσεται 105H 155r ψυχὴν Ἠλίου μὴ ὀνομάσαντος ἐπὶ τῆς Ἰωάννου γενέσεως ἀλλὰ πνεῦμα καὶ δύναμιν διὰ τοῦ »Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα« διὰ μυρίων δυνάμενος ἀποδεικνύναι γραφῶν ἕτερον εἶναι τὸ πνεῦμα τῆς ψυχῆς καὶ ὀνομαζομένην δύναμιν τοῦ πνεύματος καὶ τῆς ψυχῆς· 113R περὶ ὧν οὐκ εὔκαιρον νῦν παρατίθεσθαι τὰ πολλά, ἵνα μὴ πάνυ τὸν
67 λόγον περισπάσωμεν. ἀρκεσθήσεται δὲ ἐπὶ τοῦ παρόντος πρὸς μὲν τὸ διαφέρειν δύναμιν πνεύματος τὸ »Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ »σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι«· πρὸς δὲ ⟨τὸ⟩ τὰ ἐν τοῖς προφήταις πνεύματα, ἅτε δεδωρημένα αὐτοῖς ὑπὸ θεοῦ οἱονεὶ ἐκείνων ὀνομάζεσθαι κτήματα τὸ »Πνεύματα προφητῶν προφήταις ὑποτάσσε»ται«· καὶ τὸ »Ἀναπέπαυται τὸ πνεῦμα Ἠλίου ἐπὶ Ἐλισσαιέ«. οὕτω γὰρ οὐδὲν ἄτοπον, φησίν, ἔσται τὸν Ἰωάννην ἐν πνεύματι καὶ δυνάμει Ἠλίου ἐπιστρέφοντα καρδίας πατέρων ἐπὶ τέκνα, διὰ τοῦτο τὸ
68 πνεῦμα Ἠλίαν λέγεσθαι τὸν μέλλοντα ἔρχεσθαι. εἰς παραμυθίαν δὲ τούτων καὶ τούτῳ χρήσεται τῷ λόγῳ· εἰ ὁ τῶν ὅλων θεὸς οἰκειωθεὶς τοῖς ἁγίοις θεὸς αὐτῶν γίνεται, οὕτως ὀνομαζόμενος θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ, πόσῳ πλέον τὸ ἅγιον πνεῦμα οἰκειωθὲν τοῖς προφήταις πνεῦμα αὐτῶν χρηματίζειν οἷόν τε ἔσται, ἵν' ᾖ οὕτως πνεῦμα Ἠλίου καὶ πνεῦμα Ἡσαΐου λεγόμενον τὸ πνεῦμα;
69 ὁ αὐτός τε οὗτος ἐκκλησιαστικὸς ἐρεῖ δύνασθαι μὲν τοὺς ὑπειληφότας ἕνα τῶν προφητῶν εἶναι τὸν Ἰησοῦν ἀναστάντα ἐκ νεκρῶν ἠπατῆσθαι κατά τε τὸ προειρημένον δόγμα καὶ κατὰ τὸ ὑπολαμβάνειν αὐτὸν ἕνα τῶν προφητῶν τυγχάνειν, δύνασθαι δὲ πρὸς τῷ κατὰ τὸ νομίζειν αὐτὸν τῶν προφητῶν εἶναι ἕνα πταίειν καὶ ψευδοδοξεῖν καὶ κατὰ τὸ ἀγνοεῖν αὐτοῦ τὸν λεγόμενον πατέρα καὶ τὴν οὖσαν μητέρα, οἴεσθαί
70 τε αὐτὸν ἀπὸ τῶν μνημείων ἐγηγέρθαι. καὶ πρὸς τὸ ἐν τῇ Γενέσει

1 Gen. 7, 4. — **7** Vgl. S. 119, 21. — **9** Luk. 1, 17. — **15** Luk. 1, 35. — **18** I Kor. 14, 32. — **19** II Kön. 2, 15. — **21** Vgl. Matth. 10, 35. Luk. 12, 53. — **24** Vgl. Ex. 3, 6.

3 *παραστήσουσιν*] *περιστήσουσιν*, corr. V | **6** *προσιέμενος* bis *Ἰωάννου* a. Ras. | **15** *τὸ*²] *τῶ*, corr. Hu | **16** ⟨*τὸ*⟩ + We | **18** *τὸ*] *τῶ*, corr. Hu | **19** *τὸ*] *τῶ*, corr. Hu | *Ελισ*[*σαιέ*] a. Ras. | **22** *πνεῦμα* auf d. Rand M² | **32** *εἶναι* a. Ras.

Digitized by Google

δὲ περὶ τῆς ἐξαναστάσεως ἀπαντήσεται ὁ ἐκκλησιαστικὸς χρώμενος τῷ »Ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέ»κτεινε Κάϊν« τῆς »ἐξαναστάσεως« καὶ ἐπὶ »γενέσεως« κειμένης. οὗτος δὴ πρὸς τὸ πρῶτον ἀποροῦντα ἑτέρως παρὰ τὸν ὑπολαμβάνοντα μετενσωμάτωσιν ἀπολογούμενος ἐρεῖ διὰ μὲν τὰ ἀρτίως κατασκευασθέντα λόγῳ τινὶ εἶναι τὸν Ἰωάννην Ἠλίαν τὸν μέλλοντα ἔρχεσθαι, ἀποκεκρίσθαι δὲ πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας τὸ »Οὐκ εἰμὶ« στοχασάμενον τοῦ βουλήματος τῆς ἐρωτήσεως αὐτῶν. οὐ γὰρ τοῦτο ἤθελεν ἡ 71
106H προγενομένη ἐξέτασις τῷ Ἰωάννῃ ἀπὸ τῶν ἱερέων καὶ Λευϊτῶν, τὸ μαθεῖν εἰ τὸ αὐτὸ πνεῦμα ἐν ἀμφοτέροις ἐτύγχανεν, ἀλλ᾽ εἰ ὁ Ἰωάν-
155v νης αὐτὸς Ἠλίας ὁ ἀναληφθεὶς νῦν ἐπιφαινόμενος κατὰ τὸ Ἰουδαίοις προσδοκώμενον χωρὶς γενέσεως, ἣν τάχα καὶ ἠγνόουν οἱ ἀπὸ Ἱεροσολύμων ἀποσταλέντες· πρὸς ἣν πεῦσιν εἰκότως ἀποκρίνεται τὸ »Οὐκ εἰμί«· οὐ γὰρ Ἠλίας ὁ ἀναληφθεὶς ἀμείψας σῶμα ἐληλύθει Ἰωάννης ὀνομαζόμενος.

114R XII. Ὁ δὲ πρῶτος, οὗ τὸν νοῦν παρεθήκαμεν οἰομένου μετενσωμάτωσιν ἐντεῦθεν κατασκευάζεσθαι, προσδιατρίβων τῇ βασάνῳ τῆς λέξεως ἐρεῖ πρὸς τὸν δεύτερον, ὅτι οὐκ ἀκόλουθον τὸν τηλικούτου ἱερέως Ζαχαρίου υἱὸν ἐπὶ γήρᾳ γεγεννημένον ἀμφοτέροις τοῖς γονεῦσιν παρὰ πᾶσαν ἀνθρωπίνην προσδοκίαν ἀγνοεῖσθαι ὑπὸ τῶν τοσούτων ἐν Ἱεροσολύμοις Ἰουδαίων καὶ τῶν πεμφθέντων ὑπ᾽ αὐτῶν Λευϊτῶν καὶ ἱερέων, οὐ γινωσκόντων τὸ γεγεννῆσθαι ⟨οὕτως⟩ αὐτόν· καὶ μάλιστα Λουκᾶ μαρτυροῦντος ὅτι »Ἐγένετο ἐπὶ πάντας φόβος »τοὺς περιοικοῦντας αὐτούς« (δῆλον δὲ ὅτι τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ) »καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ »ῥήματα ταῦτα«. εἰ δὲ οὐκ ἠγνοεῖτο ἡ ἐκ Ζαχαρίου γένεσις Ἰωάννου, 73
ἔπεμπον δὲ οἱ ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι διὰ τῶν Λευϊτῶν καὶ ἱερέων πευσόμενοι τὸ »Σὺ Ἠλίας εἶ;« δῆλον ὅτι τοῦτο ἔλεγον τὸ περὶ μετενσωματώσεως δόγμα οἰόμενοι εἶναι ἀληθὲς ὡς πάτριον τυγχάνον καὶ οὐκ ἀλλότριον τῆς ἐν ἀπορρήτοις διδασκαλίας αὐτῶν. διὰ τοῦτο οὖν λέγει »Οὐκ εἰμὶ Ἠλίας« ὁ Ἰωάννης, ἐπεὶ ἀγνοεῖ τὸν ἴδιον πρότερον βίον.

XIII. Τούτων δὴ οὐκ εὐκαταφρόνητον πιθανότητα ἐχόντων, 74
πάλιν ὁ ἐκκλησιαστικὸς ἀπορήσει πρὸς τὸν πρότερον εἰ κατὰ τὸν προφήτην ἐστὶν ⟨τὸν⟩ ὑπὸ τοῦ πνεύματος φωτιζόμενον καὶ ὑπὸ

2 Gen. 4, 25. — 7 Vgl. Joh. 1, 21. — 23 Luk. 1, 65. — 35 Vgl. Luk. 1, 35.

1 δὲ] τε, corr. We, oder τε ist zu γε⟨γραμμένον⟩ zu erg. | 9 προ..νομένη M γε verblichen, νο könnte als γο gelesen werden; προγενομένη V | 10 εἰ ü. d. Z. | 19 γεγενημένον, corr. Pr | 22 γεγενῆσθαι, corr. Pr | ⟨οὕτως⟩ + We | 35 ⟨τὸν⟩ + Pr.

Digitized by Google

Ἡσαΐου προφητευόμενον, ὑπό τε τηλικούτου [τοῦ] ἀγγέλου πρὶν γεννηθῆναι τεχθήσεσθαι προειρημένον, ἐκ τοῦ πληρώματος Χριστοῦ εἰληφότα, χάριτος τηλικαύτης μετεσχηκότα, τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ γεγενῆσθαι νενοηκότα, περὶ θεοῦ καὶ τοῦ μονογενοῦς τοῦ εἰς τὸν κόλπον τοῦ πατρὸς διηγησάμενον τὰ τοσαῦτα, τὸ ψεύσασθαι
75 καὶ ὅπερ ἦν οὐκ ἐγνωκότα κἂν ἐπισχεῖν. ἐχρῆν γὰρ περὶ τῶν ἀδηλοτέρων ἐπέχειν ὁμολογεῖν, καὶ μήτε τιθέναι μήτε αἴρειν τὴν πρότασιν. πῶς δὲ οὐκ ἦν εὔλογον, εἰ πολλῶν τοῦτο δόγμα ἐτύγχανεν, ἐπισχεῖν τὸν Ἰωάννην περὶ αὐτοῦ, μήποτε ἡ ψυχὴ αὐτοῦ ποτε ἐν
76 Ἠλίᾳ ἦν; καὶ ἐπὶ τὴν ἱστορίαν δὲ ὁ ἐκκλησιαστικὸς προκαλέσεται τὸν πρότερον πευσόμενον παρὰ τῶν τὰ ἀπόρρητα ἐγνωκέναι παρ' Ἑβραίοις ἐπαγγελλομένων, εἰ τοιοῦτόν τι δόγμα ἐστὶ παρ' αὐτοῖς· ἐὰν γὰρ 107 H
μηδαμῶς φαίνηται τοῦθ' οὕτως ἔχον, δῆλον ὅτι ἐσκέδασται ὁ τοῦ προ-
77 τέρου λόγος. οὐδὲν | τοίνυν ἧττον ὁ ἐκκλησιαστικὸς χρήσεται τῇ προα- 156 r
ποδεδομένῃ λύσει, ἔτι καὶ αὐτὸς τὸ βούλημα τῶν πυθομένων παραστῆσαι ἀπαιτούμενος. εἰ γάρ, ὡς κατεσκεύασεν, οἱ πέμψαντες ἴσασι γεγενημένον ἐκ Ζαχαρίου καὶ Ἐλισάβετ τὸν Ἰωάννην, καὶ πολλῷ πλέον οἱ πεμφθέντες γένους ὄντες ἱερατικοῦ, οὓς οὐκ ἂν ἔλαθεν ἡ 115 R
τοῦ οὕτως ἐπιφανοῦς συγγενοῦς Ζαχαρίου παράδοξος εὐπαιδία, τί νοήσαντες πυνθάνονται τὸ »Σὺ Ἠλίας εἶ;« ἄνδρες ἀνεγνωκότες ἀνειλῆφθαι αὐτὸν ὡς εἰς τὸν οὐρανὸν καὶ προσδοκῶντες ἐπιδημίαν αὐτοῦ;
78 τάχα οὖν, ἐπεὶ πρὸς τῇ συντελείᾳ προσδοκῶσιν Ἠλίαν πρὸ Χριστοῦ καὶ ἐπὶ τούτῳ Χριστόν, οἱονεὶ τροπικώτερον φαίνονται ἐρωτῶντες Εἰ σὺ εἶ ὁ προκαταγγέλλων τὸν πρὸ Χριστοῦ ἐπὶ συντελείᾳ ἐλευσόμενον λόγον; καὶ ἐπιστημόνως πρὸς τοῦτο ἀποκρίνεται τὸ »Οὐκ »εἰμί«.

79 XIV. Ἔτι δὲ ὁ ἐκκλησιαστικὸς ἱστάμενος πρὸς τὰ ἐξητασμένα ὑπὸ τοῦ ἑτέρου ἀποδεικνύναι πειρωμένου μὴ ἂν λελῆθέναι τοὺς ἱερεῖς οὕτως ἐπιφανῆ γεγενημένην τὴν Ἰωάννου γένεσιν διὰ τὸ »ἐν τῇ »ὀρεινῇ τῆς Ἰουδαίας« διαλελαλῆσθαι »πάντα τὰ ῥήματα ταῦτα«, φήσει τὴν παραπλησίαν ἀπάτην πολλοῖς γεγονέναι καὶ περὶ τοῦ σωτῆρος, ἐπεὶ »Οἱ μὲν ἔλεγον αὐτὸν Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι »δὲ Ἠλίαν, † ἄλλοι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν«, ὡς καὶ οἱ μαθηταὶ πυνθανομένῳ τῷ κυρίῳ γενομένῳ ἐν τοῖς μέρεσι Καισαρείας

1 Vgl. Jes. 40, 3. — Vgl. Luk. 1, 11. — 2 Vgl. Joh. 1, 16ff. — 14 Vgl. S. 121, 3ff. — 20 Joh. 1, 21. — 22 Vgl. Schürer, Gesch. d. jüd. V. III³, 524f. — 29 Vgl. Luk. 1, 65. — 32 Matth. 16, 14.

6 καὶ] wohl ἢ z. l. | 8 δόγμα] δόγματα, corr. Hu | 14 λόγος] λόγον, corr. V ἐκκλησιαστικὸς] ος a. Ras. | 16 κατεσκεύασεν] κατεσκεύασαν, corr. Br | 17 τὸν aus τῶν corr. | 33 ἄλλοι statt ἕτεροι wohl nur Gedächtnisfehler.

Digitized by Google

τῆς Φιλίππου εἰρήκασι. καὶ ὁ Ἡρῴδης δὲ λέγων· »Ὃν ἐγὼ ἀπεκε- 80
»φάλισα Ἰωάννην, αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν« περὶ τοῦ χριστοῦ
ἔοικε μὴ εἰδέναι τὰ λεγόμενα ὑπὸ τῶν φασκόντων· »Οὐχ οὗτός ἐστιν
»ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελ-
»φοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ Ἰούδας; καὶ ⟨αἱ⟩ ἀδελ-
»φαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν«; οὐδὲν οὖν θαυμαστόν, 81
ὥσπερ ἐπὶ τοῦ σωτῆρος, πολλῶν ἐγνωκότων τὴν ἐκ Μαρίας γένεσιν
αὐτοῦ, ἄλλους ἠπατῆσθαι, οὕτω καὶ ἐπὶ τοῦ Ἰωάννου οὓς μὲν μὴ
λεληθέναι τὴν ἐκ Ζαχαρίου γένεσιν αὐτοῦ, ἑτέρους δὲ διστάζειν, μή-
ποτε ὁ προσδοκώμενος Ἠλίας ἐπεφάνη κατὰ τὸν Ἰωάννην (καὶ οὐ 82
χώραν γε μᾶλλον ἔχει ἡ περὶ τοῦ Ἰωάννου ἐπαπόρησις, μήποτε εἴη
Ἠλίας, ἤπερ ἡ περὶ τοῦ σωτῆρος, μὴ ἄρα αὐτὸς τυγχάνῃ Ἰωάννης)
ὢν τοῦ Ἠλίου μὲν τὸν χαρακτῆρα ἀπὸ μόνης τῆς λέξεως, καὶ οὐχὶ
ἀπὸ τῆς αἰσθήσεως † ἀποβάλλεσθαι διὰ τὸ »Ἀνὴρ δασὺς καὶ ζώνην
»δερματίνην περιεζωσμένος περὶ τὴν ὀσφὺν αὐτοῦ«· τοῦ δὲ Ἰωάννου
τὸ εἶδος προεγνωσμένον τάχα, οὐδὲ παραπλήσιον τυγχάνον τῷ χα-
106H ρακτῆρι τοῦ Ἰησοῦ, οὐδὲν ἧττον ὑπόνοιάν τισι παρεσχηκέναι, μήποτε
ὁ Ἰωάννης ἀνέστη ἐκ νεκρῶν Ἰησοῦς μετονομαζόμενος. καὶ περὶ 83
μετωνυμίας γάρ, ὡς ἐν ἀπορρήτοις, οὐκ οἶδα πόθεν κινούμενοι οἱ
156v Ἑβραῖοι παραδιδόασι Φινεές, τὸν Ἐλεαζάρου υἱόν, ὁμολογουμένως
παρατείναντα τὴν ζωὴν ἕως πολλῶν κριτῶν, ὡς ἐν τοῖς Κριταῖς
116R ἀνέγνωμεν, αὐτὸν εἶναι Ἠλίαν, καὶ τὸ ἀθάνατον ἐν τοῖς Ἀριθμοῖς
αὐτῷ διὰ τῆς ὀνομαζομένης εἰρήνης ἐπηγγέλθαι, ἀνθ' ὧν ζηλώσας
θείῳ ζήλῳ κεκινημένος ἐξεκέντησε τὴν Μαδιανῖτιν καὶ τὸν Ἰσραηλί-
την καὶ κατέπαυσε τὸν λεγόμενον θυμὸν τοῦ θεοῦ κατὰ τὸ γεγραμ-
μένον· »Φινεὲς υἱὸς Ἐλεαζὰρ υἱοῦ Ἀαρὼν κατέπαυσε τὸν θυμόν μου,
»ἀνθ' ὧν ἐζήλωσε τὸν ζῆλόν μου«. θαυμαστὸν οὖν οὐδὲν εἰ οἱ τὸν 84
αὐτὸν ὑπολαμβάνοντες Φινεὲς καὶ Ἠλίαν, (ἤτοι ὑγιῶς λέγοντες ἢ μή·
οὐ γὰρ περὶ τούτου νῦν πρόκειται ἐξετάζειν) τὸν αὐτὸν ἐνόμιζον
εἶναι Ἰωάννην καὶ Ἰησοῦν. ἢ ἐδίσταζόν γε περὶ τούτου μαθεῖν τε
ἐβούλοντο εἰ ὁ αὐτός ἐστιν Ἰωάννης καὶ Ἠλίας. προηγουμένως δὲ 85
ἐν ἄλλοις ἐπιμελέστερον ἐξεταστέον καὶ ἐπὶ πλεῖον τὸν λόγον ἐρευ-
νητέον τὸν περὶ τῆς οὐσίας τῆς ψυχῆς καὶ τῆς ἀρχῆς τῆς συστάσεως
αὐτῆς καὶ τῆς εἰς τὸ γήϊνον σῶμα εἰσκρίσεως αὐτῆς, τῶν τε ἐπιμε-
ρισμῶν τοῦ ἑκάστης βίου καὶ τῆς ἐντεῦθεν ἀπαλλαγῆς, καὶ εἰ ἐνδέχε-

1 Mark. 6, 16. Matth. 14, 2. — **3** Matth. 13, 55f. — **14** II Kön. 1, 8. — **21** Vgl. Richt. 20, 28. — **23** Vgl. Num. 25, 11. — **33** Vgl. de princ. 2, 8.

1 Das Citat aus Mark. u. Matth. vermischt, wohl ebenfalls gedächtnismässig | **5** ⟨αἱ⟩ nach Comm. in Mt. X, 17 (III, 45, 8 L.) zugesetzt. Das Fehlen von αἱ ist im NT. handschriftl. unbezeugt | **13.14** ἀπὸ] viell. ἐπὶ z. l. | ἀπολαβέσθαι? Pr, λαμβάνεσθαι? We | **30** nach γε + καὶ V, besser καὶ statt ἢ einzusetzen.

Digitized by Google

ται αὐτὴν εἰσκριθῆναι δεύτερον ἐν σώματι ἢ μή, καὶ τῇ αὐτῇ περιόδῳ καὶ τῇ αὐτῇ διακοσμήσει ἢ οὔ, καὶ τῷ αὐτῷ σώματι ἢ ἑτέρῳ, καὶ εἰ τῷ αὐτῷ, πότερον καθ' ὑποκείμενον μένοντι τῷ αὐτῷ κατὰ δὲ ποιότητα μεταβαλομένῳ, ἢ καὶ καθ' ὑποκείμενον καὶ ποιότητα ἐσομένῳ
86 τῷ αὐτῷ, καὶ εἰ ἀεὶ τῷ αὐτῷ σώματι χρήσεται ἢ ἀμείψει αὐτό. ἐν 5
οἷς καὶ τί ἐστι κυρίως μετενσωμάτωσις ἐξετάσαι δεήσει, τί τε αὕτη διαφέρει ἐνσωματώσεως, καὶ εἰ ἀκολουθεῖ τῷ λέγοντι μετενσωμάτωσιν ἄφθαρτον τηρεῖν τὸν κόσμον. ἐν οἷς ἀναγκαῖον ἔσται παραθεῖναι καὶ τοὺς λόγους τῶν θελόντων κατὰ τὰς γραφὰς συσπείρεσθαι τὴν
87 ψυχὴν τῷ σώματι καὶ τὰ ἀκολουθοῦντα αὐτοῖς. καὶ ἁπαξαπλῶς ὁ 10
περὶ ψυχῆς λόγος πολὺς καὶ δυσερμήνευτος ὢν ἀναλεχθησόμενος ἀπὸ τῶν ἐν ταῖς γραφαῖς σποράδην κειμένων ἰδίας δεῖται πραγματείας. διόπερ νῦν κατὰ τὸ παρῆκον ἐκ τῶν περὶ Ἰλίου καὶ Ἰωάννου ἐζητημένων ἐπὶ βραχὺ ἐξετάσαντες τὸ πρόβλημα μετίωμεν ἐπὶ τὰ ἑξῆς.

I, 21. Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη Οὔ. 109 H

88 XV. (8) Εἰ ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, καὶ τί ἄλλο ἂν
λέγοιμεν εἶναι Ἰωάννην ἢ προφήτην; ὡς καὶ ὁ πατὴρ αὐτοῦ Ζαχα- 117 R
ρίας πλησθεὶς πνεύματος ἁγίου προφητεύων φησί· »Καὶ σὺ δέ, παιδίον, »προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ ἐνώπιον κυρίου ἑτοι- »μάσαι ὁδοὺς αὐτοῦ«· εἰ μὴ ἄρα τις ἐπιλήψεται τοῦ »Κληθήσῃ«, μὴ εἰρημέ- 20
νου τοῦ »Ἔσῃ«, καὶ μάλιστα διὰ τὸ πρὸς τοὺς οἰομένους αὐτὸν προφήτην 157 r
εἶναι εἰρηκέναι τὸν σωτῆρα· »Ἀλλὰ τί † ἐξήλθετε ἰδεῖν; προφήτην;
89 »ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου«. παρατηρητέον δὲ ὅτι τῷ »Ναί, λέγω ὑμῖν« τίθησιν τὸ προφήτην εἶναι τὸν Ἰωάννην, καὶ οὐκ ἀναιρεῖ τὸ προφήτην αὐτὸν εἶναι. ἐὰν δὲ πρὸς τῷ προφήτης 25
τυγχάνειν καὶ »περισσότερον προφήτου« ὑπὸ τοῦ σωτῆρος λέγηται, πῶς οὖν, εἰ προφήτης ἐστίν, πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας ἐρωτῶντας· »Ὁ προφήτης εἶ σύ;« ἀπεκρίθη »Οὔ«; λεκτέον δὲ πρὸς τοῦτο ὅτι οὐ ταὐτόν ἐστιν »Ὁ προφήτης εἶ σύ;« τῷ »Προφήτης εἶ σύ;« τὰ δ' ὅμοια τετηρήκαμεν ἐξετάζοντες τί διαφέρει τὸ »Ὁ θεός« τοῦ »Θεός« καὶ 30
90 »Ὁ λόγος« τοῦ »Λόγος«. ἐπεὶ τοίνυν ἐν τῷ Δευτερονομίῳ γέγραπται· »Προφήτην ὑμῖν ἀναστήσει ⟨κύριος⟩ ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν

11 Vgl. Hebr. 5, 11. — **12** Ob Origenes eine solche Schrift verfasst hat, ist nicht bekannt. — **16** Vgl. Matth. 11, 13. — **17** Vgl. Luk. 1, 67. — **18** Luk. 1, 76. — **22** Matth. 11, 9. — **26** Matth. 11, 9. — **28** Joh. 1, 21. — **30** Vgl. II, 2 (S. 54, 12 ff.) — **32** Act. 3, 22 f.; (Vgl. Deut. 18, 15 f. Lev. 23, 29).

20 *ἐπιλήμψεται* M* | 22 *ἐξήλθ*[*ε*]*τε*] *ε* a. Ras., z. l. *ἐξήλθατε* (mit B𝔎CDZLPΔ33); wie wohl ursprünglich dastand | **24** *τῷ*] *τὸ*, corr. Pr | **25** *ἀναιρεῖται*, corr. We | 29 *τῷ* bis *σὺ* am Rande nachgetr. | **31** *λόγος*²] *λόγον*, corr. Hu | **32** ⟨*κύριος*⟩ + Pr nach S. 116, 4 u. XIII, 55.

Digitized by Google

›ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε· καὶ ἔσται πᾶσα ψυχή, ἥτις ἂν μὴ ›ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ‹, προσεδοκᾶτο ἐξαιρέτως τις προφήτης ὅμοιον Μωσεῖ τι ἔχων, τὸ μεσιτεῦσαι θεοῦ καὶ ἀνθρώπων καὶ τὸ λαβὼν διαθήκην ἀπὸ θεοῦ δοῦναι τοῖς μαθητευομένοις τὴν καινήν· καὶ καθ' ἕκαστον τῶν προφητῶν ἐγίνωσκον ὁ λαὸς Ἰσραὴλ μηδένα ἐκείνων εἶναι τὸν ὑπὸ τοῦ Μωσέως προφητευθέντα. ὥσπερ οὖν ἐδίσταζον περὶ Ἰωάννου μήποτε ἄρα 91
Χριστὸς αὐτὸς ἦν, οὕτως καὶ μήποτε ›ὁ προφήτης‹. οὐ θαυμαστὸν δὲ εἰ μὴ ἠκρίβουν ὅτι ⟨ὁ⟩ αὐτός ἐστι ›Χριστός ⟨καὶ⟩ ὁ προφήτης‹ οἱ διστάζοντες περὶ Ἰωάννου, μήποτε αὐτὸς ὁ χριστὸς ἦν· ἀκόλουθον γὰρ τῷ περὶ τούτου δισταγμῷ τὸ ἀγνοεῖν τὸν αὐτὸν εἶναι ›Χριστὸν‹ καὶ ›τὸν προφήτην‹.

Ἔλαθε δὲ τοὺς πολλοὺς ἡ διαφορὰ τοῦ ›Ὁ προφήτης‹ καὶ 92
›Προφήτης‹, ὡς καὶ τὸν Ἡρακλέωνα, ὅστις αὐταῖς λέξεσί φησιν, ὡς ἄρα Ἰωάννης· ὡμολόγησεν μὴ εἶναι ὁ χριστός, ἀλλὰ μηδὲ προφήτης μηδὲ Ἠλίας. καὶ δέον αὐτὸν οὕτως ἐκλαβόντα ἐξετάσαι τὰ κατὰ τοὺς τόπους, πότερον ἀληθεύει λέγων μὴ εἶναι προφήτης μηδὲ Ἠλίας, ἢ οὔ. ὁ δὲ μὴ ἐπιστήσας τοῖς τόποις, ἐν οἷς καταλέλοιπεν ὑπομνήμασιν ἀνεξετάστως παρελήλυθεν τὰ τη-
110H λικαῦτα, σφόδρα ὀλίγα καὶ μὴ βεβασανισμένα ἐν τοῖς ἑξῆς εἰπών,
118R περὶ ὧν εὐθέως ἐροῦμεν.

I, 22 *Εἶπον οὖν αὐτῷ Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;*

XVI. (9) *Δυνάμει τοῦτο λέγουσιν οἱ ἀποσταλέντες· Ὅπερ ὑπονο-* 93
οῦντες εἶναί σε ἐλπιλύθαμεν μαθησόμενοι ἔγνωμεν οὐκ ὄντα· λείπεται δὲ μετὰ ταῦτα ἀπὸ σοῦ ἀκοῦσαι τὸ ὅστις εἶ, ἵνα τοῖς πέμψασιν τὴν σὴν ἀπόκρισιν περὶ σοῦ ἀπαγγείλωμεν.

* * * \

I, 23 *⟨Ἔφη·⟩ Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ Εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.*

94 XVII. (10) *Ὥσπερ ὁ κυρίως υἱὸς τοῦ θεοῦ οὐχ ἕτερος λόγου τυγχάνων χρῆται λόγῳ (αὐτὸς | γὰρ ὁ ἐν ἀρχῇ λόγος ἦν, ὁ πρὸς τὸν θεόν, ὁ* 157 v
λόγος θεός), οὕτως Ἰωάννης ὁ ὑπηρέτης ἐκείνου τοῦ λόγου, εἰ κυρίως 5
ἀκούοιμεν τῆς γραφῆς, οὐχ ἕτερος ὢν φωνῆς, χρῆται φωνῇ δεικνυούσῃ
95 *τὸν λόγον. οὗτος δὴ συνιεὶς τὴν περὶ ἑαυτοῦ προφητείαν παρὰ τῷ Ἡσαΐᾳ εἰρημένην φησὶν εἶναι φωνὴ οὐχὶ »βοῶσα ἐν τῇ ἐρήμῳ«, ἀλλὰ »βοῶντος ἐν τῇ ἐρήμῳ«, τοῦ ἑστῶτος καὶ κεκραγότος· »Ἐάν τις διψᾷ,*
»ἐρχέσθω πρὸς μὲ καὶ πινέτω«· λέγοντος καὶ τὸ »Εὐθύνατε τὴν ὁδὸν 10
»κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· πᾶσα φάραγξ πληρωθή-
»σεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται πάντα τὰ
96 *»σκολιὰ εἰς † εὐθεῖαν«. ὥσπερ γὰρ ἐν τῇ Ἐξόδῳ γέγραπται πρὸς Μωσέα λέγεσθαι ὑπὸ θεοῦ· »Ἰδοὺ δέδωκά σε θεὸν Φαραώ, καὶ Ἀαρὼν ὁ*
»ἀδελφός σου ἔσται σου προφήτης«, οὕτω νοητέον ἀνάλογόν τι τού- 15
τοις, εἰ καὶ μὴ πάντη ὅμοιον, εἶναι τὸν ἐν ἀρχῇ λόγον θεὸν καὶ Ἰωάννην· φωνὴ γὰρ δεικτικὴ καὶ παραστατικὴ ἐκείνου τοῦ λόγου ὁ
97 *Ἰωάννης ἦν. διόπερ πάνυ ἁρμοζόντως οὐκ ἄλλῃ κολάσει περιβάλλεται Ζαχαρίας, εἰπὼν πρὸς τὸν ἄγγελον· »Κατὰ τί γνώσομαι τοῦτο;*
»ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέ- 20
»ραις αὐτῆς« ἢ τῇ στερήσει τῆς φωνῆς διὰ τὴν ἀπιστίαν τῆς γενέσεως τῆς φωνῆς, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Γαβριὴλ πρὸς αὐτόν· »Ἰδοὺ
»ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα,
»ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πλησθήσονται εἰς
»τὸν καιρὸν αὐτῶν«· οὗτος δὴ ὁ Ζαχαρίας, ὅτε »Αἰτήσας πινακίδιον 25
»ἔγραψεν λέγων· Ἰωάννης ἐστὶν ὄνομα αὐτοῦ, καὶ ἐθαύμασαν πάντες«,
ἀπείληφεν τὴν φωνήν· »Ἀνεῴχθη γὰρ τὸ στόμα αὐτοῦ παραχρῆμα
»καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν«.

98 XVIII. *Ὥσπερ δὲ διαλαμβάνοντες περὶ τοῦ τίνα τρόπον νοητέον λόγον εἶναι τὸν υἱὸν τοῦ θεοῦ τὰ παριστάμενα ἐδηλώσαμεν, οὕτως* 30
κατὰ τὴν ἁρμόζουσαν ἀκολουθίαν, ἐπεὶ ὁ Ἰωάννης »ἦλθεν εἰς μαρ- 111 H
»τυρίαν«, »ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ«, »ἵνα μαρτυρήσῃ περὶ 119 R
τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ«, νοητέον φωνὴν εἶναι μόνην χωρῆσαι κατ' ἀξίαν τὸν ἀπαγγελλόμενον λόγον δυναμένην τὸν
99 *Ἰωάννην. καὶ μάλιστα τοῦτο συνήσομεν ἐὰν ὑπομνησθῶμεν ὧν προ-* 35

4 Vgl. Joh. 1, 1. — 5 Vgl. Luk. 1, 2. — 6 Vgl. Joh. 1, 23. — 9 Joh. 7, 37. — 10 Luk. 3, 4 f. (Jes. 40, 3 f.) — 14 Ex. 7, 1. — 16 Vgl. Joh. 1, 1. — 19 Luk. 1, 18. — 22 Luk. 1, 20. — 25 Luk. 1, 63. — 27 Luk. 1, 64. — 29 Vgl. I, 38 (S. 49, 3 ff.) — 31 Vgl. Joh. 1, 6 f.

3 *λόγου*] *λόγος*, corr. Ferrarius | 7 *χρῆται — αὐτὸς* a. Ras. | 16 *εὐθεῖαν*] *εὐθείας* z. l. nach S. 136, 25 ff., wo Orig. ausdrücklich *εὐθείας* als Lesart des Luk. bezeichnet.

Digitized by Google

παρεθέμεθα διηγούμενοι τὸ »Ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ«· περὶ τοῦ »Οὗτός ἐστιν περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν »ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου »ἔμπροσθέν σου«. καλῶς δὲ καὶ τὸ μὴ εἶναι αὐτὸν τὴν φωνὴν »λέ-
158r »γοντος ἐν τῇ ἐρήμῳ«, ἀλλὰ »βοῶντος | ἐν τῇ ἐρήμῳ«· ὁ μὲν γὰρ βοῶν τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου«, καὶ λέγει· ἐνδέχεται δὲ τὸν αὐτὸν τοῦτον λέγειν μὴ βοῶντα. βοᾷ δὲ καὶ κέκραγεν, ἵνα καὶ οἱ μακρὰν τοῦ 100
λέγοντος ἀκούσωσιν καὶ οἱ βαρυήκοοι συνῶσιν τοῦ μεγέθους τῶν λεγομένων μετὰ μεγέθους ἀπαγγελλομένων φωνῆς, βοηθῶν τοῖς τε
10 ἀφεστῶσιν θεοῦ καὶ τοῖς τὸ ὀξὺ τῆς ἀκοῆς ἀπολωλεκόσιν. διὰ τοῦτο γὰρ καὶ »εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξεν λέγων· »Ἐάν τις διψᾷ ἐρχέσθω »πρὸς μὲ καὶ πινέτω«. διὰ τοῦτο καὶ ὁ »Ἰωάννης μαρτυρεῖ περὶ αὐ-»τοῦ καὶ κέκραγε λέγων«. διὰ τοῦτο καὶ κελεύει ὁ θεὸς τῷ Ἡσαΐᾳ βοᾶν ἐν τῇ φωνῇ »λέγοντος· Βόησον· κἀγὼ εἶπα· Τί βοήσω«; ἐὰν 101
15 δὲ μὴ παντελῶς ᾖ ἡ νοητὴ τῶν εὐχομένων φωνὴ μεγάλη καὶ οὐ βραχεῖα, οὐδὲ ἂν αὐξήσωσι τὴν βοὴν καὶ τὴν κραυγὴν ἀκούει τῶν οὕτως εὐχομένων ὁ θεὸς ὁ λέγων πρὸς Μωσέα· »Τί βοᾷς πρὸς μέ«; οὐκ αἰσθητῶς βεβοηκότα, (οὐ γὰρ ἀναγέγραπται τοῦτο ἐν τῇ Ἐξόδῳ,) μεγάλως δὲ τὴν ἀκουομένην μόνῳ θεῷ φωνὴν βεβοηκότα διὰ τῆς
20 εὐχῆς. διὰ τοῦτο καὶ Δαβὶδ φησι· »Φωνῇ μου πρὸς κύριον ἐκέκραξα »καὶ ἐπήκουσέν μου«. χρεία δὲ τῆς φωνῆς τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, 102
ἵνα καὶ ἡ ἐστερημένη θεοῦ ψυχὴ καὶ ἔρημος ἀληθείας, (τίς γὰρ ἄλλη χαλεπωτέρα ἐρημία ψυχῆς θεοῦ καὶ πάσης ἀρετῆς ἠρημωμένης;) διὰ τὸ ἔτι σκολιῶς πορεύεσθαι δεομένη διδασκαλίας, ἐπὶ τὸ εὐθύνειν τὴν
25 ὁδὸν κυρίου παρακαλῆται. ἤντινα ὁδὸν εὐθύνει μὲν ὁ μηδαμῶς τὴν σκολιότητα τῆς τοῦ ὄφεως πορείας μιμούμενος, ὁ δὲ τούτῳ ἐναντίος διαστρέφει. διόπερ καὶ ἐπιπλήσσεται ἅμα τοῖς ὁμοίοις ὁ τοιοῦτος διὰ τοῦ »Ἵνα τί διαστρέφετε τὰς ὁδοὺς κυρίου τὰς εὐθείας;«

XIX. (11) Διχῶς δὲ ἡ ὁδὸς κυρίου εὐθύνεται, κατά τε τὸ θεω- 103
30 ρητικόν, τρανούμενον ἐν ἀληθείᾳ ἀπαραμίκτως τοῦ ψεύδους, καὶ κατὰ τὸ πρακτικὸν μετὰ τὴν ὑγιῆ θεωρίαν τοῦ πρακτέου ἁρμονίου πράξεως
120R ἀποδιδομένης τῷ περὶ τῶν πρακτέων ὑγιεῖ λόγῳ. καὶ ἵνα ἀκριβέ-
112H στερον τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου« νοήσωμεν, εὔκαιρον ἔσται

1 Joh. 1, 7. — **2** Matth. 11, 10. — **4** Vgl. Joh. 1, 23. — **7** Vgl. Joh. 1, 15. — **11** Joh. 7, 37. — **12** Joh. 1, 15. — **14** Jes. 40, 6. — **17** Ex. 14, 15. — **18** Vgl. Philo Bd. III S. 4, 11ff. We. — **20** Ps. 76, 2. — **24** Vgl. Jes. 40, 3. — **28** Vgl. Act. 13, 10. — **33** Joh. 1, 23.

2 *ἰδοὺ*] *ἴδε*, corr. V | 4 nach *δὲ* viell. ⟨*κεῖται*⟩ einzuschieben | 6 *τὸ αὐτὸ τοῦτο*, über *τοῦτο* steht *τὸ* M, corr. We | 9 *ἀπαγγελλομένου*, corr. We | 14 *εἶπα* M*, v. I. H. zu *εἶπον* corr. | 15 *ἡ* str. Br | 16 *αὐξήσωσι*] *αὐξῆσαι*, corr. V | 25 *παράκληται*, corr. V | 28 *διαστρέφετε*] a. Ras. | 30 *τρανουμένη*? | *ἀπ*[*αραμίκτως*] a. Ras. | 31 *ἁρμονίου*] *ἁρμονΐου*.

Digitized by Google

ἔχων λόγοις καὶ ἔργοις φάσκων· »Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ
»ἃ βλέπετε καὶ ἀκούετε· τυφλοὶ ἀναβλέπουσιν, χωλοὶ περιπατοῦσι,
»λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, πτωχοὶ εὐαγγελίζονται«. περὶ
ὧν εὐκαιρότερον, θεοῦ διδόντος, ἐν τοῖς οἰκείοις διαληψόμεθα τόποις.
56 ἴσως δ' ἂν οὐκ ἀλόγως τις ἐπιστήσειε τί δήποτε τῶν ἱερέων καὶ
Λευϊτῶν πυνθανομένων Ἰωάννου οὐχὶ εἰ αὐτὸς εἴη ὁ χριστός, ἀλλὰ
»Σὺ τίς εἶ;« ἀποκρίνεται ὁ βαπτιστὴς οὐχ ὅπερ ἐχρῆν πρὸς τὸ »Σὺ
»τίς εἶ;« »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«· ἀλλ' ὅπερ οἰκείως ἂν
ἐλέγετο εἰ ἦσαν πυθόμενοι »Σὺ εἶ ὁ χριστός;« ἤρμοττε γὰρ πρὸς τὸ
»Σὺ εἶ ὁ χριστός;« τὸ »Ἐγὼ οὐκ εἰμὶ ὁ χριστός«· πρὸς δὲ τὸ »Σὺ τίς 111 R
57 »εἶ;« τὸ »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«. λεκτέον δὲ πρὸς τοῦτο
ὅτι, ὡς εἰκός, ἑώρα ἀπὸ τῆς πεύσεως τὸ εὐλαβὲς τῶν ἱερέων καὶ
Λευϊτῶν ἐμφαινόντων μὲν ὑπόνοιαν ὑπολήψεως, μήποτ' εἴη ὁ βαπ-
τίζων Χριστός, γυμνότερον δὲ ὀνομάσαι τοῦτο ὑπὲρ τοῦ μὴ δοκεῖν
εἶναι προπετεῖς φυλαττομένων. ὅθεν εὐλόγως ὑπὲρ τοῦ πᾶσαν ὑπό-
νοιαν αὐτῶν πρῶτον περιαιρεθῆναι ψευδῆ τὴν περὶ ἑαυτοῦ, εἶθ' οὕ-
τως παραστῆσαι τὸ ἀληθὲς τὸ οὐκ εἶναι Χριστὸς πρὸ πάντων ἀπο-
58 φαίνεται. δηλοῖ δὲ τὸ τοιοῦτόν τι αὐτοὺς ὑπονενοηκέναι ἡ δευτέρα
ἐρώτησις καὶ ἔτι ἡ τρίτη. ἐπεὶ γὰρ καὶ δεύτερον τῇ τιμῇ ἐλπιζόμε-
νον μὲν καὶ μετὰ Χριστὸν αὐτοῖς τετιμημένον Ἠλίαν εἶναι ὑπελάμ-
βανον, ἀποφαινομένου τοῦ Ἰωάννου ὡς οὐκ εἴη Χριστὸς ἠρώτησαν·
59 »Τί οὖν; σὺ Ἠλίας εἶ; καὶ εἶπεν Οὐκ εἰμί«. τὸ τρίτον εἰ αὐτὸς εἴη
ὁ προφήτης βούλονται μαθεῖν· οὗ ἀποκριναμένου τὸ Οὐ οὐκέτι ἔχοντες
ἰδικῶς ὄνομα ἐλπιζομένου ἐπιδημήσειν αὐτοῖς εἰπεῖν, φασίν· »Τίς εἶ;
»ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;«
τοῦτο δηλοῦντες· ταῦτα μὲν οὐκ εἶ ἅπερ ἐλπιζόμενα τῷ Ἰσραὴλ παρ-
έσεσθαι προσδοκᾶται, ὅστις δὲ ὢν βαπτίζεις οὐκ ἴσμεν· διόπερ τοῦτο
ἡμᾶς δίδαξον, ἵν' ἔχωμεν ἀπαγγεῖλαι τοῖς ἡμᾶς διὰ τοῦτο πέμψασι
60 πρὸς σέ. ἔτι δὲ καὶ τοῦτο ἐχόμενον τῶν προκειμένων προσθήσομεν,
ὅτι ὁ καιρὸς τῆς Χριστοῦ ἐπιδημίας ἔσαινε τὸν λαὸν ἤδη πως ἐνεστη-
κὼς περὶ τὰ ἔτη τὰ ἀπὸ τῆς γενέσεως τοῦ Ἰησοῦ καὶ ὀλίγῳ ἀνωτέρω
61 μέχρι τῆς ἀναδείξεως τοῦ κηρύγματος. διόπερ, ὡς εἰκός, τῶν γραμ-
ματέων καὶ νομικῶν τὸν ἐλπιζόμενον, ἀπὸ τῶν θείων γραφῶν καταγ-
αγόντων αὐτοῦ τὸν χρόνον, | ἤδη προσδοκώντων, ἐπεφύησαν Θευδᾶς, 154v
οὐκ ὀλίγον πλῆθος ὡς Χριστός, οἶμαι, συναγαγών, καὶ μετ' ἐκεῖνον

1 Matth. 11, 4f. — 6 Vgl. Joh. 1, 19. — 22 Joh. 1, 21. — 24 Joh. 1, 22. — 34 Vgl. Act. 5, 36f. — 35 Joseph. Antiq. XX, 5, 1f.

13 ἐμφα[ινόντων μὲν ὑπόνοιαν] a. Ras. | εἴη ὁ] εἴης darüber ÷, corr. We, εἴης ὁ V | 21 ἠρώτησαν] ἐρωτησιν, v. II. Hd. zu ἐρωτήσειν corr., ἐρωτῶσι V, corr. Br | 23 οὗ über d. Z.

Digitized by Google

»Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς τῆς ἀπογραφῆς ἡμέραις«. εἰκότως οὖν θερμότερον τῆς Χριστοῦ ἐπιδημίας προσδοκωμένης καὶ λαλουμένης οἱ Ἰουδαῖοι ἀπὸ Ἱεροσολύμων τοὺς ἱερεῖς καὶ Λευίτας πέμπουσι πρὸς τὸν Ἰωάννην διὰ τοῦ »Σὺ τίς εἶ;« μαθεῖν βουλόμενοι, εἰ αὐτὸς Χριστὸς εἶναι ὁμολογήσει.

I, 21. *Καὶ ἠρώτησαν αυτόν· Τί οὖν; σὺ Ἠλίας εἶ; καὶ λέγει Οὐκ εἰμί.*

X. (7) *Τίς οὐκ ἂν ζητήσαι τῶν ἀκουόντων Ἰησοῦ λέγοντος περὶ* 62
Ἰωάννου· »Εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι«,
πῶς πρὸς τοὺς ἐρωτῶντας τὸ »Σὺ Ἠλίας εἶ;« λέγει Ἰωάννης· »Οὐκ
εἰμί«· πῶς δὲ καὶ νοῆσαι δεῖ τὸν Ἰωάννην αὐτὸν εἶναι Ἠλίαν τὸν
112R *μέλλοντα ἔρχεσθαι κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Μαλαχίου οὕτως ἔχον·*
»Καὶ ἰδού, ἐγὼ ἀποστέλλω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν
»ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίαν
»πατρὸς πρὸς υἱὸν καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ,
»μὴ ἔλθω καὶ πατάξω τὴν γῆν ἄρδην«; καὶ ὁ τοῦ ὀφθέντος δὲ τῷ 63
Ζαχαρίᾳ ἀγγέλου κυρίου ἑστῶτος ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ
θυμιάματος λόγος πρὸς τὸν Ζαχαρίαν παραπλήσιόν τι ἐμφαίνει τοῖς
ὑπὸ τοῦ Μαλαχίου εἰρημένοις διὰ τούτων· »Καὶ ἡ γυνή σου Ἐλισάβετ
»γεννήσει υἱόν σοι καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην·« καὶ μετ'
ὀλίγα· »Αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει
»Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα καὶ ἀπειθεῖς ἐν φρο-
»νήσει δικαίων, ἑτοιμάσαι κυρίῳ λαὸν κατεσκευασμένον«. πρὸς δὴ τὸ 64
πρῶτον ὁ μέν τις ἐρεῖ ὅτι ἑαυτὸν ἠγνόει Ἰωάννης Ἠλίαν ὄντα· καὶ
τάχα τούτῳ χρήσονται οἱ ἐκ τούτων τῷ περὶ μετενσωματώσεως
παριστάμενοι λόγῳ, ὡς τῆς ψυχῆς μεταμφιεννυμένης σώματα καὶ οὐ
πάντως μεμνημένης τῶν προτέρων βίων. οἱ δ' αὐτοὶ οὗτοι ἐροῦσι
καί τινας τῶν Ἰουδαίων τῷ δόγματι συγκατατιθεμένους περὶ τοῦ
σωτῆρος εἰρηκέναι ὡς ἄρα εἷς τις εἴη τῶν ἀρχαίων προφητῶν ἀνα-
στὰς οὐκ ἀπὸ τῶν μνημείων ἀλλ' ἀπὸ τῆς γενέσεως. πῶς γὰρ ἐδύ- 65
ναντο, σαφῶς δεικνυμένης τῆς μητρὸς αὐτοῦ Μαρίας ὑπολαμβανομένου
τε πατρὸς αὐτῷ τυγχάνειν Ἰωσὴφ τοῦ τέκτονος, νομίζειν ἕνα τινὰ
τῶν προφητῶν αὐτὸν τυγχάνοντα ἐγηγέρθαι ἀπὸ τῶν νεκρῶν; καὶ

3 Vgl. Joh. 1, 19. — 9 Matth. 11, 14. — 13 Mal. 4, 4f. (3, 22 f.) — 16 Vgl. Luk. 1, 11. — 19 Luk. 1, 13. — 21 Luk. 1, 17. — 25 Basilides bei Clemens Al., Excerpta ex Theod. 28. Vgl. Hilgenfeld, Ketzergesch. d. Urchristent. 213. 225. — 29 Vgl. Luk. 9, 19. — 31 Vgl. Matth. 13, 55. Mark. 6, 3. — 32 Vgl. Luk. 9, 8; Matth. 14, 2.

1 *εἰκός*, corr. We | 15 *πρὸς*² über d. Z. M¹ | 19 *εἰρημενοις*, Punkte v. II. Hd. | 25 *τούτων*] viell. *τ⟨οι⟩ούτων* z. l. | 30 *ἐδύνατο* M, corr. V.

Digitized by Google

τῷ »Ἐξαλείψω δὲ πᾶσαν τὴν ἐξανάστασιν« ἀναγεγραμμένῳ ἐν τῇ Γενέσει οἱ αὐτοὶ χρώμενοι τὸν πεφροντικότα πιθανότητας ἀπατηλὰς προσαγομένας ἀπὸ τῶν γραφῶν λύειν εἰς ἀγῶνα παραστήσουσιν ἱστάμενον πρὸς τὸ δόγμα.

66 XI. Ἕτερος δέ τις ἐκκλησιαστικὸς τὸν περὶ τῆς μετενσωματώσεως ἀποπτύων ὡς ψευδῆ λόγον, μὴ προσιέμενος τὸ τὴν ψυχὴν Ἰωάννου Ἠλίαν ποτὲ γεγονέναι, τῷ προειρημένῳ | λόγῳ τοῦ ἀγγέλου χρήσεται 105H 155r ψυχὴν Ἠλίου μὴ ὀνομάσαντος ἐπὶ τῆς Ἰωάννου γενέσεως ἀλλὰ πνεῦμα καὶ δύναμιν διὰ τοῦ »Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύ»ματι καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα« διὰ μυρίων δυνάμενος ἀποδεικνύναι γραφῶν ἕτερον εἶναι τὸ πνεῦμα τῆς ψυχῆς καὶ ὀνομαζομένην δύναμιν τοῦ πνεύματος καὶ τῆς ψυχῆς· 113R περὶ ὧν οὐκ εὔκαιρον νῦν παρατίθεσθαι τὰ πολλά, ἵνα μὴ πάνυ τὸν
67 λόγον περισπάσωμεν. ἀρκεσθήσεται δὲ ἐπὶ τοῦ παρόντος πρὸς μὲν τὸ διαφέρειν δύναμιν πνεύματος τὸ »Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ »σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι«· πρὸς δὲ ⟨τὸ⟩ τὰ ἐν τοῖς προφήταις πνεύματα, ἅτε δεδωρημένα αὐτοῖς ὑπὸ θεοῦ οἱονεὶ ἐκείνων ὀνομάζεσθαι κτήματα τὸ »Πνεύματα προφητῶν προφήταις ὑποτάσσε»ται« καὶ τὸ »Ἀναπέπαυται τὸ πνεῦμα Ἠλίου ἐπὶ Ἐλισσαιέ«. οὕτω γὰρ οὐδὲν ἄτοπον, φησίν, ἔσται τὸν Ἰωάννην ἐν πνεύματι καὶ δυνάμει Ἠλίου ἐπιστρέφοντα καρδίας πατέρων ἐπὶ τέκνα, διὰ τοῦτο τὸ
68 πνεῦμα Ἠλίαν λέγεσθαι τὸν μέλλοντα ἔρχεσθαι. εἰς παραμυθίαν δὲ τούτων καὶ τούτῳ χρήσεται τῷ λόγῳ· εἰ ὁ τῶν ὅλων θεὸς οἰκειωθεὶς τοῖς ἁγίοις θεὸς αὐτῶν γίνεται, οὕτως ὀνομαζόμενος θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ, πόσῳ πλέον τὸ ἅγιον πνεῦμα οἰκειωθὲν τοῖς προφήταις πνεῦμα αὐτῶν χρηματίζειν οἷόν τε ἔσται, ἵν' ᾖ οὕτως πνεῦμα Ἠλίου καὶ πνεῦμα Ἡσαΐου λεγόμενον τὸ πνεῦμα;
69 ὁ αὐτός τε οὗτος ἐκκλησιαστικὸς ἐρεῖ δύνασθαι μὲν τοὺς ὑπειληφότας ἕνα τῶν προφητῶν εἶναι τὸν Ἰησοῦν ἀναστάντα ἐκ νεκρῶν ἠπατῆσθαι κατά τε τὸ προειρημένον δόγμα καὶ κατὰ τὸ ὑπολαμβάνειν αὐτὸν ἕνα τῶν προφητῶν τυγχάνειν, δύνασθαι δὲ πρὸς τῷ κατὰ τὸ νομίζειν αὐτὸν τῶν προφητῶν εἶναι ἕνα πταίειν καὶ ψευδοδοξεῖν καὶ κατὰ τὸ ἀγνοεῖν αὐτοῦ τὸν λεγόμενον πατέρα καὶ τὴν οὖσαν μητέρα, οἴεσθαί
70 τε αὐτὸν ἀπὸ τῶν μνημείων ἐγηγέρθαι. καὶ πρὸς τὸ ἐν τῇ Γενέσει

1 Gen. 7, 4. — 7 Vgl. S. 119, 21. — 9 Luk. 1, 17. — 15 Luk. 1, 35. — 18 I Kor. 14, 32. — 19 II Kön. 2, 15. — 21 Vgl. Matth. 10, 35. Luk. 12, 53. — 24 Vgl. Ex. 3, 6.

3 παραστήσουσιν] περιστήσουσιν, corr. V | 6 προσιέμενος bis Ἰωάννου a. Ras. | 15 τὸ²] τῶ, corr. Hu | 16 ⟨τὸ⟩ + We | 18 τὸ] τῶ, corr. Hu | 19 τὸ] τῶ, corr. Hu | Ἐλισ[σαιέ] a. Ras. | 22 πνεῦμα auf d. Rand M² | 32 εἶναι a. Ras.

Digitized by Google

δὲ περὶ τῆς ἐξαναστάσεως ἀπαντήσεται ὁ ἐκκλησιαστικὸς χρώμενος τῷ »Ἐξανέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέ»κτεινε Κάϊν« τῆς »ἐξαναστάσεως« καὶ ἐπὶ »γενέσεως« κειμένης. οὗτος δὴ πρὸς τὸ πρῶτον ἀπορηθὲν ἑτέρως παρὰ τὸν ὑπολαμβάνοντα μετ- 5 ενσωμάτωσιν ἀπολογούμενος ἐρεῖ διὰ μὲν τὰ ἀρτίως κατασκευασθέντα λόγῳ τινὶ εἶναι τὸν Ἰωάννην Ἠλίαν τὸν μέλλοντα ἔρχεσθαι, ἀποκεκρίσθαι δὲ πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας τὸ »Οὐκ εἰμὶ« στοχασάμενον τοῦ βουλήματος τῆς ἐρωτήσεως αὐτῶν. οὐ γὰρ τοῦτο ἤθελεν ἡ 71
106H προγενομένη ἐξέτασις τῷ Ἰωάννῃ ἀπὸ τῶν ἱερέων καὶ Λευϊτῶν, τὸ 10 μαθεῖν εἰ τὸ αὐτὸ πνεῦμα ἐν ἀμφοτέροις ἐτύγχανεν, ἀλλ᾽ εἰ ὁ Ἰωάν-
155v νης αὐτὸς Ἠλίας ὁ ἀναληφθεὶς νῦν ἐπι|φαινόμενος κατὰ τὸ Ἰουδαίοις προσδοκώμενον χωρὶς γενέσεως, ἣν τάχα καὶ ἠγνόουν οἱ ἀπὸ Ἱεροσολύμων ἀποσταλέντες· πρὸς ἣν πεῦσιν εἰκότως ἀποκρίνεται τὸ »Οὐκ εἰμί«· οὐ γὰρ Ἠλίας ὁ ἀναληφθεὶς ἀμείψας σῶμα ἐληλύθει 15 Ἰωάννης ὀνομαζόμενος.

114R XII. Ὁ δὲ πρῶτος, οὗ τὸν νοῦν παρεθήκαμεν οἰομένου μετεν- 72
σωμάτωσιν ἐντεῦθεν κατασκευάζεσθαι, προσδιατρίβων τῇ βασάνῳ τῆς λέξεως ἐρεῖ πρὸς τὸν δεύτερον, ὅτι οὐκ ἀκόλουθον τὸν τηλικούτου ἱερέως Ζαχαρίου υἱὸν ἐπὶ γήρᾳ γεγεννημένον ἀμφοτέροις τοῖς 20 γονεῦσιν παρὰ πᾶσαν ἀνθρωπίνην προσδοκίαν ἀγνοεῖσθαι ὑπὸ τῶν τοσούτων ἐν Ἱεροσολύμοις Ἰουδαίων καὶ τῶν πεμφθέντων ὑπ᾽ αὐτῶν Λευϊτῶν καὶ ἱερέων, οὐ γινωσκόντων τὸ γεγεννῆσθαι ⟨οὕτως⟩ αὐτόν· καὶ μάλιστα Λουκᾶ μαρτυροῦντος ὅτι »Ἐγένετο ἐπὶ πάντας φόβος »τοὺς περιοικοῦντας αὐτούς« (δῆλον δὲ ὅτι τὸν Ζαχαρίαν καὶ τὴν 25 Ἐλισάβετ) »καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ »ῥήματα ταῦτα«. εἰ δὲ οὐκ ἠγνοεῖτο ἡ ἐκ Ζαχαρίου γένεσις Ἰωάννου, 73
ἔπεμπον δὲ οἱ ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι διὰ τῶν Λευϊτῶν καὶ ἱερέων πευσόμενοι τὸ »Σὺ Ἠλίας εἶ;« δῆλον ὅτι τοῦτο ἔλεγον τὸ περὶ μετενσωματώσεως δόγμα οἰόμενοι εἶναι ἀληθὲς ὡς πάτριον τυγχάνον καὶ 30 οὐκ ἀλλότριον τῆς ἐν ἀπορρήτοις διδασκαλίας αὐτῶν. διὰ τοῦτο οὖν λέγει »Οὐκ εἰμὶ Ἠλίας« ὁ Ἰωάννης, ἐπεὶ ἀγνοεῖ τὸν ἴδιον πρότερον βίον.

XIII. Τούτων δὴ οὐκ εὐκαταφρόνητον πιθανότητα ἐχόντων, 74
πάλιν ὁ ἐκκλησιαστικὸς ἀπορήσει πρὸς τὸν πρότερον εἰ κατὰ τὸν 35 προφήτην ἐστὶν ⟨τὸν⟩ ὑπὸ τοῦ πνεύματος φωτιζόμενον καὶ ὑπὸ

2 Gen. 4, 25. — 7 Vgl. Joh. 1, 21. — 23 Luk. 1, 65. — 35 Vgl. Luk. 1, 35.

1 δὲ] τε, corr. We, oder τε ist zu γε⟨γραμμένον⟩ zu erg. | 9 προ..νομένη M γε verblichen, νο könnte als γο gelesen werden; προγενομένη V | 10 εἰ ü. d. Z. | 19 γεγενημένον, corr. Pr | 22 γεγενῆσθαι, corr. Pr | ⟨οὕτως⟩ + We | 35 ⟨τὸν⟩ + Pr.

Digitized by Google

Ἡσαΐου προφητευόμενον, ὑπό τε τηλικούτου [τοῦ] ἀγγέλου πρὶν γεννηθῆναι τεχθήσεσθαι προειρημένον, ἐκ τοῦ πληρώματος Χριστοῦ εἰληφότα, χάριτος τηλικαύτης μετεσχηκότα, τὴν ἀλήθειαν διὰ Ἰησοῦ Χριστοῦ γεγενῆσθαι νενοηκότα, περὶ θεοῦ καὶ τοῦ μονογενοῦς τοῦ εἰς τὸν κόλπον τοῦ πατρὸς διηγησάμενον τὰ τοσαῦτα, τὸ ψεύσασθαι
75 καὶ ὅπερ ἦν οὐκ ἐγνωκότα κἂν ἐπισχεῖν. ἐχρῆν γὰρ περὶ τῶν ἀδηλοτέρων ἐπέχειν ὁμολογεῖν, καὶ μήτε τιθέναι μήτε αἴρειν τὴν πρότασιν. πῶς δὲ οὐκ ἦν εὔλογον, εἰ πολλῶν τοῦτο δόγμα ἐτύγχανεν, ἐπισχεῖν· τὸν Ἰωάννην περὶ αὐτοῦ, μήποτε ἡ ψυχὴ αὐτοῦ ποτε ἐν
76 Ἠλίᾳ ἦν; καὶ ἐπὶ τὴν ἱστορίαν δὲ ὁ ἐκκλησιαστικὸς προκαλέσεται τὸν πρότερον πευσόμενον παρὰ τῶν τὰ ἀπόρρητα ἐγνωκέναι παρ' Ἑβραίοις ἐπαγγελλομένων, εἰ τοιοῦτόν τι δόγμα ἐστὶ παρ' αὐτοῖς· ἐὰν γὰρ 107 H
μηδαμῶς φαίνηται τοῦθ' οὕτως ἔχον, δῆλον ὅτι ἐσκέδασται ὁ τοῦ προ-
77 τέρου λόγος. οὐδὲν | τοίνυν ἧττον ὁ ἐκκλησιαστικὸς χρήσεται τῇ προα- 156 r
ποδεδομένῃ λύσει, ἔτι καὶ αὐτὸς τὸ βούλημα τῶν πυθομένων παραστῆσαι ἀπαιτούμενος. εἰ γάρ, ὡς κατεσκεύασεν, οἱ πέμψαντες ἴσασι γεγενημένον ἐκ Ζαχαρίου καὶ Ἐλισάβετ τὸν Ἰωάννην, καὶ πολλῷ πλέον οἱ πεμφθέντες γένους ὄντες ἱερατικοῦ, οὓς οὐκ ἂν ἔλαθεν ἡ 115 R
τοῦ οὕτως ἐπιφανοῦς συγγενοῦς Ζαχαρίου παράδοξος εὐπαιδία, τί νοήσαντες πυνθάνονται τὸ »Σὺ Ἠλίας εἶ;« ἄνδρες ἀνεγνωκότες ἀνειλῆφθαι αὐτὸν ὡς εἰς τὸν οὐρανὸν καὶ προσδοκῶντες ἐπιδημίαν αὐτοῦ;
78 τάχα οὖν, ἐπεὶ πρὸς τῇ συντελείᾳ προσδοκῶσιν Ἠλίαν πρὸ Χριστοῦ καὶ ἐπὶ τούτῳ Χριστόν, οἱονεὶ τροπικώτερον φαίνονται ἐρωτῶντες Εἰ σὺ εἶ ὁ προκαταγέλλων τὸν πρὸ Χριστοῦ ἐπὶ συντελείᾳ ἐλευσόμενον λόγον; καὶ ἐπιστημόνως πρὸς τοῦτο ἀποκρίνεται τὸ »Οὐκ »εἰμί«.

79 XIV. Ἔτι δὲ ὁ ἐκκλησιαστικὸς ἱστάμενος πρὸς τὰ ἐξητασμένα ὑπὸ τοῦ ἑτέρου ἀποδεικνύναι πειρωμένου μὴ ἂν λεληθέναι τοὺς ἱερεῖς οὕτως ἐπιφανῆ γεγενημένην τὴν Ἰωάννου γένεσιν διὰ τὸ »ἐν τῇ »ὀρεινῇ τῆς Ἰουδαίας« διαλελαλῆσθαι »πάντα τὰ ῥήματα ταῦτα«, φήσει τὴν παραπλησίαν ἀπάτην πολλοῖς γεγονέναι καὶ περὶ τοῦ σωτῆρος, ἐπεὶ »Οἱ μὲν ἔλεγον αὐτὸν Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι »δὲ Ἠλίαν, † ἄλλοι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν«, ὡς καὶ οἱ μαθηταὶ πυνθανομένῳ τῷ κυρίῳ γενομένῳ ἐν τοῖς μέρεσι Καισαρείας

1 Vgl. Jes. 40, 3. — Vgl. Luk. 1, 11. — 2 Vgl. Joh. 1, 16ff. — 14 Vgl. S. 121, 3ff. — 20 Joh. 1, 21. — 22 Vgl. Schürer, Gesch. d. jüd. V. III³, 524f. — 29 Vgl. Luk. 1, 65. — 32 Matth. 16, 14.

6 καὶ] wohl ἢ z. l. | 8 δόγμα] δόγματα, corr. Hu | 14 λόγος] λόγον, corr. V ἐκκλησιαστικὸς] ος a. Ras. | 16 κατεσκεύασεν] κατεσκεύασαν, corr. Br | 17 τὸν aus τῶν corr. | 33 ἄλλοι statt ἕτεροι wohl nur Gedächtnisfehler.

Digitized by Google

τῆς Φιλίππου εἰρήκασι. καὶ ὁ Ἡρῴδης δὲ λέγων· »Ὃν ἐγὼ ἀπεκε- 80
»φάλισα Ἰωάννην, αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν« περὶ τοῦ χριστοῦ
ἔοικε μὴ εἰδέναι τὰ λεγόμενα ὑπὸ τῶν φασκόντων· »Οὐχ οὗτός ἐστιν
»ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελ-
»φοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ Ἰούδας; καὶ ⟨αἱ⟩ ἀδελ-
»φαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν«; οὐδὲν οὖν θαυμαστόν, 81
ὥσπερ ἐπὶ τοῦ σωτῆρος, πολλῶν ἐγνωκότων τὴν ἐκ Μαρίας γένεσιν
αὐτοῦ, ἄλλους ἠπατῆσθαι, οὕτω καὶ ἐπὶ τοῦ Ἰωάννου οὓς μὲν μὴ
λεληθέναι τὴν ἐκ Ζαχαρίου γένεσιν αὐτοῦ, ἑτέρους δὲ διστάζειν, μή-
ποτε ὁ προσδοκώμενος Ἠλίας ἐπεφάνη κατὰ τὸν Ἰωάννην (καὶ οὐ 82
χώραν γε μᾶλλον ἔχει ἡ περὶ τοῦ Ἰωάννου ἐπαπόρησις, μήποτε εἷς
Ἠλίας, ἥπερ ἡ περὶ τοῦ σωτῆρος, μὴ ἄρα αὐτὸς τυγχάνῃ Ἰωάννης)
ὧν τοῦ Ἠλίου μὲν τὸν χαρακτῆρα ἀπὸ μόνης τῆς λέξεως, καὶ οὐχὶ
ἀπὸ τῆς αἰσθήσεως † ἀποβάλλεσθαι διὰ τὸ »Ἀνὴρ δασὺς καὶ ζώνην
»δερματίνην περιεζωσμένος περὶ τὴν ὀσφὺν αὐτοῦ«· τοῦ δὲ Ἰωάννου
τὸ εἶδος προεγνωσμένον τάχα, οὐδὲ παραπλήσιον τυγχάνον τῷ χα-
108H ρακτῆρι τοῦ Ἰησοῦ, οὐδὲν ἧττον ὑπόνοιάν τισι παρεσχηκέναι, μήποτε
ὁ Ἰωάννης ἀνέστη ἐκ νεκρῶν Ἰησοῦς μετονομαζόμενος. καὶ περὶ 83
μετωνυμίας γάρ, ὡς ἐν ἀπορρήτοις, οὐκ οἶδα πόθεν κινούμενοι οἱ |
156v Ἑβραῖοι παραδιδόασι Φινεές, τὸν Ἐλεαζάρου υἱόν, ὁμολογουμένως
παρατείναντα τὴν ζωὴν ἕως πολλῶν κριτῶν, ὡς ἐν τοῖς Κριταῖς
116R ἀνέγνωμεν, αὐτὸν εἶναι Ἠλίαν, καὶ τὸ ἀθάνατον ἐν τοῖς Ἀριθμοῖς
αὐτῷ διὰ τῆς ὀνομαζομένης εἰρήνης ἐπηγγέλθαι, ἀνθ' ὧν ζηλώσας
θείῳ ζήλῳ κεκινημένος ἐξεκέντησε τὴν Μαδιανῖτιν καὶ τὸν Ἰσραηλί-
την καὶ κατέπαυσε τὸν λεγόμενον θυμὸν τοῦ θεοῦ κατὰ τὸ γεγραμ-
μένον· »Φινεὲς υἱὸς Ἐλεαζὰρ υἱοῦ Ἀαρὼν κατέπαυσε τὸν θυμόν μου,
»ἀνθ' ὧν ἐζήλωσε τὸν ζῆλόν μου«. θαυμαστὸν οὖν οὐδὲν εἰ οἱ τὸν 84
αὐτὸν ὑπολαμβάνοντες Φινεὲς καὶ Ἠλίαν, (ἤτοι ὑγιῶς λέγοντες ἢ μή·
οὐ γὰρ περὶ τούτου νῦν πρόκειται ἐξετάζειν) τὸν αὐτὸν ἐνόμιζον
εἶναι Ἰωάννην καὶ Ἰησοῦν. ἢ ἐδίσταζόν γε περὶ τούτου μαθεῖν τε
ἐβούλοντο εἰ ὁ αὐτός ἐστιν Ἰωάννης καὶ Ἠλίας. προηγουμένως δὲ 85
ἐν ἄλλοις ἐπιμελέστερον ἐξεταστέον καὶ ἐπὶ πλεῖον τὸν λόγον ἐρευ-
νητέον τὸν περὶ τῆς οὐσίας τῆς ψυχῆς καὶ τῆς ἀρχῆς τῆς συστάσεως
αὐτῆς καὶ τῆς εἰς τὸ γῄϊνον σῶμα εἰσκρίσεως αὐτῆς, τῶν τε ἐπιμε-
ρισμῶν τοῦ ἑκάστης βίου καὶ τῆς ἐντεῦθεν ἀπαλλαγῆς, καὶ εἰ ἐνδέχε-

1 Mark. 6, 16. Matth. 14, 2. — **3** Matth. 13, 55f. — **14** II Kön. 1, 8. — **21** Vgl. Richt. 20, 28. — **23** Vgl. Num. 25, 11. — **33** Vgl. de princ. 2, 8.

1 Das Citat aus Mark. u. Matth. vermischt, wohl ebenfalls gedächtnismässig | **5** ⟨αἱ⟩ nach Comm. in Mt. X, 17 (III, 45, 8 L.) zugesetzt. Das Fehlen von αἱ ist im NT. handschriftl. unbezeugt | **13. 14** ἀπὸ] viell. ἐπὶ z. l. | ἀπολαβέσθαι? Pr, λαμβάνεσθαι? We | **30** nach γε + καὶ V, besser καὶ statt ἢ einzusetzen.

Digitized by Google

ται αὐτὴν εἰσκριθῆναι δεύτερον ἐν σώματι ἢ μή, καὶ τῇ αὐτῇ περιόδῳ καὶ τῇ αὐτῇ διακοσμήσει ἢ οὔ, καὶ τῷ αὐτῷ σώματι ἢ ἑτέρῳ, καὶ εἰ τῷ αὐτῷ, πότερον καθ' ὑποκείμενον μένοντι τῷ αὐτῷ κατὰ δὲ ποιότητα μεταβαλομένῳ, ἢ καὶ καθ' ὑποκείμενον καὶ ποιότητα ἐσομένῳ
86 τῷ αὐτῷ, καὶ εἰ ἀεὶ τῷ αὐτῷ σώματι χρήσεται ἢ ἀμείψει αὐτό. ἐν οἷς καὶ τί ἐστι κυρίως μετενσωμάτωσις ἐξετάσαι δεήσει, τί τε αὕτη διαφέρει ἐνσωματώσεως, καὶ εἰ ἀκολουθεῖ τῷ λέγοντι μετενσωμάτωσιν ἄφθαρτον τηρεῖν τὸν κόσμον. ἐν οἷς ἀναγκαῖον ἔσται παραθεῖναι καὶ τοὺς λόγους τῶν θελόντων κατὰ τὰς γραφὰς συσπείρεσθαι τὴν
87 ψυχὴν τῷ σώματι καὶ τὰ ἀκολουθοῦντα αὐτοῖς. καὶ ἁπαξαπλῶς ὁ περὶ ψυχῆς λόγος πολὺς καὶ δυσερμήνευτος ὢν ἀναλεχθησόμενος ἀπὸ τῶν ἐν ταῖς γραφαῖς σποράδην κειμένων ἰδίας δεῖται πραγματείας. διόπερ νῦν κατὰ τὸ παρῆκον ἐκ τῶν περὶ Ἡλίου καὶ Ἰωάννου ἐζητημένων ἐπὶ βραχὺ ἐξετάσαντες τὸ πρόβλημα μετίωμεν ἐπὶ τὰ ἑξῆς.

I, 21. Ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη Οὔ. 109 E

88 XV. (8) Εἰ ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, καὶ τί ἄλλο ἂν λέγοιμεν εἶναι Ἰωάννην ἢ προφήτην; ὡς καὶ ὁ πατὴρ αὐτοῦ Ζαχα- 117 B
ρίας πλησθεὶς πνεύματος ἁγίου προφητεύων φησί· »Καὶ σὺ δέ, παιδίον, »προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ ἐνώπιον κυρίου ἑτοι- »μάσαι ὁδοὺς αὐτοῦ«· εἰ μὴ ἄρα τις ἐπιλήψεται τοῦ »Κληθήσῃ«, μὴ εἰρημέ- 20
νου τοῦ »Ἔσῃ«, καὶ μάλιστα διὰ τὸ πρὸς τοὺς ολομένους αὐτὸν προφήτην 157 r
εἶναι εἰρηκέναι τὸν σωτῆρα· »Ἀλλὰ τί † ἐξήλθετε ἰδεῖν; προφήτην;
89 »ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου«. παρατηρητέον δὲ ὅτι τῷ »Ναί, λέγω ὑμῖν« τίθησιν τὸ προφήτην εἶναι τὸν Ἰωάννην, καὶ οὐκ ἀναιρεῖ τὸ προφήτην αὐτὸν εἶναι. ἐὰν δὲ πρὸς τῷ προφήτης 25
τυγχάνειν καὶ »περισσότερον προφήτου« ὑπὸ τοῦ σωτῆρος λέγηται, πῶς οὖν, εἰ προφήτης ἐστίν, πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας ἐρωτῶντας· »Ὁ προφήτης εἶ σύ;« ἀπεκρίθη »Οὔ«; λεκτέον δὲ πρὸς τοῦτο ὅτι οὐ ταὐτόν ἐστιν »Ὁ προφήτης εἶ σύ;« τῷ »Προφήτης εἶ σύ;« τὰ δ' ὅμοια τετηρήκαμεν ἐξετάζοντες τί διαφέρει τὸ »Ὁ θεός« τοῦ »Θεός« καὶ 30
90 »Ὁ λόγος« τοῦ »Λόγος«. ἐπεὶ τοίνυν ἐν τῷ Δευτερονομίῳ γέγραπται· »Προφήτην ὑμῖν ἀναστήσει ⟨κύριος⟩ ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν

11 Vgl. Hebr. 5, 11. — **12** Ob Origenes eine solche Schrift verfasst hat, ist nicht bekannt. — **16** Vgl. Matth. 11, 13. — **17** Vgl. Luk. 1, 67. — **18** Luk. 1, 76. — **22** Matth. 11, 9. — **26** Matth. 11, 9. — **28** Joh. 1, 21. — **30** Vgl. II, 2 (S. 54, 12ff.) — **32** Act. 3, 22f.; (Vgl. Deut. 18, 15f. Lev. 23, 29).

20 ἐπιλήμψεται M* | **22** ἐξήλθ[ε]τε̣ε a. Ras., z. l. ἐξήλθατε (mit BℵCDZLPΔ33); wie wohl ursprünglich dastand | **24** τῷ] τὸ, corr. Pr | **25** ἀναιρεῖται, corr. We | **29** τῷ bis σὺ am Rande nachgetr. | **31** λόγος²] λόγον, corr. Hu | **32** ⟨κύριος⟩ + Pr nach S. 116, 4 u. XIII, 55.

Digitized by Google

›ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε· καὶ ἔσται πᾶσα ψυχή, ἥτις ἂν μὴ ›ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ‹, προσεδοκᾶτο ἐξαιρέτως τις προφήτης ὅμοιον Μωσεῖ τι ἔχων, τὸ μεσιτεῦσαι θεοῦ καὶ ἀνθρώπων καὶ τὸ λαβὼν διαθήκην ἀπὸ θεοῦ δοῦναι τοῖς μαθητευομένοις τὴν καινήν· καὶ καθ' ἕκαστον τῶν προφητῶν ἐγίνωσκον ὁ λαὸς Ἰσραὴλ μηδένα ἐκείνων εἶναι τὸν ὑπὸ τοῦ Μωσέως προφητευθέντα. ὥσπερ οὖν ἐδίσταζον περὶ Ἰωάννου μήποτε ἄρα 91
Χριστὸς αὐτὸς ἦν, οὕτως καὶ μήποτε ›ὁ προφήτης‹. οὐ θαυμαστὸν δὲ εἰ μὴ ἠκρίβουν ὅτι ⟨ὁ⟩ αὐτός ἐστι ›Χριστός ⟨καὶ⟩ ὁ προφήτης‹ οἱ διστάζοντες περὶ Ἰωάννου, μήποτε αὐτὸς ὁ χριστὸς ἦν· ἀκόλουθον γὰρ τῷ περὶ τούτου δισταγμῷ τὸ ἀγνοεῖν τὸν αὐτὸν εἶναι ›Χριστὸν‹ καὶ ›τὸν προφήτην‹.

Ἔλαθε δὲ τοὺς πολλοὺς ἡ διαφορὰ τοῦ ›Ὁ προφήτης‹ καὶ 92
›Προφήτης‹, ὡς καὶ τὸν Ἡρακλέωνα, ὅστις αὐταῖς λέξεσί φησιν, ὡς ἄρα Ἰωάννης ὡμολόγησεν μὴ εἶναι ὁ χριστός, ἀλλὰ μηδὲ προφήτης μηδὲ Ἠλίας. καὶ δέον αὐτὸν οὕτως ἐκλαβόντα ἐξετάσαι τὰ κατὰ τοὺς τόπους, πότερον ἀληθεύει λέγων μὴ εἶναι προφήτης μηδὲ Ἠλίας, ἢ οὔ. ὁ δὲ μὴ ἐπιστήσας τοῖς τόποις, ἐν οἷς καταλέλοιπεν ὑπομνήμασιν ἀνεξετάστως παρελήλυθεν τὰ τηλικαῦτα, σφόδρα ὀλίγα καὶ μὴ βεβασανισμένα ἐν τοῖς ἑξῆς εἰπών, περὶ ὧν εὐθέως ἐροῦμεν.

I, 22 *Εἶπον οὖν αὐτῷ Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ;*

XVI. (9) *Δυνάμει τοῦτο λέγουσιν οἱ ἀποσταλέντες· Ὅπερ ὑπονο- 93*
οῦντες εἶναί σε ἐλπίζομεν μαθησόμενοι ἔγνωμεν οὐκ ὄντα· λείπεται δὲ μετὰ ταῦτα ἀπὸ σοῦ ἀκοῦσαι τὸ ὅστις εἶ, ἵνα τοῖς πέμψασιν τὴν σὴν ἀπόκρισιν περὶ σοῦ ἀπαγγείλωμεν.

* * * \

I, 23 *⟨Ἔφη·⟩ Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ Εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.*

94 XVII. (10) *Ὥσπερ ὁ κυρίως υἱὸς τοῦ θεοῦ οὐχ ἕτερος λόγου τυγχάνων χρῆται λόγῳ (αὐτὸς | γὰρ ὁ ἐν ἀρχῇ λόγος ἦν, ὁ πρὸς τὸν θεόν, ὁ* 157 v
λόγος θεός), οὕτως Ἰωάννης ὁ ὑπηρέτης ἐκείνου τοῦ λόγου, εἰ κυρίως 5
ἀκούοιμεν τῆς γραφῆς, οὐχ ἕτερος ὢν φωνῆς, χρῆται φωνῇ δεικνυούσῃ
95 *τὸν λόγον. οὗτος δὴ συνιεὶς τὴν περὶ ἑαυτοῦ προφητείαν παρὰ τῷ Ἡσαΐᾳ εἰρημένην φησὶν εἶναι φωνὴ οὐχὶ ›βοῶσα ἐν τῇ ἐρήμῳ‹, ἀλλὰ ›βοῶντος ἐν τῇ ἐρήμῳ‹, τοῦ ἑστῶτος καὶ κεκραγότος· ›Ἐάν τις διψᾷ,* 10
›ἐρχέσθω πρὸς μὲ καὶ πινέτω‹· λέγοντος καὶ τὸ ›Εὐθύνατε τὴν ὁδὸν ›κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· πᾶσα φάραγξ πληρωθή-
›σεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται πάντα τὰ
96 *›σκολιὰ εἰς † εὐθεῖαν‹. ὥσπερ γὰρ ἐν τῇ Ἐξόδῳ γέγραπται πρὸς Μωσέα λέγεσθαι ὑπὸ θεοῦ· ›Ἰδοὺ δέδωκά σε θεὸν Φαραώ, καὶ Ἀαρὼν ὁ* 15
›ἀδελφός σου ἔσται σου προφήτης‹, οὕτω νοητέον ἀνάλογόν τι τούτοις, εἰ καὶ μὴ πάντη ὅμοιον, εἶναι τὸν ἐν ἀρχῇ λόγον θεὸν καὶ Ἰωάννην· φωνὴ γὰρ δεικτικὴ καὶ παραστατικὴ ἐκείνου τοῦ λόγου ὁ
97 *Ἰωάννης ἦν. διόπερ πάνυ ἁρμοζόντως οὐκ ἄλλῃ κολάσει περιβάλλεται Ζαχαρίας, εἰπὼν πρὸς τὸν ἄγγελον· ›Κατὰ τί γνώσομαι τοῦτο;* 20
›ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέ-
›ραις αὐτῆς‹ ἢ τῇ στερήσει τῆς φωνῆς διὰ τὴν ἀπιστίαν τῆς γενέσεως τῆς φωνῆς, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Γαβριὴλ πρὸς αὐτόν· ›Ἰδοὺ
›ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, 25
›ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πλησθήσονται εἰς
›τὸν καιρὸν αὐτῶν‹· οὗτος δὴ ὁ Ζαχαρίας, ὅτε ›Αἰτήσας πινακίδιον
›ἔγραψεν λέγων· Ἰωάννης ἐστὶν ὄνομα αὐτοῦ, καὶ ἐθαύμασαν πάντες‹, ἀπείληφεν τὴν φωνήν· ›Ἀνεῴχθη γὰρ τὸ στόμα αὐτοῦ παραχρῆμα
›καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν‹.

98 XVIII. *Ὥσπερ δὲ διαλαμβάνοντες περὶ τοῦ τίνα τρόπον νοητέον λόγον εἶναι τὸν υἱὸν τοῦ θεοῦ τὰ παριστάμενα ἐδηλώσαμεν, οὕτως* 30
κατὰ τὴν ἁρμόζουσαν ἀκολουθίαν, ἐπεὶ ὁ Ἰωάννης ›ἦλθεν εἰς μαρ- 111 H
›τυρίαν‹, ›ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ‹, ›ἵνα μαρτυρήσῃ περὶ 119 R
τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ‹, νοητέον φωνὴν εἶναι μόνην χωρῆσαι κατ' ἀξίαν τὸν ἀπαγγελλόμενον λόγον δυναμένην τὸν
99 *Ἰωάννην. καὶ μάλιστα τοῦτο συνήσομεν ἐὰν ὑπομνησθῶμεν ὧν προ-* 35

4 Vgl. Joh. 1, 1. — 5 Vgl. Luk. 1, 2. — 6 Vgl. Joh. 1, 23. — 9 Joh. 7, 37. — **10** Luk. 3, 4 f. (Jes. 40, 3 f.) — **14** Ex. 7, 1. — **16** Vgl. Joh. 1, 1. — **19** Luk. 1, 18. — **22** Luk. 1, 20. — **25** Luk. 1, 63. — **27** Luk. 1, 64. — **29** Vgl. I, 38 (S. 49, 3 ff.) — **31** Vgl. Joh. 1, 6 f.

3 *λόγου*] *λόγος*, corr. Ferrarius | 7 *χρῆται — αὐτὸς* a. Ras. | **16** *εὐθεῖαν*] *εὐθείας* z. l. nach S. 136, 25 ff., wo Orig. ausdrücklich *εὐθείας* als Lesart des Luk. bezeichnet.

Digitized by Google

παρεθέμεθα διηγούμενοι τὸ »Ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ«· περὶ τοῦ »Οὗτός ἐστιν περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν »ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου »ἔμπροσθέν σου«. καλῶς δὲ καὶ τὸ μὴ εἶναι αὐτὸν τὴν φωνὴν »λέ-
158r »γοντος ἐν τῇ ἐρήμῳ«, ἀλλὰ »βοῶντος | ἐν τῇ ἐρήμῳ«· ὁ μὲν γὰρ βοῶν τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου«, καὶ λέγει· ἐνδέχεται δὲ τὸν αὐτὸν τοῦτον λέγειν μὴ βοῶντα. βοᾷ δὲ καὶ κέκραγεν, ἵνα καὶ οἱ μακρὰν τοῦ 100
λέγοντος ἀκούσωσιν καὶ οἱ βαρυήκοοι συνῶσιν τοῦ μεγέθους τῶν λεγομένων μετὰ μεγέθους ἀπαγγελλομένων φωνῆς, βοηθῶν τοῖς τε
10 ἀφεστῶσιν θεοῦ καὶ τοῖς τὸ ὀξὺ τῆς ἀκοῆς ἀπολωλεκόσιν. διὰ τοῦτο γὰρ καὶ »εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξεν λέγων· »Ἐάν τις διψᾷ ἐρχέσθω »πρὸς μὲ καὶ πινέτω«. διὰ τοῦτο καὶ ὁ »Ἰωάννης μαρτυρεῖ περὶ αὐ-»τοῦ καὶ κέκραγε λέγων«. διὰ τοῦτο καὶ κελεύει ὁ θεὸς τῷ Ἡσαΐᾳ βοᾶν ἐν τῇ φωνῇ »λέγοντος· Βόησον· κἀγὼ εἶπα· Τί βοήσω«; ἐὰν 101
15 δὲ μὴ παντελῶς ᾖ ἡ νοητὴ τῶν εὐχομένων φωνὴ μεγάλη καὶ οὐ βραχεῖα, οὐδὲ ἂν αὐξήσωσι τὴν βοὴν καὶ τὴν κραυγὴν ἀκούει τῶν οὕτως εὐχομένων ὁ θεὸς ὁ λέγων πρὸς Μωσέα· »Τί βοᾷς πρὸς μέ«; οὐκ αἰσθητῶς βεβοηκότα, (οὐ γὰρ ἀναγέγραπται τοῦτο ἐν τῇ Ἐξόδῳ,) μεγάλως δὲ τὴν ἀκουομένην μόνῳ θεῷ φωνὴν βεβοηκότα διὰ τῆς
20 εὐχῆς. διὰ τοῦτο καὶ Δαβὶδ φησι· »Φωνῇ μου πρὸς κύριον ἐκέκραξα »καὶ ἐπήκουσέν μου«. χρεία δὲ τῆς φωνῆς τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, 102
ἵνα καὶ ἡ ἐστερημένη θεοῦ ψυχὴ καὶ ἔρημος ἀληθείας, (τίς γὰρ ἄλλη χαλεπωτέρα ἐρημία ψυχῆς θεοῦ καὶ πάσης ἀρετῆς ἠρημωμένης;) διὰ τὸ ἔτι σκολιῶς πορεύεσθαι δεομένη διδασκαλίας, ἐπὶ τὸ εὐθύνειν τὴν
25 ὁδὸν κυρίου παρακαλῆται. ἤντινα ὁδὸν εὐθύνει μὲν ὁ μηδαμῶς τὴν σκολιότητα τῆς τοῦ ὄφεως πορείας μιμούμενος, ὁ δὲ τούτῳ ἐναντίος διαστρέφει. διόπερ καὶ ἐπιπλήσσεται ἅμα τοῖς ὁμοίοις ὁ τοιοῦτος διὰ τοῦ »Ἵνα τί διαστρέφετε τὰς ὁδοὺς κυρίου τὰς εὐθείας;«

XIX. (11) Διχῶς δὲ ἡ ὁδὸς κυρίου εὐθύνεται, κατά τε τὸ θεω- 103
30 ρητικόν, τρανούμενον ἐν ἀληθείᾳ ἀπαραμίκτως τοῦ ψεύδους, καὶ κατὰ τὸ πρακτικὸν μετὰ τὴν ὑγιῆ θεωρίαν τοῦ πρακτέου ἁρμονίου πράξεως
120R ἀποδιδομένης τῷ περὶ τῶν πρακτέων ὑγιεῖ λόγῳ. καὶ ἵνα ἀκριβέ-
112H στερον τὸ »Εὐθύνατε τὴν ὁδὸν κυρίου« νοήσωμεν, εὔκαιρον ἔσται

1 Joh. 1, 7. — **2** Matth. 11, 10. — **4** Vgl. Joh. 1, 23. — **7** Vgl. Joh. 1, 15. — **11** Joh. 7, 37. — **12** Joh. 1, 15. — **14** Jes. 40, 6. — **17** Ex. 14, 15. — **18** Vgl. Philo Bd. III S. 4, 11ff. We. — **20** Ps. 76, 2. — **24** Vgl. Jes. 40, 3. — **28** Vgl. Act. 13, 10. — **33** Joh. 1, 23.

2 *ἰδοὺ*] *ἴδε*, corr. V | **4** nach *δὲ* viell. ⟨*κεῖται*⟩ einzuschieben | **6** *τὸ αὐτὸ τοῦτο*, über *τοῦτο* steht *τὸ* M, corr. We | **9** *ἀπαγγελλομένου*, corr. We | **14** *εἶπα* M*, v. I. H. zu *εἶπον* corr. | **15** *ἡ* str. Br | **16** *αὐξήσωσι*] *αὐξῆσαι*, corr. V | **25** *παράκληται*, corr. V | **28** *δια-*[*στρέφετε*] a. Ras. | **30** *τρανουμένη*? | *ἀπ*[*αραμίκτως*] a. Ras. | **31** *ἁρμονίου*] *ἁρμονίου*.

Digitized by Google

παραθέσθαι τὸ ἐν ταῖς Παροιμίαις εἰρημένον· »Μὴ ἐκκλίνῃς μήτε »δεξιὰ μήτε ἀριστερά«· ὁ γὰρ ἐκκλίνων εἰς ὁποτέραν τὸ εὐθύνειν ἀπολώλεκεν, οὐκέτι ἐπισκοπῆς ἄξιος γινόμενος ὅταν παρεκβαίνῃ τὴν τῆς πορείας εὐθύτητα· »ὅτι γὰρ δίκαιος ὁ κύριος καὶ δικαιοσύνας
104 »ἠγάπησεν καὶ εὐθύτητα εἶδεν τὸ πρόσωπον αὐτοῦ«. ὅπερ δὲ ὁρᾷ φωτίζει· διὰ τοῦτο ὁ ἐπισκοπούμενος ἀντιλαμβανόμενος τῆς ἀπὸ τῆς ἐπισκοπῆς ὠφελείας φησίν· »Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ »προσώπου σου, Κύριε«. στῶμεν τοίνυν κατὰ τὰ ὑπὸ Ἱερεμίου εἰρημένα ἐπὶ ταῖς ὁδοῖς, καὶ ἰδόντες ἐρωτήσωμεν τρίβους κυρίου αἰωνίους καὶ ἴδωμεν ποία | ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθή, καὶ πορευθῶμεν ἐν αὐτῇ, 158v
ὥσπερ ἔστησαν οἱ ἀπόστολοι καὶ ἠρώτησαν τὰς τοῦ κυρίου αἰωνίους τρίβους τοὺς πατριάρχας καὶ τοὺς προφήτας, ὧν τὰ γράμματα ἐρωτήσαντες ὕστερον τῷ νενοηκέναι αὐτὰ εἶδον τὴν ἀγαθὴν ὁδόν, Ἰησοῦν
105 Χριστὸν τὸν εἰπόντα· »Ἐγώ εἰμι ἡ ὁδός«· καὶ ἐπορεύθησαν ἐν αὐτῇ. ἀγαθὴ γὰρ ὁδὸς ἡ ἀπάγουσα πρὸς τὸν ἀγαθὸν πατέρα, τὸν ἀγαθὸν ἄνθρωπον, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προφέροντα τὰ ἀγαθά, καὶ τὸν ἀγαθὸν δοῦλον καὶ πιστόν. αὕτη δὲ ⟨ἡ⟩ ὁδὸς στενὴ μέν, τῶν πολλῶν οὐ χωρούντων ὁδεύειν αὐτὴν καὶ μεγαλοσάρκων, ἀλλὰ καὶ τεθλιμμένη ὑπὸ τῶν βιαζομένων πορεύεσθαι δι' αὐτῆς ἐστιν ὁδός, ἐπεὶ οὐκ εἴρη-
106 ται »θλίβουσα« ἀλλὰ »τεθλιμμένη«. θλίβει γὰρ ζῶσαν τὴν ὁδὸν καὶ αἰσθομένην τῶν ἰδιωμάτων τοῦ ὁδεύοντος ὁ μὴ ὑπολυσάμενος τὰ ὑποδήματα ἐκ τῶν ποδῶν μηδὲ γνησίως παραδεχόμενος ὅτι »ὁ τόπος«, ἐν ᾧ ἕστηκεν ἢ καὶ ὃν βαδίζει, »γῆ ἁγία ἐστίν«. ἀπάξει δὲ ἐπὶ τὴν
107 ζωὴν ὄντα τὸν εἰπόντα· »Ἐγώ εἰμι ἡ ζωή«. ὁ γὰρ σωτήρ, εἰς ὃν πᾶσά ἐστιν ἀρετή, ταῖς ἐπινοίαις πολύς· διὰ τοῦτ' ἐστιν τῷ μὲν μηδέπω φθάσαντι ἐπὶ τὸ τέλος ἀλλ' ἔτι προκόπτοντι ὁδός, τῷ δ' ἤδη πᾶσαν νεκρότητα ἀποθεμένῳ ζωή. ταύτην τὴν ὁδὸν ⟨ὁ⟩ ὁδεύων διδάσκεται μηδὲν αἴρειν εἰς αὐτὴν ἔχουσαν ἄρτους καὶ τὰ πρὸς ζωήν, διὰ τὸ μηδὲν δύνασθαι τοὺς πολεμίους ἐν αὐτῇ οὐδὲ ῥάβδου χρήζων, καὶ ἐπεὶ ἁγία ἐστὶν οὐδ' ὑποδημάτων.

108 XX. (12) Δύναται μέντοι γε τὸ »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ »ἐρήμῳ«, καὶ τὸ ἑξῆς ἴσον εἶναι τῷ Ἐγώ εἰμι περὶ οὗ γέγραπται φωνὴ βοῶντος, ὡς βοῶντα εἶναι τὸν Ἰωάννην, καὶ τούτου τὴν φωνὴν ἐν τῇ ἐρήμῳ βοᾶν· »Εὐθύνατε τὴν ὁδὸν κυρίου«. Δυσφημότερον δὲ ὁ Ἡρακλέων περὶ Ἰωάννου καὶ τῶν προφητῶν δια-

1 Prov. 4, 27. — 4 Ps. 10, 7. — 7 Ps. 4, 7. — 8 Vgl. Jer. 6, 16. — 14 Joh. 14, 6. — 15 Vgl. Matth. 7, 14. — 16 Vgl. Luk. 6, 45. — 17 Vgl. Matth. 25, 21. — 18 Vgl. Matth. 7, 13. — 19 Vgl. Matth. 11, 12. Luk. 16, 16. — 21 Vgl. Ex. 3, 5. — 24 Joh. 14, 6. — 28 Vgl. Mark. 6, 8f. — 30 Vgl. Exod. 3, 5. — 31 Joh. 1, 23.

6 ὁ über d. Z. | 17 ⟨ἡ⟩ + V | 18 μεγαλοσάρκων] φιλοσάρκων V | 27 ⟨ὁ⟩ + We.

Digitized by Google

121R λαμβάνων φησὶν ὅτι Ὁ λόγος μὲν ὁ σωτὴρ ἐστιν, φωνὴ δὲ
ἡ ἐν τῇ ἐρήμῳ ἡ διὰ Ἰωάννου διανοουμένη, ἦχος δὲ πᾶσα
113H προφητικὴ τάξις. λεκτέον δὲ πρὸς αὐτὸν ὅτι ὥσπερ »ἐὰν 109
»ἄδηλον σάλπιγξ φωνὴν δῷ οὐδεὶς παρασκευάζεται εἰς πόλεμον«,
καὶ ὁ χωρὶς ἀγάπης ἔχων γνῶσιν μυστηρίων ἢ προφητείαν γέ-
γονεν χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον, οὕτως εἰ μηδέν ἐστιν
ἕτερον ἢ ἦχος ἡ προφητικὴ φωνή, πῶς ἀναπέμπων ἡμᾶς ἐπ'
αὐτὴν ὁ σωτὴρ »Ἐρευνᾶτε, φησί, τὰς γραφάς, ὅτι ὑμεῖς δοκεῖτε
»ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι«·
καὶ »Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ
»ἐκεῖνος ἔγραψεν«· καὶ »Καλῶς ἐπροφήτευσεν περὶ ὑμῶν Ἡσαΐας
»λέγων· Ὁ λαὸς οὗτος τοῖς χείλεσίν με τιμᾷ«; οὐκ οἶδα γὰρ εἰ 110
159r τὸν ἄσημον | ἦχον παραδέξεταί τις εὐλόγως ὑπὸ τοῦ σωτῆρος
ἐπαινεῖσθαι, ἢ ἔνεστιν παρασκευάσασθαι ἀπὸ τῶν γραφῶν ὡς
ἀπὸ φωνῆς σάλπιγγος, ἐφ' ἃς ἀναπεμπόμεθα, εἰς τὸν πρὸς τὰς
ἀντικειμένας ἐνεργείας πόλεμον, ἀδήλου φωνῆς ἦχον τυγχανούσης.
τίνα δὲ τρόπον, εἰ μὴ ἀγάπην εἶχον οἱ προφῆται καὶ διὰ τοῦτο
χαλκὸς ἦσαν ἠχῶν ἢ κύμβαλον ἀλαλάζον, ἐπὶ τὸν ἦχον αὐτῶν,
ὡς ἐκεῖνοι εἰλήφασιν, ἀναπέμπει ὁ κύριος ὠφεληθησομένους; οὐκ 111
οἶδα δ' ὅπως χωρὶς πάσης κατασκευῆς ἀποφαίνεται τὴν φωνὴν
οἰκειοτέραν οὖσαν τῷ λόγῳ λόγον γίνεσθαι, ὡς καὶ τὴν
γυναῖκα εἰς ἄνδρα μετατίθεσθαι. καὶ ὡς ἐξουσίαν ἔχων τοῦ δογ-
ματίζειν καὶ πιστεύεσθαι καὶ προκόπτειν, τῷ ἤχῳ φησὶν ἔσεσθαι
τὴν εἰς φωνὴν μεταβολήν, μαθητοῦ μὲν χώραν διδοὺς
τῇ μεταβαλλούσῃ εἰς λόγον φωνῇ, δούλου δὲ τῇ ἀπὸ ἤχου
εἰς φωνήν. καὶ εἰ μὲν ὅπως ποτὲ πιθανότητα ἔφερεν ἐπὶ τῷ
αὐτὰ κατασκευάσαι, κἂν ἠγωνισάμεθα περὶ τῆς τούτων ἀνατρο-
πῆς· ἀρκεῖ δὲ εἰς ἀνατροπὴν ἡ ἀπαραμύθητος ἀπόφασις. ὅπερ 112
δὲ ὑπερεθέμεθα ἐν τοῖς πρὸ τούτων ἐξετάσαι, πῶς κεκίνηται,
νῦν φέρε διαλάβωμεν. ὁ μὲν γὰρ σωτὴρ κατὰ τὸν Ἡρακλέωνα
φησὶν αὐτὸν καὶ προφήτην καὶ Ἠλίαν, αὐτὸς δὲ ἑκάτερον τού-
των ἀρνεῖται. καὶ προφήτην μὲν καὶ Ἠλίαν ὁ σωτὴρ ἐπὰν

3 Vgl. I Kor. 14, 8. — **5** Vgl. I Kor. 13, 1f. — **8** Joh. 5, 39. — **10** Joh. 5, 46. — **11** Matth. 15, 7f. Vgl. Jes. 29, 13. — **17** Vgl. I Kor. 13, 1. — **28** Vgl. S. 125, 21. — **30** Vgl. Matth. 11, 13f.

2 nach *διανοουμένη* ist viell. ⟨ἦχος⟩ ausgefallen, vgl. Z. 12ff. | **3** *τάξις*] *λέξις*? | **4** *παρασκευάζεται*] so auch A; doch citiert Orig. nicht wörtlich, wie die Verwandlung der Frage in eine Aussage zeigt | **8** *ἐρευνᾶτε* aus *ἐρανᾶτε* M | **11** *ἐκεῖ*[*νο*]*ς* a. Ras. | **18** *ἠχοῦντες*, corr. We (oder *ἠχῶν τις*) | **25** *φωνῇ*] *φωνὴν ἤ*, corr. Hilgenfeld | **27** *ἠγωνισάμεθα*] *ἠγωνισόμεθα* (*νι* a. Ras.), corr. V | *ἀνατρ*[*οπὴν*] a. Ras. | **29** *κεκίνηται*] **κεῖνται?**

Digitized by Google

αὐτὸν λέγῃ, οὐκ αὐτὸν ἀλλὰ τὰ περὶ αὐτόν, φησί, διδάσκει· ὅταν δὲ μείζονα προφητῶν καὶ ἐν γεννητοῖς γυναικῶν, τότε αὐτὸν τὸν Ἰωάννην χαρακτηρίζει· αὐτὸς δέ, φησί, περὶ ἑαυτοῦ ἐρωτώμενος ἀποκρίνεται ὁ Ἰωάννης, οὐ τὰ 122R
113 περὶ αὐτόν. ὅσην δὲ βάσανον ἡμεῖς περὶ τούτων κατὰ τὸ δυ- 5
νατὸν πεποιήμεθα, οὐδένα ἀπαραμύθητον ἐῶντες τῶν λεγομένων ὅρων, συγκρῖναι τοῖς ὑπὸ Ἡρακλέωνος, ἅτε οὐκ ἐξουσίαν ἔχοντος τοῦ λέγειν ὃ βούλεται, ἀποφανθεῖσιν. πῶς γὰρ ὅτι περὶ τῶν περὶ αὐτόν ἐστιν τὸ Ἠλίαν αὐτὸν καὶ προφήτην εἶναι, καὶ περὶ αὐτοῦ τὸ φωνὴν αὐτὸν εἶναι βοῶντος ἐν τῇ ἐρήμῳ, οὐδὲ κατὰ 10
τὸ τυχὸν πειρᾶται ἀποδεικνύναι· ἀλλὰ χρῆται παραδείγματι, ὅτι τὰ περὶ αὐτὸν οἱονεὶ ἐνδύματα ἦν ἕτερα αὐτοῦ, καὶ οὐκ ἂν ἐρωτηθεὶς περὶ τῶν ἐνδυμάτων εἰ αὐτὸς εἴη τὰ ἐν-
114 δύματα, ἀπεκρίθη ἂν τὸ Ναί. πῶς γὰρ ἐνδύματα τὸ εἶναι τὸν Ἠλίαν τὸν μέλλοντα ἔρχεσθαι ἐστὶν Ἰωάννου, οὐ πάνυ τι 15
κατ' αὐτὸν θεωρῶ· τάχα καθ' ἡμᾶς, ὡς δεδυνήμεθα διηγησαμένους τὸ »Ἐν πνεύματι καὶ δυνάμει Ἠλίου« δυναμένου πως λέγεσθαι τοῦτο τὸ πνεῦμα Ἠλίου ἔνδυμα εἶναι τῆς Ἰωάννου ψυχῆς.

115 XXI. Θέλων δ' ἔτι παραστῆσαι διὰ τί ἱερεῖς καὶ Λευῖται οἱ ἐπερωτῶντες ἀπὸ τῶν Ἰουδαίων | πεμφθέντες εἰσίν, οὐ κακῶς 159v
μὲν λέγει τὸ Ὅτι τούτοις προσῆκον ἦν περὶ τούτων πολυπραγμονεῖν καὶ πυνθάνεσθαι, τοῖς τῷ θεῷ προσκαρτεροῦσιν, οὐ πάνυ δὲ ἐξητασμένως τὸ Ὅτι καὶ αὐτὸς ἐκ τῆς λευϊτικῆς φυλῆς ἦν, ὥσπερ προαποροῦντες ἡμεῖς ἐξητάσαμεν, ὅτι εἰ ᾔδεισαν τὸν Ἰωάννην οἱ πεμφθέντες καὶ τὴν γένεσιν αὐ- 25
τοῦ, πῶς χώραν εἶχον πυνθάνεσθαι περὶ τοῦ εἰ αὐτὸς Ἠλίας ἐστίν; καὶ πάλιν ἐν τῷ περὶ τοῦ εἰ »ὁ προφήτης εἶ σύ;« μηδὲν ἐξαίρετον οἰόμενος σημαίνεσθαι κατὰ τὴν προσθήκην τοῦ ἄρθρου, λέγει ὅτι Ἐπηρώτησαν εἰ προφήτης εἴη τὸ κοινότερον
116 βουλόμενοι μαθεῖν. ἔτι δὲ οὐ μόνος Ἡρακλέων, ἀλλὰ ὅσον 30
ἐπ' ἐμῇ ἱστορίᾳ καὶ πάντες οἱ ἑτερόδοξοι, εὐτελῆ ἀμφιβολίαν διαστείλασθαι μὴ δεδυνημένοι, μείζονα Ἠλίου καὶ πάντων τῶν προφητῶν τὸν Ἰωάννην ὑπειλήφασιν διὰ τὸ »Μείζων ἐν γεννη-

2 Vgl. Luk. 7, 28; Matth. 11, 11. — 15 Vgl. Matth. 11, 14. — 17 Luk. 1, 17. — 24 Vgl. VI, 12. (S. 121, 16ff.) 14 (S. 122, 27ff.) — 27 Vgl. Joh. 1, 21. — 33 Luk. 7, 28; Vgl. Matth. 11, 11.

1 αὐτὸν³] αὐτοῦ, corr. Hilgenfeld; vgl. Z. 5, 9, 12 | 6 οὐδέν, corr. We | τῶν a. Ras. | 11 τὸ über d. Z. | πειρᾶται] ει sehr weit a. Ras. M !18 ἔνδυμα] ἐνδυνάμει, corr. Thorndike | 19 θέλων δ' ἔτι] θέλοντες, corr. Br; θέλων δέ τις B | 20 πεμφθέντες] πεμ a. Ras. u. sehr undeutlich; Raum für c. 6—7 Bchst., οἱ πεμφθέντες (οἱ πε a. Ras.) V | 21 λέγει τὸ] λέγοιτο, corr. Br | 24 προαποροῦντες] προ str. Hu als Dittographie.

Digitized by Google

»τοῖς γυναικῶν Ἰωάννου οὐδείς ἐστιν«· οὐχ ὁρῶντες ὅτι ἀληθὲς τὸ »Οὐδεὶς μείζων Ἰωάννου ἐν γεννητοῖς γυναικῶν« διχῶς γίνεται, οὐ μόνον τῷ αὐτὸν εἶναι πάντων μείζονα, ἀλλὰ καὶ τῷ ἴσους αὐτῷ εἶναί τινας· ἀληθὲς γὰρ ἴσων ὄντων αὐτῷ πολλῶν προφητῶν, κατὰ τὴν δεδομένην αὐτῷ χάριν τὸ μηδένα τούτου μείζονα
123R εἶναι. οἴεται δὲ [τὸ] κατασκευάζεσθαι τὸ Μείζονα ⟨τῷ⟩ 117
προφητεύεσθαι ὑπὸ Ἡσαΐου, ὡς μηδενὸς ταύτης τῆς τιμῆς ἠξιωμένου ὑπὸ θεοῦ τῶν πώποτε προφητευσάντων. ἀληθῶς δ' ὡς καταφρονῶν τῆς παλαιᾶς χρηματιζούσης διαθήκης καὶ μὴ τηρήσας καὶ αὐτὸν Ἠλίαν προφητεύομενον τοῦτ' ἀπετόλμησεν εἰπεῖν· καὶ γὰρ Ἠλίας προφητεύεται ὑπὸ Μαλαχίου λέγοντος· »Ἰδοὺ ἀποστέλλω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, ὃς ἀποκαταστή-
»σει καρδίαν πατρὸς πρὸς υἱόν«. καὶ Ἰωσίας δέ, ὡς ἐν τῇ τρίτῃ 118
τῶν Βασιλειῶν ἀνέγνωμεν, προφητεύεται ὀνομαστὶ ὑπὸ τοῦ ἐλη-
115H λυθότος ἐξ Ἰούδα προφήτου λέγοντος, παρόντος καὶ τοῦ Ἱεροβοάμ, »Θυσιαστήριον, τάδε λέγει κύριος· Ἰδοὺ υἱὸς τίκτεται τῷ »Δαβίδ, Ἰωσίας ὄνομα αὐτῷ«. φασὶν δέ τινες καὶ τὸν Σαμψὼν ὑπὸ τοῦ Ἰακὼβ προφητεύεσθαι λέγοντος· »Δὰν κρινεῖ τὸν ἑαυ-
»τοῦ λαόν, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ«· ἐπεὶ ἀπὸ τῆς φυλῆς τοῦ Δὰν γενόμενος ὁ Σαμψὼν ἔκρινε τὸν Ἰσραήλ. καὶ ταῦτα δὲ εἰς ἔλεγχον τῆς προπετείας τοῦ ἀποφηναμένου μηδένα πλὴν Ἰωάννου προφητεύεσθαι εἰρήσθω, ταῦτα εἰρηκότος ἐν τῷ θέλειν αὐτὸν διηγεῖσθαι τί τὸ »Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«.

I, 24f. Καὶ [οἱ] ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων. καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπαν αὐτῷ· Τί οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ χριστὸς οὐδὲ Ἠλίας οὐδὲ ὁ προφήτης;

190r XXII. (13) Οἱ μὲν ἀπὸ Ἱεροσολύμων πέμψαντες τοὺς ἐρωτήσοντας τὸν Ἰωάννην ἱερεῖς καὶ Λευῖτας μαθόντες ὅστις τε οὐκ ἦν ὁ Ἰωάννης καὶ ὃς ἦν, σεμνοπρεπέστατα ἡσυχάζουσιν, οἱονεὶ συγκατατιθέμενοι διὰ τῆς σιωπῆς καὶ ἐμφαίνοντες τὸ παραδέχεσθαι τὰ εἰρημένα, ὅτι ἁρμόζει τῇ τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ 119

5 Vgl. Röm. 12, 6. — 7 Vgl. Jes. 40, 3. — 12 Mal. 4, 4f. (3, 22f.) — 13 Vgl. I Kön. 13. 1f. — 16 I Kön. 13, 2. — 18 Gen. 49, 16. — 23 Joh. 1. 23. — 31 Vgl. Jes. 40, 3.

6 [τὸ] str. Br | ⟨τῷ⟩ + Br | 7 προφητεύεσθαι] προφητεύεται, corr. B | 17 ἰωσίας, corr. V | Σαμψὼν] μ a. Ras. | 18. 20 Δὰν] δ' ἂν, corr. V | 21 προπετείας] προφητείας, corr. Del | 24 οἱ über d. Z.; zu str. mit A*B𝔎*C*L; vgl. S. 135, 11 | 25 εἶπαν] α a. Ras. (so BC*LX 33; εἶπον ς𝔎AC³ rel.).

Digitized by Google

120 φωνῇ εἰς τὸ εὐθύνειν τὴν ὁδὸν κυρίου τὸ βαπτίζειν. οἱ δὲ Φα-
ρισαῖοι, ἅτε κατὰ τὸ ὄνομα ὄντες Διῃρημένοι τινὲς καὶ στασιώ-
δεις, τὸ μὴ ὁμονοεῖν παριστᾶσιν τοῖς ἐν τῇ μητροπόλει Ἰουδαίοις
καὶ τοῖς λειτουργοῖς τῆς τοῦ θεοῦ θεραπείας, ἱερεῦσι καὶ Λευίταις,
διὰ τοῦ ἀποστεῖλαι οἱονεὶ ἐπιπληκτικῶς καὶ τὸ ὅσον ἐπ' αὐτοῖς 5
κωλυτικῶς τοῦ βαπτίζειν τοὺς ἐρωτήσοντας· »Τί οὖν βαπτίζεις
»εἰ σὺ οὐκ εἶ ὁ χριστὸς οὐδὲ Ἠλίας οὐδὲ ὁ προφήτης;« καὶ τάχα
εἰ συγκλώσαιμεν εἰς ἓν σωματοποιοῦντες τὰ ἐν τοῖς εὐαγγελίοις
γεγραμμένα, εἴποιμεν ἂν νῦν μὲν αὐτοὺς ταῦτα εἰρηκέναι, ὕστερον
δὲ οὐκ οἶδ' ὅπως αὐτοὺς ἐπιδεδωκότας τῷ βαπτίσασθαι ἀκηκοέ- 10
ναι ὑπὸ τοῦ Ἰωάννου τὸ »Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν 124R
»φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρπὸν ἄξιον
121 »τῆς μετανοίας«. ταῦτα γὰρ ὑπὸ τοῦ βαπτιστοῦ εἴρηται παρὰ
τῷ Ματθαίῳ ἰδόντος πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων
ἐρχομένους ἐπὶ τὸ βάπτισμα, δηλονότι οὐκ ἔχοντας καρποὺς με- 15
τανοίας καὶ φαρισαϊκῶς ἀλαζονευομένους ἐν ἑαυτοῖς ἐπὶ τῷ
Ἀβραὰμ ὡς πατρί· διόπερ ἐπιπλήσσονται ὑπὸ τοῦ τὸν ζῆλον
Ἠλίου κατὰ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος ἔχοντος Ἰωάννου.
ἐπιπληκτικὸς γὰρ λόγος ὁ »Μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα
»ἔχομεν τὸν Ἀβραάμ«· καὶ διδασκαλικὸς ὁ περὶ τοῦ καὶ τοὺς διὰ 20
τὴν λιθίνην καρδίαν ἀπίστους λίθους ὀνομαζομένους δυνάμει
θεοῦ μεταβαλεῖν οἵους τε εἶναι ἀπὸ λίθων εἰς τέκνα Ἀβραάμ.
ἐπεὶ γεγόνασιν ἐν ὀφθαλμοῖς τοῦ προφήτου, μὴ φεύγοντες τὴν
θείαν αὐτοῦ ὄψιν· διόπερ τὸ »Λέγω ὑμῖν, ὅτι δύναται ὁ θεὸς 116H
»ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ« ὑπ' αὐτοῦ 25
122 λέγεται. καὶ ἐπεὶ μὴ ποιήσαντες καρπὸν ἄξιον τῆς μετανοίας
ἔρχονται ἐπὶ τὸ βάπτισμα, ἁρμονιώτατα πρὸς αὐτοὺς λέγεται τὸ
»Ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν δέν-
»δρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς τὸ πῦρ βάλ-
»λεται«· οἱονεὶ γὰρ ἄντικρύς φησι πρὸς αὐτούς· Ἐπεὶ ἐληλύθατε 30
ἐπὶ τὸ βάπτισμα μὴ ποιήσαντες καρπὸν μετανοίας, δένδρον ἐστὲ
μὴ ποιοῦν καρπὸν καλόν, ἐκκοπησόμενον ὑπὸ τῆς ὀξυτάτης καὶ

2 Vgl. Lagarde, Onom. s. p. 61, 20 Farisaei: diuidentes uel diuisi. Vgl. p. 69, 5. 76, 28. Armen. Onom. „Pharisäer: die Getrennten." — **6** Joh. 1, 25. — **11** Matth. 3, 7f. — **16** Vgl. Matth. 3, 9. — **19** Matth. 3, 9. — **21** Vgl. Matth. 3, 9. — **24** Matth. 3, 9. — **28** Matth. 3, 10.

12 *καρπὸν ἄξιον*] *ἀξίους καρποὺς*, aber nach S. 137, 6ff. las Origenes, wie er ausdrücklich sagt, bei Matth. *καρπὸν ἄξιον* (ebenso B**א**C[D]*Δ*1 EKM SV*ΓΠ* verss. vgl. Z. 26 | **19** nach *γὰρ* + *ὁ* V | **27** *ἁρμονιώτατα*, über *ν* ist *δ* ausrad. M, vgl. S. 127, 31 | *αὐτοὺς*] *τοὺς*, über *τ* scheint *αὐ* geschrieben zu sein | **32** *ὑπὸ*] *ἀπὸ*, corr. V.

Digitized by Google

εὐτονωτάτης ἀξίνης τοῦ ζῶντος λόγου καὶ ἐνεργοῦς καὶ τομωτέρου »ὑπὲρ πᾶσαν μάχαιραν δίστομον«. |

160v XXIII. *Παρέστησεν δὲ τὸ τῶν Φαρισαίων περιαυτόλογον* 123
καὶ ὁ Λουκᾶς διὰ τοῦ »Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν
5 *»προσεύξασθαι, ὁ εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. καὶ ὁ Φα»ρισαῖος σταθεὶς ταῦτα πρὸς ἑαυτὸν προσηύχετο· Ὁ θεός, εὐχα»ριστῶ σοι ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες,*
»ἄδικοι, μοιχοὶ ἢ καὶ ὡς οὗτος ὁ τελώνης«· ὅτε διὰ τούτους
τοὺς λόγους ὁ τελώνης μᾶλλον αὐτοῦ εἰς τὸν οἶκον καταβαίνει
10 *δεδικαιωμένος, καὶ ἐπιλέγεται πάντα τὸν ὑψοῦντα ἑαυτὸν ταπεινοῦσθαι. ὡς ὑποκριταὶ τοίνυν (κατὰ τοὺς τοῦ σωτῆρος πρὸς*
αὐτοὺς ἐλεγκτικοὺς λόγους) ἔρχονται ἐπὶ τὸ βάπτισμα, οὐ λαν-
θάνοντες τὸν βαπτίζοντα ἔτι ἔχοντες ⟨τὸν⟩ τῶν ἐχιδνῶν ἰὸν ὑπὸ
τὰς γλώσσας αὐτῶν καὶ τὸν τῶν ἀσπίδων· »Ἰὸς γὰρ ἀσπίδων
15 *»ὑπὸ τὰ χείλη αὐτῶν«. ἀληθῶς τε »θυμὸς αὐτοῖς κατὰ τὴν* 124
»ὁμοίωσιν τοῦ ὄφεως« ἦν ἐμφαινόμενος καὶ διὰ τῆς πικρᾶς ταύ-
125R *της ἐρωτήσεως τῆς »Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ χριστὸς*
»οὐδὲ Ἠλίας οὐδὲ ὁ προφήτης;« πρὸς οὓς εἶποιμ' ἂν ὡς Χριστοῦ
καὶ Ἠλίου καὶ τοῦ προφήτου βαπτιζόντων, τῆς δὲ ἐν τῇ ἐρήμῳ
20 *φωνῆς τοῦ βοῶντος ταύτην τὴν ἐξουσίαν μὴ εἰληφυίας· Ὦ οὗτοι,*
ἀπηνῶς πυνθάνεσθε τοῦ ἀπεσταλμένου ἀγγέλου πρὸ προσώπου
Χριστοῦ κατασκευάσαι τὴν ὁδὸν αὐτοῦ ἔμπροσθεν αὐτοῦ, ὅλα τὰ
κατὰ τὸν τόπον αὐτοῦ ἀγνοοῦντες μυστήρια· ὁ γὰρ χριστός,
Ἰησοῦς ὤν, κἂν μὴ βούλησθε, αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μα-
25 *θηταὶ αὐτοῦ, αὐτὸς ὢν »ὁ προφήτης«. πόθεν δὲ ὑμῖν πεπίστευ-* 125
ται Ἠλίαν βαπτίσειν τὸν ἐλευσόμενον, οὐδὲ τὰ ἐπὶ τοῦ θυσιαστηρίου ξύλα κατὰ τοὺς τοῦ Ἀχαὰβ χρόνους δεόμενα λουτροῦ ἵνα
ἐκκαυθῇ, ἐπιφανέντος ἐν πυρὶ τοῦ κυρίου, βαπτίσαντα; ἐπικελεύε-
ται γὰρ τοῖς ἱερεῦσιν τοῦτο ποιῆσαι οὐ μόνον ἅπαξ, λέγει γάρ·
30 *»Δευτερώσατε· ὅτε καὶ ἐδευτέρωσαν«, καὶ »Τρισσώσατε· ὅτε καὶ*
»ἐτρίσσωσαν«. ὁ τοίνυν μὴ αὐτὸς βαπτίσας τότε, ἀλλ' ἑτέροις
118H *τοῦ ἔργου παραχωρήσας, πῶς κατὰ τὰ ὑπὸ τοῦ Μαλαχίου λεγόμενα ἐπιδημήσας βαπτίζειν ἔμελλεν; Χριστὸς οὖν ἐν ὕδατι οὐ*

1 Vgl. Hebr. 4, 12. — **4** Luk. 18, 10f. — **10** Vgl. Luk. 18, 14. — **11** Vgl. Matth. 23, 13. — **14** Ps. 13, 3. Ps. 139, 4. Vgl. Röm. 3, 13. — **15** Ps. 57, 5. — **17** Joh. 1, 25. — **20** Vgl. Mark. 1, 2. — **24** Vgl. Joh. 4, 2. — **25** Joh. 1, 21. — **26** Vgl. I Kön. 18, 21ff. — **30** I Kön. 18, 34. — **32** Vgl. Mal. 4, 4ff. — **33** Vgl. Joh. 4, 2.

8 *περιαυτόλογον*] *περὶ αὐτολόγων*, corr. V | **12** *αὐτοὺς*] *ἑαυτοὺς*, corr. Hu | **13** ⟨*τὸν*⟩ + V | **27** *ἀχαὰμ* | **28** *βαπτίσαντα*] *βαπτίσαντος*, corr. Br, V fügt vor *βαπτίσαντος* ein *καὶ* ein | *ἐπικελεύεται*] *ἐπελεύσεται*, corr. Hu | **29** *ἱερεῦσιν* M*.

Digitized by Google

βαπτίζει, ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ· ἑαυτῷ δὲ τηρεῖ τὸ ἁγίῳ πνεύ-
126 ματι βαπτίζειν καὶ πυρί. παραδεξάμενος δὲ ὁ Ἡρακλέων τὸν τῶν Φαρισαίων λόγον ὡς ὑγιῶς εἰρημένον περὶ τοῦ ὀφείλεσθαι τὸ βαπτίζειν Χριστῷ καὶ Ἠλίᾳ καὶ παντὶ προφήτῃ, αὐταῖς λέξεσίν φησιν, οἷς μόνοις ὀφείλεται τὸ βαπτίζειν, καὶ ἐκ τῶν εἰρημένων μὲν ἡμῖν ἔναγχος ἐλεγχόμενος, μάλιστα δὲ ὅτι κοινότερον τὸν προφήτην νενόηκεν· οὐ γὰρ ἔχει δεῖξαί τινα τῶν προφητῶν βαπτίσαντα. οὐκ ἀπιθάνως δέ φησιν πυνθάνεσθαι τοὺς Φαρισαίους κατὰ τὴν αὐτῶν πανουργίαν, οὐχὶ ὡς μαθεῖν θέλοντας.

127 XXIV. (14) Ἐπεὶ δὲ ἀναγκαῖον ἡμῖν φαίνεται παρατιθέναι τὰς 161r
ὁμοίας τῶν εὐαγγελίων λέξεις τοῖς ἐν χερσὶ ῥητοῖς, καὶ τοῦτο καθ᾽ ἕκαστον μέχρι τέλους ποιεῖν ὑπὲρ τοῦ τὰ μὲν συγκρούειν δοκοῦντα ἀποδείκνυσθαι σύμφωνα, τὰ δ᾽ ὁμοίως ἔχοντα ἕκαστον κατ᾽ ἰδίαν
128 σαφηνίζεσθαι, φέρε τοῦτο καὶ ἐνταῦθα ποιήσωμεν. τὸ γὰρ »Φωνὴ »βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν κυρίου« παρὰ μὲν τῷ μαθητῇ Ἰωάννῃ ἐκ προσώπου τοῦ βαπτιστοῦ λέγεται· παρὰ δὲ τῷ Μάρκῳ ὡς ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ κατὰ τὴν Ἡσαΐου γραφὴν ἀναγέγραπται οὕτως· »Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, »καθὼς γέγραπται ἐν [τῷ] Ἡσαΐᾳ τῷ προφήτῃ· Ἰδοὺ ἐγὼ ἀποστέλλω »τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου· »Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας
129 »ποιεῖτε τὰς τρίβους αὐτοῦ«. οὐ κεῖται μέντοι γε ἐν τῷ προφήτῃ 126R
»Εὐθύνατε τὴν ὁδὸν κυρίου«, ὅπερ παρέθετο ὁ † Μάρκος. μήποτ᾽ οὖν ὁ Ἰωάννης ἐπιτεμνόμενος τὸ »Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας »ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ ἡμῶν« ἀνέγραψεν· »Εὐθύνατε τὴν »ὁδὸν κυρίου«· ὅ τι ὁ Μάρκος δύο προφητείας ἐν διαφόροις εἰρημένας τόποις ὑπὸ δύο προφητῶν εἰς ἓν συνάγων πεποίηκεν· »Καθὼς γέ»γραπται ἐν [τῷ] Ἡσαΐᾳ τῷ προφήτῃ· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγ»γελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου. φωνὴ »βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε
130 »τὰς τρίβους αὐτοῦ«. τὸ μὲν γὰρ »Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ«

2 Vgl. Matth. 3, 2; Luk. 3, 16. — **15** Joh. 1, 23. — **19** Mark. 1, 1ff. — **20** Mal. 3, 1. — **22** Jes. 40, 3. — **26** Joh. 1, 23. — **32** Vgl. Jes. c. 39.

1. 4 τὸ] τῶ, vom Corr. in τὸ verb. | **6** ὅτι] ὅτε, corr. V | **7** τινα] τινας, corr. V | **13** συγκρούειν] σύγκρουσιν M, σύγκρισιν δοκοῦντα ἔχειν V; corr. Br | **14** ὁμοίως] ὅμως ὡς, erstes ω undeutlich, könnte ο sein; corr. Br | **20. 29** τῷ fehlt S. 17, 32 u. C. Cels. II, 4 [I, 131, 14 K.] u. ist wohl mit D. 1. 22 alii Iren. z. str. | **24** Μάρκος] Schreibfehler für Ἰωάννης, der wohl Origenes selbst zur Last fällt. Die Ausgg. ändern den überlieferten Text; aber vgl. u. S. 138, 32 | **31** ἐρήμῳ, am Ende d. Z. ausgelassen, vom Corr. am Rande nachgetr.

Digitized by Google

μετὰ τὴν περὶ τοῦ Ἐζεκίου ἱστορίαν ἀναστάντος ἐκ τῆς νόσου εὐθέως γέγραπται, τὸ δὲ »Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ πρό-»σώπου σου« ὑπὸ Μαλαχίου. ὅπερ δὲ ἐποίησεν Ἰωάννης ἐπιτεμνό- 131
μενος ὃ παρέθετο ῥητόν, τοῦτο ἐπ᾽ ἄλλης λέξεως ὁ Μάρκος καὶ αὐ-
118H τὸς ἐνέφηνεν· ὁ μὲν γὰρ προφήτης φησίν· »Ἑτοιμάσατε τὴν ὁδὸν »κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ ἡμῶν«· ὁ δὲ Μάρκος· »Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ«. τὴν δ᾽ ὁμοίαν ἐπιτομὴν πεποίηται καὶ ἐπὶ τοῦ »Ἰδοὺ ἐγὼ ἀποστέλλω »τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν
10 »σου«. οὐ παρέθετο γὰρ τὸ προκείμενον τὸ »Ἐμπροσθέν μου«.

XXV. Ἔτι [ἐπὶ] τὸ »Ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων, καὶ 132
»ἠρώτησαν αὐτόν« ἐξετάζοντες ἡμεῖς προετάξαμεν τὴν ἐρώτησιν τῶν Φαρισαίων, ὡς σεσιωπημένην παρὰ τῷ Ματθαίῳ, * * τοῦ ἀναγεγραμμένου γεγονέναι [παρὰ τῷ Ματθαίῳ], ὅτι »Ἰδὼν ὁ Ἰωάννης πολλοὺς
15 »τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα εἶπεν »αὐτοῖς Γεννήματα ἐχιδνῶν« καὶ τὰ ἑξῆς· ἀκόλουθον γάρ ἐστιν πρῶ-τον πυθέσθαι, εἶτ᾽ ἐληλυθέναι. καὶ τοῦτο παρατηρητέον, ὅτι ὁ μὲν 133
Ματθαῖος ἐκπορευομένους πρὸς τὸν Ἰωάννην τὰ Ἱεροσόλυμα καὶ
161v πᾶσαν | τὴν Ἰουδαίαν καὶ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου ἐπὶ
20 τῷ βαπτίσασθαι ἐν τῷ Ἰορδάνῃ ποταμῷ, ἐξομολογουμένους ἑαυτῶν τὰς ἁμαρτίας, οὐδένα λόγον ἐπιπληκτικὸν καὶ ἐλεγκτικόν φησιν ἀκηκοέναι ἀπὸ τοῦ βαπτιστοῦ, μόνους δὲ τοὺς ἑωραμένους πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐληλυθότας ἀκηκοέναι τὸ »Γεννήματα »ἐχιδνῶν« καὶ τὰ ἑξῆς· ὁ δὲ Μάρκος οὐδέν φησιν ἐπιπληκτικὸν εἰρῆσθαι
25 ὑπὸ τοῦ Ἰωάννου τοῖς ἐληλυθόσιν, οὗσιν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Ἱερο-
127R σολυμίταις πᾶσι, καὶ βαπτιζομένοις ὑπ᾽ αὐτοῦ ἐν τῷ Ἰορδάνῃ καὶ ἐξομολογουμένοις τὰς ἁμαρτίας αὐτῶν, ἀκολούθως τῷ μηδὲ ὠνομακέναι τοὺς Φαρισαίους καὶ Σαδδουκαίους. ἔτι δὲ καὶ τοῦτο ἀναγκαῖον 134
ἡμᾶς παραθέσθαι, ὅτι ἀμφότεροι μέν, ὅ τε Ματθαῖος καὶ ὁ Μάρκος,
30 ἐξομολογουμένους τὰς ἁμαρτίας αὐτῶν φασιν βαπτίζεσθαι πᾶσαν Ἱεροσόλυμα καὶ πᾶσαν τὴν Ἰουδαίαν καὶ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ἢ πᾶσαν τὴν Ἰουδαίαν χώραν καὶ τοὺς Ἱεροσολυμίτας πάν-

5 Jes. 40, 3. — 7 Mark. 1, 3. — 8 Mark. 1, 2. — 10 Jes. 40, 3. — 11 Joh. 1. 24. — 12 Vgl. S. 123, 6ff. — 14 Matth. 3, 7. — 18 Vgl. Matth. 3, 5f. — 29 Matth. 3, 5f. — 31 Vgl. Mark. 1, 5.

11 ἔτι] ὅτι, corr. Hu | ἐπὶ wohl aus ἔτι entst. u. z. str. ἔτι ἐπεί? We | **18** Der Text ist durch Ausfall unverständlich geworden; vor ἀναγεγραμμένου ist viell. πρὸ z. erg.; das zweite παρὰ τῷ Ματθαίῳ, das als abhängig von ἀναγεγραμμένου gedacht werden kann, ist wohl z. str. „Die Frage der Pharisäer, die bei Matth. scheinbar übergangen wird, hat vor der aufgezeichneten Erzählung stattgefunden" **22** ἑορ̣αμένους, corr. V | **28** καὶ²] ἦν, corr. Hu.

Digitized by Google

τας· ὁ δὲ Ματθαῖος εἰσάγει μὲν ἐρχομένους ἐπὶ τὸ βάπτισμα τοὺς Φαρισαίους καὶ Σαδδουκαίους οὐ μὴν ἐξομολογουμένους τὰς ἁμαρτίας αὐτῶν· διόπερ εἰκὸς καὶ τοῦτο εὔλογον εἶναι αἴτιον τοῦ ἀκηκοέναι αὐτοὺς »Γεννήματα ἐχιδνῶν«.

135 XXVI. Μὴ ὑπολάβῃς δ' ἡμᾶς καὶ ἀκαίρως τὰ ἀπὸ τῶν ἑτέρων εὐαγγελίων παρατεθεῖσθαι, τὰ [ἐκ] τῶν ἀπεσταλμένων ἐκ τῶν Φαρισαίων καὶ ἐρωτησάντων τὸν Ἰωάννην ἐξετάζοντας. εἰ γὰρ καλῶς ἐφηρμόσαμεν τὴν τῶν Φαρισαίων πεῦσιν, ἀναγεγραμμένην παρὰ τῷ μαθητῇ Ἰωάννῃ, τῷ βαπτισμῷ αὐτῶν παρὰ τῷ Ματθαίῳ κειμένῳ, ἀκόλουθον ἦν ἐξετάσαι τὰ κατὰ τοὺς τόπους καὶ παραθέσθαι τὰ εὖ- 119H
136 ρεθέντα παρατηρήματα. ὁμοίως δὲ τῷ Μάρκῳ καὶ ὁ Λουκᾶς τοῦ »Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ« μέμνηται ἀπὸ ἰδίου προσώπου οὕτως· »Ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ, »καὶ ἦλθεν εἰς πᾶσαν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα »μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, ὡς γέγραπται ἐν βίβλῳ λόγων »Ἡσαΐου τοῦ προφήτου· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε
137 »τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ«. προσέθηκεν δὲ ὁ Λουκᾶς καὶ τὰ ἑξῆς τῆς προφητείας· »Πᾶσα φάραγξ πληρωθή- »σεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται τὰ σκολιὰ »εἰς εὐθείας καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· καὶ ὄψεται πᾶσα σὰρξ »τὸ σωτήριον τοῦ θεοῦ«· ὁμοίως τῷ Μάρκῳ ἀναγράψας τὸ »Εὐθείας »ποιεῖτε τὰς τρίβους αὐτοῦ«, ἐπιτεμνόμενος, ὡς προειρήκαμεν, τὸ
138 »Εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ ἡμῶν«. ἀντὶ δὲ τοῦ »Καὶ »ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν« χωρὶς τοῦ »Πάντα« τὴν λέξιν ἔθηκεν, μετὰ τοῦ | ἀντὶ ἑνικοῦ τοῦ »Εἰς εὐθεῖαν« πεποιηκέναι πλη- 162r
θυντικὸν »Εὐθείας«. ἔτι δὲ καὶ ἀντὶ τοῦ »Ἡ τραχεῖα εἰς πεδία« ἐποίησεν· »Καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας«, παραλιπών τε »Καὶ ὀφθήσεται ἡ δόξα κυρίου« παρέθετο τὸ ἑξῆς τὸ »Καὶ ὄψεται πᾶσα »σὰρξ τὸ σωτήριον τοῦ θεοῦ«. χρήσιμοι δὲ αἱ παρατηρήσεις πρὸς ἀπόδειξιν περὶ τοῦ ἐπιτέμνεσθαι τοὺς εὐαγγελιστὰς τὰ προφητικά.

139 XXVII. Ἔτι δὲ καὶ τοῦτο παρατηρητέον, ὅτι τὸ »Γεννήματα »ἐχιδνῶν« καὶ τὰ ἑξῆς ὁ μὲν Ματθαῖος τοῖς Φαρισαίοις καὶ Σαδδου- 128R
καίοις ἐρχομένοις ἐπὶ τὸ βάπτισμα εἰρῆσθαί φησιν, ἑτέροις οὖσιν παρὰ τοὺς ἐξομολογουμένους τὰς ἁμαρτίας αὐτῶν καὶ μηδὲν τοιοῦτον

1 Vgl. Matth. 3, 7. — **12** Luk. 3, 2—6. — **16** Jes. 40, 3. — **18** Jes. 40, 4f. — **21** Vgl. Mark. 1, 3. — **23** Jes. 40, 3. Vgl. S. 135, 3ff. — **23** Jes. 40, 5. — **26** Jes. 40, 5. — **27** Luk. 3, 5. — Jes. 40, 5. — **28** Jes. 40, 5. Luk. 3, 6. — **31** Vgl. Matth. 3, 7.

5 [ἑτέρ]ων a. Ras. | **6** ἐκ z. str. | **17** τὴν] τὸν | προσέθηκεν] προεθηκεν, urspr. scheint προὔθηκεν dagestanden zu haben | **24** τὰ ü. d. Z.

Digitized by Google

ἀκούοντας· ὁ δὲ Λουκᾶς τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ ταῦτ' εἰρῆσθαι ἀναγράφει, οὐ ποιήσας δύο τάγματα βαπτιζομένων, ὅπερ παρὰ τῷ Ματθαίῳ εὕρομεν. εἰκότως δὲ καὶ οὗτος, ἐπεὶ 140
οἱ ὄχλοι οὐκ ἐν ἐπαίνῳ τάσσονται, ὡς τοῖς τηροῦσιν σαφὲς ἔσται, τοῖς ὄχλοις εἰσάγει λέγοντα τὸν βαπτιστὴν τὸ »Γεννήματα ἐχιδνῶν« καὶ τὰ ἑξῆς. ἔτι δὲ πρὸς μὲν τοὺς Φαρισαίους καὶ Σαδδουκαίους »Ποιήσατε« εἴρηται ἐνικῶς »καρπὸν ἄξιον τῆς μετανοίας«· πρὸς δὲ τοὺς ὄχλους πληθυντικῶς »ἀξίους καρποὺς τῆς μετανοίας«. τάχα 141
γὰρ οἱ μὲν Φαρισαῖοι τὸν ἐξαίρετον ἀπαιτοῦνται καρπὸν μετανοίας, οὐκ ἄλλον ὄντα τοῦ υἱοῦ καὶ τῆς εἰς αὐτὸν πίστεως, οἱ δὲ ὄχλοι,
119 H οὐδὲ ἀρχὴν ἔχοντες ἀγαθῶν, πάντας ἀπαιτοῦνται τοὺς καρποὺς τῆς μετανοίας· διόπερ πρὸς αὐτοὺς τὸ πληθυντικὸν εἴρηται. λέγεται 142
πρὸς τούτοις τοῖς Φαρισαίοις· »Μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα »ἔχομεν τὸν Ἀβραάμ. οἱ μὲν γὰρ ὄχλοι νῦν ἀρχὴν ἔχουσιν, δοκοῦντες »εἰσάγεσθαι εἰς τὸν θεῖον λόγον, τοῦ προσιέναι τῇ ἀληθείᾳ«· διόπερ ἄρχονται λέγειν ἐν ἑαυτοῖς· »Πατέρα ἔχομεν τὸν Ἀβραάμ«· οἱ δὲ Φαρισαῖοι οὐκ ἄρχονται, ἀλλὰ πρὸ πολλοῦ τοῦτο δοξάζουσιν. πλὴν ἑκάτεροι τοὺς προειρημένους λίθους δεικνυμένους ἀκούουσιν δύνασθαι ἐγερθῆναι τέκνα τῷ Ἀβραάμ, ἀπὸ τῆς ἀναισθησίας καὶ νεκρότητος ἀναστησομένους.

XXVIII. Παρατήρει δὲ ὅτι τοῖς μὲν Φαρισαίοις κατὰ τὸ εἰρη- 143
μένον ἐν τῷ προφήτῃ »Ἐφάγετε καρπὸν ψευδῆ« ἔχουσι μὲν καρπόν, ψευδῆ ⟨δέ⟩, λέγεται· »Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται«, τοῖς δὲ ὄχλοις, οὐδ' ὅλως καρποφοροῦσιν, τὸ »Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν ἐκκόπτεται«. τὸ μὲν γὰρ μὴ ἔχον καρπὸν οὐδὲ καλὸν ἔχει καρπόν· διόπερ ἐκκοπῆς ἐστιν ἄξιον. τὸ δὲ ἔχον καρπὸν οὐ πάντως καλὸν ἔχει καρπόν· διόπερ καὶ αὐτὸ εὐλόγως ὑπὸ τῆς ἀξίνης καταβάλλεται. ἐὰν δὲ ἀκριβέ- 144
στερον ἐρευνήσωμεν τὰ περὶ τοὺς καρπούς, εὑρήσομεν ὅτι ἀμήχανον τὸ ἄρτι τοῦ γεωργεῖσθαι ἀρχόμενον, κἂν καρποφορῇ, τοὺς πρώτους
162 v ἐνεγκεῖν καρποὺς καλούς. ἀγαπᾷ δὲ ὁ γεωργὸς πρῶτον | τὸ ἐνεγκεῖν αὐτὸ τοὺς ἐπιβάλλοντας καρποὺς τῷ ἀρχομένῳ γεωργίας, ὕστερον
129 R ὁδῷ διὰ τῶν πρεπόντων γεωργικῇ καθαρσίων μετὰ τοὺς ὁποίους δήποτε καρποὺς ληψόμενος καὶ καρποὺς καλούς· καὶ ὁ νόμος δὲ ταύτῃ τῇ ἐκδοχῇ ἡμῶν μαρτυρεῖ, λέγων δεῖν τὸν φυτεύοντα τρία ἔτη ποιεῖν

1 Vgl. Luk. 3, 7 f. — 3 Vgl. Matth. 3, 5. 7. — 5 Matth. 3, 7. — 7 Matth. 3, 8. — 13 Matth. 3, 9. — 16 Vgl. Luk. 3, 8. — 22 Hos. 10, 13. — 23 Matth. 3, 10. — 25 Luk. 3, 9.

12 εἴρηται] εἰρῆσθαι, corr. Hu | nach λέγεται + δὲ V | 23 ⟨δὲ⟩ + We | 28 αὐτὸς, corr. We | 29 εὑρίσωμεν | 32 αὐτοὺς, also vom Corrector zu αὐτά τοὺς ergänzt; αὐτὸ Br | 34 λημψόμενος | 35 φυτεύοντα] φητεύοντα M, φυτεύσαντα V, corr. Br.

Digitized by Google

ἀπερικάθαρτον ἐῶντα τὸ πεφυτευμένον, οὐκ ἐσθιομένων αὐτοῦ τῶν καρπῶν· »Τρία, γάρ φησιν, ἔτη ὑμῖν ὁ καρπὸς ἀπερικάθαρτος οὐ »βρωθήσεται, τῷ δὲ τετάρτῳ ἔτει ἔσται πᾶς ὁ καρπὸς ἅγιος, αἰνετὸς
145 »τῷ κυρίῳ«. εὐλόγως τοίνυν πρὸς τοὺς ὄχλους χωρὶς τῆς τοῦ Καλοῦ προσθήκης λέγεται· »Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν ἐκκόπτεται »καὶ εἰς πῦρ βάλλεται«· καὶ τὸ ἐπὶ πλεῖον δὲ φέρον καρπὸν ὅμοιον τῇ ἀρχῇ, δένδρον τυγχάνον μὴ ποιοῦν καρπὸν καλόν, »ἐκκόπτεται »καὶ εἰς πῦρ βάλλεται«, ἐπὰν ἐνστάσης τῆς μετὰ τὴν τριάδα εἰσαγωγῆς ἐν τῇ τετράδι γενομένης μὴ ποιῇ καρπὸν ἅγιον, αἰνετὸν τῷ κυρίῳ.

146 Ταῦτα δὲ πάντα εἰ καὶ μετὰ παρεκβάσεως ἡμῖν εἰρῆσθαι δοκεῖ παρατιθεμένοις καὶ τὰ ἀπὸ τῶν λοιπῶν εὐαγγελίων, οὐκ ἄκαιρα δὲ ἐμοὶ φαίνεται οὐδὲ ἀλλότρια τῆς ἐνεστηκυίας σκέψεως. Φαρισαῖοι γὰρ ἀποστέλλουσιν πρὸς τὸν Ἰωάννην μετὰ τοὺς ἀπὸ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας πεμφθέντας ἐρωτῆσαι αὐτὸν ὅστις εἴη, ἐξετάζοντες· »Τί »οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ χριστὸς οὐδὲ Ἠλίας ὁ προφήτης«; καὶ 120H ἐξετάσαντες ἐνταῦθα, ἐξῆς παραγινόμενοι βαπτισόμενοι, ὡς ὁ Ματθαῖος ἀναγράφει, ἀκούουσιν δὴ τὰ ἁρμόζοντα αὐτῶν τῇ ἀλαζονείᾳ καὶ
147 ὑποκρίσει. ἐπεὶ δὲ ὅμοια ἦν τὰ τούτοις εἰρημένα τοῖς λεγομένοις πρὸς τοὺς ὄχλους, ἐχρῆν τὴν τῶν ῥητῶν σύγκρισιν καὶ σαφήνειαν ποιήσασθαι· ὧν γινομένων πλείονα ἀπῄτησεν ἡμᾶς ἡ ἀκολουθία θεωρῆσαι. ἔτι δὲ καὶ ταῦτα τοῖς εἰρημένοις δεόντως προσθήσομεν· δύο τάγματα πεμπόντων παρὰ τῷ Ἰωάννῃ ἀναγέγραπται, ἓν μὲν Ἰουδαίων τῶν ἀπὸ Ἱεροσολύμων ἀποστελλόντων ἱερεῖς καὶ Λευίτας, ἕτερον δὲ
148 Φαρισαίων ἐπαπορούντων διὰ τί βαπτίζει. καὶ ἀποδεδώκαμεν ὅτι μετὰ τὴν πεῦσιν οἱ Φαρισαῖοι παραγίνονται βαπτισόμενοι. μήποτ' οὖν πρὸ τούτων οἱ πρὸ τούτων ἀποστείλαντες ἀπὸ Ἱεροσολύμων Ἰουδαῖοι παραδεξάμενοι τοὺς Ἰωάννου λόγους, ἅτε πρότεροι τῶν Φα-
149 ρισαίων πέμψαντες, καὶ πρότεροι ἔρχονται. Ἱεροσόλυμα γάρ, πᾶσα Ἰουδαία καὶ ἀκολούθως πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν, ἢ ὡς ὁ † Λουκᾶς φησιν· »Ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ 130R »Ἰουδαία χώρα καὶ οἱ Ἱεροσολυμῖται πάντες, καὶ ἐβαπτίζοντο ὑπ'

2 Lev. 19, 23 f. — 5 Matth. 3, 10. — 7 Matth. 3, 10. — 9 Vgl. Lev. 19, 24. — 15 Joh. 1, 25. — 17 Vgl. Matth. 3, 7. — 23 Vgl. Joh. 1, 19. — 25 Vgl. Joh. 1, 24. — 26 Vgl. Z. 17. — 29 Vgl. Matth. 3, 5. — 32 Mark. 1, 5.

1 *οὐκαὶσθιομένων*, corr. V | 3 *ἅγ*[*ιος* — 4 *ὄχλ*]*ους* a. Ras. | 9 *γενομένης*] *γενόμενος*, corr. Br | 18 *δὲ*, corr. We | 21 *ἀπήντησεν*, corr. V | 26 *βαπτισάμενοι*, corr. V; vgl. Z. 17 | 27 Das erste *πρὸ τούτων* < V | 28 *τοὺς* M¹, *τοῦ* M | 32 *Λουκᾶς*] es sollte *Μάρκος* heissen, wie die Ausgg. corr.; aber es ist wohl ein Schreibfehler des Origenes, wie oben S. 134, 24.

Digitized by Google

»αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν«.
163r οὔτε μέντοι Ματθαῖος τοὺς Φαρισαίους καὶ Σαδδουκαίους, πρὸς οὓς λέγεται »Γεννήματα ἐχιδνῶν«, οὔτε Λουκᾶς τοὺς ὄχλους τὴν αὐτὴν ἐπίπληξιν ἀκούοντας εἰσάγουσιν ἐξομολογουμένους τὰς ἁμαρτίας αὐτῶν.

XXIX. Ἄξιον δὲ ἐπαπορῆσαι πῶς πάσης τῆς Ἱεροσολυμιτῶν 150
πόλεως καὶ πάσης τῆς Ἰουδαίας καὶ πάσης τῆς περιχώρου τοῦ Ἰορδάνου βαπτιζομένων ἐν τῷ Ἰορδάνῃ ὑπὸ Ἰωάννου ὁ σωτὴρ φησιν· »Ἐλήλυθεν Ἰωάννης ὁ βαπτιστὴς μήτε ἐσθίων μήτε πίνων καὶ λέγετε· »Δαιμόνιον ἔχει«· καὶ πρὸς τοὺς πυθομένους »Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα »ποιεῖς«; λέγει· »Κἀγὼ ἐρωτήσω ὑμᾶς ἕνα λόγον, ὃν ἐὰν εἴπητέ μοι, »κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ· Τὸ βάπτισμα τὸ Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων«; ὅτε καὶ διαλογιζόμενοί φασιν· »Ἐὰν εἴπωμεν· Ἐξ οὐρανοῦ, ἐρεῖ· Διὰ τί οὐκ ἐπιστεύσατε αὐτῷ;«· λύεται δὲ τὸ ἀπορηθὲν οὕτως· Φαρισαῖοι, ὡς προτετηρήκαμεν, οἱ 151
ἀκούσαντες »Γεννήματα ἐχιδνῶν«, οὐ πεπιστευκότες αὐτῷ παραγίνονται ἐπὶ τὸ βάπτισμα, εἰκὸς ὅτι τὸν ὄχλον φοβούμενοι καὶ κατὰ τὴν πρὸς ἐκείνους ὑπόκρισιν ἀξιοῦντες λούσασθαι, ἵνα μὴ δοκοῖεν ἐναντιοῦσθαι τοῖς τοιούτοις. φρονοῦντες γοῦν αὐτὸν ἀπ' ἀνθρώπων 152
ἔχειν καὶ οὐκ ἀπ' οὐρανοῦ τὸ βαπτίζειν, διὰ τὸν ὄχλον, μήποτε λι-
122H θασθῶσιν, φοβοῦνται ὅπερ ὑπολαμβάνουσιν εἰπεῖν· ὥστε οὐκ ἐναντιοῦται τὰ ὑπὸ τοῦ σωτῆρος εἰρημένα πρὸς τοὺς Φαρισαίους τοῖς ἀναγεγραμμένοις ἐν τοῖς εὐαγγελίοις περὶ τοῦ πλήθους τῶν παρὰ τῷ Ἰωάννῃ βαπτισαμένων. τοῦ θράσους δὲ τῶν Φαρισαίων ἦν δαιμόνιον ἔχειν λέγειν τὸν Ἰωάννην, καὶ ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων τὰς δυνάμεις φάσκειν τὸν Ἰησοῦν πεποιηκέναι.

I, 26f. *Ἀπεκρίνατο αὐτοῖς ὁ Ἰωάννης λέγων· Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε, ὀπίσω μου ἐρχόμενος, οὗ οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.*

XXX. (15) Ὁ μὲν Ἡρακλέων οἴεται ὅτι ἀποκρίνεται ὁ 153
Ἰωάννης τοῖς ἐκ τῶν Φαρισαίων πεμφθεῖσιν, οὐ πρὸς ὃ

6 Vgl. Matth. 3, 5. — 8 Luk. 7, 33. — 9 Matth. 21, 23 ff. — 14 Vgl. S. 136, 1 ff. Vgl. Matth. 3, 7. — 19 Vgl. Luk. 20, 6. — 23 Vgl. Luk. 7, 33; 11, 15.

3 γενήματα, corr. M¹ | 6 καὶ πάσης τῆς Ἰουδαίας M¹ ü. d. Z. | 8 Der Text stimmt mit D. 1. 69 etc. überein | λέγεται | 10 ὃν M¹ ü. d. Z. | 11 τὸ scheint M¹ z. str.; (mit B𝔄CZ 23; M = ϛD rel.) | 18 τοῖς str. V | τοσούτοις Hu | 27 nach μέσος + M¹ δὲ ü. d. Z., aber Orig. hat es sonst nicht, vgl. II, 35, u. S. 140, 17. 146, 12. 147, 13. u. s. w. C. Cels. II, 9 [I, 136, 21 K] V, 12 [II, 13, 13] | statt ἕστηκεν, wie an allen Stellen hier gelesen wird, ist vielleicht στήκει (mit BLT^{b}1) einzusetzen, vgl. zu S. 147, 13. | vor ὀπίσω + M¹ a. R. αὐτὸς ἐστιν ὁ (nach ϛAC³X*ΓΔΛΠ* rel.) | 28 οὗ + M¹ ü. d. Z.

Digitized by Google

ἐκεῖνοι ἐπηρώτων, ἀλλ᾽ ὃ αὐτὸς ἐβούλετο, ἑαυτὸν λανθάνων ὅτι κατηγορεῖ τοῦ προφήτου ἀμαθίας, εἴγε ἄλλο ἐρωτώμενος περὶ ἄλλου ἀποκρίνεται· χρὴ γὰρ καὶ τοῦτο φυλάττεσθαι ὡς ἐν κοινολογίᾳ ἁμάρτημα τυγχάνον.

154 Ἡμεῖς δέ φαμεν ὅτι μάλιστα πρὸς ἔπος ἐστὶν ἡ ἀπόκρισις· πρὸς 131 R
γὰρ τὸ »Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ χριστός;« τί ἄλλο ἐχρῆν εἰπεῖν ἢ τὸ ἴδιον παραστῆσαι βάπτισμα σωματικώτερον τυγχάνον; »Ἐγὼ, γάρ φησιν, βαπτίζω ἐν ὕδατι«. καὶ τοῦτο εἰπὼν πρὸς τὸ »Τί »οὖν βαπτίζεις;« πρὸς τὸ δεύτερον »Εἰ σὺ οὐκ εἶ ὁ χριστός« δοξολογίαν περὶ τῆς προηγουμένης οὐσίας Χριστοῦ διηγεῖται, ὅτι δύναμιν τοσαύτην ἔχει ὡς καὶ ἀόρατος εἶναι τῇ θειότητι αὐτοῦ, παρὼν παντὶ ἀνθρώπῳ παντὶ δὲ καὶ ὅλῳ τῷ κόσμῳ συμπαρεκτεινόμενος· ὅπερ 163 v
155 δηλοῦται διὰ τοῦ »Μέσος ὑμῶν ἕστηκεν«. καὶ ἐπεὶ οὐδὲν οἱ προσδοκῶντες Χριστοῦ ἐπιδημίαν Φαρισαῖοι τηλικοῦτον περὶ αὐτοῦ ἑώρων, ἄνθρωπον τέλειον ἅγιον μόνον ὑπολαμβάνοντες αὐτὸν εἶναι, ἐμμελῶς ἐλέγχει τὴν περὶ τῆς ὑπεροχῆς αὐτοῦ Φαρισαίων ἄγνοιαν, προστιθεὶς
156 τῷ »Μέσος ὑμῶν ἕστηκεν« τὸ »Ὃν ὑμεῖς οὐκ οἴδατε«. καὶ ἵνα μή τις ὑπολάβῃ ἕτερον εἶναι τὸν ἀόρατον καὶ διήκοντα ἐπὶ πάντα ἄνθρωπον [ἢ] καὶ ἐπὶ ὅλον τὸν κόσμον, παρὰ τὸν ἐνανθρωπήσαντα καὶ ἐπὶ τῆς γῆς ὀφθέντα καὶ τοῖς ἀνθρώποις συναναστραφέντα, συνάπτει τῷ »Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε« τὸ »Ὀπίσω μου ἐρχό-
157 »μενος«· τοῦτ᾽ ἔστιν μετ᾽ ἐμὲ φανερωθησόμενος. οὗ καὶ τὴν ὑπερβάλλουσαν ὑπεροχὴν συνιεὶς παρὰ τὴν ἑαυτοῦ φύσιν, ἀμφιβαλλομένην ὑπό τινων μήποτ᾽ ἄρ᾽ αὐτὸς εἴη Χριστός, ὅσον ἀπολείπεται τῆς τοῦ χριστοῦ μεγαλειότητος παραστῆσαι βουλόμενος, ἵνα μή τις εἰς αὐτὸν λογίσηται ὑπὲρ ὃ βλέπει ἢ ἀκούει ἐξ αὐτοῦ, λέγει καὶ τὸ »Οὗ οὐκ »εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος«, αἰνιτ- 123 H
τόμενος τὸ οὐχ ἱκανὸς εἶναι τὸν περὶ τῆς ἐνσωματώσεως αὐτοῦ λόγον, οἱονεὶ δεδεμένον καὶ κεκρυμμένον τοῖς μὴ νοοῦσιν, λῦσαι καὶ σαφηνίσαι, ὥστε ἄξιόν τι τῆς τοσαύτης ἐπιδημίας εἰς [οὕτω] βραχύτατα συνεσταλμένης εἰπεῖν.

158 XXXI. (16) Οὐκ ἄκαιρον δὲ ἐξετάζουσιν ἡμῖν τὸ »Ἐγὼ βαπτίζω »ἐν ὕδατι« τὰς ὁμοίας τῶν εὐαγγελιστῶν παραθέσθαι περὶ τούτου
159 λέξεις καὶ συγκρῖναι τῇ προκειμένῃ. φησὶ τοίνυν ὁ Ματθαῖος· »Ἰδὼν

6 Joh. 1, 25. — **8** Joh. 1, 26. — **13** Joh. 1, 26. — **17** Joh. 1, 26. — **21** Joh. 1, 27. — **25** Vgl. II Kor. 12, 6. — **26** Joh. 1, 27. — **32** Joh. 1, 26. — **34** Matth. 3, 7. 11.

1 λανθάνων] μανθάνων, corr. V | **6** τί οὖν M¹ ü. d. Z. | ἄλλο ἐχρῆν] ἄλλοις χρῆν M, corr. M¹ ü. d. Z. | **7** τὸ] τε M, corr. M¹ ü. d. Z. | **19** ἢ < V | **24** ὅσον] ὃν M, corr. M¹ ü. d. Z. | **29** δεδεμένον] δεδομένον M, corr. M¹ ü. d. Z. | **30** οὕτω str. We; es gehört wohl vor λῦσαι | βραχύτητα, corr. We.

Digitized by Google

»πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπ-
»τισμα«, μετὰ τὰ ἐπιπληκτικὰ περὶ ὧν ἐξητάσαμεν· »Ἐγὼ μὲν ὑμᾶς ἐν
»ὕδατι βαπτίζω εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότε-
»ρός μού ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς
»ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί«· σύμφωνον τῷ κατὰ
Ἰωάννην λόγῳ τὴν ὁμολογίαν τοῦ ἐν ὕδατι βαπτίσματος πρὸς τοὺς
πεμφθέντας ἐκ τῶν Φαρισαίων λέγοντι. ὁ δὲ Μάρκος· »Ἐκήρυσσεν, 160
132R »φησίν, Ἰωάννης λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω, οὗ οὐκ
»εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. ἐγὼ
»ἐβάπτισα ὑμᾶς ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ«·
πρὸς πλείονας καὶ πάντας τοὺς ἀκούοντας διδάσκων ταῦτα κεκηρῦ-
χθαι. ὁ δὲ Λουκᾶς φησιν ὅτι »Προσδοκῶντος τοῦ λαοῦ καὶ διαλογι- 161
»ζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε
»αὐτὸς εἴη ὁ χριστός, ἀπεκρίνατο λέγων πᾶσιν ὁ Ἰωάννης· Ἐγὼ μὲν
»ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς
»λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν
πνεύματι ἁγίῳ καὶ πυρί«.

XXXII. (17) Ἔχοντες τοίνυν τὰς ὁμοίας λέξεις τῶν τεσσάρων, 162
164r φέρε | κατὰ τὸ δυνατὸν ἴδωμεν ἰδίᾳ τὸν νοῦν ἑκάστης καὶ τὰς δια-
φοράς, ἀρξάμενοι ἀπὸ τοῦ Ματθαίου, ὃς καὶ παραδέδοται πρῶτος
τῶν λοιπῶν τοῖς Ἑβραίοις ἐκδεδωκέναι τὸ εὐαγγέλιον, τοῖς ἐκ περι-
τομῆς πιστεύουσιν. »Ἐγὼ μέν, φησίν, ὑμᾶς ἐν ὕδατι βαπτίζω εἰς
»μετάνοιαν«· οἱονεὶ καθαίρων καὶ ἀποτρεπόμενος ἀπὸ τῶν χειρόνων
καὶ ἐπὶ μετάνοιαν παρακαλῶν· »Ἑτοιμάσαι γὰρ κυρίῳ λαὸν κατε-
»σκευασμένον« ἐγὼ ἐλήλυθα, καὶ χώραν διὰ τοῦ βαπτίσματος τῆς
μετανοίας εὐτρεπίσαι τῷ μετ' ἐμὲ ἥξοντι, καὶ διὰ τοῦτο ἰσχυρότερον
πολλῷ τῆς ἐμῆς δυνάμεως καὶ κρεῖττον ὑμᾶς ὠφελήσοντι· οὐ σωμα-
τικὸν γὰρ τὸ ἐκείνου βάπτισμα, τὸν μετανοοῦντα πληροῦντος ἁγίου
πνεύματος καὶ θειοτέρου πυρὸς πᾶν ὑλικὸν ἀφανίζοντος καὶ πᾶν
124H γεῶδες ἐξαναλίσκοντος, οὐ μόνον ἀπὸ τοῦ χωρήσαντος αὐτὸ ἀλλὰ
καὶ ἀπὸ τοῦ τῶν ἐχόντων ἀκούοντος. τοσοῦτον δέ ἐστιν ἐμοῦ ἰσχυ- 163
ρότερος ὁ μετ' ἐμὲ ἐρχόμενος, ὡς μηδὲ τὰ τῆς περιβολῆς τῶν περὶ
αὐτὸν δυνάμεων ἐσχάτων, οὐχὶ γυμνῶν ἐκκειμένων, ὥστε καὶ τοὺς
τυχόντας νοεῖν αὐτὰ δύνασθαι, ἱκανόν με τυγχάνειν βαστάσαι, μηδὲ

2 Vgl. S. 135, 17ff. — 7 Mark. 1, 7f. — 12 Luk. 3, 15f. — 20 Vgl. Iren. III, 1, 1. Euseb., h. e. III, 39, 16. Zahn, Einleitung i. d. NT. II, 265ff. — 22 Matth. 3, 11. — 24 Vgl. Luk. 1, 17. — 27 Vgl. Matth. 3, 11.

2 ἐπιπληκτικὰ] ἐπικλητικὰ M, corr. M¹ ü. d. Z. | 15 nach δὲ + ὁ V (nach allen Hss. d. NT.) viell. mit Recht | 20 ὃς] ἡ M, corr. M¹ ü. d. Z. | 26 καὶ] M¹ ü. d. Z. | 27 καὶ M¹ ü. d. Z. | 29 zweites πᾶν M¹ ü. d. Z. | 30 ἐξα[να]λίσκοντος] να M¹ ü. d. Z. | 31 ἀπὸ] ἀ a. R.

Digitized by Google

164 ταῦτα ὑπομένοντα φέρειν. οὐκ οἶδα δὲ ὁπότερον εἴπω, πότερον τὴν πολλήν μου ἀσθένειαν, τὰ εὐτελῆ τοῦ χριστοῦ συγκρίσει τῶν περὶ ἑαυτὸν μειζόνων φέρειν μὴ δυναμένην, ἢ δὴ τὴν ἐκείνου ὑπερβάλλουσάν καὶ μείζονα παντὸς τοῦ κόσμου θειότητα· εἴγε ἐγώ, ὁ τηλικαύτην χωρήσας χάριν ὡς καὶ προφητείας ἠξιῶσθαί με, προλεγούσης τὰ περὶ τῆς εἰς τὸν βίον τῶν ἀνθρώπων ἐπιδημίας μου ἐν τῷ »Ἐγὼ »φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ« καὶ »Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν »μου πρὸ προσώπου σου«· ἐγώ, οὗ τὴν γένεσιν »Γαβριὴλ ὁ παρεστη- »κὼς ἐνώπιον τοῦ θεοῦ« παραδόξως εὐηγγελίσατο ἐν γήρᾳ γεγεννη- 133 R
μένου τῷ πατρί μου, ἐγώ, ἐφ' οὗ τῷ ὀνόματι Ζαχαρίας ἅμα ἀπέλαβεν τὴν φωνὴν καὶ τὸ προφητεύειν δι' αὐτῆς, ἐγώ, ὁ ὑπὸ τοῦ κυρίου μου μαρτυρούμενος ὡς ἄρα μείζων ἐν γεννητοῖς γυναικῶν ἐμοῦ οὐδεὶς τυγχάνει, οὐδὲ τὰ ὑποδήματα βαστάσαι ἱκανός· εἰ δὴ γὰρ μηδὲ τὰ ὑποδήματα, τί λεκτέον περὶ τῶν ἐνδυμάτων αὐτοῦ; τίς οὗτος, ὃς ὁλόκληρον αὐτοῦ τὸ ἱμάτιον τηρῆσαι δυνήσεται; τίς, ὃς νοήσει τὸν ἐκ τῶν ἄνωθεν χιτῶνα ἄραφον διὰ τὸ δι' ὅλου ὑφαντὸν τυγχάνειν καταλαβεῖν ὃν ἔχει λόγον;

165 XXXIII. Παρατηρητέον δὲ ὅτι τῶν τεσσάρων εἰρηκότων τὸ ἐν ὕδατι ὁμολογεῖν Ἰωάννην ἐληλυθέναι βαπτίζειν, μόνος Ματθαῖος τούτῳ προστέθεικεν τὸ »Εἰς μετάνοιαν« διδάσκων τὴν ἀπὸ | τοῦ βαπ- 164v
τίσματος ὠφέλειαν ἔχεσθαι τῆς προαιρέσεως τοῦ βαπτιζομένου, τῷ μετανοοῦντι μὲν ἐγγινομένην, μὴ οὕτω δὲ προσιόντι εἰς κρίμα χαλε-
166 πώτερον ἐσομένην. χρὴ δὲ εἰδέναι ὅτι ὥσπερ αἱ κατὰ τὰς γεγενημένας ὑπὸ τοῦ σωτῆρος θεραπείας τεράστιοι δυνάμεις, σύμβολα τυγχάνουσαι τῶν ἀεὶ λόγῳ τοῦ θεοῦ ἀπαλλαττομένων πάσης νόσου καὶ μαλακίας, οὐδὲν ἧττον καὶ σωματικῶς γενόμεναι ὤνησαν εἰς πίστιν προσκαλεσάμεναι τοὺς εὐεργετηθέντας, οὕτως καὶ τὸ διὰ τοῦ ὕδατος λουτρόν, σύμβολον τυγχάνον καθαρσίου ψυχῆς πάντα ῥύπον τὸν ἀπὸ κακίας ἀποπλυνομένης, οὐδὲν ἧττον καὶ καθ' αὑτὸ τῷ ἐμπαρέχοντι ἑαυτὸν τῇ θειότητι τῆς δυνάμεως τῶν τῆς προσκυνητῆς τριάδος ἐπικλήσεών

6 Joh. 1, 23. — 7 Matth. 11, 10. — 8 Vgl. Luk. 1, 19. — 10 Vgl. Luk. 1, 64. — 12 Vgl. Matth. 11, 11. — 16 Vgl. Joh. 19, 23. — 20 Vgl. Matth. 3, 11. — 27 τὸ — 143, 1 *πηγή* citiert Basilius, de spir. s. 29, 73.

1 *ὑπομένοντας*, corr. We | *δὲ*] *δή*, corr. Br | 3 *δή*] *διά*, corr. Br | 9 *γεγενημένω*, corr. We | 11 *τὸ* M¹ ü. d. Z. | 13 *δή*] *μή*, corr. We; *ἱκανός εἰμι· εἰ δὲ μὴ τὰ ἑ.* V 15 *νοήσει* (Dat.) gehört zu *καταλαβεῖν*, zu dem aus dem Vorhergehenden *δυνήσεται* zu erg. ist. We | 16 *ἄραφον* We | 18. 19 *ἐν ὕδατι*] *ἐνδύματι*, corr. V 20 *τὴν*] *τὸ*, corr. Br | 21 *ἔσεσθαι* V | 22 *μὴ οὕτω δὲ*] *τῷ δὲ μὴ μετανοοῦντι* V | 28 *τυγχάνει* Basilius | *τὸν* mit Basilius; < M | 29 *ἀποπλυνομένης* Basilius, *ἀποπλυνόμενος* M, *ἀποπλυνόμενον* V | nach *οὐδὲν* + *δὲ* Basilius | *καθ' αὑτὸ*] *καθ' αὐτόν*, corr. V, *καθ' ἑαυτὸ* Basilius | 30 *τῆς προσκυνητῆς τριάδος διὰ τῆς δυνάμεως τῶν ἐπικλήσεων* Basilius.

Digitized by Google

ἐστιν ἡ χαρισμάτων θείων ἀρχὴ καὶ πηγή· »διαιρέσεις γὰρ χαρισμά-
»των εἰσίν«. μαρτυρεῖ δέ μου τῷ λόγῳ ἡ ἐν ταῖς τῶν ἀποστόλων 167
125H Πράξεσιν ἀναγεγραμμένη ἱστορία περὶ τοῦ οὕτως ἐναργῶς τότε τὸ
πνεῦμα τοῖς βαπτιζομένοις ἐπιδεδημηκέναι, προευτρεπίσαντος αὐτῷ
5 τοῦ ὕδατος τοῖς γνησίως προσιοῦσιν ὁδόν, ὡς καὶ τὸν μάγον Σίμωνα
καταπλαγέντα θέλειν μὲν τὴν χάριν ταύτην ἀπὸ τοῦ Πέτρου λαβεῖν,
ἐθέλειν δὲ τὸ δικαιότατον διὰ τοῦ μαμωνᾶ τῆς ἀδικίας. καὶ τοῦτο 168
δὲ παρασημειωτέον, ὅτι τὸ Ἰωάννου βάπτισμα ὑποδεέστερον ἐτύγχανεν
τοῦ βαπτίσματος Ἰησοῦ, διδομένου διὰ τῶν μαθητῶν αὐτοῦ. οἱ γοῦν
10 ἐν ταῖς Πράξεσιν βεβαπτισμένοι εἰς τὸ Ἰωάννου βάπτισμα, μηδὲ εἰ
πνεῦμα ἅγιόν ἐστιν ἀκούσαντες, βαπτίζονται δεύτερον ὑπὸ τοῦ �απο-
134R στόλου. τὸ γὰρ τῆς ἀναγεννήσεως οὐ παρὰ τῷ Ἰωάννῃ ἀλλὰ παρὰ 169
τῷ Ἰησοῦ διὰ τῶν μαθητῶν αὐτοῦ ἐγίνετο, καὶ παλιγγενεσίας ὀνομα-
ζόμενον λουτρὸν μετὰ ἀνακαινώσεως γινόμενον πνεύματος, τοῦ καὶ
15 νῦν ἐπιφερομένου, ἐπειδὴ παρὰ θεοῦ ἐστιν, ἐπάνω τοῦ ὕδατος, ἀλλ'
οὐ πᾶσιν μετὰ τὸ ὕδωρ ἐγγινομένου. καὶ ταῦτα μὲν εἰς τὴν ἐξέτασιν
τῶν ἐν τῷ κατὰ Ματθαῖον.

XXXIV. (18) Ἤδη δὲ καὶ τὰ Μάρκου κατανοήσωμεν, ὃς ἀνέγρα- 170
ψεν κηρύσσοντα τὸν Ἰωάννην ταῦτα μὲν εἰρηκέναι κατὰ τὸ »Ἔρχεται
20 »ὁ ἰσχυρότερός μου ὀπίσω μου«· ἰσοδυναμεῖ γὰρ ταῦτα τῷ »Ὁ ὀπίσω
»μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν«· οὐκέτι δὲ τὰ αὐτὰ ἐν τῷ
»Οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ«.
ἕτερον μὲν γὰρ τὸ βαστάζειν τὰ ὑποδήματα. δηλονότι ἤδη λελυμένα 171
ἀπὸ τῶν τοῦ ὑποδεδεμένου ποδῶν, ἕτερον δὲ τὸ κύψαντα λῦσαι τὸν
25 ἱμάντα τῶν ὑποδημάτων. καὶ ἀκόλουθόν γε μηδενὸς σφαλλομένου
τῶν εὐαγγελιστῶν μηδὲ ψευδομένου, ὡς εἴποιεν ἂν οἱ πιστεύοντες,
165r ἀμφότερα κατὰ διαφόρους καιροὺς εἰρηκέναι τὸν | βαπτιστὴν καθ'
ἕτερον καὶ ἕτερον νοῦν κινούμενον. οὐ γὰρ περὶ τῶν αὐτῶν, ὡς 172
οἴονταί τινες, οἱ ἀπομνημονεύοντες διαφόρως ἠνέχθησαν μὴ ἀκριβοῦν-
30 τες τῇ μνήμῃ ἕκαστον τῶν εἰρημένων ἢ γεγενημένων. μέγα μὲν οὖν
τὸ βαστάσαι τοῦ Ἰησοῦ τὰ ὑποδήματα, μέγα δὲ καὶ τὸ ἐπὶ τὰ σωμα-
τικὰ αὐτοῦ κάτω που γεγενημένα κύψαντα, ὑπὲρ τοῦ τὴν εἰκόνα κάτω
θεάσασθαι, λῦσαι ἕκαστον τῶν περὶ τοῦ μυστηρίου τῆς ἐνσωματώσεως
ἀσαφῶν, οἱονεὶ τὸν ἱμάντα τῶν ὑποδημάτων τυγχάνοντα. εἷς γὰρ 173

1 I Kor. 12, 4. — **2** Vgl. Act. 8, 16ff. — **7** Vgl. Luk. 16, 9. — **9** Vgl. Joh. 4, 2. — **10** Vgl. Act. 19, 2ff. — **13** Vgl. Tit. 3, 5. — **15** Vgl. Gen. 1, 2. — **19** Vgl. Mark. 1, 7. — **20** Matth. 3, 11. — **22** Mark. 1, 7.

1 ἐστιν ἡ < Basilius | θείων — χαρισμάτων M¹ a. R. | θείων < Basilius | ἀρχὴν ἔχει καὶ πηγήν Basilius | **18** κατανοήσωμεν] κατανοήσομεν, o² a. Ras. M¹ | ὃς M¹ ü. d. Z. | **30** ἢ ü. d. Z. | γεγεννημένων.

Digitized by Google

ὁ τῆς ἀσαφείας δεσμός, ὥσπερ καὶ μία ἡ τῆς γνώσεως κλείς, ἅτινα οὐδὲ ὁ μείζων ἐν γεννητοῖς γυναικῶν καθ' αὐτὸν ἱκανὸς λῦσαι ἢ ἀνοῖξαι, τοῦ δήσαντος καὶ κλείσαντος μόνου δωρουμένου οἷς βούλεται τὸ λῦσαι καὶ ἀνοῖξαι τὸν ἱμάντα τῶν ὑποδημάτων καὶ τὰ κεκλεισμένα. 126H

174 XXXV. Εἰ δὲ μυστικὸς ὁ περὶ τῶν ὑποδημάτων τόπος, οὐδὲ τοῦτο παρελθετέον. οἶμαι τοίνυν τὴν μὲν ἐνανθρώπησιν, ὅτε σάρκα καὶ ὀστέα ἀναλαμβάνει ὁ τοῦ θεοῦ υἱός, τὸ ἕτερον εἶναι τῶν ὑποδημάτων, τὴν δὲ εἰς ᾅδου κατάβασιν, ὅστις ποτέ ἐστιν ὁ ᾅδης, καὶ τὴν 135R εἰς φυλακὴν μετὰ [τοῦ] πνεύματος πορείαν τὸ λοιπόν. περὶ τῆς εἰς
175 ᾅδου καταβάσεως τὸ »Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς τὸν »ᾅδην« ἐν πεντεκαιδεκάτῳ ψαλμῷ εἴρηται· καὶ περὶ τῆς ἐν φυλακῇ πορείας μετὰ πνεύματος παρὰ τῷ Πέτρῳ ἐν τῇ καθολικῇ ἐπιστολῇ· »Θανατωθείς, γάρ φησι, σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι· ἐν ᾧ καὶ »τοῖς ἐν φυλακῇ πνεύμασιν πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασίν ποτε »ὅτε ἀπεξεδέχετο ἡ τοῦ θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε κατασκευα-
176 »ζομένης κιβωτοῦ«. ὁ τοίνυν κατ' ἀξίαν ἀμφοτέρων τῶν ἐπιδημιῶν τοὺς λόγους παραστῆσαι δυνάμενος, τὸν ἱμάντα λύειν τῶν Ἰησοῦ ἱκανός ἐστιν ὑποδημάτων, καὶ αὐτὸς τῷ νοῒ κύπτων καὶ συγκαταβαίνων τῷ καταβεβηκότι εἰς ᾅδου, καὶ ἀπὸ οὐρανοῦ καὶ τῶν περὶ τῆς θεότητος Χριστοῦ μυστηρίων καταβαίνων ἐπὶ τὴν ἀναγκαίως γεγενημέ-
177 νην παρ' ἡμῖν αὐτοῦ ἐπιδημίαν, ὅτε τὸν ἄνθρωπον ὑπεδήσατο. ὁ δὲ τὸν ἄνθρωπον ὑποδησάμενος καὶ τὸν νεκρὸν ὑπεδήσατο· »Εἰς »τοῦτο γὰρ Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, ἵνα καὶ νεκρῶν καὶ ζώντων »κυριεύσῃ«· καὶ διὰ τοῦτο ζῶντα καὶ νεκρὸν ὑπεδήσατο, τοῦτ' ἔστι τὸν ἐν γῇ καὶ τὸν ἐν ᾅδου, »ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ«.
178 τίς οὖν ἄρα ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν τοιούτων ὑποδημάτων, καὶ λύσας μὴ ἐᾶσαι ἀλλὰ κατὰ δευτέραν ἱκανότητα ἀναλαβεῖν αὐτὰ καὶ βαστάσαι διὰ τοῦ ἐν τῇ μνήμῃ περιφέρειν τὰ νενοημένα;
179 | (19) μὴ ἀνεξέταστον δὲ ἐάσθω τὸ χωρὶς τοῦ »Κύψας« ὁμοίως παρὰ 165r τῷ Λουκᾷ καὶ Ἰωάννῃ εἰρημένον. καὶ τάχα ἐνδέχεται μὲν κύψαντα λῦσαι κατὰ τὸ προειρημένον· δυνατὸν δὲ καὶ τὸ ἀνάστημα τοῦ ἀπὸ τοῦ λόγου ἐπάρματος φυλάττοντα εὑρεῖν τὴν λύσιν τῶν ἐν τῷ ζητεῖσθαι δεδεμένων ὑποδημάτων, ἵνα ταῦτά τις λύσας τὸν χωρὶς τῶν ὑποδημάτων ἴδῃ λόγον γυμνὸν τῶν ὑποδεεστέρων καθ' αὐτὸν, υἱὸν τοῦ θεοῦ.

1 Vgl. Luk. 11, 52; 7, 28. — **2** Vgl. Apok. 5, 2; 3, 7. — **9** Vgl. I Petr. 3, 18ff. — **10** Ps. 15, 10. — **13** I Petr. 3, 18—20. — **22** Röm. 14, 9. — **29** Vgl. Luk. 3, 16. — **30** Joh. 1, 26. — Vgl. S. 143, 30ff.

4 κεκλιμένα, corr. V | **6** τοῦτο] τοῦτον, corr. Pr | **9** [τοῦ] in M expungiert | Viell. ist πορείαν. τὸ λοιπὸν περὶ τῆς z. verb., damit die Verbindung nicht fehlt τῆς] aus ἧς corr. | **18** τῷ M¹ a. Ras. | **33** ταῦτα] τὰ αὐτὰ, corr. Pr.

Digitized by Google

136 R XXXVI. (20) *Οὐ ταὐτὸν δὲ τὸ μὴ εἶναι »ἱκανὸν« τῷ μὴ εἶναι* 180
»ἄξιον« ἀναγράφει ὁ Ἰωάννης. δυνατὸν γὰρ μὴ ὄντα ἄξιον γενέσθαι
ἱκανόν· δυνατὸν δὲ καὶ ἄξιον ὄντα μηδέπω εἶναι ἱκανόν. εἰ γὰρ καὶ 181
πρὸς τὸ συμφέρον δίδοται τὰ χαρίσματα, καὶ οὐ μόνον »κατὰ τὴν
»ἀναλογίαν τῆς πίστεως«, φιλανθρώπου ἂν εἴη θεοῦ ἔργον, προορω-
127 H *μένου βλάβην ἀπὸ οἰήματος ἐπακολουθήσοντος ἢ φυσιώσεως, τὸ καὶ*
τῷ ἀξίῳ ποτὲ μὴ διδόναι τὴν ἱκανότητα· οἰκεῖον δὲ τῆς χρηστότητος
τοῦ θεοῦ νικᾶν ἐν τῷ εὐεργετεῖν τὸν εὐεργετούμενον, προλαμβάνοντα
τὸν ἐσόμενον ἄξιον, καὶ πρὶν γένηται ἄξιος κοσμοῦντα αὐτὸν τῇ ἱκα-
νότητι, ἵνα μετὰ τὴν ἱκανότητα ἔλθῃ ἐπὶ τὸ γενέσθαι ἄξιος, καὶ μὴ
πάντως ἀπὸ τοῦ εἶναι ἄξιος, φθάνων τὸν δωρούμενον καὶ προλαβὼν
αὐτοῦ τὰς χάριτας, ἔλθῃ ἐπὶ τὸ γενέσθαι ἱκανός. ὁ τοίνυν Ἰωάννης 182
φησὶ παρὰ μὲν τοῖς τρισὶν οὐκ εἶναι »ἱκανός«, παρὰ δὲ τῷ Ἰωάννῃ
οὐκ εἶναι »ἄξιος«. οὐκ ἀποκλείεται δὲ ὅς γε ἔλεγεν οὐδέπω ὢν ἱκα-
νὸς γεγονέναι ἱκανός, εἰ καὶ μὴ ἄξιός πω ἦν· καὶ πάλιν ὅς γε ἔλεγεν
οὐκ εἶναι ἄξιος, οὐκ ὢν ἄξιος ἐφθακέναι ἐπὶ τὸ γεγονέναι ἄξιος. εἰ 183
μὴ ἄρα τις ἐρεῖ, ἐπὶ τὸ κατ' ἀξίαν τῆς λύσεως ⟨καὶ⟩ βαστάξεως αὐτῶν
μὴ χωροῦσαν τὴν θνητὴν φύσιν † ἥκειν ποτὲ ἀληθευόμενον ἔχειν
τὸ μηδέποτε γενέσθαι ἱκανὸν λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων καὶ
ἄξιον τοῦ αὐτοῦ. ὅσα δὲ ἐὰν χωρήσωμεν, ἔτι ὑπολείπεται τὰ μηδέπω
νενοημένα, ἐπεὶ »Ὅταν συντελέσῃ ἄνθρωπος τότε ἄρχεται, καὶ ὅταν
»παύσηται τότε ἀπορηθήσεται« κατὰ τὴν Ἰησοῦ υἱοῦ Σειρὰχ Σοφίαν.

XXXVII. (21) *Ἔτι περὶ τῶν ὑποδημάτων τῶν παρὰ τοῖς τρισὶν* 184
οὕτως ὀνομασθέντων εὐαγγελισταῖς διαλάβωμεν, συγκρίνοντες ἐκεῖνα
τῷ παρὰ τῷ μαθητῇ Ἰωάννῃ ἐνικῶς ὀνομασθέντι· »Οὐκ εἰμί, γάρ
»φησιν, ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος«.
τάχα οὖν νικώμενος ὑπὸ τῆς τοῦ θεοῦ χάριτος δωρεὰν εἴληφεν, μη- 185
δέπω τὸ ὅσον ἐφ' ἑαυτῷ ἄξιος ὢν λῦσαι τὸν ἱμάντα τοῦ ἑτέρου τῶν
166 r *ὑποδημάτων, νοήσας αὐτοῦ τὴν ἐν ἀνθρώποις ἐπιδημίαν, περὶ ἧς*
καὶ μαρτυρεῖ· ἐπεὶ δὲ ἔλειπεν αὐτῷ ἡ περὶ τῶν ἑξῆς κατάληψις,
οὐκ εἰδότι πότερον Ἰησοῦς ἐστιν ὁ κἀκεῖ ἐρχόμενος, ὅπου ἀπὸ τῆς
φυλακῆς γίνεσθαι ἔμελλεν ἀποκεφαλισθείς, ἢ ἕτερον προσδοκᾶν ἐχρῆν,
διὰ τοῦτο τὴν σαφέστερον ὕστερον ἐπαπόρησιν ἡμῖν δηλουμένην καὶ
137 R *νῦν αἰνιττόμενος φησὶ τὸ »Οὐκ εἰμὶ ἐγὼ ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν*

1 Vgl. Matth. 3, 11 u. Par. — **2** Vgl. Joh. 1, 26. — **4** Vgl. Röm. 12, 6 — **12** Vgl. Matth. 3, 11 u. Parall. — **13** Vgl. Joh. 1, 26. — **21** Sir. 18, (6) 7. — **27** Vgl. Matth. 10, 8. — **31** Vgl. Matth. 11, 3. — **34** Joh. 1, 27.

2 *ὄντα ἄξιον* a. Ras. | **3** *εἰ* M¹ ü. d. Z. | **11** *προλαμβάνων* V, wohl wegen *φθάνων* u. viell. mit Recht | **14** *ὢν*] *εἶναι* We | **15** *ὅς γε*] *ὅτε*, corr. We | **17** *καὶ*⟩ + Hu | **18** *ἥκειν* wohl verderbt; *ἀεί ποτε* oder *πάντοτε* vermutet We | **30** *κατάλημψις* M*.

Digitized by Google

186 »ἱμάντα τοῦ ὑποδήματος«. ὁ δὲ οἰόμενος περιεργότερον τοῦτο εἰ-
ρῆσθαι εἰς ταὐτὸν συνάξει τὸ τῶν ὑποδημάτων καὶ τοῦ ὑποδήματος,
ἵνα οἱονεὶ λέγῃ· Οὐδαμῶς ἄξιός εἰμι λῦσαι τὸν ἱμάντα οὐδὲ κατὰ τὴν
ἀρχήν, κἂν τοῦ ἑνὸς ὑποδήματος· ἢ καὶ οὕτως δυνατὸν εἰς ἓν συν-
187 άγεσθαι τὰ παρὰ τοῖς τέσσαρσιν εἰρημένα. εἰ γὰρ ὁ Ἰωάννης συνίει 128H
μὲν τὰ περὶ τῆς ἐνταῦθα αὐτοῦ ἐπιδημίας, ἐνηπόρει δὲ περὶ τῶν
ἑξῆς, ἀληθεύει λέγων καὶ τὸ μὴ εἶναι ἱκανὸν λύειν τὸν ἱμάντα τῶν
ὑποδημάτων, οὐ γὰρ λύει ἀμφότερα λύσας τοῦ ἑνός, ἀληθεύει δὲ
λέγων καὶ τὸν ἱμάντα τοῦ ὑποδήματος. ἐπεί. ὡς προείρηται, ἔτι
διαπορεῖ περὶ τοῦ πότερον αὐτός ἐστιν ἐρχόμενος ἢ ἕτερος. ὁ κἀκεῖ 10
προσδοκητέος.

188 XXXVIII. (22) Καὶ περὶ δὲ τοῦ »Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς
»οὐκ οἴδατε« ταῦτα διαληπτέον περὶ τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ λόγου,
δι' οὗ τὰ πάντα γέγονεν, ὑφεστηκότος οὐσιωδῶς κατὰ τὸ ὑποκείμε-
νον, τοῦ αὐτοῦ ὄντος τῇ σοφίᾳ. οὗτος γὰρ δι' ὅλης πεφοίτηκεν τῆς 15
κτίσεως, ἵνα ἀεὶ τὰ γινόμενα δι' αὐτοῦ γίνηται, καὶ περὶ παντὸς
οὑτινοσοῦν ἀεὶ ἀληθὲς ᾖ τὸ »Πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς
189 »αὐτοῦ ἐγένετο οὐδὲ ἕν«, καὶ τὸ »Πάντα ἐν σοφίᾳ ἐποίησας«. εἰ δὲ
δι' ὅλης τῆς κτίσεως πεφοίτηκεν, δῆλον ὅτι καὶ τῶν πυνθανομένων
»Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ χριστὸς οὐδὲ Ἠλίας οὐδὲ ὁ προ- 20
»φήτης;« »μέσος« ἕστηκεν ὁ αὐτὸς καὶ βέβαιος ὢν λόγος, ὑπὸ τοῦ
πατρὸς ἐστηριγμένος πανταχοῦ· ἢ τὸ »Μέσος ὑμῶν ἕστηκεν« ἀκουέσθω
ὅτι ὑμῶν τῶν ἀνθρώπων διὰ τὸ εἶναι ὑμᾶς λογικοὺς μέσος ὑμῶν
ἑστώς, τῷ τοῦ παντὸς σώματος ἐν μέσῳ εἶναι τὸ ἡγεμονικὸν ἀπο-
190 δείκνυσθαι, κατὰ τὰς γραφὰς ἐν τῇ καρδίᾳ τυγχάνον. οἱ τοίνυν ἔχον- 25
τες τὸν λόγον ἐν μέσῳ ἑαυτῶν, μὴ διαλαμβάνοντες δὲ περὶ τῆς φύ-
σεως αὐτοῦ, μηδὲ ἀπὸ ποίας πηγῆς καὶ ἀρχῆς ἐλήλυθεν, μηδ' ὅπως
ποτὲ συνέστη ἐν αὐτοῖς, οὗτοι μέσον αὐτὸν ἔχοντες οὐκ ἴσασιν. ὁ δὲ
Ἰωάννης αὐτὸν οἶδεν. τὸ γὰρ »Ὃν ὑμεῖς οὐκ οἴδατε« ὀνειδιστικῶς
λεγόμενον πρὸς τοὺς Φαρισαίους, ἐμφαίνει τὸν λόγον τῷ ἐπιμελῶς 30
191 ἐγνωκέναι τὸ ὑπ' ἐκείνων ἀγνοούμενον. δι' ὃ καὶ γινώσκων αὐτὸν
ὁ βαπτιστὴς οἶδεν ὀπίσω αὐτοῦ ἐρχόμενον τὸν ἐν μέσῳ τυγχάνοντα,
τοῦτ' ἔστιν | μετ' αὐτὸν καὶ τὴν ὑπ' αὐτοῦ ἐν τῷ βαπτίσματι διδασκα- 166v
λίαν ἐπιδημοῦντα τοῖς κατὰ λόγον ἀπολουσαμένοις. οὐ ταὐτὸν δὲ 138R

10 Vgl. S. 145, 31 ff. — **12** Joh. 1, 26. — **14** Vgl. Joh. 1, 3. — **15** Vgl. I, 19 [S. 23, 18 ff.]. — **16** Vgl. Joh. 1, 3. Kol. 1, 16. — **17** Joh. 1, 3. — **18** Ps. 103, 24. — **20** Joh. 1, 25. — **29** Joh. 1, 26.

8 δὲ M¹ ü. d. Z. | **12** δὲ M¹ ü. d. Z. | *τοῦ*] τοῦ δὲ, corr. V | **17** *ᾖ*] ἦν, corr. Pr | *καὶ* — **18** *ἐγένετο* a. Ras. | **23** *ὑμῶν*¹] ἡμῶν aus ὑμῶν corr. M | **24** *ἀποδείκνυται*, corr. Br | **28** *συνέστη ἐν*] *συνέστησεν*, corr. We | *μέσον αὐτῶν ἔχοντες αὐτὸν* V | **30** *λεγόμενον*] *γενόμενον*, corr. V.

Digitized by Google

σημαίνεται ἐκ τῆς »ὀπίσω« φωνῆς ἐνθάδε, καὶ ὅταν ὁ Ἰησοῦς πέμπῃ ἡμᾶς ὀπίσω ἑαυτοῦ. ἐκεῖ μὲν γὰρ ἵνα κατ' ἴχνη βαίνοντες αὐτοῦ 192
φθάσωμεν πρὸς τὸν πατέρα, ὀπίσω αὐτοῦ γίνεσθαι κελευόμεθα· ἐνθάδε ⟨δὲ⟩ ἵνα δηλωθῇ τὸ μετὰ τὰς Ἰωάννου διδασκαλίας (ἐπεὶ ἐλήλυ-
129H θεν οὗτος »ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ«) τοῖς προευτρεπισαμένοις ἐπιδημεῖν προκεκαθαρμένοις διὰ τῶν ἡττόνων καὶ τὸν τέλειον λόγον.
προηγουμένως μὲν οὖν ἕστηκεν ὁ πατὴρ ἄτρεπτος καὶ ἀναλλοίωτος 193
ὤν· ἕστηκεν δὲ καὶ ὁ λόγος αὐτοῦ ἀεὶ ἐν τῷ σώζειν, κἂν γένηται σάρξ, κἂν μέσος ᾖ ἀνθρώπων, οὐ καταλαμβανόμενος ἀλλ' οὐδὲ βλεπόμενος.
10 ἕστηκεν δὲ καὶ διδάσκων, προκαλούμενος πάντας ἐπὶ τὸ πίνειν ἀπὸ τῆς ἀφθόνου πηγῆς αὐτοῦ· »Εἱστήκει γὰρ ὁ Ἰησοῦς καὶ ἔκραξε λέγων· »Ἐάν τις διψᾷ, ἐρχέσθω πρὸς ἐμὲ καὶ πινέτω«.

XXXIX. (23) Ὁ δὲ Ἡρακλέων τὸ »Μέσος ὑμῶν στήκει« φησὶν 194
ἀντὶ τοῦ Ἤδη πάρεστιν καὶ ἔστιν ἐν τῷ κόσμῳ καὶ ἐν
15 ἀνθρώποις, καὶ ἐμφανής ἐστιν ἤδη πᾶσιν ὑμῖν. διὰ τούτων δὲ περιαιρεῖ τὸ παρασταθὲν περὶ τοῦ διαπεφοιτηκέναι αὐτὸν
δι' ὅλου τοῦ κόσμου. λεκτέον γὰρ πρὸς αὐτόν· πότε γὰρ οὐ 195
πάρεστιν; πότε δὲ οὐκ ἔστιν ἐν τῷ κόσμῳ; καὶ ταῦτα τοῦ εὐαγγελίου λέγοντος· »Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ
20 »ἐγένετο«. καὶ διὰ τοῦτο καὶ οὗτοι, πρὸς οὓς ὁ λόγος ὁ »Ὃν »ὑμεῖς οὐκ οἴδατε«, οὐκ οἴδασιν αὐτόν, ἐπεὶ οὐδέπω τοῦ κόσμου
ἐξεληλύθασιν, »ὁ δὲ κόσμος αὐτὸν οὐκ ἔγνω«. ποῖον δὲ χρόνον 196
διέλειπεν τοῦ ἐν ἀνθρώποις εἶναι; ἢ οὐκ ἐν Ἰσαΐᾳ ἦν λέγοντι· »Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με« καὶ »Ἐμφανὴς
25 »ἐγενόμην τοῖς ἐμὲ μὴ ζητοῦσιν«; λεγέτωσαν δὲ εἰ μὴ καὶ ἐν Δαβὶδ ἦν, οὐκ ἀφ' αὑτοῦ λέγοντι· »Ἐγὼ δὲ κατεστάθην βασιλεὺς
»ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ«, καὶ ὅσα ἐκ προσώπου Χριστοῦ ἐν ψαλμοῖς ἀναγέγραπται. καὶ τί με δεῖ καθ' 197
ἕκαστον ἀποδεικνύναι, δυσεξαριθμήτων ὄντων ⟨τῶν⟩ παραστῆσαι
30 ἐναργῶς δυναμένων, ὅτι ἀεὶ ἐν ἀνθρώποις ἦν, πρὸς τὸ ἐλέγξαι οὐχ ὑγιῶς εἰρημένον τὸ Ἤδη πάρεστιν καὶ ἔστιν ἐν κόσμῳ

1 Vgl. Mark. 1, 17. 20. 8, 34. Matth. 4, 19. 10, 38. 16, 24 u. ö. — **5** Joh. 1, 7. — **9** Vgl. Joh. 1, 11. — **11** Joh. 7, 37. — **13** Joh. 1, 26. — **19** Joh. 1, 10. — **20** Joh. 1, 26. — **22** Joh. 1, 11. — **24** Jes. 61, 1. — Jes. 65, 1 (= ℵAQ). Vgl. Röm. 10, 20. — **26** Ps. 2, 6 (= ARᵇ).

4 ⟨δὲ⟩ + V | **7** ἀναλλοίωτος] να M² ü. d. Z. | **13** στήκει] sonst ist ἕστηκεν überliefert; da es sich möglicherweise um Herakleons Lesart handelt, ist nichts zu ändern. Doch las viell. Origenes selbst so; vgl. z. S. 139, 27 | **15** ἀνθρώποις M¹, ἀνθρώπω M | **23. 30** ἀνθρώποις M¹, ἀνθρώπω M | **29** δυσεξαριθμήτων] δυσεξαρίθμητον, ο a. Ras.; δυσεξαριθμήτου V, corr. Br | ὄντων] ὄντως M, ὄντος V; corr. Br | ⟨τῶν⟩ + Br | **30** δυνάμενων] δυναμένω M, δυναμένον V; corr. Br.

Digitized by Google

καὶ ἐν ἀνθρώποις εἰς διήγησιν παρὰ τῷ Ἡρακλέωνι τοῦ »Μέ-
»σος ὑμῶν ἕστηκεν«; οὐκ ἀπιθάνως δὲ παρ' αὐτῷ λέγεται ὅτι
τὸ »Ὀπίσω μου ἐρχόμενος« τὸ πρόδρομον εἶναι τὸν Ἰωάν-
νην τοῦ χριστοῦ δηλοῖ· ἀληθῶς γὰρ ὡσπερεὶ οἰκέτης ἐστὶν
198 προτρέχων τοῦ κυρίου. πολὺ δὲ ἁπλούστερον τὸ »Οὐκ εἰμὶ ἄξιος, 139 R
»ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος« ἐξείληφεν ὅτι
οὐδὲ τῆς | ἀτιμοτάτης ὑπηρεσίας τῆς πρὸς τὸν χριστὸν 167 r
ἄξιος εἶναι διὰ τούτων ὁ βαπτιστὴς ὁμολογεῖ. πλὴν μετὰ
ταύτην τὴν ἐκδοχὴν οὐκ ἀπιθάνως ὑποβέβληκεν τὸ Οὐκ ἐγώ εἰμι
ἱκανός, ἵνα δι' ἐμὲ κατέλθῃ ἀπὸ μεγέθους καὶ σάρκα
λάβῃ ὡς ὑπόδημα, περὶ ἧς ἐγὼ λόγον ἀποδοῦναι οὐ δύ-
ναμαι οὐδὲ διηγήσασθαι ἢ ἐπιλῦσαι τὴν περὶ αὐτῆς οἰ-
199 κονομίαν. ἁδρότερον δὲ καὶ μεγαλοφυέστερον ὁ αὐτὸς Ἡρακλέων
κόσμον τὸ ὑπόδημα ἐκδεξάμενος μετέστη ἐπὶ τὸ ἀσεβέστερον 130 H
ἀποφήνασθαι ταῦτα πάντα δεῖν ἀκούεσθαι καὶ περὶ τοῦ προσ-
200 ώπου τοῦ διὰ τοῦ Ἰωάννου νοουμένου. οἴεται γὰρ τὸν δημιουρ-
γὸν τοῦ κόσμου ἐλάττονα ὄντα τοῦ χριστοῦ τοῦτο ὁμο-
λογεῖν διὰ τούτων τῶν λέξεων, ὅπερ ἐστὶν πάντων ἀσεβέ-
στατον· ὁ γὰρ πέμψας αὐτὸν πατήρ, ὁ τῶν ζώντων θεός, ὡς
αὐτὸς Ἰησοῦς μαρτυρεῖ, τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰα-
κώβ, ὁ διὰ τοῦτο κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι πεποίηκεν
201 αὐτά, οὗτος καὶ μόνος ἀγαθὸς καὶ μείζων τοῦ πεμφθέντος. εἰ
δὲ καί, ὡς προειρήκαμεν, ἁδρότερον νενόηται καὶ πᾶς ὁ κόσμος
ὑπόδημα εἶναι τοῦ Ἰησοῦ τῷ Ἡρακλέωνι, ἀλλ' οὐκ οἶμαι δεῖν
συγκατατίθεσθαι. πῶς γὰρ μετὰ τῆς τοιαύτης ἐκδοχῆς σωθήσεται
τὸ »Οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου«,
μαρτυρούμενον ὡς περὶ τοῦ πατρὸς εἰρημένον ὑπὸ τοῦ Ἰησοῦ;
»Μὴ γὰρ ὀμόσητε, φησί, τὸν οὐρανόν, ὅτι θρόνος ἐστὶν τοῦ θεοῦ,
202 »μηδὲ τὴν γῆν, ὅτι ὑποπόδιόν ἐστιν τῶν ποδῶν αὐτοῦ«. πῶς
δὲ μετὰ τοῦ τὸν ὅλον κόσμον ὑπόδημα νοεῖσθαι τοῦ Ἰησοῦ πα-
ραστῆσαι δυνήσεται τὸ »Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ
»πληρῶ; λέγει κύριος«; πλὴν ἄξιον ἐπιστῆσαι πότερον τῷ τὸν
λόγον καὶ τὴν σοφίαν διαπεφοιτηκέναι δι' ὅλου τοῦ κόσμου, τὸν
δὲ πατέρα ἐν τῷ υἱῷ εἶναι, ὡς παρεθέμεθα, τὰ ῥητὰ δεῖ νοῆσαι,

1 Joh. 1, 26. — **5** Joh. 1, 27. — **20** Vgl. Matth. 22, 32. — **22** Vgl. Luk. 18, 19; Matth. 19, 17. — Joh. 14, 28. — **23** Vgl. Z. 13. — **26** Jes. 66, 1. Act. 7, 49. — **28** Vgl. Matth. 5, 34 f. — **31** Jer. 23, 24. — **34** Vgl. S. 146, 15 ff.

1 ἀνθρώποις] ἀνθρώπω, corr. Pr | **16** erstes τοῦ] τούτου, corr. Br | **20** αὐτὸς] το a. Ras. M | **23** προσειρήκαμεν, corr. V | **31** δυνήσεται] νοήσεται, corr. Pr.

Digitized by Google

ἢ ὁ προηγουμένως περιζωσάμενος πᾶσαν τὴν κτίσιν παρὰ τὸ τὸν υἱὸν εἶναι ἐν αὐτῷ ἐχαρίσατο τῷ σωτῆρι, ὡς μετ᾽ αὐτὸν δευτέρῳ καὶ θεῷ λόγῳ τυγχάνοντι, δι᾽ ὅλης ἐφθακέναι τῆς κτίσεως. καὶ μάλιστα τοῖς δυναμένοις κατανοεῖν τὴν τοῦ τηλικούτου 203
ουρανοῦ ἀδιάλειπτον κίνησιν, ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς συμπεριάγοντος ἑαυτῷ τὸ τοσοῦτο τῶν ἀστέρων πλῆθος, ἄξιον ἔσται ζητήσεως περὶ τοῦ τίς ἡ ἐνυπάρχουσα δύναμις τοσαύτη καὶ τη-
140R λικαύτη τῷ παντὶ κόσμῳ. ἕτερον γὰρ παρὰ τὸν πατέρα καὶ τὸν υἱὸν ταύτην τολμῆσαι εἰπεῖν μήποτε οὐκ ἔστιν εὐσεβές.

I, 28. *Ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων.*

XL. (24) Ὅτι μὲν σχεδὸν ἐν πᾶσι τοῖς ἀντιγράφοις κεῖται· »Ταῦτα 204
»ἐν Βηθανίᾳ ἐγένετο« οὐκ ἀγνοοῦμεν, καὶ ἔοικεν τοῦτο καὶ ἔτι πρότερον
167v γεγονέναι· καὶ παρὰ Ἡρακλέωνι γοῦν »Βηθανίαν« ἀνέγνωμεν. ἐπεί-
σθημεν δὲ μὴ δεῖν »Βηθανίᾳ« ἀναγινώσκειν, ἀλλὰ »Βηθαβαρᾷ«, γενόμενοι ἐν τοῖς τόποις ἐπὶ ἱστορίαν τῶν ἰχνῶν Ἰησοῦ καὶ τῶν μαθητῶν αὐτοῦ καὶ τῶν προφητῶν. Βηθανία γάρ, ὡς ὁ αὐτὸς εὐαγγελιστής φησιν, ἡ πατρὶς 205
Λαζάρου καὶ Μάρθας καὶ Μαρίας, ἀπέχει τῶν Ἱεροσολύμων σταδίους δέκα πέντε· ἧς πόρρω ἐστὶν ὁ Ἰορδάνης ποταμὸς ὡς ἀπὸ σταδίων
131H πλατεῖ λόγῳ ἑκατὸν ὀγδοήκοντα. ἀλλ᾽ οὐδὲ ὁμώνυμος τῇ Βηθανίᾳ τόπος ἐστὶν περὶ τὸν Ἰορδάνην· δείκνυσθαι δὲ λέγουσι παρὰ τῇ ὄχθῃ τοῦ Ἰορδάνου τὰ Βηθαβαρᾶ, ἔνθα ἱστοροῦσιν τὸν Ἰωάννην βεβαπτικέναι. ἔστιν τε ἡ ἑρμηνεία τοῦ ὀνόματος ἀκόλουθος τῷ βαπτίσματι 206
τοῦ ἑτοιμάζοντος κυρίῳ λαὸν κατεσκευασμένον· μεταλαμβάνεται γὰρ
25 εἰς »οἶκον κατασκευῆς«, ἡ δὲ Βηθανία εἰς »οἶκον ὑπακοῆς«. ποῦ γὰρ ἀλλαχόσε ἐχρῆν βαπτίζειν τὸν ἀποσταλέντα ἄγγελον πρὸ προσώπου τοῦ χριστοῦ, κατασκευάσαι τὴν ὁδὸν αὐτοῦ ἔμπροσθεν αὐτοῦ, ἢ εἰς τὸν »τῆς κατασκευῆς οἶκον«; ποία δὲ οἰκειοτέρα πατρὶς τῇ τὴν ἀγαθὴν 207
μερίδα ἐκλεξαμένῃ μὴ ἀφαιρουμένην αὐτῆς Μαριὰμ καὶ τῇ περισπω-
30 μένῃ διὰ τὴν Ἰησοῦ ὑποδοχὴν Μάρθᾳ καὶ τῷ τούτων ἀδελφῷ φίλῳ ὑπὸ τοῦ σωτῆρος εἰρημένῳ Λαζάρῳ, ἢ Βηθανία »ὁ τῆς ὑπακοῆς οἶ-

17 Vgl. Joh. 11, 1. — **18** Vgl. Joh. 11, 1. 18. — Vgl. Hieron., de situ et nomin. loc. hebr. lib. bei Lagarde, Onom. s. p. 108, 3. [Eusebius ist leider gerade an dieser Stelle verstümmelt.] — Vgl. Eusebius, Onomast. bei Lagarde, Onom. s. p. 240, 12. — **23** Vgl. Luk. 1, 17. — **25** Lagarde, Onom. s. p. 201, 55 *Βηθέβερρα οἶκος κατασκευῆς*; p. 175, 8 *Βηθανία οἶκος ὑπακοῆς*. vgl. p. 188, 74, 201, 49. — **26** Vgl. Mal. 3, 1. — **28** Vgl. Luk. 10, 42. — **30** Vgl. Joh. 11, 3.

1 *τὸ*] *τῶ*, corr. V | **10** *βηθαρᾶ*, corr. Hu; vgl. Z. 15, die Etymologie Z. 25 u. die Lesart in ςC^2 1. 22. 33. (69). 262. 346 K T^b (U) (*A*) Syr. cur. sin. | *ἐγένετο* am Anfang d. Z. fälschlich wiederholt | **22** *βηθαρᾶ*, s. zu Z. 10 | **28** *τὴν* a. Ras.

Digitized by Google

κους‹; οὐ καταφρονητέον οὖν τῆς περὶ τὰ ὀνόματα ἀκριβείας τῷ ἀπαραλείπτως βουλομένῳ συνιέναι τὰ ἅγια γράμματα.

208 XLI. Τὸ μέντοι γε ἡμαρτῆσθαι ἐν τοῖς Ἑλληνικοῖς ἀντιγράφοις τὰ περὶ τῶν ὀνομάτων πολλαχοῦ καὶ ἀπὸ τούτων ἄν τις πεισθείη ἐν τοῖς εὐαγγελίοις. ἡ περὶ τοὺς ὑπὸ τῶν δαιμονίων κατακρημνιζομένους καὶ ἐν τῇ θαλάσσῃ συμπνιγομένους χοίρους οἰκονομία ἀνα-
209 γέγραπται γεγονέναι ἐν τῇ χώρᾳ τῶν Γερασηνῶν. Γέρασα δὲ τῆς Ἀραβίας ἐστὶν πόλις, οὔτε θάλασσαν οὔτε λίμνην πλησίον ἔχουσα. καὶ οὐκ ἂν οὕτως προφανὲς ψεῦδος καὶ εὐέλεγκτον οἱ εὐαγγελισταὶ εἰρήκεισαν, ἄνδρες ἐπιμελῶς γινώσκοντες τὰ περὶ τὴν Ἰουδαίαν. ἐπεὶ
210 δὲ ἐν ὀλίγοις εὕρομεν· »Εἰς τὴν χώραν τῶν Γαδαρηνῶν« καὶ πρὸς 141 R
τοῦτο λεκτέον. Γάδαρα γὰρ πόλις μέν ἐστιν τῆς Ἰουδαίας, περὶ ἣν τὰ διαβόητα θερμὰ τυγχάνει, λίμνη δὲ κρημνοῖς παρακειμένη οὐδαμῶς
211 ἐστιν ἐν αὐτῇ ⟨ἡ⟩ θάλασσα. ἀλλὰ Γέργεσα, ἀφ' ἧς οἱ Γέργεσαῖοι, πόλις ἀρχαία περὶ τὴν νῦν καλουμένην Τιβεριάδα λίμνην, περὶ ἣν κρημνὸς παρακείμενος τῇ λίμνῃ, ἀφ' οὗ δείκνυται τοὺς χοίρους ὑπὸ τῶν δαιμόνων καταβεβλῆσθαι. ἑρμηνεύεται δὲ ἡ Γέργεσα ›παροικία ἐκβεβληκότων‹, ἐπώνυμος οὖσα τάχα προφητικῶς οὗ περὶ τὸν σωτῆρα πεποιήκασιν παρακαλέσαντες αὐτὸν μεταβῆναι ἐκ τῶν ὁρίων αὐτῶν οἱ τῶν χοίρων πολῖται.

212 Τὸ δ' ὅμοιον περὶ τὰ ὀνόματα σφάλμα πολλαχοῦ τοῦ νόμου | καὶ 168 r
τῶν προφητῶν ἔστιν ἰδεῖν, ὡς ἠκριβώσαμεν ἀπὸ Ἑβραίων μαθόντες, καὶ τοῖς ἀντιγράφοις αὐτῶν τὰ ἡμέτερα συγκρίναντες, μαρτυρηθεῖσιν ὑπὸ τῶν μηδέπω διαστραφεισῶν ἐκδόσεων Ἀκύλου καὶ Θεοδοτίωνος
213 καὶ Συμμάχου. ὀλίγα τοίνυν παραθησόμεθα ὑπὲρ τοῦ τοὺς φιλομαθεῖς 132 H
ἐπιστρεφεστέρους γενέσθαι περὶ ταῦτα· εἷς τῶν υἱῶν Λευΐ ὁ πρῶτος † Γεσὼν ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων ὠνόμασται ἀντὶ τοῦ Γηρσών, ὁμώνυμος τυγχάνων τῷ πρωτοτόκῳ Μωσέως, ἑκατέρων διὰ τὴν παροικίαν ἐν γῇ ἀλλοτρίᾳ γεννηθέντων τοῦ ὀνόματος ἑτοίμως
214 κειμένου. πάλιν τῷ Ἰούδᾳ παρ' ἡμῖν μὲν ὁ δεύτερος Αὐνὰν εἶναι λέγεται, παρὰ δὲ Ἑβραίοις Ὠνάν ἐστι, ›πόνος αὐτῶν‹. πρὸς τούτοις ἐν ταῖς ἀπάρσεσιν τῶν υἱῶν Ἰσραὴλ ἐν τοῖς Ἀριθμοῖς εὕρομεν ὅτι »Ἀπῆραν ἐκ Σοχὼθ καὶ παρενέβαλον εἰς Βουθάν«· τὸ δὲ Ἑβραϊκὸν
215 ἀντὶ Βουθὰν † »Αἰμὰν« λέγει. καὶ τί με δεῖ διατρίβοντα πλείονα πα-

3 Vgl. Griesbach, op. acad. I, 269, n. 2. — 5 Vgl. Matth. 8, 28 ff. Mark. 5, 1 ff. Luk. 8, 26 ff. — 17 Vgl. Lagarde, Onom. s. p. 202, 61 *Γέργεσα παροικία ἐκβεβλημένος*, vgl. 189, 10. Vgl. u. X, 12. — 27 Vgl. Exod. 6, 16. Num. 3, 17. — 28 Vgl. Exod. 2, 22. — 30 Vgl. Gen. 46, 12. — 33 Vgl. Num. 33, 6.

2 *συνιέναι*] *συνεῖναι*, corr. Hu | 14 ⟨ἡ⟩ + Hu | 20 *χοίρων*] *χορίων* Ferrarius | 27 statt *Γεσών* ist *Γεδσών* zu schreiben, wie ABF Num. 3, 17. 26, 57 und B auch Exod. 6, 16 lesen | 28 *Γηρσών* haben ABF Gen. 46, 11 | 29 *ἐτύμως*? | 34 *Αἰμάν* schwerlich richtig; der Hebr. hat אֵיתָם = *Αἰθάμ*.

Digitized by Google

ρατίθεσθαι, παρόντος τῷ βουλομένῳ τοῦ ἐξετάζειν καὶ γινώσκειν τὰ κατὰ τὰ ὀνόματα ἀληθῆ; μάλιστα δὲ ὑποπτευτέον τοὺς τόπους τῶν γραφῶν, ἔνθα κατάλογός ἐστιν ἅμα ὀνομάτων πλειόνων, ὡς ἐν τῷ Ἰησοῦ τὰ περὶ τῆς κληροδοσίας, καὶ ἐν τῇ πρώτῃ τῶν Παραλειπομένων ἀρχῆθεν ἑξῆς μέχρι τῶν ἐγγύς που περὶ τὸν Ἀνάν· ὁμοίως δὲ
142 R καὶ ἐν τῷ Ἔσδρᾳ. καὶ οὐ καταφρονητέον τῶν ὀνομάτων, πραγμάτων 216
σημαινομένων ἀπ᾽ αὐτῶν χρησίμων τῇ τῶν τόπων ἑρμηνείᾳ. οὐκ εὔκαιρον δὲ νῦν τὸν περὶ τῆς θεωρίας τῶν ὀνομάτων ἐξετάσαι λόγον, ἀφέμενον τῶν προκειμένων.

XLII. (25) Ἴδωμεν τοίνυν τὰ τῆς εὐαγγελικῆς λέξεως. Ἰορδάνης 217
μὲν ἑρμηνεύεται »Κατάβασις αὐτῶν«. τούτῳ δέ, ἵν᾽ οὕτως εἴπω, γειτνιᾷ τὸ ὄνομα τοῦ Ἰαρέδ, ὃ καὶ αὐτὸ ἑρμηνεύεται »Καταβαίνων«, ἐπειδήπερ γεγένηται τῷ Μαλελεήλ, ὡς ἐν τῷ Ἐνὼχ γέγραπται, εἷ τῳ φίλον παραδέχεσθαι ὡς ἅγιον τὸ βιβλίον, ταῖς ἡμέραις τῆς τῶν υἱῶν τοῦ θεοῦ καταβάσεως ἐπὶ τὰς θυγατέρας τῶν ἀνθρώπων· ἥντινα κατάβασιν αἰνίσσεσθαί τινες ὑπειλήφασιν τὴν τῶν ψυχῶν κάθοδον ἐπὶ τὰ σώματα, θυγατέρας ἀνθρώπων τροπικώτερον τὸ γήϊνον σκῆνος λέγεσθαι ὑπειληφότες. εἰ δὲ τοῦθ᾽ οὕτως ἔχει, τίς ἂν εἴη 218
ποταμὸς »κατάβασις αὐτῶν«, ἐφ᾽ ὃν ἐρχόμενον καθαίρεσθαι δεῖ οὐκ ἰδίαν κατάβασιν καταβεβηκότα, ἀλλὰ τὴν τῶν ἀνθρώπων, ἢ ὁ σωτὴρ ἡμῶν διορίζων τοὺς ὑπὸ Μωσέως κληροδοτουμένους ἀπὸ τῶν διὰ Ἰησοῦ τὰς οἰκείους ἀπολαμβανόντων μερίδας; τούτου δὴ τοῦ [διὰ τοῦ] 219
καταβεβηκότος ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσιν, ὡς ἐν ψαλμοῖς εὕρομεν, τὴν πόλιν τοῦ θεοῦ, ⟨οὐ⟩ τὴν αἰσθητὴν Ἱερουσαλήμ (οὐ γὰρ ἔχει παρακείμενον ποταμόν), ἀλλὰ τὴν ἄμωμον τοῦ θεοῦ ἐκκλησίαν,
168 v οἰκοδομουμένην »ἐπὶ τῷ θεμελίῳ | τῶν ἀποστόλων καὶ τῶν προφη-
»τῶν, ὄντος ἀκρογωνιαίου Χριστοῦ Ἰησοῦ« τοῦ κυρίου ἡμῶν. Ἰορδά- 220
133 H νην μέντοι γε νοητέον ⟨τὸν⟩ τοῦ θεοῦ λόγον τὸν γενόμενον σάρκα καὶ σκηνώσαντα ἐν ἡμῖν, Ἰησοῦν δὲ τὸν κληροδοτήσαντα ὃ ἀνείληφεν ἀνθρώπινον, ὅπερ ἐστὶν καὶ »ἀκρογωνιαῖος λίθος«, ὃς καὶ αὐτὸς ἐν τῇ θεότητι τοῦ υἱοῦ τοῦ θεοῦ γενόμενος τῷ ἀνειλῆφθαι ὑπ᾽ αὐτοῦ

4 Vgl. I Chron. 9, 44. — **11** Vgl. Lagarde, Onom. sacr.² p. 206, 70. (Armen. Onom.: Jordan: Herabkunft des Herrn.) — **12** Vgl. Lagarde, Onom. 5. p. 167, 36 Ἰαρετ: καταβαίνων (sonst κατάβασις p. 177, 70. 192, 93, ebenso das Armen. Onom.) p. 64, 30: Jared: descendens. — Vgl. Henoch 37, 1. — **15** Vgl. Gen. 6, 2. Henoch 7, 1ff. 86, 1ff. — **16** Vgl. Hilgenfeld, Ketzergesch. 217ff. Philo II S. 44 We. — **23** Ps. 45, 5. — **26** Ephes. 2, 20. — **28** Vgl. Joh. 1, 14. — **30** Vgl. I Petr. 2, 6.

4 κληρονομίας M* | **5** περὶ] ὑπὲρ, corr. Pr | Ἀνάν] Λαυ, corr. Pr. Die Namenlisten hören I Chron. 9, 44 mit Ἀνάν auf | **6** Ἔσδρα] σδ a. Ras. | **18** δὲ] δὴ, corr. Pr | **22** διὰ τοῦ str. als Dittogr. We | **24** ⟨οὐ⟩ + Hu | **28** ⟨τὸν⟩ + V | **30** ἀκρογωνιαῖον, corr. V | ὃς] δ M, corr. We.

Digitized by Google

λούεται, καὶ τότε χωρεῖ τὴν ἀκέραιον καὶ ἄδολον περιστερὰν τοῦ πνεύματος, συνδεδεμένην αὐτῷ καὶ μηκέτι ἀποπτῆναι δυναμένην· »Ἐφ' ὅν, γάρ φησιν, ἐὰν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' »αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ«, διὰ τοῦτο λαβὼν τὸ πνεῦμα μένον ἐπ' αὐτόν, ἵν' ἐν αὐτῷ μείναντι βαπτίζειν τοὺς
221 ἐρχομένους αὐτῷ δυνηθῇ. »πέραν δὲ τοῦ Ἰορδάνου«, κατὰ τὰ ἔξω τῆς Ἰουδαίας νεύοντα κλίματα ἐν τῇ Βηθαβαρᾷ, βαπτίζει ὁ Ἰωάννης, πρόδρομος ὢν τοῦ ἐληλυθότος καλέσαι οὐ »δικαίους ἀλλὰ ἁμαρτω- 143R
λούς«, διδάσκοντος μὴ χρείαν ἔχειν τοὺς ἰσχύοντας ἰατρῶν ἀλλὰ τοὺς κακῶς ἔχοντας· καὶ γὰρ »εἰς ἄφεσιν ἁμαρτιῶν« τὸ λουτρὸν δίδοται.
222 XLIII. (26) Εἰκὸς δέ τινα τὰς διαφόρους ἐπινοίας τοῦ σωτῆρος μὴ νενοηκότα προσκόψειν τῇ ἀποδοθείσῃ περὶ τοῦ Ἰορδάνου ἑρμηνείᾳ, διὰ τὸ λέγειν τὸν Ἰωάννην· »Ἐγὼ βαπτίζω ἐν ὕδατι, ὁ δὲ ἐρχόμενος »μετ' ἐμὲ ἰσχυρότερός μού ἐστιν, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι
223 »ἁγίῳ«. πρὸς ὃν λεκτέον ὅτι ὥσπερ ποτὸν τυγχάνων ὁ τοῦ θεοῦ λόγος οἷς μέν ἐστιν ὕδωρ, ἑτέροις δὲ οἶνος εὐφραίνων καρδίαν ἀνθρώπου, ἄλλοις δὲ αἷμα διὰ τὸ »Ἐὰν μὴ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε »ζωὴν ἐν ἑαυτοῖς«· ἀλλὰ καὶ τροφὴ λεγόμενος οὐ κατὰ τὸ αὐτὸ νοεῖται ἄρτος ζῶν καὶ σάρξ· οὕτως ὁ αὐτός ἐστιν βάπτισμα ὕδατος
224 καὶ πνεύματος καὶ πυρός, τισὶν δὲ καὶ αἵματος. περὶ δὲ τοῦ τελευταίου βαπτίσματος, ὥς τινές ⟨φασιν⟩, φησὶν ἐν τῷ »Βάπτισμα δὲ »ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως ὅτου τελεσθῇ«; τούτῳ τε συμφώνως ἐν τῇ ἐπιστολῇ ⟨ὁ⟩ μαθητὴς Ἰωάννης τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα ἀνέγραψεν τὰ τρία εἰς ἓν γινόμενα. καὶ ὁδός δέ που καὶ θύρα εἶναι ὁμολογῶν, σαφής ἐστιν μηδέπω τυγχάνων θύρα
225 ᾧ ἔτι ὁδός ἐστιν, καὶ μηκέτι ὁδὸς ᾧ ἤδη θύρα. πάντες οὖν οἱ στοιχειούμενοι τῇ ἀρχῇ τῶν λογίων τοῦ θεοῦ, τῇ φωνῇ τοῦ ἐν τῇ ἐρήμῳ βοῶντος· »Εὐθύνατε τὴν ὁδὸν κυρίου« προσιόντες, »πέραν τοῦ Ἰορ- »δάνου« τυγχανούσῃ παρὰ τῷ ›οἴκῳ τῆς κατασκευῆς‹, εὐτρεπιζέσθωσαν πρὸς τὸ δυνηθῆναι διὰ τῆς προετοιμασίας χωρῆσαι τὸν πνευμα-
226 τικὸν λόγον ἐγγινόμενον διὰ τοῦ φωτισμοῦ τοῦ | πνεύματος. ἐχομένως 169r
δὴ τοῦ προκειμένου τὰ περὶ τοῦ Ἰορδάνου συνάγοντες ἀκριβέστερον 134H
τὸν ποταμὸν νοήσομεν. ὁ θεὸς τοίνυν διὰ Μωσέως διαβιβάζει τὸν

3 Joh. 1, 33. — 6 Joh. 1, 28. — 8 Vgl. Matth. 9, 13. — 9 Vgl. Matth. 9, 12. — 10 Vgl. Mark. 1, 4. — 13 Matth. 3, 11. — 15 Joh. 4, 1 ff. — 16 Vgl. Ps. 103, 15. — 17 Joh. 6, 53. — 19 Vgl. Joh. 6, 51. 53. — 20 Vgl. Luk. 3, 16. — 21 Luk. 12, 50. — 23 Vgl. I Joh. 5, 8. — 24 Vgl. Joh. 14, 6. — 25 Vgl. Joh. 10, 7. — 27 Vgl. Hebr. 5, 12. — 28 Joh. 1, 23. — Joh. 1, 28.

6 ⟨προσ⟩ερχομένους? We | 7 βηθαραβα | 16 ἀνθρώπου] ου a. Ras. | 18 κατὰ] τὰ a. Ras. | τὸ] τὰ, corr. V | αὐτονοεῖται | 21 ⟨φασιν⟩ + Pr | 23 ⟨ὁ⟩ + V | 26 ἤδη] δὴ, corr. Br.

Digitized by Google

λαὸν τὴν ἐρυθρὰν θάλασσαν, αὐτὸ τὸ ὕδωρ αὐτοῖς ποιήσας τεῖχος ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, διὰ δὲ τοῦ Ἰησοῦ[2] τὸν Ἰορδάνην.

XLIV. Ἐντυχὼν δὲ τῇ γραφῇ ὁ Παῦλος, οὐκέτι κατὰ τὴν σάρκα 227
στρατευόμενος αὐτῆς (ᾔδει γὰρ ὅτι »ὁ νόμος πνευματικός ἐστιν«)
πνευματικῶς διδάσκει ἡμᾶς ἐξειληφέναι τὰ τῆς κατὰ τὴν ἐρυθρὰν
θάλασσαν διόδου λέγων ἐν τῇ πρὸς Κορινθίους προτέρᾳ· »Οὐ θέλω
»γὰρ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν
»νεφέλην ἦσαν καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς
»τὸν Μωυσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ
144 R »πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον καὶ πάντες τὸ † πνευ-
»ματικὸν ἔπιον πόμα· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέ-
»τρας· ἡ πέτρα δὲ ἦν ὁ χριστός«. οἷς ἀκολούθως καὶ ἡμεῖς αἰτήσωμεν 228
λαβεῖν ἀπὸ τοῦ θεοῦ τὸ νοῆσαι πνευματικῶς τὴν διὰ Ἰησοῦ δίοδον
τοῦ Ἰορδάνου, λέγοντες ὅτι εἶπεν ἂν καὶ περὶ ταύτης ὁ Παῦλος· οὐ
θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες διὰ τοῦ
Ἰορδάνου διῆλθον, καὶ πάντες εἰς τὸν Ἰησοῦν ἐβαπτίσαντο ἐν τῷ
πνεύματι καὶ τῷ ποταμῷ. τύπος δὲ ὁ διαδεξάμενος ἦν Μωσῆν Ἰησοῦς 229
τοῦ διαδεξαμένου τὴν διὰ τοῦ νόμου οἰκονομίαν τῷ εὐαγγελικῷ κη-
ρύγματι Ἰησοῦ τοῦ χριστοῦ· διόπερ εἰ καὶ πάντες ἐκεῖνοι εἰς Μωσῆν
βαπτίζονται ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, πικρὸν μέν τι ἔχει
καὶ ἁλμυρὸν τὸ ἐκείνων βάπτισμα, ἔτι φοβουμένων τοὺς ἐχθροὺς
[παρ'] αὐτῶν, καὶ ἀναβοώντων πρὸς τὸν κύριον καὶ τῷ Μωσῇ λε-
γόντων· »Παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν Αἰγύπτῳ ἐξήγαγες ἡμᾶς
»θανατῶσαι ἐν τῇ ἐρήμῳ· τί τοῦτο ἐποίησας ἡμῖν, ἐξαγαγὼν ἐξ
»Αἰγύπτου«; τὸ δὲ εἰς Ἰησοῦν βάπτισμα ἐν τῷ ἀληθῶς γλυκεῖ καὶ 230
ποτίμῳ ποταμῷ πολλὰ ἔχει παρ' ἐκεῖνο ἐξαίρετα, ἤδη τρανουμένης
καὶ πρέπουσαν τάξιν λαμβανούσης τῆς θεοσεβείας· κιβωτὸς γὰρ τῆς
διαθήκης κυρίου τοῦ θεοῦ ἡμῶν καὶ ἱερεῖς καὶ Λευῖται προπορεύον-
ται, τοῦ λαοῦ ἑπομένου τοῖς θεραπευταῖς τοῦ θεοῦ, κἀκείνου δὲ τοῖς
χωροῦσιν τὴν περὶ ἁγνείας ἐντολήν. Ἰησοῦς δὲ λέγει τῷ λαῷ· »Ἀγ-
»νίσασθε εἰς τὴν αὔριον, ποιήσει ἐν ἡμῖν κύριος θαυμάσια«. καὶ τοῖς 231
ἱερεῦσι μετὰ τῆς κιβωτοῦ τῆς διαθήκης κελεύει προπορεύεσθαι ἔμ-
προσθεν τοῦ λαοῦ, ὅτε καὶ τὸ μυστήριον τῆς τοῦ πατρὸς πρὸς τὸν

1 Vgl. Exod. 14, 22. — 2 Vgl. Jos. 3. — 3 Vgl. II Kor. 10, 3. — 4 Vgl. Röm. 7, 14. — 6 I Kor. 10, 1—4. — 23 Exod. 14, 11. — 27 Vgl. Jos. 3, 1 ff. — 30 Jos. 3, 5.

10 nach τὸ[2] ist wohl mit V αὐτὸ einzuschieben; vgl. C. Cels. IV, 49 [I, 322, 26 K.] in Mt. XVI, 4 [IV, 12, 16 L.] | 22 [παρ'] str. We | 26 ἔχειν, ν viell. von I Hd. gestr. | 29 τοῖς[2] τῷ, corr. V, in dem κἀκείνου zum Vorhergehenden gezogen wird und mit τοῖς δὲ χωροῦσι . . . Ἰησοῦς λέγειν τῷ λαῷ ein neuer Satz beginnt | κἀκείνου] καὶ Ἰησοῦ? We.

Digitized by Google

υἱὸν οἰκονομίας ἐμφαίνεται, ὑπερυφούμενον ὑπ' αὐτοῦ διδόντος χάρισμα »Ἵν' ἐν τῷ ὀνόματι Ἰησοῦ | πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ 169v
»ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι
232 »κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός«. διὰ γὰρ τούτων 135H
δηλοῦται ἐν τῷ Ἰησοῦ ἀναγεγραμμένων ταῦτα· »Καὶ εἶπεν κύριος 5
»πρὸς Ἰησοῦν· Ἐν τῇ ἡμέρᾳ ταύτῃ ἄρξομαί ὑψῶσαί σε κατενώπιον
»τῶν υἱῶν Ἰσραήλ«. καὶ ἀκουστέον τοῦ κυρίου ἡμῶν Ἰησοῦ λέγοντος
τοῖς υἱοῖς Ἰσραήλ· »Προσαγάγετε ὧδε καὶ ἀκούσετε τὸ ῥῆμα κυρίου
»τοῦ θεοῦ ἡμῶν· ἐν τούτῳ γνώσεσθε, ὅτι θεὸς ζῶν ἐν ὑμῖν ἐστιν«·
ἐν γὰρ τῷ βαπτίσασθαι εἰς Ἰησοῦν γνωσόμεθα ὅτι θεὸς ζῶν ἐν 10
ἡμῖν ἐστιν.

233 XLV. Κἀκεῖ μὲν τὸ πάσχα ποιήσαντες ἐν Αἰγύπτῳ ἀρχὴν τῆς
ἐξόδου ποιοῦνται· παρὰ δὲ τῷ Ἰησοῦ μετὰ τὴν δίοδον τοῦ Ἰορδάνου,
τῇ δεκάτῃ τοῦ πρώτου μηνὸς κατεστρατοπέδευσαν ἐν Γαλγάλοις, ὅτε 145R
πρῶτον ἔδει λαβόντα τὸ πρόβατον ἐπονομάσαι τοὺς εὐωχηθησομένους 15
μετὰ τὸ Ἰησοῦ βάπτισμα. καὶ τῇ ἀκροτόμῳ πέτρᾳ ὑπὸ Ἰησοῦ οἱ υἱοὶ
Ἰσραήλ, ὅσοι ποτὲ ἀπερίτμητοι ἦσαν τῶν ἐξεληλυθότων ἐξ Αἰγύπτου,
περιτέμνονται· τὸν δὲ ὀνειδισμὸν τῆς Αἰγύπ⟨του⟩ ἀφελεῖν κύριος ὁμο-
λογεῖ τῇ ἡμέρᾳ τοῦ εἰς Ἰησοῦν βαπτίσματος, ὅτε Ἰησοῦς περιεκάθαιρεν
234 τοὺς υἱοὺς Ἰσραήλ. γέγραπται γάρ· »Καὶ εἶπεν κύριος τῷ Ἰησοῦ υἱῷ 20
»Ναυῆ· Ἐν τῇ σήμερον ἡμέρᾳ ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ'
»ὑμῶν«. τότε ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πάσχα τῇ τεσσαρεσκαιδε-
κάτῃ ἡμέρᾳ τοῦ μηνός, πολλῷ τοῦ ἐν Αἰγύπτῳ ἱλαρώτερον, ὅτε καὶ
ἔφαγον ἀπὸ τοῦ σίτου τῆς ἁγίας γῆς ἄζυμα καὶ νέα, τροφὴν τοῦ μάννα
235 κρείττονα. οὐ γὰρ ὅτε τὴν κατ' ἐπαγγελίαν γῆν ἀπειλήφασιν τοῖς 25
ἐλάττοσιν αὐτοὺς ἑστιᾷ θεός, οὐδὲ διὰ τοῦ τηλικούτου Ἰησοῦ ὑπο-
δεεστέρου ἄρτου τυγχάνουσιν. τοῦτ' ἔσται σαφὲς τῷ τὴν ἀληθῆ ἁγίαν
νοήσαντι γῆν καὶ τὴν ἄνω Ἱερουσαλήμ. διὰ τοῦτο καὶ ἐν τῷ αὐτῷ εὐ-
236 αγγελίῳ κεῖται· »Οἱ πατέρες ἐν τῇ ἐρήμῳ ἔφαγον τὸ μάννα καὶ
»ἀπέθανον· ὁ φαγὼν τοῦτον τὸν ἄρτον ζήσει εἰς τὸν αἰῶνα«. τὸ 30
μὲν γὰρ μάννα, εἰ καὶ ἀπὸ τοῦ θεοῦ διδόμενος, ἄρτος ἦν προκοπῆς,
ἄρτος τοῖς ἔτι παιδαγωγουμένοις χορηγούμενος, ἄρτος τοῖς ὑπὸ ἐπι-
τρόπους καὶ οἰκονόμους ἁρμονιώτατος. ὁ δὲ ἐν τῇ ἁγίᾳ γῇ νέος ἀπὸ
τοῦ σίτου τῆς γῆς Ἰησοῦ προξενοῦντος θεριζόμενος, ἄλλων μὲν

2 Phil. 2, 10f. — 5 Jos. 3, 7. — 8 Jos. 3, 9f. — 12 Vgl. Exod. 12, 3ff. — 14 Vgl. Jos. 4, 19f. — 16 Vgl. Jos. 5, 2ff. — 20 Jos. 5, 9. — 22 Vgl. Jos. 5, 10. — 29 Joh. 6, 49. 51. — 32 Vgl. Gal. 4, 2.

1 υἱὸν] Ἰησοῦν (ῑν), corr. V | 3 ἐξομολογήσεται, corr. Hu | 6 Ἰησοῦ (ῑ̄), corr. V | 15 τὸ πρόβατον] wohl τὸν ἀκρόβυστον, vgl. Jos. 5, 2ff. | 17 ὁποιποτε, corr. V | αἰγυπ M, corr. V | 24 τροφὴν] τροφῇ, corr. V | 27 τοῦτ'] τὸ τ', corr. Br.

Digitized by Google

κεκοπιακότων, τῶν δὲ μαθητῶν αὐτοῦ θεριζόντων, ἄρτος ἦν ἐκείνου ζωτικώτερος, τοῖς τὴν πατρῴαν κληρονομίαν διὰ τὴν τελειότητα [δεῖ] ἀπολαβεῖν δυναμένοις ἀποδιδόμενος. διόπερ ὁ μὲν ἐκείνῳ ἔτι παι- 237
δευόμενος τῷ ἄρτῳ † τὸ λόγῳ θάνατον δέξασθαι δύναται, ὁ δὲ
5 φθάσας ἐπὶ τὸν μετ' ἐκεῖνον ἄρτον φαγὼν αὐτὸν ζήσεται εἰς τὸν
170r αἰῶνα. | ταῦτα δὲ πάντα οὐκ ἀκαίρως οἶμαι παρατεθεῖσθαι, τοῦ παρὰ
136H τῷ Ἰορδάνῃ βαπτίσματος, ἐν Βηθαβαρᾷ ὑπὸ Ἰωάννου γινομένου, ἐξεταζομένου.

XLVI. (27) Ἔτι δὲ καὶ τοῦτο παρατηρητέον, ὅτι μέλλων ἀνα- 238
10 λαμβάνεσθαι Ἠλίας ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν, λαβὼν τὴν μηλωτὴν αὐτοῦ καὶ εἰλήσας ἐπάταξεν τὸ ὕδωρ, ὅπερ διῃρέθη ἔνθα καὶ ἔνθα, καὶ διέβησαν ἀμφότεροι, δηλονότι αὐτὸς καὶ ὁ Ἐλισαῖος· ἐπιτηδειότερος γὰρ πρὸς τὸ ἀναληφθῆναι γεγένηται ἐν τῷ Ἰορδάνῃ βαπτισάμενος, ἐπεὶ τὴν δι' ὕδατος παραδοξοτέραν διάβασιν βάπτισμα,
146R ὡς προπαρεθέμεθα, ὠνόμασεν ὁ Παῦλος. διὰ τὸν αὐτὸν δὴ τοῦτον 239
Ἰορδάνην χωρεῖ ὃ βεβούληται χάρισμα διὰ Ἠλίου ὁ Ἐλισαῖος λαβεῖν, εἰπών· »Γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ' ἐμέ«. καὶ τάχα διὰ τοῦτο διπλοῦν ἔλαβεν τὸ χάρισμα ἐν πνεύματι Ἠλίου ἐφ' ἑαυτόν, ἐπεὶ δὶς διῆλθεν τὸν Ἰορδάνην, ἅπαξ μὲν μετὰ τοῦ Ἠλίου, δεύτερον
20 δὲ ὅτε λαβὼν τὴν μηλωτὴν τοῦ Ἠλίου ἐπάταξεν τὸ ὕδωρ, καὶ εἶπεν »Ποῦ ὁ Θεὸς Ἠλίου ἀφφώ; καὶ ἐπάταξεν τὰ ὕδατα καὶ διεῖλεν ἔνθα »καὶ ἔνθα«. (28) ἐὰν δέ τις προσκόπτῃ τῷ »Ἐπάταξεν τὸ ὕδωρ« 240
διὰ τὰ παραδεδομένα ἡμῖν περὶ τοῦ Ἰορδάνου, ὃς τύπος ἦν τοῦ τὴν κατάβασιν ἡμῶν καταβάντος λόγου, λεκτέον ὅτι παρὰ τῷ ἀποστόλῳ
25 σαφῶς ἡ πέτρα Χριστὸς ἦν, ἥτις τῇ ῥάβδῳ δὶς πλήσσεται, ἵνα δυνηθῶσιν πιεῖν ἀπὸ τῆς »πνευματικῆς ἀκολουθούσης πέτρας«. ἔστιν οὖν τις 241
καὶ ἀγαπώντων πληγὴ ἐν τῇ ἐπαπορήσει πρὶν μαθεῖν τὸ ζητούμενον τὰ ἐναντία προφερομένων τῷ τοῦ λόγου συμπεράσματι, ὧν ἀπαλλάττων ἡμᾶς ὁ θεὸς ὅπου μὲν διψῶσιν δίδωσιν ποτόν, ὅπου δὲ τὸ ἄβα⟨τον⟩
30 ἡμῖν καὶ ἀχώρητον διὰ τὸ βάθος διοδευτὸν τῇ διαιρέσει τοῦ λόγου παρασκευάζει, τῶν πλείστων τῷ διαιρετικῷ λόγῳ ἡμῖν σαφηνιζομένων.

XLVII. Ἔτι δὲ εἰς τὸ παραδέξασθαι τὴν περὶ τοῦ ποτιμωτάτου 242
καὶ χαριστικωτάτου Ἰορδάνου ἑρμηνείαν, χρήσιμον παραθέσθαι τόν τε ἀπὸ τῆς λέπρας καθαριζόμενον Ναιμὰν τὸν Σύρον, καὶ τὰ λεγό-

1 Vgl. Joh. 4, 38. — **4** Vgl. Joh. 6, 49. — **5** Vgl. Joh. 6, 50ff. — **10** Vgl. II Kön. 2, 1. 8. — **14** Vgl. I Kor. 10, 2. — **15** Vgl. S. 153, 3ff. — **17** II Kön. 2, 9. — **19** Vgl. II Kön. 2, 14. — **23** Vgl. S. 151, 27. — **25** Vgl. I Kor. 10, 4. (Exod. 17, 5ff.).

1 κεκοπιακότων] κεκληκότων, corr. V | **2** δεῖ < V | **3.** ἐκεῖνα, corr. Br | ἔτι] ἐπι M, corr. V | **4** τὸ λόγῳ ist verderbt; τῷ λογικῷ We | **7** βηθάρα | **14** ἐπεὶ] ἐπὶ M, corr. V | **25** δὶς viell. als Dittogr. z. str., weil in dem Text Exod. 17, 5ff. davon nichts steht | **29** ἄβατον] ἄβα, corr. V.

Digitized by Google

243 μενα περὶ τῶν παρὰ τοῖς πολεμίοις τῆς θεοσεβείας ποταμῶν. περὶ
μὲν οὖν Ναιμὰν γέγραπται ὅτι »Ἦλθεν ἐν ἵππῳ καὶ ἅρματι, καὶ ἔστη
»ἐπὶ θύραις οἴκου Ἐλισαιέ. καὶ ἀπέστειλεν Ἐλισαιὲ ἄγγελον πρὸς
»αὐτὸν λέγων· Πορευθεὶς λοῦσαι ἑπτάκις ἐν τῷ Ἰορδάνῃ, καὶ ἐπιστρέψει
»ἡ σάρξ σού σοι καὶ καθαρισθήσῃ«. ὅτε καὶ θυμοῦται Ναιμάν, οὐ νοῶν
ὅτι ὁ Ἰορδάνης ἡμῶν ἐστιν ὁ ἀπολύων τοὺς διὰ τὴν λέπραν ἀκαθάρ-
τους τῆς ἀκαθαρσίας καὶ ἰώμενος, οὐχὶ δὲ ὁ προφήτης· προφήτου
244 γὰρ ἔργον πέμψαι ἐπὶ τὸ θεραπεῦον. μὴ συνιεὶς τοίνυν τὸ τοῦ Ἰορ-
δάνου | μέγα μυστήριον ὁ Ναιμάν φησιν· »Ἰδοὺ δὴ ἔλεγον ὅτι πάν- 170v 137 H
»τως ἐξελεύσεται πρὸς μὲ καὶ στήσεται καὶ ἐπικαλέσεται ἐν ὀνόματι
»κυρίου θεοῦ αὐτοῦ καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν τόπον καὶ
»ἀποσυνάξει τὸ λεπρόν«. τὸ γὰρ ἐπιθεῖναι τὴν χεῖρα λέπρᾳ καὶ
καθαρίσαι μόνου τοῦ κυρίου μου Ἰησοῦ ἔργον ἦν, οὐ μόνον εἰπόντος
τῷ μετὰ πίστεως ἀξιώσαντι »Ἐὰν θέλῃς δύνασαί με καθαρίσαι« τὸ
»Θέλω, καθαρίσθητι«· πρὸς γὰρ τῷ λόγῳ καὶ ἥψατο αὐτοῦ, καὶ 147 R
245 ἐκαθαρίσθη ἀπὸ τῆς λέπρας αὐτοῦ. ἔτι δὴ πλανώμενος ὁ Ναιμὰν
καὶ οὐχ ὁρῶν ὅσον ἀπολείπονται οἱ ἕτεροι τοῦ Ἰορδάνου ποταμοὶ
πρὸς θεραπείαν τῶν πεπονθότων, ἐπαινεῖ τοὺς τῆς Δαμασκοῦ ποτα-
μούς, Ἀβανὰ καὶ Φαρφά, λέγων· »Οὐχὶ ἀγαθὸς Ἀβανὰ καὶ Φαρφά,
»ποταμοὶ Δαμασκοῦ, ὑπὲρ πάντα τὰ ὕδατα Ἰσραήλ; οὐχὶ πορευθεὶς
»λούσομαι ἐν αὐτοῖς καὶ καθαρισθήσομαι;« ὥσπερ γὰρ οὐδεὶς ἀγαθὸς
εἰ μὴ εἷς ὁ θεὸς ὁ πατήρ, οὕτως ἐν ποταμοῖς οὐδεὶς ἀγαθὸς εἰ μὴ ὁ
Ἰορδάνης καὶ λέπρας ἀναλλάξαι δυνάμενος τὸν μετὰ πίστεως τὴν
246 ψυχὴν λουόμενον εἰς τὸν Ἰησοῦν. οἶμαι δὲ διὰ τοῦτον κλαίειν ἀνα-
γεγράφθαι παρὰ τοῖς Βαβυλῶνος ποταμοῖς καθεζομένους τοὺς μνησθέν-
τας τῆς Σιών· ἄλλων γὰρ ὑδάτων γευσάμενοι μετὰ τὸν ἅγιον Ἰορ-
δάνην οἱ διὰ τὴν κακίαν αἰχμαλωτευθέντες εἰς ὑπόμνησιν καὶ πόθον
ἔρχονται τοῦ οἰκείου καὶ σωτηρίου ποταμοῦ. διόπερ ἐπὶ τῶν ποταμῶν
Βαβυλῶνός φασιν· »Ἐκεῖ ἐκαθίσαμεν«, δηλονότι διὰ τὸ μὴ δύνασθαι
247 στῆναι, »καὶ ἐκλαύσαμεν«. καὶ ὁ Ἱερεμίας δὲ ἐπιπλήσσει τοῖς θέλου-
σιν Αἰγύπτιον ὕδωρ πιεῖν καὶ καταλείπουσιν τὸ ἐξ οὐρανοῦ κατα-
βαῖνον καὶ ἐπώνυμον »Τῆς καταβάσεως« τυγχάνον, τὸν Ἰορδάνην, λέγων·
»Τί σοι καὶ τῇ ὁδῷ Αἰγύπτου τοῦ πιεῖν ὕδωρ Γηών, καὶ τοῦ πιεῖν
»ὕδωρ ποταμῶν«; ἢ ὡς τὸ Ἑβραϊκὸν ἔχει »τοῦ πιεῖν ὕδωρ Σιών«·
περὶ οὗ οὐ νῦν πρόκειται λέγειν.

3 II Kön. 5, 9f. — 9 II Kön. 5, 11. — 14 Matth. 8, 2f. — 19 II Kön. 5, 12. — 21 Vgl. Mark. 10, 18. — 25 Vgl. Ps. 136, 1. — 33 Jer. 2, 18.

5 καθαρισθήσῃ] καθαρισθῇ, corr. V | 25 παρὰ] πᾶσι, corr. We, ⟨ἐπὶ⟩ πάντας τοὺς V | 26. 34 Σιών] σειών, corr. Pr (vgl. Field, Hexapla II, 576b, wonach οἱ λοιποί: Σιών lasen; ebenso Syro-hex.) | 27 πόθον] πόθεν, corr. V | 29 φησιν, corr. We | 32 τυγχάνων, corr. V | 35 οὗ] τοῦ M, corr. V | οὐ νῦν a. Ras.

Digitized by Google

XLVIII. (29) *Ὅτι δὲ οὐ περὶ αἰσθητῶν ποταμῶν ὁ προηγούμενος* 248
λόγος ἐστὶν τῷ ἐν ταῖς θεοπνεύστοις γραφαῖς λαλοῦντι πνεύματι καὶ
ἀπὸ τῶν ἐν τῷ Ἐζεκιὴλ ἐπὶ Φαραώ, βασιλέα Αἰγύπτου, προφητευο-
μένων ἔστιν ἰδεῖν οὕτως ἐχόντων· »Ἰδού, ἐγὼ ἐπὶ σὲ Φαραώ, βασιλεῦ
5 *»Αἰγύπτου, τὸν δράκοντα τὸν μέγαν τὸν ἐγκαθήμενον ἐν μέσῳ πο-*
»ταμῶν αὐτοῦ, λέγοντα· Ἐμοί εἰσιν οἱ ποταμοί, καὶ ἐγὼ ἐποίησα
»αὐτούς. καὶ ἐγὼ δώσω παγίδας εἰς τὰς σιαγόνας σου, καὶ προσκολ-
»λήσω τοὺς ἰχθύας τοῦ ποταμοῦ πρὸς τὰς πτέρυγάς σου, καὶ ἀνάξω
»σε ἐκ μέσου ⟨τοῦ⟩ ποταμοῦ σου καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ,
148R *»καὶ καταβαλῶ σε ἐν τάχει καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ·* |
171r *»ἐπὶ † προσώπου τοῦ πεδίου σου πέσῃ καὶ οὐ μὴ συναχθῇς καὶ οὐ*
»μὴ περισταλῇς«. ποῖος γὰρ σωματικὸς δράκων ἐν τῷ σωματικῷ 249
138H *τῆς Αἰγύπτου ποταμῷ ὀφθεὶς ἱστόρηταί ποτε; ἀλλὰ μήποτε χωρίον*
ἐστὶν τοῦ ἐχθροῦ ἡμῶν δράκοντος ὁ τῆς Αἰγύπτου ποταμὸς ⟨ὁ⟩ μηδὲ
15 *παιδίον ἀποκτεῖναι Μωσέα δυνηθείς. ὥσπερ δὲ δράκων ἐν τῷ Αἰγυπ-*
τίῳ ἐστὶν ποταμῷ, οὕτως ὁ θεὸς ἐν τῷ εὐφραίνοντι τὴν πόλιν τοῦ
θεοῦ ποταμῷ· ὁ πατὴρ γὰρ ἐν τῷ υἱῷ. διὰ τοῦτο οἱ γινόμενοι ἐν 250
αὐτῷ ἐπὶ τῷ λούσασθαι, τὸν ὀνειδισμὸν ἀποτίθενται τῆς Αἰγύπτου,
καὶ ἐπιτηδειότεροι πρὸς τὸ ἀναλαμβάνεσθαι γίνονται, καὶ ἀπὸ τῆς
20 *μιαρωτάτης λέπρας καθαρίζονται, καὶ διπλασιασμὸν χωροῦσιν χαρισ-*
μάτων, καὶ ἕτοιμοι πρὸς πνεύματος ἁγίου παραδοχὴν γίνονται, ἄλλῳ
ποταμῷ οὐκ ἐφιπταμένης τῆς πνευματικῆς περιστερᾶς. διόπερ θεο- 251
πρεπέστερον νοήσαντες τὸν Ἰορδάνην καὶ τὸ ἐν αὐτῷ λουτρὸν καὶ
τὸν Ἰησοῦν ἐν αὐτῷ λουόμενον καὶ τὸν »τῆς κατασκευῆς οἶκον«, ὅσον
25 *δεόμεθα τῆς τοιαύτης ὠφελείας ἀπὸ τοῦ ποταμοῦ ἀρυσώμεθα.*

I, 29. *Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν.*

XLIX. (30) *Πρότερον ἡ μήτηρ τοῦ Ἰησοῦ ἅμα τῷ συλλαβεῖν αὐτὸν* 252
τῇ μητρὶ τοῦ Ἰωάννου καὶ αὐτῇ ἐγκύμονι τυγχανούσῃ ἐπεδήμει, ὅτε
ὁ μορφούμενος τῷ μορφουμένῳ ἀκριβέστερον τὴν μόρφωσιν χαρίζεται,
30 *σύμμορφον ἐνεργῶν αὐτὸν γενέσθαι τῇ δόξῃ αὐτοῦ, ὥστε διὰ τὸ κοι-*
νὸν τῆς μορφῆς Ἰωάννην τε Χριστὸν ὑπονοεῖσθαι τυγχάνειν, καὶ
Ἰησοῦν Ἰωάννην ἀναστάντα ἐκ νεκρῶν νομίζεσθαι παρὰ τοῖς μὴ δια-

4 Ezech. 29, 3—5. — **16** Vgl. Ps. 45, 5. — **18** Vgl. Jos. 5, 9. — **20** Vgl. II Kön. 5, 9ff. — **22** Vgl. Mark. 1, 10. — **27** Vgl. Luk. 1, 39ff. — **30** Vgl. Phil. 3, 21. — **32** Vgl. Luk. 3, 15; Matth. 14, 2. Mark. 6, 14.

4 *βασιλεῦ Αἰγύπτου* ist hexaplarischer Zusatz (A, vgl. Field, Hexapla II, 849). | **6** *αὐτοῦ*] *αὐτὸν*, corr. Br | **9** ⟨*τοῦ*⟩ + Ausgg. nach den LXX | **10** nach *ποταμοῦ* ist viell. *σου* ausgefallen | **11** *πρόσωπον* ist wohl zu lesen | **14** ⟨*ὁ*⟩ + Pr | **29** *ἀκριβέστερον*] *ερον* a. Ras. M, *ἀκριβεστέραν*? We.

Digitized by Google

κρίνουσι τὴν εἰκόνα ἀπὸ τοῦ κατὰ τὴν εἰκόνα· νῦν δὲ ὁ Ἰησοῦς μετὰ
τὰ προεξετασθέντα μαρτύρια Ἰωάννου περὶ αὐτοῦ αὐτὸς βλέπεται
253 ὑπὸ τοῦ βαπτιστοῦ ἐρχόμενος πρὸς αὐτόν. παρατηρητέον δὲ ὅτι ἐκεῖ
μὲν διὰ τὴν τοῦ Μαρίας ἀσπασμοῦ φωνὴν ἐληλυθυῖαν εἰς τὰ ὦτα
τῆς Ἐλισάβετ, σκιρτᾷ τὸ βρέφος Ἰωάννης ἐν τῇ κοιλίᾳ τῆς μητρός, 5
τότε, ὡς ἀπὸ τῆς ⟨φων⟩ῆς, λαμβανούσης πνεῦμα ἅγιον· »Ἐγένετο γάρ,
»φησίν, ὡς ἤκουσεν τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ, ἐσκίρτησεν 149 R
»τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ
»Ἐλισάβετ καὶ ἀνεφώνησεν κραυγῇ μεγάλῃ καὶ εἶπεν«· ἐνθάδε ⟨δέ⟩·
»Βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει· Ἴδε 10
»ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου«· ἀκοῇ δὲ τῇ
περὶ τῶν κρειττόνων πρότερόν τις παιδεύεται καὶ μετὰ ταῦτα αὐ-
254 τόπτης αὐτῶν γίνεται. ὅτι μέντοι γε εἰς τὴν μόρφωσιν ὠφέληται
ὁ Ἰωάννης ἀπὸ τοῦ ἔτι μορφουμένου, | τοῦ κυρίου, † γενομένου ἐν 171v
τῇ μητρὶ πρὸς τὴν Ἐλισάβετ, τῷ κεκρατηκότι τῶν εἰρημένων περὶ 15
τοῦ φωνὴν μὲν εἶναι τὸν Ἰωάννην, λόγον δὲ τὸν Ἰησοῦν δῆλον ἔσται·
μεγάλη γὰρ φωνὴ γίνεται ἐν τῇ Ἐλισάβετ πληρωθείσῃ πνεύματος 140 H
ἁγίου διὰ τὸν ἀσπασμὸν τῆς Μαρίας, ὡς αὐτὴ ἡ λέξις παρίστησιν
οὕτως ἔχουσα· »Καὶ ἀνεφώνησεν κραυγῇ μεγάλῃ«, (δηλονότι ἡ Ἐλι-
255 σάβετ) »καὶ εἶπεν«. ⟨ἡ⟩ γὰρ φωνὴ τοῦ ἀσπασμοῦ τῆς Μαρίας γενομένη 20
ἐν τοῖς ὠσὶν τῆς Ἐλισάβετ ἐπλήρωσεν τὸν Ἰωάννην ἑαυτῆς· διόπερ
σκιρτᾷ ὁ Ἰωάννης καὶ οἱονεὶ στόμα τοῦ υἱοῦ καὶ προφῆτις ἡ μήτηρ
γίνεται ἀναφωνοῦσα κραυγῇ μεγάλῃ καὶ λέγουσα· »Εὐλογημένη σὺ ἐν
256 »γυναιξὶν καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου«. ἤδη οὖν δύ-
ναται δῆλος ἡμῖν γίνεσθαι καὶ ἡ μετὰ σπουδῆς πορεία τῆς Μαρίας 25
εἰς τὴν ὀρεινὴν καὶ ἡ εἴσοδος εἰς τὸν οἶκον Ζαχαρίου καὶ ὁ ἀσπασμός,
ὃν ἀσπάζεται τὴν Ἐλισάβετ· ἵνα γὰρ μεταδῷ ἀφ' ἧς ἔχει ἐξ οὗ συν-
είληφεν δυνάμεως τῷ Ἰωάννῃ ἔτι ἐν τῇ μήτρᾳ τυγχάνοντι τῆς μητρὸς
ἡ Μαριὰμ καὶ αὐτῷ μεταδώσοντι τῇ μητρί, ἀφ' ἧς ἔλαβεν χάριτος
257 προφητικῆς, ταῦτα πάντα γίνεται. καὶ εὐλογώτατά γε ἐν τῇ ὀρεινῇ 30
αἱ τοιαῦται οἰκονομίαι ἐπιτελοῦνται, οὐδενὸς μεγάλου χωρουμένου ὑπὸ
τῶν διὰ τὴν ταπεινότητα κοιλάδων κληθησομένων. καὶ ἐνθάδε οὖν
μετὰ τὰς Ἰωάννου μαρτυρίας, πρώτην μὲν τὴν ὑπὸ κεκραγότος λεγο-
μένην καὶ θεολογοῦντος, δευτέραν δὲ πρὸς τοὺς ἱερεῖς καὶ Λευίτας

1 Vgl. Gen. 1, 26. — 2 Vgl. o. VI, 3ff. — 6 Luk. 1, 41f. — 10 Joh. 1, 29. — 15 Vgl. o. VI, 18. — 19 Luk. 1, 42. — 23 Luk. 1, 42. — 25 Vgl. Luk. 1, 39f.

1 δὲ] δή, corr. V | 6 ⟨φων ῆς⟩ γῆς, corr. Pr, vgl. Z. 4. 20, κραυγῆς Ferrarius 9 ἐνθάδε ⟨δὲ⟩] ἔνθα δὲ, corr. V | 14 τοῦ² z. str.? | Nach γενομένου wohl etw. ausgefallen: γενομένης ἐν⟨τεύξεως⟩ We | 28 μήτρᾳ] μητρὶ, corr. V | 30 ὀρεινῇ] ὀρινην, corr. V.

Digitized by Google

τοὺς ἀπὸ Ἱεροσολύμων ὑπὸ Ἰουδαίων ἀπεσταλμένους, καὶ τρίτην τὴν πρὸς τοὺς ἐκ τῶν Φαρισαίων πικρότερον ἐρωτήσαντας, Ἰησοῦς ἤδη βλέπεται ὑπὸ τοῦ μαρτυρήσαντος, ἐρχόμενος πρὸς αὐτὸν ἔτι προκόπτοντα καὶ βελτίονα γινόμενον· ἧς προκοπῆς καὶ βελτιώσεως σύμβολον ἡ ὠνομασμένη αὔριον· οἱονεὶ γὰρ ἐν ἑξῆς φωτισμῷ καὶ δευτέρᾳ ἡμέρᾳ παρὰ τὰ πρότερον ὁ Ἰησοῦς ἔρχεται, οὐ μόνον γινωσκόμενος ὡς μέσος ἑστηκὼς καὶ τῶν οὐκ εἰδότων, ἀλλ' ἤδη καὶ ὁρώμενος ἥκων τῷ ταῦτα πρότερον ἀποφηναμένῳ. πρώτῃ οὖν ἡμέρᾳ αἱ 258
150R μαρτυρίαι γίνονται, καὶ δευτέρᾳ Ἰησοῦς πρὸς Ἰωάννην ἔρχεται· τρίτῃ δὲ ἑστὼς ὁ Ἰωάννης μετὰ δύο μαθητῶν, ἐνιδὼν Ἰησοῦ περιπατοῦντι εἰπὼν τὸ »Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ« προτρέπει τοὺς παρόντας ἀκολουθῆσαι τῷ υἱῷ τοῦ θεοῦ. καὶ τετάρτῃ θελήσας ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν ὁ ἐξελθὼν ζητῆσαι τὸ ἀπολωλὸς »εὑρίσκει Φίλιππον καὶ λέγει
172r »αὐτῷ· Ἀκολούθει μοι«. ⟨τρί⟩τῃ δὲ ἀπὸ | τῆς τετάρτης, ἥτις ἐστὶν 259
ἕκτη τῶν ἀρχῆθεν ἡμῖν κατειλεγμένων, ὁ γάμος γίνεται ἐν Κανᾷ τῆς Γαλιλαίας, περὶ οὗ εἰσόμεθα γενόμενοι κατὰ τὸν τόπον. παρατηρητέον δὲ καὶ τοῦτο, ὅτι ἡ διαφέρουσα Μαρία πρὸς τὴν ὑποδεεστέραν
140H Ἐλισάβετ ἔρχεται καὶ ὁ υἱὸς τοῦ θεοῦ πρὸς τὸν βαπτιστήν, δι' ὧν εἰς τὸ ἄοκνον πρὸς τὸ ὠφελεῖν τοὺς ἥττονας καὶ μετριότητα ὠφελούμεθα.

L. (31) Ἐπεὶ δὲ παρὰ τῷ μαθητῇ Ἰωάννῃ πόθεν πρὸς τὸν βα- 260
πτιστὴν ὁ σωτὴρ ἔρχεται οὐ λέγεται, τοῦτο μανθάνομεν ἀπὸ τῶν Ματθαίου γράψαντος· »Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλι»λαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐ»τοῦ«. ὁ δὲ Μάρκος καὶ τὸν τόπον τῆς Γαλιλαίας προσέθηκεν εἰπών· 261
»Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲτ »τῆς Γαλιλαίας καὶ ἐβαπτίσθη εἰς τὸν Ἰορδάνην ὑπὸ Ἰωάννου«. Λουκᾶς δὲ τὸν μὲν τόπον ἀπεσιώπησεν, ὅθεν Ἰησοῦς ἔρχεται, παρα- 262
χωρήσας τοῖς εἰρηκόσιν τὸν λόγον, ὅπερ δὲ ἀπ' ἐκείνων οὐ μεμαθήκαμεν αὐτὸς ἡμᾶς διδάσκει, ὡς ἄρα μετὰ τὸ βάπτισμα αὐτῷ προσευχομένῳ ἀνεῴχθη ὁ οὐρανός, καὶ κατέβη τὸ ἅγιον πνεῦμα σωματικῷ εἴδει ὡς περιστερά. πάλιν τὸ Ἰωάννην διακεκωλυκέναι τὸν κύριον 263
λέγοντα τῷ σωτῆρι· »Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ »ἔρχῃ πρός με;« τῷ Ματθαίῳ εἰρηκότι οὐδεὶς προσέθηκεν, ἵνα μὴ

1 Vgl. Joh. 1, 19. — **2** Vgl. Joh. 1, 24. — **7** Vgl. Joh. 1, 26. — **11** Joh. 1, 36. — **13** Joh. 1, 43. — **15** Vgl. Joh. 2, 1. — **23** Matth. 3, 13. — **26** Mark. 1, 9. — **30** Vgl. Luk. 3, 21. — **33** Matth. 3, 14.

4 ἧς] ἡ, corr. Hu | **5** ὠνομασμένη, über σ Comp. für εν | **14** ⟨τρί⟩τῃ] τῇ, corr. Ferrarius | **15** Κανᾷ] αν a. Ras. | **21** nach βαπτιστὴν + Ἰωάννην V | **30** προσευχομένῳ] προσερχομένω, corr. Br (vgl. Luk. 3, 21.); ἀνερχομένῳ V | **34** τοῦ Ματθαίου εἰρηκότος We.

Digitized by Google

ταὐτολογῶσιν. καὶ τὸ ὑπὸ τοῦ κυρίου δὲ πρὸς αὐτὸν εἰρημένον· »Αφες ἄρτι, οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην« μόνος ἀνέγραψεν ὁ Ματθαῖος.

I, 29. *Καὶ λέγει Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.*

264 LI. (32) *Πέντε ζῴων προσφερομένων ἐπὶ τὸ θυσιαστήριον, τριῶν μὲν χερσαίων πτηνῶν δὲ δύο, ἄξιόν μοι ζητεῖν φαίνεται τί δήποτε ὑπὸ τοῦ Ἰωάννου ὁ σωτὴρ »ἀμνὸς« λέγεται καὶ οὐδὲν τῶν λοιπῶν, ἀλλὰ καὶ ἐπὶ τῶν χερσαίων καθ' ἕκαστον τριῶν ἡλικιῶν προσαγομένων, ἀπὸ τοῦ γένους τῶν προβάτων τὸν ἀμνὸν ὠνόμασεν· πέντε*
265 *δὲ ζῷα ταῦτά ἐστιν· μόσχος, πρόβατον, αἴξ, τρυγών, περιστερά. καὶ* 151 R
τρεῖς ἡλικίαι ἑκάστου τῶν χερσαίων αὗται· μόσχος, βοῦς, μοσχάριον· κριός, ἀμνός, ἀρνίον· τράγος, αἴξ, ἔριφος· πτηνῶν δέ, περιστερῶν μὲν ζεῦγος νεοσσῶν μόνων, τρυγόνων ζεῦγος τέλειον. ζητητέον οὖν τῷ βουλομένῳ ἀκριβῶς τὸν περὶ τῶν θυσιῶν πνευματικὸν καταλαβεῖν
λόγον τίνων ἐπουρανίων ὑποδείγματι καὶ σκιᾷ ταῦτ' ἐγίνετο, καὶ 172v
ἕκαστον τῶν ζῴων ἐπὶ τίνι νομοθετεῖ ὁ λόγος θύεσθαι· καὶ ἰδίᾳ
266 *συνακτέον τὰ περὶ τοῦ ἀμνοῦ. ὅτι δὲ ὁ περὶ τῶν θυσιῶν λόγος περί τινων οὐρανίων μυστηρίων νοεῖσθαι ὀφείλει φησί που ὁ ἀπόστολος· »Οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσιν τῶν ἐπουρανίων«· καὶ*
πάλιν· »Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς »τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ
267 *»ταύτας«. τὸ δὲ καθ' ἓν δυνηθῆναι τούτων εὑρόντα ἐκλαβεῖν τὴν* 141 H
διὰ Ἰησοῦ Χριστοῦ γεγενημένην τοῦ πνευματικοῦ νόμου ἀλήθειαν, σφόδρα μεῖζον τυγχάνον τῆς ἀνθρωπίνης φύσεως, οὐδενὸς ἄλλου ἔργον ἢ τοῦ τελείου ἐστίν, τοῦ »διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνα»σμένα« ἔχοντος πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, δυναμένου ἀπὸ διαθέσεως ἀληθευούσης εἰπεῖν· »Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις«. καὶ ἀληθῶς ἐπὶ τούτων ἔστιν εἰπεῖν καὶ τῶν τούτοις παραπλησίων· »Ἣν οὐδεὶς τῶν ἀρχόντων τούτου τοῦ αἰῶνος ἔγνωκεν«.

268 LII. (33) *Πλὴν τὸν ἀμνὸν ἐν ταῖς θυσίαις τοῦ ἐνδελεχισμοῦ εὑρίσκομεν προσφερόμενον. οὕτω δὲ γέγραπται· »Καὶ ταῦτά ἐστιν*

2 Matth. 3, 15. — 6 Vgl. Lev. 5, 6f. 18. — 20 Hebr. 8, 5. — 21 Hebr. 9, 23. — 24 Vgl. Joh. 1, 17. — 26 Hebr. 5, 14. — 28 I Kor. 2, 6. — 30 I Kor. 2, 8. — 32 Exod. 29, 38—44.

8 *οὐδὲν*] *οὐδὲ*, *δὲ* a. Ras.; corr. V | 13 *δὲ*] *μὲν*, corr. V | *περιστερῶν*] *περιστερὰς*, corr. V | 14 *μόνον* V | 21 *ὑποδείγματ̣α* — 22 *καθαρίζ*]*εσθαι* a. Ras. | 24 *ἀλήθειαν*] *ἡ ἀλήθια*, corr. Br | 25 *μεῖζον*] *μείζων*, corr. Hu | 30 *τοῦ αἰῶνος τούτου* stellt Origenes sonst (u. X, 39; Griesbach, symb. critic. II, 499).

Digitized by Google

»ἃ ποιήσεις ἐπὶ τοῦ θυσιαστηρίου· ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο
»τὴν ἡμέραν ἐπὶ τὸ θυσιαστήριον ἐνδελεχῶς, κάρπωμα ἐνδελεχισμοῦ.
»τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ πρωΐ, καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιή-
»σεις τὸ δειλινόν. καὶ δέκατον σεμιδάλεως πεφυραμένης ἐν ἐλαίῳ κεκομ-
»μένῳ τῷ τετάρτῳ τοῦ εἶν· ⟨καὶ σπονδὴν τὸ τέταρτον τοῦ εἶν⟩ οἴνου 269
»τῷ ἀμνῷ τῷ ἑνί. καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινὸν κατὰ
»τὴν θυσίαν τὴν πρώτην καὶ κατὰ τὴν σπονδὴν αὐτοῦ, ποιήσεις ὀσμὴν
»εὐωδίας κάρπωμα κυρίῳ, θυσίαν ἐνδελεχισμοῦ εἰς τὰς γενεὰς ὑμῶν
»ἐπὶ θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι κυρίου, ἐν οἷς γνωσθή-
»σομαί σοι ἐκεῖ ὥστε λαλῆσαί σοι. καὶ τάξομαι ἐκεῖ τοῖς υἱοῖς Ἰσραὴλ
»καὶ ἁγιασθήσομαι ἐν δόξῃ μου καὶ ἁγιάσω τὴν σκηνὴν τοῦ μαρτυρίου«.
152R ποία δὲ ἑτέρα θυσία δύναται ἐνδελεχισμοῦ εἶναι τῷ λογικῷ νοητὴ ἢ
λόγος ἀκμάζων, λόγος »ἀμνὸς« συμβολικῶς καλούμενος ἅμα τῷ φω- 270
τίζεσθαι τὴν ψυχὴν καταπεμπόμενος (αὕτη γὰρ ἂν εἴη ἡ ἐωθινὴ τοῦ
ἐνδελεχισμοῦ θυσία) καὶ πάλιν ἐπὶ τέλει τῆς τοῦ νοῦ ἐν τοῖς θειοτέ-
ροις διατριβῆς ἀναφερόμενος; οὐ γὰρ ἀεὶ δύναται διαρκεῖν τὸ εἶναι
ἐν τοῖς κρείττοσιν, ὅσον κεκλήρωται ἡ ψυχὴ συνεζεῦχθαι τῷ γηΐνῳ
173r καὶ βαροῦντι σώματι. (34) ἐὰν δέ τις | ζητῇ τί ἐν τοῖς μεταξὺ τῆς 271
ἕως καὶ ἑσπέρας ποιήσει ὁ ἅγιος, μεταφερέτω ἀπὸ τῶν κατὰ τὴν
λατρείαν τὸν λόγον, ἔπειτα καὶ ἐν τούτοις ἀκολουθείτω. καὶ
γὰρ ἐκεῖ οἱ ἱερεῖς ἀρχὴν μὲν τῶν θυσιῶν προσφέρουσιν τὴν τοῦ ἐν-
δελεχισμοῦ, ἑξῆς δὲ πρὸ τῆς ἑσπερινῆς τοῦ ἐνδελεχισμοῦ τὰς κατὰ τὸν
νόμον λοιπάς, οἷον περὶ πλημμελείας ἢ ἀκουσίων ἢ σωτηρίου ἢ εὐχῆς
ἢ ζηλοτυπίας ἢ σαββάτου ἢ νουμηνίας καὶ τῶν λοιπῶν, ἃ μακρὸν ἂν
εἴη ἐπὶ τοῦ παρόντος λέγειν. οὕτω τοίνυν καὶ ἡμεῖς ἀπὸ τοῦ περὶ 272
τῆς εἰκόνος λόγου πεποιημένοι τὴν ἀρχὴν τῆς ἀναφορᾶς, ὅς ἐστιν ὁ
χριστός, διαλαμβάνειν περὶ πολλῶν καὶ ὠφελιμωτάτων δυνησόμεθα.
142H καὶ πάλιν ἐν τοῖς περὶ Χριστοῦ καταλήξαντες ἐπὶ τὴν οἰονεὶ ἑσπέραν
φθάσομεν καὶ νύκτα, ἐρχόμενοι καὶ ἐπὶ τὰ σωματικά.

LIII. (35) Ἐὰν δὲ τὸν λόγον ἐξετάζωμεν τὸν περὶ τοῦ δεικνυμέ- 273
νου Ἰησοῦ ὑπὸ τοῦ Ἰωάννου κατὰ τὸ »Οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ θεοῦ
»ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου«, ἱστάμενοι ἐπ' αὐτὴν τὴν οἰκονομίαν
τῆς σωματικῆς τοῦ υἱοῦ τοῦ θεοῦ εἰς τὸν τῶν ἀνθρώπων βίον ἐπι-

13 Vgl. Num. 28, 4. — **21** Vgl. Exod. 29, 38. — **21ff.** Vgl. Lev. 6, 5. 17. 31ff. — Vgl. Num. 15, 25. — Vgl. Lev. 3, 1ff. Num. 6, 14. — Vgl. Lev. 22, 23. — Vgl. Num. 5, 15. 18. — Vgl. Num. 28, 10. — Vgl. Num. 28, 11. 31. 29, 6. — **31** Joh. 1, 29.

4 *σεμιδάλεως*] *σεμιδαλης* (*ης* compendiarisch, *σεμιδάλις* V), corr. Hu | *πεφυραμένης*] *πεφυραμένη*, corr. Hu | **5** ⟨*καὶ — εἶν*⟩ + Hu | **7** *πρώτην*, wohl mit den LXX in *πρωΐνην* zu ändern | **9** *θύρας*] *θύρα*, corr. Hu | **11** *ἁγιάσω*] *ἁγιασμῶ*, corr. Pr; *ἁγιασμῷ ἁγίασω* Ausgg. | **14** *καταπεμπόμενος*] *ἀναπεμπόμενος*, corr. Pr | **20** *ἀκολουθείτω*] *ἀκολουθεῖ*, corr. Hu | **26** *πεποιημένον*, corr. V.

Digitized by Google

δημίας, τὸν ἀμνὸν οὐκ ἄλλον τοῦ ἀνθρώπου ὑποληψόμεθα· οὗτος
γὰρ »ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐνώπιον τοῦ
»κείραντος αὐτὸν ἄφωνος«, λέγων· »Ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον
274 »τοῦ θύεσθαι«. διόπερ καὶ ἐν τῇ Ἀποκαλύψει ἀρνίον ὁρᾶται »ἑστηκὸς
»ὡς ἐσφαγμένον«. οὗτος δὴ ὁ ἀμνὸς σφαγεὶς καθάρσιον γεγένηται
κατά τινας ἀπορρήτους λόγους τοῦ ὅλου κόσμου, ὑπὲρ οὗ κατὰ
τὴν τοῦ πατρὸς φιλανθρωπίαν καὶ τὴν σφαγὴν ἀνεδέξατο, ὠνούμενος
τῷ ἑαυτοῦ αἵματι ἀπὸ τοῦ ταῖς ἁμαρτίαις ἡμᾶς πιπρασκομένους ἀγο-
275 ράσαντος. ὁ δὲ προσαγαγὼν τοῦτον τὸν ἀμνὸν ἐπὶ τὴν θυσίαν ὁ ἐν
τῷ ἀνθρώπῳ ἦν θεός, μέγας ἀρχιερεύς, ὅστις τοῦτο δηλοῖ διὰ τοῦ
»Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυ- 153R
»τοῦ. ἐξουσίαν ἔχω θεῖναι *, καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν«.
276 LIV. (36) Καὶ ταύτῃ ⟨τῇ⟩ θυσίᾳ συγγενεῖς εἰσιν αἱ λοιπαί, ὧν
σύμβολόν εἰσιν αἱ νομικαί. λοιπαὶ δὲ καὶ συγγενεῖς ταύτῃ τῇ θυσίᾳ
θυσίαι αἱ ἐκχύσεις εἶναί μοι φαίνονται τοῦ τῶν γενναίων μαρτύρων
αἵματος, οὐ μάτην ὁρωμένων ἑστάναι ὑπὸ τοῦ μαθητοῦ Ἰωάννου
παρὰ τῷ οὐρανίῳ θυσιαστηρίῳ. »Τίς δὲ σοφὸς καὶ συνήσει ταῦτα; ἢ
277 »συνετὸς καὶ ἐπιγνώσεται | αὐτά;« πρὸς δὲ τὸ θεωρητικώτερον κἂν 173v
ἐπὶ ποσὸν παραδέξασθαι τὸν περὶ τῶν τοιούτων θυσιῶν λόγον, κα-
θαιρουσῶν τοὺς ὑπὲρ ὧν προσάγονται, κατανοητέον τὸν λόγον τῆς
ὁλοκαυτουμένης θυγατρὸς Ἰεφθάε, διὰ ταύτην ⟨τὴν⟩ εὐχὴν νικήσαντος
τοὺς υἱοὺς Ἀμμών, ᾗ συνηυδόκησεν καὶ ἡ ὁλοκαυτουμένη, λέγουσα πρὸς
τὸν πατέρα εἰπόντα »Ἀνέῳξα τὸ στόμα μου κατὰ σοῦ πρὸς κύριον«,
»Καὶ εἰ ἀνέῳξας τὸ στόμα σου κατ' ἐμοῦ πρὸς κύριον, ποίει τὴν
278 »εὐχήν σου«. ἔμφασις μὲν οὖν πολλῆς ὠμότητος διὰ τούτων παρεισ-
⟨φέρεται θεῷ⟩, ᾧ τοιαῦται ὑπὲρ σωτηρίας ἀνθρώπων ἐπιτελοῦνται
θυσίαι. μεγαλοφυεστέρου δὲ νοῦ καὶ βλέποντος ⟨πρὸς τὸ⟩ τὰ λεγό-
μενα κατὰ τῆς προνοίας λύειν χρῄζομεν, ἵν' ἅμα περὶ πάντων ὡς
ἀπορρητοτέρων ὄντων καὶ ὑπὲρ ἀνθρωπίνην φύσιν ἀπολογώμεθα·
»Μεγάλαι γὰρ αἱ κρίσεις τοῦ θεοῦ καὶ δυσδιήγητοι· διὰ τοῦτο ἀπαί-

2 Jes. 53, 7. — 3 Jer. 11, 19. — 4 Vgl. Apok. 5, 6. — 5 Vgl. Apok. 5, 9. — 10 Vgl. Hebr. 8, 1. — 11 Joh. 10, 18. — 16 Vgl. Apok. 6, 9. — 17 Hos. 14, 10. — 23 Richt. 11, 35f. — 30 Weish. Sal. 17, 1.

8 ἀγοράσαντος] διαπράσαντος mit der Randnote: εἶχε τὸ πρωτότυπον ἀγοράσαντος V | 10 nach ἦν Ras. (ὁ ausr.?) | 12 nach θεῖναι ist wohl mit allen Zeugen und Origenes an den anderen Stellen (C. Cels. II, 16 [I, 145, 29]; III, 32 [I, 229, 4]; in Joh. XIX, 16 · vgl. Griesbach, Symbolae crit. II, 435) ein αὐτὴν einzusetzen | 13 ταύτῃ] ταίτης, corr. Hu | ⟨τῇ⟩ + We | 18 τὸ] τοῦτο, corr. Br | 21 ⟨τὴν⟩ + We | 23 μου] σου, corr. V | κατά σου] καὶ ἐμοῦ, corr. V | 24 ἀνέῳξας] ἀνέωξα, corr. V | 25 παρεισφέρεται θεῷ] παρεισ danach Lücke von c. 8—9 Buchst., von B ergänzt; θεῷ Pr; τοῦ B | 27 ⟨πρὸς τὸ⟩ + We | 28 λύειν] λύσιν, corr. Ferrarius.

Digitized by Google

143H »δευτοι ψυχαὶ ἐπλανήθησαν«. μεμαρτύρηται δὲ καὶ παρὰ τοῖς ἔθνεσιν 279
ὅτι πολλοί τινες, λοιμικῶν ἐνσκηψάντων νοσημάτων, ἑαυτοὺς σφάγια
ὑπὲρ τοῦ κοινοῦ παραδεδώκασιν. καὶ παραδέχεται ταῦθ' οὕτως γε-
γονέναι οὐκ ἀλόγως πιστεύσας ταῖς ἱστορίαις ὁ πιστὸς Κλήμης, ὑπὸ
5 Παύλου μαρτυρούμενος λέγοντος· »Μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν
»συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς«. τὴν ὁμοίαν δὲ ἔχει 280
ἀπέμφασιν παρὰ τῷ θέλοντι τῶν τοὺς πολλοὺς λανθανόντων μυστη-
ρίων κατηγορεῖν καὶ τὰ περὶ τῶν μαρτύρων προστεταγμένα· εὐδο-
κοῦντος τοῦ θεοῦ μᾶλλον ἡμᾶς ἀναδέξασθαι πάσας χαλεπωτάτας
10 αἰκίας ἐν τῷ ὁμολογεῖν αὐτοῦ τὴν θειότητα, ἢπερ ἀπαλλαγῆναι τῶν
τοσούτων νομιζομένων κακῶν πρὸς βραχὺν χρόνον, λόγῳ συνπερι-
ενεχθέντας τῷ θελήματι τῶν ἐχθρῶν τῆς ἀληθείας. κατάλυσιν οὖν 281
νομιστέον γίνεσθαι δυνάμεων κακοποιῶν διὰ τοῦ θανάτου τῶν ἁγίων
μαρτύρων, οἷον τῆς ὑπομονῆς αὐτῶν καὶ τῆς ὁμολογίας τῆς μέχρι
154R θανάτου καὶ τῆς εἰς τὸ εὐσεβὲς προθυμίας ἀμβλυνούσης τὸ ὀξὺ τῆς
ἐκείνων κατὰ τοῦ πάσχοντος ἐπιβουλῆς, ὥστε ἀμβλυνομένης καὶ
ἀτονησάσης τῆς δυνάμεως αὐτῶν καὶ ἑτέρους πλείονας τῶν νενικη-
174r μένων ἀνίεσθαι ἐλευθερουμένους τοῦ βάρους, οὗ αἱ πονηραὶ δυνάμεις
ἐπικείμεναι ἐφόρτιζον καὶ ἔβλαπτον. ἀλλὰ καὶ οἱ παθόντες ἄν, μὴ 282
20 ἀτονησάντων τῶν ἐνεργησάντων εἰς ἑτέρους τὰ χείρονα, οὐκέτι πε-
ριπίπτουσιν τῷ πάθει, νικήσαντος τοῦ τὴν τοιαύτην θυσίαν προσα-
γαγόντος τήνδε τὴν ἀντικειμένην δύναμιν, ὡς εἰ ἀπὸ μέρους ἐχρησάμην
εἰκόνι χρησίμῳ πρὸς τὰ προκείμενα τοιαύτῃ· ὅτι ⟨ὁ⟩ ἀναιρῶν τὸ
ἰοβόλον ἢ κατακοιμίζων ἐπῳδῇ ἢ δυνάμει τινὶ κενῶν αὐτὸ τοῦ ἰοῦ
25 πολλοὺς εὐεργετεῖ τῶν ὕστερον πεισομένων τι ἀπ' αὐτοῦ, εἰ μὴ
ἀνῄρητο ἢ κατακεκοίμιστο ἢ τοῦ ἰοῦ κεκένωτο. εἰ δὲ καὶ τῶν δηχ- 283
θέντων τινὶ φανερὸν γένοιτο περὶ τῆς ἐπὶ τῷ δήγματι βλάβης
ἀπαλλαγῆς, εἰ ἐνατενίσαι ἀποθανόντι τῷ βλάψαντι, ἢ ἐπιβαίῃ νεκροῦ,
ἢ ἐφάψαιτο τεθνηκότος, ἢ γεύσαιτο μέρους τοῦδε, γένοιτ' ἂν καὶ τῷ
30 προπεπονθότι ἴασις καὶ εὐεργεσία ἀπὸ τοῦ τὸ βλάψαν ἀνῃρηκότος.
τοιοῦτόν τι δὴ νοητέον τῷ θανάτῳ τῶν εὐσεβεστάτων μαρτύρων
γίνεσθαι, πολλῶν ἀφάτῳ τινὶ δυνάμει ὠφελουμένων ἀπὸ τοῦ θανά-
του αὐτῶν.

LV. (37) *Προσδιετρίψαμεν* δὲ ὑπὲρ τοῦ τὸ ἐξαίρετον ἰδεῖν τοῦ 284
35 ὡς προβάτου ἐπὶ σφαγὴν ἀχθέντος καὶ ὡς ἀμνοῦ ἐνώπιον τοῦ κεί-
ραντος ἀφώνου, τῷ περὶ τῶν μαρτύρων λόγῳ καὶ τῷ ὑπὲρ τῶν
144H τεθνηκότων διὰ λοιμικὰ καταστήματα διηγήματι. εἰ γὰρ τάδε μὲν

3 Vgl. I Clemensbrief 55. 1. — **5** Phil. 4, 3. — **8** Vgl. Matth. 10, 17 ff. — **35** Vgl. Jes. 53, 7.

8 μαρτυριῶν? We | **11** βραχὺν, corr. V | **21** νικήσαντος] νικήσαντες, corr. V | **23** ⟨ὁ⟩ + We | **26** ἀνῄρητο] ἄνηρητον, corr. V | **35** πρόβατον, corr. We.

Digitized by Google

ὑπὸ Ἑλλήνων οὐ μάτην ἱστόρηται, τάδε ⟨δὲ⟩ καλῶς περὶ τῶν μαρτύρων εἴρηται περικαθαρμάτων τοῦ κόσμου γινομένων, καὶ »πάντων »περίψημα« λεγομένων διὰ ταῦτα τῶν ἀποστόλων, τί ὑποληπτέον καὶ πηλίκον περὶ τοῦ ἀμνοῦ τοῦ θεοῦ διὰ τοῦτο θυομένου, ἵνα ἄρῃ ἁμαρτίαν οὐκ ὀλίγων, ἀλλ' ὅλου τοῦ κόσμου, ὑπὲρ οὗ καὶ πέπονθεν; 5
285 κἂν γάρ »τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν »Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, 155 R
»οὐκ † ἐπὶ τῶν ἡμετέρων δὲ μόνον ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου«· ἐπεὶ »σωτήρ ἐστιν πάντων ἀνθρώπων, μάλιστα πιστῶν« ὁ »ἐξαλείψας »τὸ καθ' ἡμῶν χειρόγραφον« τῷ ἑαυτοῦ αἵματι καὶ ἄρας αὐτὸ ἐκ τοῦ 10
μέσου, ἵνα μηδὲ ἴχνη κἂν ἀπαληλειμμένων τῶν ἁμαρτημάτων εὑρίσκηται, καὶ »προσηλώσας τῷ σταυρῷ«· ὃς »ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ
286 »τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ θριαμβεύσας« ἐν τῷ ξύλῳ. καὶ θαρρεῖν γοῦν θλιβόμενοι ἐν τῷ κόσμῳ διδασκόμεθα, τὴν αἰτίαν τοῦ θαρρεῖν μανθάνοντες ταύτην εἶναι, τὸ νενικῆσθαι τὸν κόσμον καὶ 15
δηλονότι ὑποτετάχθαι τῷ νικήσαντι αὐτόν. διὰ τοῦτο πάντα τὰ ἔθνη ἀνεθέντα | ἀπὸ τῶν πρότερον ἐπικρατούντων δουλεύουσιν αὐτῷ, 174 v
ὅτι »ἐρρύσατο πτωχὸν ἐκ δυνάστου« διὰ τοῦ ἰδίου πάθους »καὶ πένητα,
287 »ᾧ οὐχ ὑπῆρχεν βοηθός«. οὗτος δὴ ὁ σωτὴρ ταπεινώσας συκοφάντην διὰ τοῦ ἑαυτὸν τεταπεινωκέναι, συνπαραμένει τῷ νοητῷ ἡλίῳ πρὸ 20
τῆς λαμπροτάτης ἐκκλησίας, τροπικώτερον σελήνης λεγομένης, τυγχάνων γενεῶν γενεαῖς. ἀνελὼν δὲ διὰ τοῦ πάθους τοὺς πολεμίους ὁ ἐν πολέμῳ δυνατὸς καὶ κραταιὸς κύριος καθαρσίου δεόμενος τοῦ ἀπὸ μόνου τοῦ πατρὸς αὐτῷ δοθῆναι ἐπὶ τοῖς ἀνδραγαθήμασιν δυναμένου, κωλύει αὐτοῦ ἅψασθαι τὴν Μαρίαν λέγων· »Μή μου ἅπτου, οὔπω 25
»γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα *· ἀλλὰ πορεύου καὶ εἰπὲ τοῖς »ἀδελφοῖς μου· Πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν καὶ θεόν μου καὶ θεὸν ὑμῶν«.
288 LVI. Ὅτε δὲ πορεύεται νικηφόρος καὶ τροπαιοφόρος μετὰ τοῦ ἐκ νεκρῶν ἀναστάντος σώματος (πῶς γὰρ ἄλλως δεῖ νοεῖν τὸ »Οὔπω 30
»ἀναβέβηκα πρὸς τὸν πατέρα μου;« καὶ τὸ »Πορεύομαι δὲ πρὸς τὸν

2 Vgl. I Kor. 4, 13. — **4** Vgl. Joh. 1, 29. — **5** I Joh. 2, 1 f. — **9** I Tim. 4, 10. — **10** Kol. 2, 14 f. — **15** Vgl. Joh. 16, 33. — **18** Ps. 71, 12. — **19** Vgl. Ps. 71, 4 f. — **23** Vgl. Ps. 23, 8. — **25** Joh. 20, 17.

1 *τάδε* ⟨*δὲ*⟩] *τὰ δὲ*, corr. Pr | **8** *οὐκ ἐπὶ*] *οὐ περὶ* wohl richtig, vgl. u. 59 [S. 168, 24]; Griesbach, Symbolae crit. II, 607. Tregelles z. d. St. | **26** Die Form des Citates ist ausser Parallele; nach *πατέρα* fügt Origenes sonst *μου* bei (mit ϛALX*Δ* rel.) vgl. Zeile 31. de or. 2 [II, 350, 29] in Mt. XVII, 36 [IV, 171, 3]; doch fehlt *μου* auch X, 37 (mit B𝔎D) | *ἀλλὰ πορεύου* statt *πορεύου δὲ* liest Syr. sin; viell. ist es, wenn *δὲ* mit A fehlte (vgl. XXXII, 30 gegen XIX, 5), stilistische Glättung.

Digitized by Google

»πατέρα μου«;) τότε αἱ μέν τινες λέγουσιν δυνάμεις· »Τίς οὗτος ὁ »παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ, οὕτως ὡραῖος;« οἱ δὲ προπέμποντες αὐτὸν τοῖς ἐπὶ τῶν οὐρανίων πυλῶν τεταγμένοις φασὶν τὸ »Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε πύλαι »αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης«. ἔτι δὲ πυνθάνονται 289
οἱονεί, εἰ δεῖ οὕτως εἰπεῖν, ἡμαγμένην αὐτοῦ βλέποντες τὴν δεξιὰν
145H καὶ ὅλον πεπληρωμένον τῶν ἀπὸ τῆς ἀριστείας ἔργων· »Διὰ τί σου »ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀποπάτημα ληνοῦ πλή»ρους καταπεπατημένης;« ὅτε καὶ ἀποκρίνεται· »Κατέθλασα αὐτούς«.
175r ἀληθῶς γὰρ ἐπὶ τούτοις δεδέηται τοῦ πλύναι »ἐν οἴνῳ τὴν | στολὴν 290
156R »αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ«. τὰς γὰρ ἀσθενείας ἡμῶν λαβὼν καὶ τὰς νόσους βαστάξας, παντός τε τοῦ κόσμου ἄρας τὴν ἁμαρτίαν καὶ τοὺς τοσούτους εὐεργετήσας, τάχα τότε βάπτισμα εἴληφεν τὸ παντὸς τοῦ ὑπονοηθέντος ἂν παρὰ τοῖς ἀνθρώποις μεῖζον, περὶ οὗ οἶμαι αὐτὸν εἰρηκέναι· »Βάπτισμα δὲ »ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως ὅτου τελεσθῇ;« ἵνα γὰρ 291
τολμηρότερον βασανίζων τὸν λόγον στῶ πρὸς τὰ ὑπὸ τῶν πλείστων ὑπονοούμενα, λεγέτωσαν ἡμῖν οἱ τὸ βάπτισμα τὸ μέγιστον, ὑπὲρ ὃ ἄλλο οὐκ ἔστι νοῆσαι βάπτισμα, νομίσαντες αὐτοῦ εἶναι τὸ μαρτύριον, τί δήποτε μετὰ τοῦτο λέγει τῇ Μαριάμ· »Μή μου ἅπτου«; ἐχρῆν γὰρ μᾶλλον ἑαυτὸν ἐμπαρέχειν τῇ ἁφῇ, ἅτε τὸ τέλειον βάπτισμα διὰ τοῦ μυστηρίου τοῦ πάθους εἰληφότα.

LVII. Ἀλλ' ἐπεί, ὡς προείπομεν, τὰ κατὰ τῶν ἀντικειμένων 292
175r ἀνδραγαθήματα πεποιηκὼς ἐδεῖτο τοῦ πλύναι »ἐν οἴνῳ τὴν | στολὴν »αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ«, ἀνῄει πρὸς τὸν γεωργὸν τῆς ἀληθινῆς ἀμπέλου πατέρα, ἵν' ἐκεῖ ἀποπλυνάμενος μετὰ τὸ ἀναβῆναι εἰς ὕψος, αἰχμαλωτεύσας τὴν αἰχμαλωσίαν, καταβῇ φέρων τὰ ποικίλα χαρίσματα, τὰς διαμεμερισμένας τοῖς ἀποστόλοις γλώσσας ὡσεὶ πυρὸς καὶ τοὺς παρεσομένους ἐν πάσῃ πράξει ἁγίους ἀγγέλους καὶ ὑσομένους αὐτούς. πρὸ γὰρ τούτων τῶν οἰ- 293
κονομιῶν ἅτε μηδέπω κεκαθαρμένοι οὐκ ἐχώρουν ἀγγέλων παρ' αὐτοῖς ἐπιδημίαν, τάχα οὐδ' αὐτῶν βουλομένων πω τοῖς μὴ εὐτρεπισμένοις καὶ κεκαθαρμένοις ὑπὸ τοῦ Ἰησοῦ παρεῖναι. τῆς γὰρ Ἰησοῦ 294
μόνου φιλανθρωπίας ἦν μετὰ ἁμαρτωλῶν καὶ τελωνῶν ἐσθίειν καὶ

1 Jes. 63, 1. — **4** Ps. 23, 7. — **7** Jes. 63, 2f. — **10** Gen. 49, 11. — **11** Matth. 8, 17; vgl. Jes. 53, 4. — **13** Vgl. Joh. 1, 29. — **15** Luk. 12, 50. — **20** Joh. 20, 17. — **23** Vgl. Z. 6ff. — **24** Gen. 49, 11. — **26** Vgl. Joh. 15, 1. — **27** Vgl. Ephes. 4, 8; Ps. 67, 19. — **28** Vgl. Act. 2, 3. — **29** Vgl. Ps. 33, 8. — **34** Vgl. Mark. 2, 16.

16 *συνέχομαι*] *ομ* a. Ras. | **32** *εὐτρεπισμένοις*, corr. We | **33** *κεκαθαρμένοις*] *κεκαρμένοις*, corr. V.

Digitized by Google

πίνειν, καὶ παρέχειν ἑαυτοῦ τοὺς πόδας τοῖς δακρύοις τῆς μετανοούσης ἁμαρτωλοῦ, καὶ μέχρι θανάτου καταβαίνειν ὑπὲρ ἀσεβῶν, οὐχ ἁρπαγμὸν ἡγουμένου τὸ εἶναι ἴσα θεῷ, καὶ κενοῦν ἑαυτὸν τὴν τοῦ
295 δούλου λαμβάνοντος μορφήν. ταῦτα δὲ πάντα ἐπιτελῶν μᾶλλον τὸ θέλημα τοῦ πατρὸς τοῦ παραδόντος αὐτὸν ὑπὲρ ἀσεβῶν ἐπετέλει ἥπερ τὸ ἑαυτοῦ· ὁ μὲν γὰρ πατὴρ ἀγαθός, ὁ δὲ σωτὴρ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ. πάντα δὲ τὸν κόσμον εὐεργετῶν, ἐπεὶ θεὸς ἐν Χριστῷ κόσμον καταλλάσσει ἑαυτῷ, πρότερον διὰ τὴν κακίαν ἐχθρὸν γεγενημένον, ὁδῷ καὶ τάξει τὰ εὐεργετούμενα εὐεργετεῖ, οὐκ ἀθρόως λαμ- 146H
βάνων ὑποπόδιον τῶν ποδῶν πάντας τοὺς ἐχθρούς· λέγει γὰρ αὐτῷ 10
ὁ πατὴρ τῷ κυρίῳ ἑκάστου ἡμῶν· »Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ
296 »τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου«. καὶ ταῦτα γίνεται
ἕως ὁ ἔσχατος ἐχθρός, ὁ θάνατος, ὑπ' αὐτοῦ καταργηθῇ. ἐὰν δὲ τὸ 157R
ὑποτάσσεσθαι τῷ χριστῷ νοήσωμεν ὅ τί ποτ' ἔστιν μάλιστ' ἐκ τοῦ
»Ὅταν δὲ αὐτῷ † πάντα ὑποταγῇ, τότε αὐτὸς ὁ υἱὸς ὑποταγήσεται 15
»τῷ ὑποτάξαντι αὐτῷ † πάντα«, ἀξίως τῆς ἀγαθότητος τοῦ τῶν ὅλων θεοῦ νοήσωμεν τὸν ἀμνὸν τοῦ θεοῦ αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου.

297 LVIII. Οὐ πάντων δὲ ἡ ἁμαρτία ὑπὸ τοῦ ἀμνοῦ αἴρεται, μὴ ἀλγούντων μηδὲ βασανιζομένων ἕως ἀρθῇ. ἄκανθαι γὰρ οὐ μόνον 20 ἐνσπαρεῖσαι ἀλλὰ καὶ ἐπιπολὺ ῥιζω⟨θεῖ⟩σαι ἐν ταῖς χερσὶν παντὸς τοῦ διὰ τὴν κακίαν μεθυσθέντος καὶ τὸ νήφειν ἀπολωλεκότος κατὰ τὸ ἐν Παροιμίαις εἰρημένον· »Ἄκανθαι φύονται ἐν χειρὶ τοῦ μεθύσου«, ὅσον πόνον ἐνεργάσονται τῷ τὰ τοιαῦτα φυτὰ εἰς τὸ ἑαυτοῦ σῶμα τῆς ψυχῆς παραδεξαμένῳ τί δεῖ καὶ λέγειν; κατατμηθῆναι γὰρ ὑπὸ 25
τοῦ τομωτέρου πάσης μαχαίρας διστόμου | λόγου ζῶντος θεοῦ καὶ 175V
ἐνεργοῦς καὶ καυστικωτέρου παντὸς πυρὸς ἀνάγκη τὸν ἐπὶ τοσοῦτον εἰς βάθος τῆς ἑαυτοῦ ψυχῆς τὴν κακίαν χωρήσαντα, ὡς γενέσθαι αὐ-
298 τὸν γῆν ἀκανθοφόρον. καὶ δεήσει ἐπὶ τὴν τοιαύτην ψυχὴν πεμφθῆναι τὸ εὑρίσκον τὰς ἀκάνθας πῦρ, καὶ μέχρι αὐτῶν στησόμενον διὰ τὴν 30

1 Vgl. Luk. 7, 38. — **2** Vgl. Röm. 5, 6. — **3** Vgl. Phil. 2, 6ff. — **5** Vgl. Röm. 8, 32. — **6** Matth. 19, 17. — Weish. Sal. 7, 26. — **7** Vgl. II Kor. 5, 19. — **9** Vgl. Hebr. 10, 13. (Ps. 109, 1). — **11** Ps. 109, 1. — **13** Vgl. I Kor. 15, 26. — **15** I Kor. 15, 28. — **17** Joh. 1, 29. — **23** Prov. 26, 9. — **26** Vgl. Hebr. 4, 12. — **27** Vgl. Sir. 48, 1. — **29** Vgl. Gen. 3, 18. — **30** Vgl. Exod. 22, 6.

1 *δακρύοις*] *ις* a. Ras. | **4** *δούλου λαμβάνοντος*] *δούλο*[*ι λαμ*]*βάνοντος* a. Ras. *οὐ μᾶλλον*? We | **5** *αὐτὸν*] *ἑαυτὸν*, corr. We | **13** *ἕως*] *ὡς*, corr. V | **15** nach *αὐτῷ* ist wohl mit V u. allen Zeugen *τὰ* einzusetzen; ebenso **16** | **16** *ἀξίως*] *ἄξιος* | **21** *ἐμπαρεῖσαι*, corr. We | *ῥιζωθεῖσαι*] *ῥιζῶσα*, corr. V | **25** *τί δεῖ*] *ἤδει, η* a. Ras. (aus *εἰ*?), corr. Br; *ἤδη καὶ λέγειν ἀμήχανον* V.

Digitized by Google

ἑαυτοῦ θειότητα καὶ οὐ προσεμπρῆσον ἅλωνας ἢ στάχυας πεδίων. 〈τοῦ〉 αἴροντος δὲ τὴν ἁμαρτίαν τοῦ κόσ〈μου〉 ἀμνοῦ διὰ τῆς ἰδίας σφαγῆς ἀρχομένου ὁδοὶ τυγχάνουσιν πλείονες, ὧν αἱ μὲν σαφεῖς εἶναι τοῖς πολλοῖς δύνανται, αἱ δὲ τοὺς τοσούτους λανθάνουσαι τοῖς τῆς θείας σοφίας ἀξιουμένοις, οἷς μόνοις εἰσὶν γνώριμοι. τί γὰρ δεῖ λέγειν, 299
διʼ ὅσων ὁδῶν τις ἐπὶ τὸ πιστεύειν ἔρχεται ἐν ἀνθρώποις, ἔτι ἐν τῷ τοιούτῳ σώματι παρὸν ἑκάστῳ καθʼ αὑτὸν ἐπισκοπεῖν; πλὴν μία τῶν ὁδῶν ἐστιν τοῦ πιστεύειν καὶ αἱρεσθαι τὴν ἁμαρτίαν διὰ μαστίγων καὶ πνευμάτων πονηρῶν καὶ νόσων χαλεπωτάτων καὶ μαλακιῶν ἐπιπονωτάτων. τίς οὖν οἶδεν καὶ τὰ μετὰ ταῦτα; ἀναγκαῖον δὲ ἦν 300
ὑπὲρ τοῦ μὴ ἀναιρεθῆναι τὸν δοκοῦντα τῇ ἐξετάσει τοῦ λόγου παρακολουθεῖν τοῦ λέγοντος· »Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου«· ἐπιπλεῖον περὶ τούτων διαλαβεῖν, ἵν᾽ εἰδότες ὅτι καὶ θυμῷ θεοῦ ἔστιν ἐλεγχθῆναι καὶ ὀργῇ θεοῦ παιδευθῆναι, διὰ τὸ εἰς ὑπερβολὴν φιλάνθρωπον οὐδένα πάντη ἀνέλεγκτον καὶ ἀπαί-
147H δευτον ἐῶντος, πάντα ποιήσωμεν εἰς τὸ 〈μὴ〉 δεηθῆναι τοιούτων ἐλέγχων καὶ τῆς διὰ τῶν ἐπιπονωτάτων παιδείας.

158R LIX. (38) Ἐπισκεπτέον δὲ τῷ ἐντυγχάνοντι τὰ ἐν τοῖς προτέροις 301
ἡμῖν εἰρημένα μετὰ παραθέσεως πλειόνων παραδειγμάτων περὶ τοῦ τί σημαίνεται κατὰ τὴν γραφὴν ἐκ τῆς »Κόσμος« φωνῆς· οὐ γὰρ εὔλογον ἡγησάμην παλιλλογεῖν. οὐκ ἀγνοοῦμεν δέ τινα κόσμον ἐξειληφέναι τὴν ἐκκλησίαν μόνην, κόσμον οὖσαν τοῦ κόσμου, ἐπεὶ καὶ φῶς λέγεται τοῦ κόσμου· »Ὑμεῖς γάρ ἐστε, φησί, τὸ φῶς τοῦ κόσμου«· κόσμος δὲ τοῦ κόσμου ἡ ἐκκλησία, κόσμου αὐτῆς γινομένου Χριστοῦ,
τοῦ πρώτου φωτὸς τοῦ κόσμου. κατανοητέον δὲ εἰ μὴ τοῦ αὐτοῦ 302
κόσμου φῶς εἶναι λέγεται ὁ χριστὸς καὶ οἱ μαθηταὶ αὐτοῦ· ἀλλʼ ὅτε μὲν Χριστὸς φῶς τοῦ κόσμου ἐστίν, τάχα τῆς ἐκκλησίας ἐστὶ φῶς· ὅτε δὲ οἱ μαθηταὶ αὐτοῦ φῶς τοῦ κόσμου, μήποτε τῶν παρακαλουμένων εἰσὶ φῶς, ἑτέρων ὄντων παρὰ τὴν ἐκκλησίαν, ὥσπερ τῷ Παύλῳ περὶ τούτων εἴρηται ἐν τῷ προοιμίῳ τῆς προτέρας πρὸς Κορινθίους ἐπι-
176r στολῆς γράφοντι· »Τῇ ἐκκλησίᾳ τοῦ θεοῦ | σὺν πᾶσι τοῖς ἐπικαλου-»μένοις τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ Χριστοῦ«· ἐάν 〈οὖν〉 τις ὑπονοῇ τοῦ κόσμου φῶς λέγεσθαι τὴν ἐκκλησίαν, οἱονεὶ τοῦ λοιποῦ γένους τῶν ἀνθρώπων καὶ τῶν ἀπίστων, εἰ μὲν προφητικῶς τοῦτο διὰ τὸν

2 Vgl. Joh. 1, 29. — 12 Joh. 1, 29. — 23 Matth. 5, 14. — 27 Vgl. Joh. 1, 9. 28 Vgl. Matth. 5, 14. — 31 I Kor. 1, 2.

1 στάχυας πεδίων] στάχυση πεδίον, von M¹ zu στάχυας πεδίων corr. | 2 〈τοῦ〉 + V | κόσM | 6 ἔρχεται] ἄρχεται, corr. V | 7 μία] διὰ, corr. We; ἕνια Br | 8 nach ἐστιν ist etwas ausgefallen, etwa ἄρχεσθαι vgl. Z. 10 | 11 ἀναινεθῆναι, corr. We | 16 〈μὴ〉 + Ferrarius | 25 δὲ] δὴ, corr. V | 28 ἐπικαλουμένων? vgl. z. 31. S. 168, 6 | 30 ἐπιστολῆς] ἐπιστολῇ, corr. V | 32 〈οὖν〉 + We.

Digitized by Google

περὶ τέλους λόγον ἐκλήψεται. τάχα ἔχει χώραν τὸ λεγόμενον· εἰ δὲ
ὡς ἤδη γινόμενον, ἐπεὶ τὸ φῶς τινος φωτίζει ἐκεῖνο, οὗ ἐστι φῶς,
δεικνύτωσαν πῶς τὸ λοιπὸν γένος φωτίζεται ὑπὸ τῆς παρεπιδημού-
303 σης τῷ κόσμῳ ἐκκλησίας. εἰ δὲ τοῦτο δεικνύναι οὐ δύνανται. ἐπι-
στησάτωσαν μήποτε ὑγιῶς ἐξειλήφαμεν φῶς μὲν εἶναι τὴν ἐκκλησίαν, 5
κόσμον δὲ τοὺς ἐπικαλουμένους. ἡ δὲ ἐξῆς φωνή, κειμένη ἐν τῷ κατὰ
Ματθαῖον, τῷ ἐπιμελέστατα ἐρευνῶντι τὰς γραφὰς παραστήσει τὴν
διήγησιν· »Ὑμεῖς, γάρ φησιν, ἐστὲ τὸ ἅλα τῆς γῆς«· τάχα τῆς γῆς
τῶν λοιπῶν ἀνθρώπων νοουμένων, ὧν ἅλας εἰσὶν οἱ πεπιστευκότες,
αἴτιοι τοῦ τηρεῖσθαι τὸν κόσμον διὰ τοῦ πιστεύειν τυγχάνοντες· 10
τότε γὰρ ἡ συντέλεια ἔσται »ἐὰν τὸ ἅλα μωρανθῇ« καὶ μηκέτι ᾖ τὸ
ἁλίζον καὶ συντηροῦν τὴν γῆν, ἐπεὶ σαφὲς ὅτι ἐὰν πληθυνθῇ ἡ ἀνο-
μία, καὶ ψυγῇ ἡ ἀγάπη ἐπὶ τῆς γῆς (ὡς καὶ αὐτὸν τὸν σωτῆρα δισ-
τακτικὴν προενέγκασθαι περὶ τῶν ἐν τῇ ἐπιδημίᾳ ἑαυτοῦ φωνὴν
λέγοντα· »Πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν 15
304 »ἐπὶ τῆς γῆς;«) τότε συντέλεια ἔσται τοῦ πρὸ αἰῶνος. λεγέσθω τοί-
νυν ἡ ἐκκλησία κόσμος ὅτε ὑπὸ τοῦ σωτῆρος φωτίζεται· ἡμεῖς δὲ
ζητοῦμεν εἰ κατὰ τὸ »Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν 148 H
»τοῦ κόσμου« κόσμον νοητέον ὑγιῶς τὴν ἐκκλησίαν, περικλειομένου 159 R
305 τοῦ αἴρεσθαι τὴν ἁμαρτίαν εἰς μόνην τὴν ἐκκλησίαν. πῶς γὰρ τὸ 20
ἐν τῇ ἐπιστολῇ ὑπὸ τοῦ αὐτοῦ μαθητοῦ εἰρημένον περὶ τοῦ σωτῆρος
ἱλασμοῦ περὶ τῶν ἁμαρτιῶν τυγχάνοντος διηγησόμεθα οὕτως ἔχον·
»Καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν
»Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ
»περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου«; καὶ 25
τὸ παρὰ τῷ Παύλῳ δὲ τούτῳ νομίζω εἶναι παραπλήσιον οὕτως ἔχον·
»Ὅς ἐστιν σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν«.

306 LX. Πάλιν ἐν τῷ τόπῳ ὁ Ἡρακλέων γενόμενος χωρὶς πάσης
κατασκευῆς καὶ παραθέσεως μαρτυριῶν ἀποφαίνεται ὅτι τὸ μὲν
»Ἀμνὸς τοῦ θεοῦ« ὡς προφήτης φησὶν ὁ Ἰωάννης, τὸ δὲ 30
»Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου« ὡς περισσότερον
προφήτου. καὶ οἴεται τὸ μὲν πρότερον περὶ τοῦ σώμα-
τος αὐτοῦ λέγεσθαι, τὸ δὲ δεύτερον περὶ τοῦ ἐν τῷ σώ-
ματι, τῷ τὸν ἀμνὸν ἀτελῆ εἶναι ἐν τῷ τῶν προβάτων
307 γένει, οὕτω δὲ καὶ τὸ σῶμα παραθέσει τοῦ ἐνοικοῦντος 35

7 Vgl. Joh. 5, 39. — 8 Matth. 5, 13. — 12 Matth. 24, 12. — 15 Luk. 18, 8. — 18 Joh. 1, 29. — 23 1 Joh. 2, 1f. — 27 I Tim. 4, 10. — 30 Joh. 1, 29. — 31 Vgl. Matth. 11, 9.

5 ἐκκλησίαν] σιαν ü. d. Z. | 9. 11. ἅλα M (= D*), ἅλας V nach T | 15 λέγοντα] λέγονται, corr. V | 26 τοῦ τῶ, corr. V.

Digitized by Google

αὐτῷ. τὸ δὲ τέλειον εἰ ἐβούλετο, φησί, τῷ σώματι μαρτυρῆσαι, κριὸν εἶπεν ἂν τὸ μέλλον θύεσθαι. οὐχ ἡγοῦμαι δὲ εἶναι ἀναγκαῖον μετὰ τηλικαύτας γεγενημένας ἐξετάσεις τευτάζειν περὶ τὸν τόπον, ἀγωνιζομένους πρὸς τὰ εὐτελῶς ὑπὸ τοῦ Ἡρακλέωνος εἰρημένα. μόνον δὲ τοῦτο ἐπισημειωτέον, ὅτι ὥσπερ μόγις ἐχώρησεν ὁ κόσμος τὸν κενώσαντα ἑαυτόν, οὕτως ἀμνοῦ καὶ οὐ κριοῦ ἐδεήθη, ἵνα ἀρθῇ αὐτοῦ ἡ ἁμαρτία.

* *

* *

* *

5 Vgl. Phil. 2, 7.

1 σώματι] σῶμα τὸ, corr. V | 2 εἶπεν ἄν] εἰπεῖν αὐτὸ, corr. B | 7 Der Schluss fehlt, wie der Anfang v. Buch X. Wahrscheinlich war in der Urhandschrift ein Blatt herausgerissen.

Digitized by Google

| ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

ΤΟΜΟΣ Ι'.

»*Μετὰ τοῦτο κατέβη εἰς Καφαρναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ* 160R
»*καὶ οἱ ἀδελφοὶ καὶ οἱ μαθηταί, καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας.*
»*καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσόλυμα † ὁ*
»*Ἰησοῦς. καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα*
»*καὶ περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους, καὶ ποιήσας †ὡς* 149H
»*φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ τά τε πρόβατα*
»*καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὰ κέρματα καὶ τὰς*
»*τραπέζας ἀνέστρεψε, καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε*
»*ταῦτα ἐντεῦθεν, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου.*
»*τότε ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι γεγραμμένον ἐστὶν ὅτι Ὁ ζῆλος* 10
»*τοῦ οἴκου σου καταφάγεταί με. ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ*
»*εἶπαν αὐτῷ· Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; ἀπεκρίθη*
»*Ἰησοῦς, καὶ εἶπε· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ*
»*αὐτόν. ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι· Τεσσεράκοντα καὶ ἓξ ἔτεσιν*
»*ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;* 15
»*ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. ὅτε οὖν ἠγέρθη*
»*ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγε, καὶ ἐπί-*
»*στευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ὃν εἶπεν ὁ Ἰησοῦς. ὡς δὲ ἦν ἐν τοῖς*
»*Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, ἐπίστευσαν εἰς τὸ ὄνομα αὐ-*
»*τοῦ πολλοί, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει· αὐτὸς δὲ ὁ Ἰη-* 20
»*σοῦς οὐκ ἐπίστευσεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντας*
»*καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ περὶ ἀνθρώπου, αὐτὸς γὰρ*
»*ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ*«.

1 Joh. 2, 12—25.

Überschrift: *τῶν εἰς τὸν κατὰ Ἰωάνην εὐαγγέλιον ἐξηγήσεις τόμος ι'* | **1 — 23** der erklärte Textabschnitt ist nicht von Origenes vorgestellt worden (s. S. 171, 12). Wahrscheinlich hat man damit den Anfang des Buches, der zugleich mit dem Schluss von B. VI verloren gegangen war, ersetzen wollen | **5** ὡς hat Orig. nicht im Text gehabt (mit ABℵ u. A.) vgl. u. c. 15. 30 u. ö. | **20** *πολλοί* v. **1** Hd. ü. **d.** Zeile; im Bibeltext d. Orig. (XXVIII, 44) und d. Hss. *πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ* | **23** *τί* aus *τίς* corr.

Digitized by Google

I. * * * * ἐν αὐτῇ ἀναγεγραμμένοι ἀριθμοὶ κατά τινα ἀναλογίαν 1
ἁρμόζουσαν ἑκάστῳ πράγματι γραφῆς ἠξιώθησαν. ἐξεταστέον δέ, μή-
ποτε μία τῶν βίβλων Μωσέως ἐπιγεγραμμένη Ἀριθμοί ἐξαιρέτως
τὸν περὶ ἀριθμῶν τοῖς τὰ τοιαῦτα ἐξιχνεύειν δυναμένοις διδάσκει
λόγον.

Ταῦτα δέ μοι ἐν ἀρχῇ τοῦ δεκάτου τόμου λέγεται πρὸς σέ, πολλα- 2
161R χοῦ ὁρῶντι τῆς γραφῆς διαφερούσης προνομίας τετευχότα τὸν δέκα
ἀριθμόν, ὡς ἔνεστι καὶ σοὶ ἐπιμελῶς κατανοεῖν, ἐλπίζοντί τε λήψεσθαι
ἀπὸ θεοῦ πλέον τι καὶ εἰς τοῦτον τὸν τόμον· ὅπερ ἵνα ὑπαρχθῇ
κατὰ δύναμιν ἐμπαρέχειν ἑαυτοὺς τῷ δωρεῖσθαι τὰ κάλλιστα βουλο-
μένῳ θεῷ πειρώμεθα.

Ἀρκτέον δὲ τοῦ βιβλίου ἐντεῦθεν· »Μετὰ τοῦτο κατέβη εἰς Κα- 3
»φαρναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ καὶ οἱ μαθηταί,
»καὶ ἐκεῖ † ἔμεινεν οὐ πολλὰς ἡμέρας«. καὶ οἱ λοιποὶ τρεῖς γράψαντες
τὰ εὐαγγέλια μετὰ τὸν πρὸς τὸν διάβολον ἀγῶνα τοῦ κυρίου εἰς τὴν
177r Γαλιλαίαν φασὶν αὐτὸν ἀνακεχωρηκέναι. | Ματθαῖος δὲ καὶ Λουκᾶς 4
πρότερον γενόμενον ἐν Ναζάροις μετὰ ταῦτα καταλελοιπότα αὐτὰ
ἐλθόντα κατῳκηκέναι εἰς Καφαρναούμ. ὁ δὲ Ματθαῖος καὶ Μάρκος
καὶ αἰτίαν τινὰ λέγουσι τοῦ αὐτὸν ἐκεῖθεν ἀνακεχωρηκέναι τὸ ἀκηκοέ-
ναι, ὅτι Ἰωάννης παρεδόθη.

150H II. Ἔχει δὲ οὕτως τὰ ῥητὰ τοῦ μὲν Ματθαίου· »Τότε ἀφίησιν 5
»αὐτὸν ὁ διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ.
»ἀκούσας δὲ ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν
»καὶ καταλιπὼν τὴν † Ναζαρὲθ ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ τὴν
»παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ, ἵνα πληρωθῇ
»τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· Γῆ Ζαβουλὼν«· καὶ
μετὰ τὰ ἐν τῷ Ἡσαΐᾳ ῥητὰ λέγει· »Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κη-
»ρύσσειν καὶ λέγειν· † Μετανοεῖτε, ἤγγικε † γὰρ ἡ βασιλεία τῶν
»οὐρανῶν«. ὁ δὲ Μάρκος »Καὶ ἦν«, φησίν, »ἐν τῇ ἐρήμῳ τεσσερά- 6
»κοντα ἡμέρας πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ καὶ ἦν μετὰ τῶν θηρίων
»καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ. μετὰ δὲ τὸ παραδοθῆναι τὸν Ἰωάν-

12 Joh. 2, 12. — **16** Vgl. Matth. 4, 12ff. — Vgl. Luk. 4, 14f. — **18** Vgl. Matth. 4, 12. Mark. 1, 14. — **21** Matth. 4, 11—15. — **27** Matth. 4, 17. — **29** Mark. 1, 13.—15.

1 Am Anfang ist ein Blatt verloren gegangen; man wird es durch den vorstehenden Textabschnitt ersetzt haben s. z. S. 170, 1 | **14** ἔμειναν las Orig., vgl. c. 9. u. BNLX 33 al. | **19** *altίαν*] Endung von junger Hd. a. Ras. compendiarisch geschr. | *τὸ*] τῷ V | **24** Orig. las *Ναζαρά* | **26** nach *Ζαβουλών* ist viell. *καὶ τὰ ἑξῆς* ausgefallen | **28** die Stelle lautet S. 180, 30 wie hier, aber u. c. 10: *ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν*, wie Syr. Cur. Sin.; das ist der Text des Orig.; den gewöhnlichen Text, der hier steht, schrieb der Copist aus seinem Exemplar ab, da Orig. die längeren Citate nicht mit zu dictieren pflegte.

Digitized by Google

»νην ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν κηρύσσων τὸ εὐαγγέλιον τοῦ
»θεοῦ, ὅτι Πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ·
7 »μετανοεῖτε καὶ πιστεύετε τῷ εὐαγγελίῳ«. ἔπειτα διηγησάμενος καὶ
περὶ Ἀνδρέου καὶ Πέτρου, Ἰακώβου τε καὶ Ἰωάννου, ἀναγράφει ταῦτα·
»Καὶ εἰσπορευόμενος εἰς Καφαρναοὺμ καὶ εὐθέως τοῖς σάββασιν ἐδί- 5
8 »δασκεν εἰς τὴν συναγωγήν«. ὁ δὲ Λουκᾶς· »Καὶ συντελέσας, φησί,
»τὸν πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ. καὶ ὑπέ-
»στρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν.
»καὶ φήμη ἐξῆλθεν καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ. καὶ αὐτὸς
»ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν δοξαζόμενος ὑπὸ πάντων. καὶ 10
»ἦλθεν εἰς Ναζαρά, οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθεν κατὰ τὸ εἰωθὸς 162R
9 »αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν«. παραστήσας
δὲ τὰ ἐν Ναζαροῖς αὐτῷ εἰρημένα, καὶ τὸν κατ' αὐτοῦ θυμὸν τῶν
ἐν τῇ συναγωγῇ, ἐκβαλλόντων »αὐτὸν ἔξω τῆς πόλεως« καὶ ἀγαγόν-
των »ἕως ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, ὥστε 15
»κατακρημνίσαι αὐτόν«, καὶ ὡς »διελθὼν διὰ μέσου αὐτῶν« ὁ κύριος
»ἐπορεύετο«, ἐπισυνάπτει ταῦτα· »Καὶ κατῆλθεν εἰς Καφαρναοὺμ
»πόλιν τῆς Γαλιλαίας καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασιν«.

10 III. * * * ⟨Παραστατέον δὲ⟩ τὴν περὶ τούτων ἀλήθειαν ἀποκεῖ-
σθαι ἐν τοῖς νοητοῖς, ⟨διὰ τὸ πολλοὺς⟩ μὴ λυομένης τῆς διαφωνίας 20
ἀφεῖσθαι τῆς περὶ τῶν εὐαγγελίων πίστεως, ὡς οὐκ ἀληθῶν οὐδὲ
θειοτέρῳ πνεύματι γεγραμμένων ἢ ἐπιτετευγμένως ἀπομνημονευθέν-
τῶν· ἑκατέρως γὰρ λέγεται συντετάχθαι ἡ τούτων γραφή. λεγέτωσαν
γὰρ ἡμῖν οἱ παραδεχόμενοι τὰ τέσσαρα εὐαγγέλια, καὶ τὴν δοκοῦσαν
διαφωνίαν οἰόμενοι μὴ λύεσθαι διὰ τῆς ἀναγωγῆς, πρὸς ταῖς προει- 25
ρημέναις ἡμῖν ἐπαπορήσεσιν περὶ τῶν τεσσεράκοντα τοῦ πειρασμοῦ
ἡμερῶν οὐδαμῶς δυναμένων χώραν ἔχειν παρὰ τῷ Ἰωάννῃ, πότε
γέγονεν ἐν τῇ Καφαρναοὺμ ὁ κύριος· εἰ γὰρ μετὰ τὰς ἐξ τοῦ ὅτε
ἐβαπτίσθη ἡμέρας, τῇ ἕκτῃ γενομένης τῆς κατὰ | τὸν ἐν Κανᾷ τῆς 177V
Γαλιλαίας γάμον οἰκονομίας, δῆλον ὅτι οὔτε πεπείρασται οὔτε ἐν 151H
11 Ναζαροῖς ἐγένετο οὔτε Ἰωάννης πω παρεδέδοτο. μετὰ οὖν τὴν Κα-

3 Vgl. Mark. 1, 16–20. — 5 Mark. 1, 21. — 6 Luk. 4, 13–16. — 12 Vgl. Luk. 4, 17ff. — 14 Vgl. Luk. 4, 28ff. — 17 Luk. 4, 31. — 29 Vgl. Joh. 2, 1. — 31 Vgl. Joh. 2, 12–15.

5 *εἰσπορευόμενος*] *εἰσπορεύονται* wohl die richtige Lesart vgl. u. S. 180, 35 | *εὐθέως*] wohl mit L. 1. 33 und S. 180, 35 *εὐθύς* | 15 *πόλεις* | 17 *καὶ* ü. d. Z. | 19 ⟨*Παραστατέον δὲ*⟩ We; Ferrarius und d. Ausgg. lesen *δεῖ*; dabei fehlt die Verbindung und es passt nicht recht zum Folgenden. Einige Zeilen der Vorlage scheinen zum Anfang zerstört oder unleserlich gewesen zu sein. Dass vorher noch mehr dagestanden hat, geht aus Zeile 25 hervor | 20 ⟨*διὰ τὸ πολλοὺς*⟩ Pr, *ἢ* Br | 22 *θειοτέρων* | 25 Danach scheint vor c. 3 etwas ausgefallen zu sein | 27 *τότε*, corr. V | 28 *τοῦ*] *τῆς*? We | 30 *οὔτε*] *ὅτε*, corr. V.

Digitized by Google

φαρναούμ, ἔνθα ἔμεινεν οὐ πολλὰς ἡμέρας, τοῦ πάσχα τῶν Ἰουδαίων ἐγγὺς ὄντος ἀνέβη εἰς Ἱεροσόλυμα, ὅτε ἐκβάλλει ἐκ τοῦ ἱεροῦ τά τε πρόβατα καὶ τοὺς βόας, καὶ ἐκχέει τῶν κερματιστῶν τὰ κέρματα. ἔοικεν δὲ ἐν τοῖς Ἱεροσολύμοις ὁ τῶν Φαρισαίων ἄρχων Νικόδημος 12
νυκτὸς πρὸς αὐτὸν [ἀρχῶν] ἐληλυθέναι, καὶ ἀκηκοέναι ταῦτα ἃ ἔξεστιν ἐκ τοῦ εὐαγγελίου λαβεῖν. »Μετὰ δὲ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ »οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβεν μετ' αὐ»τῶν καὶ ἐβάπτιζεν· καθ' ὃν καιρὸν ἦν καὶ Ἰωάννης βαπτίζων ἐν »Αἰνὼν ἐγγὺς τοῦ Σαλίμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ, καὶ παρεγίνοντο »καὶ ἐβαπτίζοντο· οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάν»νης«· ὅτε καὶ »ἐγένετο ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ »Ἰουδαίων περὶ καθαρισμοῦ, καὶ ἦλθον πρὸς τὸν Ἰωάννην«, λέγοντες περὶ τοῦ σωτῆρος τὸ »Ἴδε οὗτος βαπτίζει καὶ πάντες ἔρχονται πρὸς »αὐτόν«· ἀκηκόασιν ἀπὸ τοῦ βαπτιστοῦ λόγους, οὓς ἔστιν ἀπ' αὐτῆς
163R τῆς γραφῆς ἀκριβέστερον λαβεῖν. εἰ δὲ πυνθανομένοις ἡμῖν περὶ τοῦ 13
πότε γέγονε πρῶτον ἐν τῇ Καφαρναοὺμ ὁ χριστός, τῇ λέξει Ματθαίου καὶ τῶν λοιπῶν δύο ἀκολουθοῦντες φήσουσιν μετὰ τὸν πειρασμόν, ὅτε καταλιπὼν τὴν Ναζαρὲθ ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ τὴν παραθαλασσίαν, πῶς ἅμα ἀληθῆ εἶναι ἐροῦσιν τό τε παρὰ τῷ Ματθαίῳ καὶ Μάρκῳ εἰρημένον, ὡς διὰ τὸ ἀκηκοέναι αὐτὸν περὶ τοῦ Ἰωάννου παραδοθέντος εἰς τὴν Γαλιλαίαν ἀναχωρήσαντος, καὶ τὸ παρὰ τῷ Ἰωάννῃ μετὰ καὶ ἄλλας οἰκονομίας πρὸς τῇ ἐν Καφαρναοὺμ μονῇ κείμενον, καὶ τὴν ⟨εἰς⟩ Ἱεροσόλυμα ἄνοδον, τήν τε εἰς τὴν Ἰουδαίαν ἐκεῖθεν κάθοδον, ὅτε οὔπω βεβλημένος ἦν εἰς φυλακὴν ὁ Ἰωάννης, ἀλλ' ἐβάπτιζεν ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλίμ; καὶ ἐπὶ ἄλλων 14
δὲ πλειόνων εἴ τις ἐπιμελῶς ἐξετάζοι τὰ εὐαγγέλια περὶ τῆς κατὰ τὴν ἱστορίαν ἀσυμφωνίας, ἥντινα καθ' ἕκαστον πειρασόμεθα κατὰ τὸ δυνατὸν παραστῆσαι, σκοτοδεινιάσας ἤτοι ἀποστήσεται τοῦ κυροῦν ὡς ἀληθῶς τὰ εὐαγγέλια, καὶ ἀποκληρωτικῶς ἐνὶ αὐτῶν προσθήσεται, μὴ τολμῶν πάντη ἀθετεῖν τὴν περὶ τοῦ κυρίου ἡμῶν πίστιν, ἢ προσιέμενος τὰ τέσσαρα εἶναι ⟨ἐρεῖ τ'⟩ ἀληθὲς αὐτῶν οὐκ ἐν τοῖς σωματικοῖς χαρακτῆρσιν.

IV. (3) Ὑπὲρ δὲ τοῦ ποσὴν ἐπίνοιαν τοῦ βουλήματος τῶν εὐαγ- 15

4 Vgl. Joh. 3, 1. — **6** Joh. 3, 22f. — **11** Vgl. Joh. 3, 25f. — **13** Joh. 3, 26. — **18** Vgl. Matth. 4, 13; vgl. Mark. 1, 13ff. Luk. 4, 13ff. — **21** Vgl. Matth. 4, 12. Mark. 1, 14. — **22** Vgl. Joh. 2, 12. — **23** Vgl. Joh. 2, 13ff.—3, 22. — **25** Vgl. Joh. 3, 23.

4 [ἀρχῶν] wohl aus dem Vorhergehenden fälschlich wiederholt; ἀρχήν, corr. V Ausgg. | **9** Σαλλμ] ἀλλμ, σαλήμ V viell. mit Recht (wie 1. 69. U*Λ*); Σαλείμ Ausgg. | **12** ἦλθεν, corr. V | **18** καταλιπὼν, corr. V, καταλείπων Ausgg. vgl. S. 180, 27 | **23** ⟨εἰς⟩ + V vgl. u. S. 192, 8. 205, 10 | **24** ὅτε] ὅτι, corr. Pr | **28** σκοτοδινιάσας V | **29** ἀληθῆ? | ἐνὶ] ἐν, corr. V | **31** ⟨ἐρεῖ⟩ Pr, ⟨ἕκαστον ἐρεῖ⟩ εἶναι We.

Digitized by Google

γελίων περὶ τῶν τοιούτων λαβεῖν, καὶ τοῦτο ἡμῖν λεκτέον. ἔστω 152 H
τισὶ προκείμενον βλέπουσι τῷ πνεύματι τὸν θεὸν καὶ τοὺς τούτου
πρὸς τοὺς ἁγίους λόγους, τήν τε παρουσίαν, ἣν πάρεστιν αὐτοῖς
ἐξαιρέτοις καιροῖς τῆς προκοπῆς αὐτῶν ἐπιφαινόμενος, πλέοσιν οὖσιν
τὸν ἀριθμὸν καὶ ἐν διαφόροις τόποις, οὐχ ὁμοειδεῖς τε πάντη εὐερ- 5
γεσίας εὐεργετουμένοις, ἑκάστῳ ἰδίᾳ ἀπαγγεῖλαι ἃ βλέπει τῷ πνεύματι
περὶ τοῦ θεοῦ καὶ τῶν λόγων αὐτοῦ, τῶν τε πρὸς τοὺς ἁγίους ἐμ-
φανειῶν, ὥστε τόνδε μὲν περὶ | τῶνδε τῷδε τῷ δικαίῳ κατὰ τόνδε 178r
τὸν τόπον λεγομένων ὑπὸ θεοῦ καὶ πραττομένων ἀπαγγέλλειν, τόνδε
δὲ περὶ τῶν ἑτέρῳ χρησμῳδουμένων καὶ ἐπιτελουμένων, καὶ ἄλλον 10
περί τινος τρίτου παρὰ τοὺς προειρημένους δύο θέλειν ἡμᾶς διδάσκειν·
ἔστω δέ τις καὶ τέταρτος τὸ ἀνάλογον τοῖς τρισὶν περί τινος ποιῶν·
συμφερέσθωσαν δὲ οἱ τέσσαρες οὗτοι περί τινων ὑπὸ τοῦ πνεύματος
αὐτοῖς ὑποβαλλομένων ἀλλήλοις, καὶ περὶ ἑτέρων ἐν ὀλίγῳ παραλ-
λαττέτωσαν, ὥστε εἶναι τοιαύτας αὐτῶν τὰς διηγήσεις· ὤφθη ὁ θεὸς 15
τῷδε κατὰ τόνδε τὸν καιρὸν ἐν τῷδε τῷ τόπῳ, καὶ τάδε αὐτῷ πε-
ποίηκεν οὑτωσί, αὐτῷ ἐπιφαινόμενος τοιῷδε τῷ σχήματι, καὶ ἐχει- 164 R
16 ραγώγησεν ⟨εἰς⟩ τόνδε τὸν τόπον, ἔνθα πεποίηκεν τάδε. ὁ δεύτερος
κατὰ τὸν αὐτὸν τοῖς εἰρημένοις γεγονέναι παρὰ τῷ προτέρῳ χρόνον
ἔν τινι πόλει ἀπαγγελλέτω τὸν θεὸν ὤφθαι, ᾧ καὶ αὐτὸς νοεῖ, τινὶ 20
δευτέρῳ ὄντι ἐν πολὺ ἀπεσχοινισμένῳ τόπῳ παρὰ τὸν τόπον τὸν τοῦ
προτέρου, καὶ ἑτέρους λόγους ἀναγραφέτω κατὰ τὸν αὐτὸν καιρὸν εἰρῆ-
σθαι ᾧ κατὰ τὴν ὑπόθεσιν εἰλήφαμεν δευτέρῳ. τὰ δὲ παραπλήσια
17 περὶ τοῦ τρίτου καὶ τοῦ τετάρτου νοητέον. συμφερέσθωσαν δέ, ὡς
προειρήκαμεν, οὗτοι τὰ ἀληθῆ ἀπαγγέλλοντες περὶ τοῦ θεοῦ καὶ τῶν 25
πρός τινας εὐεργεσιῶν αὐτοῦ ἀλλήλοις ἐπί τινων ἀπαγγελλομένων
ὑπ᾽ αὐτῶν διηγήσεων. δόξει τοίνυν τῷ ἱστορίαν εἶναι νομίζοντι τὴν
τούτων γραφήν, ἢ διὰ εἰκόνος ἱστορικῆς πρόσθοιτ᾽ ἂν παραστῆσαι τὰ
πράγματα, καὶ τὸν θεὸν ὑπολαμβάνοντι κατὰ περιγραφὴν εἶναι ἐν
τόπῳ, μὴ δυνάμενον ⟨ἐν⟩ τῷ αὐτῷ πλείονας ἑαυτοῦ ἐμποιῆσαι φαν- 30
τασίας πλείοσιν ἐν πλείοσιν τόποις καὶ πλείονα ἅμα λέγειν, ἀδύνατον
εἶναι ἀληθεύειν οὓς ὑπεθέμην τέσσαρας, τῷ ἀδύνατον εἶναι ἐν τῷδέ
τινι τῷ τεταγμένῳ καιρῷ τὸν θεὸν εἶναι, ἅτε καὶ κατὰ περιγραφὴν
αὐτὸν νενοημένον ἐν τόπῳ εἶναι, καὶ τῷδε καὶ τῷδε λέγειν τάδε καὶ
τάδε, καὶ ποιεῖν τάδε καὶ τὰ τούτοις ἐναντία, καὶ φέρε εἰπεῖν καθε- 35

25 Vgl. Zeile 13.

1 τοιούτων doppelt geschrieben | 4 αὐτῶν] αὐτην, corr. Hu | 12 ἔστιν, corr. Hu | 14 παραγγελλέτωσαν, corr. Pr | 17 οὕτως εἰ, corr. Pr | 18 ⟨εἰς⟩ + B | 27 ἱστορία, corr. V | 28 ἢ διὰ] ἰδια, corr. B | πρόσθοιτ᾽ ἂν] πρόσθοιτον ὄντα, corr. Pr, πρός τινα τὰ V προσθετὰ ὄντα Perionius, Br | 30 ⟨ἐν⟩ + We | 31 ἀδύνατον] δυνατὸν, corr. Hu.

Digitized by Google

ζόμενον ἅμα καὶ ἑστῶτα εἶναι, εἰ ὁ μὲν τῷδε τῷ καιρῷ λέγοι αὐτὸν ἑστῶτα τάδε τινὰ εἰρηκέναι ἢ πεποιηκέναι ἐν τῷδε τῷ τόπῳ, ὁ δὲ καθεζόμενον.

153H V. (4) Ὥσπερ οὖν ἐπὶ τούτων, ὧν ὑπεθέμην, ἐκληφθεὶς ὁ νοῦς 18
τῶν ἱστορικῶν, χαρακτῆρι βουληθέντων ἡμᾶς διδάξαι τὰ ὑπὸ τοῦ νοῦ αὐτῶν τεθεωρημένα, οὐδεμίαν ἂν εὑρεθείη ἔχων διαφωνίαν, εἰ οἱ τέσσαρες εἶεν σοφοί· οὕτω νοητέον καὶ ἐπὶ τῶν τεσσάρων ἔχειν εὐαγγελιστῶν καταχρησαμένων μὲν πολλοῖς τῶν κατὰ τὸ τεράστιον καὶ παραδοξότατον τῆς δυνάμεως Ἰησοῦ πεπραγμένοις ⟨δὲ⟩ καὶ εἰρημένοις, ἔσθ' ὅπου καὶ προσυφανάντων τῇ γραφῇ μετὰ λέξεως ὡσπερεὶ αἰσθητὸν τὸ καθαρῶς νοητῶς αὐτοῖς τετρανωμένον. οὐ καταγινώσκω δέ 19
178v που καὶ τὸ ὡς κατὰ τὴν ἱστορίαν ἑτέρως γενόμενον πρὸς τὸ χρήσιμον τοῦ
165R ⟨τοῦ⟩των μυστικοῦ σκοποῦ μετατιθέναι πως αὐτούς, ὥστε εἰπεῖν τὸ ἐν ⟨τῷδε τῷ⟩ τό|πῳ γενόμενον ὡς ἐν ἑτέρῳ, ἢ τὸ ἐν τῷδε τῷ καιρῷ ὡς ἐν ἄλλῳ, καὶ τὸ οὑτωσὶ ἀπαγγελλόμενον μετά τινος παραλλαγῆς αὐτοὺς πεποιηκέναι. προέκειτο γὰρ αὐτοῖς ὅπου μὲν ἐνεχώρει ἀλη- 20
θεύειν πνευματικῶς ἅμα καὶ σωματικῶς, ὅπου δὲ μὴ ἐνεδέχετο ἀμφοτέρως, προκρίνειν τὸ πνευματικὸν τοῦ σωματικοῦ, σωζομένου πολλάκις τοῦ ἀληθοῦς πνευματικοῦ ἐν τῷ σωματικῷ, ὡς ἂν εἴποι τις, ψεύδει· ὡς εἰ καὶ ἀπὸ τῆς ἱστορίας λέγοιμεν ὅτι ὁ Ἰακὼβ φάσκων τῷ Ἰσαάκ· »Ἐγὼ Ἡσαῦ ὁ πρωτότοκός σου υἱός« κατὰ μὲν τὸ πνευματικὸν ἠλήθευεν μεταλαβὼν τῶν πρωτοτοκίων ἤδη ἐν τῷ ἀδελφῷ παραπολλυμένων, καὶ διὰ τῆς στολῆς τῶν τε ἐριφίων δερμάτων τὸν ἔξωθεν χαρακτῆρα τοῦ Ἡσαῦ ἀναλαβὼν καὶ γενόμενος χωρὶς τῆς αἰνούσης τὸν θεὸν φωνῆς Ἡσαῦ, ἵνα χώραν λάβῃ πρὸς τὸ εὐλογηθῆναι ὕστερον ὁ Ἡσαῦ. τάχα γὰρ εἰ μὴ ηὐλόγητο Ἰακὼβ ὡς Ἡσαῦ, οὐκ ἂν οὐδὲ Ἡσαῦ καθ' ἑαυτὸν δέξασθαι τὴν εὐλογίαν οἷός τε ἦν. καὶ 21
ὁ Ἰησοῦς τοίνυν πολλά ἐστιν ταῖς ἐπινοίαις, ὧν ἐπινοιῶν εἰκὸς τοὺς εὐαγγελιστὰς διαφόρους ἐννοίας λαμβάνοντας, ἐσθ' ὅτε καὶ συμφερομένους ἀλλήλοις περί τινων ἀναγεγραφέναι τὰ εὐαγγέλια· οἷον ἀληθὲς εἰπεῖν τὰ ὡς πρὸς τὴν λέξιν ἀντικείμενα περὶ τοῦ κυρίου ἡμῶν, ὅτι »γέγονεν ἐκ Δαβίδ«, καὶ »οὐ γέγονεν ἐκ Δαβίδ«. ἀληθὲς μὲν γὰρ 22
τὸ »Γέγονεν ἐκ Δαβίδ«, ὡς καὶ ὁ ἀπόστολός φησι· »Τοῦ γενομένου »ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα«, εἰ τὸ σωματικὸν αὐτοῦ ἐκλάβοιμεν· ψευδὲς δὲ αὐτὸ τοῦτο, εἰ ἐπὶ τῆς θειοτέρας δυνάμεως ἀκούοιμεν τὸ

21 Gen. 27, 19. — 22 Vgl. Gen. 25, 31. — 23 Vgl. Gen. 27, 16. — 33 Röm. 1, 3.

1 λέγων, corr. We | 8 καταχρησάμενον, corr. V | 9 ⟨δὲ⟩ + We | 10 ὡς περι αἰσθητῶν, corr. Hu | 11 τετρανωμένων, corr. V | 13 ⟨τού⟩των] τῶν, corr. We | 14 ⟨τῷδε τῷ⟩ + Pr nach Z. 9 | 16 πεπονηκέναι, corr. B | 30 ἀλλήλοις] ἄλλους, corr. Hu | 31 κυρίου] ῡ̄ς M, υἱὸς V, corr. Hu.

Digitized by Google

γεγονέναι αὐτὸν ἐκ σπέρματος Δαβίδ· ὡρίσθη γὰρ υἱὸς θεοῦ ἐν δυνάμει.

23 VI. Καὶ τάχα διὰ τοῦτο αἱ ἅγιαι προφητεῖαι ὅπου μὲν δοῦλον, ὅπου δὲ υἱὸν αὐτὸν ἀναγορεύουσιν· δοῦλον μὲν διὰ τὴν »δούλου μορ- 154H
»φὴν« καὶ τὸν »ἐκ σπέρματος Δαβίδ«, υἱὸν δὲ κατὰ τὴν πρωτότοκον 5
αὐτοῦ δύναμιν. οὕτως αὐτὸν ἀληθὲς εἰπεῖν ἄνθρωπον καὶ οὐκ ἄνθρωπον· ἄνθρωπον μὲν κατὰ τὸ θανάτου δεκτικόν, οὐκ ἄνθρωπον
24 δὲ κατὰ τὸ ἀνθρώπου θειότερον. ἐγὼ δ' οἶμαι καὶ τὸν Μαρκίωνα παρεκδεξάμενον ὑγιεῖς λόγους, ἀθετοῦντα αὐτοῦ τὴν ἐκ Μαρίας γένεσιν κατὰ τὴν θείαν αὐτοῦ φύσιν, ἀποφήνασθαι ὡς ἄρα οὐκ ἐγεννήθη 10
ἐκ Μαρίας, καὶ διὰ τοῦτο τετολμηκέναι περιγράψαι τούτους τοὺς τόπους ἀπὸ τοῦ εὐαγγελίου· ᾧ παραπλήσιον πεπονθέναι φαίνονται οἱ ἀναιροῦντες αὐτοῦ τὴν ἀνθρωπότητα, καὶ μόνην αὐτοῦ τὴν θεότητα παραδεξάμενοι, οἵ τε τούτοις ἐναντίοι καὶ τὴν θεότητα αὐτοῦ 166R
περιγράψαντες, τὸν δὲ ἄνθρωπον ὡς ἅγιον καὶ δικαιότατον πάντων 15
25 ἀνθρώπων ὁμολογήσαντες. καὶ οἱ τὴν δόκησιν δὲ εἰσάγοντες, τὸν ταπεινώσαντα αὐτὸν »μέχρι θανάτου« καὶ ὑπήκοον γενόμενον μέχρι σταυροῦ μὴ νοήσαντες, μόνον δὲ τὸ ἀπαθὲς καὶ τὸ κρεῖττον παντὸς τοιούτου συμπτώματος φαντασθέντες, ἀποστερεῖν ἡμᾶς τὸ ὅσον ἐφ' ἑαυτοῖς θέλουσιν τοῦ πάντων ἀνθρώπων δικαιοτάτου ἀνθρώπου, | οὐ 179r
26 δυναμένους δι' ἐκείνου σώζεσθαι. ὡς γὰρ »δι' ἑνὸς ἀνθρώπου« »ὁ »θάνατος«, οὕτως καὶ δι' ἑνὸς ἀνθρώπου ἡ τῆς ζωῆς δικαίωσις· οὐκ ἂν χωρὶς τοῦ ἀνθρώπου χωρησάντων ἡμῶν τὴν ἀπὸ τοῦ λόγου ὠφέλειαν, μένοντος ὁποῖος ἦν τὴν ἀρχὴν πρὸς τὸν πατέρα θεοῦ, καὶ μὴ ἀναλαβόντος ἄνθρωπον, τὸν πάντων πρῶτον καὶ πάντων τιμιώτερον 25
καὶ πάντων μᾶλλον καθαρώτερον αὐτὸν χωρῆσαι δυνάμενον· μεθ' ὃν καὶ ἡμεῖς δέξασθαι οἷοί τε αὐτὸν ἐσόμεθα, ἕκαστος τοσοῦτον καὶ τοιοῦτον, ὁποίαν αὐτῷ ποιοῦμεν καὶ πηλίκην χώραν ἐν τῇ ψυχῇ
27 ἡμῶν. ταῦτα δέ μοι πάντα εἴρηται τὰς ἐμφαινομένας διαφωνίας τῶν εὐαγγελίων ⟨συμφώνους⟩ παραστῆσαι θέλοντι ὁδῷ τῆς πνευμα- 30
τικῆς ἐκδοχῆς.

28 VII. (5) Εἰς δὲ τὸν αὐτὸν τόπον καὶ τοιούτῳ παραδείγματι χρηστέον, ὅτι Παῦλος ὁ μὲν σαρκικὸς πεπρᾶσθαι λέγει ὑπὸ τὴν ἁμαρ-

1 Vgl. Röm. 1, 4. — 4 Vgl. Phil. 2, 7. — 5 Vgl. Röm. 1, 3. — Kol. 1, 15. Röm. 1, 4. — 9 Vgl. Zahn, Gesch. d. NT. Kanons II, 455 (zu Luk. 3, 1). — 15 Vgl. hom. in Jerem. 15,6 (S. 130, 4 ff. Kl.) Hilgenfeld, Ketzergesch. d. Urchristent. S. 421 ff. — 16 Vgl. Hilgenfeld, Ketzergesch. d. Urchristent. S. 546 ff. — 17 Vgl. Phil. 2, S. — 21 Vgl. Röm. 5, 12. 18. — 24 Vgl. Joh. 1, 1. — 33 Vgl. Röm. 7, 14.

24 θεοῦ] θεόν, corr. v. Coelln (DG I, 257) | 25 ἀναλαβόντα, corr. V | 28 ὁποίαν] ὁποῖος ἦν, corr. Pr, ὁποίαν οὖν We | 29 τῆς ἐμφαινομένης, corr. Hu | 30 ⟨συμφώνους⟩ + We vgl. o. S. 173, 27.

Digitized by Google

τίαν, καὶ οὐδὲν ἀνακρίνειν οἷός τε ἦν, »ὁ δὲ πνευματικὸς ἀνακρίνει »πάντα«, καὶ »ὑπ᾽ οὐδενὸς ἀνακρίνεται«. καὶ τοῦ μὲν σαρκικοῦ εἰσιν φωναί· »Οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ᾽ ὃ μισῶ τοῦτο ποιῶ«· τοῦ δὲ πνευματικοῦ· »ὃ θέλω πράσσω, καὶ ὃ μισῶ οὐ ποιῶ«. ἀλλὰ καὶ ὁ ἁρπαγεὶς »ἕως τρίτου οὐρανοῦ« καὶ ἀκούσας »ἄρρητα ῥήματα« ἕτερος ἦν παρὰ τὸν λέγοντα· »Περὶ τοῦ τοιούτου καυχήσομαι, ὑπὲρ »δὲ ἐμαυτοῦ οὐ καυχήσομαι«. εἰ δὲ καὶ τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος 29
155H γίνεται, ἵνα Ἰουδαίους κερδήσῃ, καὶ τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ⟨ἵνα τοὺς ὑπὸ νόμον⟩ κερδήσῃ, τοῖς τε ἀνόμοις ὡς ἄνομος, »μὴ ὢν »ἄνομος θεοῦ ἀλλ᾽ ἔννομος Χριστοῦ«, ἵνα κερδήσῃ τοὺς ἀνόμους, καὶ τοῖς ἀσθενέσιν ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσῃ, δῆλον ὅτι ἐξεταστέον αὐτοῦ τοὺς λόγους, ἰδίᾳ μὲν τοὺς Ἰουδαίους, ἰδίᾳ δὲ ὅτε ἐστὶν ὡς ὑπὸ νόμον, καὶ ἄλλοτε ὅτε ἐστὶν ὡς ἄνομος, ἔσθ᾽ ὅτε δὲ ὅτε γίνεται ἀσθενής. οἷον ἃ λέγει »κατὰ συγγνώμην, οὐ κατ᾽ ἐπιταγήν«, 30
167R ἀσθενὴς ὢν λέγει· »Τίς, γάρ φησιν, ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ;« ὅτε δὲ ξύρεται καὶ προσφορὰν προσφέρει ἢ τὸν Τιμόθεον περιτέμνει. Ἰουδαῖος γίνεται· ὅτε δὲ Ἀθηναίοις φησίν· »Εὗρον βωμὸν ἐν ᾧ »ἐγέγραπτο Ἀγνώστῳ θεῷ· ὃ οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτο ἐγὼ »καταγγέλλω ὑμῖν«· καὶ τὸ »Ὡς καί τινες τῶν καθ᾽ ὑμᾶς ποιητῶν »εἰρήκασιν· Τοῦ γὰρ καὶ γένος ἐσμέν«, τοῖς ἀνόμοις ὡς ἄνομος γίνεται, εὐσέβειαν μαρτυρῶν τοῖς ἀσεβεστάτοις καὶ τῷ εἰπόντι· »Ἐκ Διὸς »ἀρχώμεθα· τοῦ γὰρ καὶ γένος ἐσμέν« καταχρησάμενος πρὸς ὃ ἐβούλετο. τάχα δ᾽ ἔσθ᾽ ὅπου τοῖς μὴ Ἰουδαίοις ⟨μὲν⟩ ὑπὸ νόμον δὲ ὑπὸ νόμον γίνεται.

VIII. (6) Ταῦτα δὲ οὐ μόνον εἰς τὰ περὶ τοῦ σωτῆρος χρήσιμα 31
ἡμῖν ἐστιν τὰ παραδείγματα, ἀλλὰ καὶ εἰς τὰ περὶ τῶν μαθητῶν, περὶ ὧν καὶ αὐτῶν ἐστίν τις κατὰ τὸ ῥητὸν διαφωνία. τάχα γὰρ τῇ ἐπινοίᾳ εὑρισκόμενος ὑπὸ τοῦ ἰδίου ἀδελφοῦ Σίμων Ἀνδρέου καὶ ἀκούων »Σὺ κληθήσῃ Κηφᾶς«, ἕτερός ἐστιν παρὰ τὸν ὁρώμενον ἅμα τῷ ἀδελφῷ ὑπὸ τοῦ περιπατοῦντος παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας Ἰησοῦ, καὶ ἀκούοντα ἅμα ἐκείνῳ τῷ Ἀνδρέᾳ· »Δεῦτε ὀπίσω
179v »μου | καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων«. ἔπρεπεν γὰρ τῷ [θεῷ] 32
λογικώτερον ἀπαγγέλλοντι περὶ τοῦ γενομένου σαρκὸς λόγου καὶ τὴν

1 I Kor. 2, 15. — **3** Röm. 7, 15. — **5** Vgl. II Kor. 12, 2ff. — **6** II Kor. 12, 5. — **7** Vgl. I Kor. 9, 20ff. — **14** I Kor. 7, 6. — **15** II Kor. 11, 29. — **16** Vgl. Act. 21, 24ff. — Act. 16, 3. — **17** Act. 17, 23. — **19** Act. 17, 28. — **21** cf. Aratus, *Phaen.* 5. — **28** Joh. 1, 41f. — **30** Matth. 4, 18f.; vgl. Mark. 1, 16f. — **33** Vgl. Joh. 1, 14.

1 ἦν] η, corr. V | ἀνακρίνει] ἀνακρίνειν, corr. We | **2** ἀνακρίνετο, corr. We | **6** καυχήσωμαι, corr. V | **9** ἵνα — νόμον] add. V | **12** ὡς Ἰουδαῖος Lommatzsch | **23** μὲν] add. Pr | **32** θεολογικώτερον schlägt Br vor.

Digitized by Google

γένεσιν διὰ τοῦτο μὴ ἀναγράψαντι τοῦ ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγου, μηδὲ τὸν παρὰ τῇ θαλάσσῃ εὑρημένον καὶ ἐκεῖθεν καλούμενον εἰπεῖν, ἀλλὰ τὸν εὑρισκόμενον ὑπὸ τοῦ ἀδελφοῦ, μείναντος παρὰ τῷ Ἰησοῦ τῇ δεκάτῃ ὥρᾳ, καὶ διὰ τὸ οὕτως εὑρίσκεσθαι εὐθέως λαμβάνοντα τὸ
33 »Κηφᾶς«. ὁ γὰρ ὁρώμενος ὑπὸ τοῦ περιπατοῦντος παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας μόλις ποτὲ καὶ ὕστερον λαμβάνει τὸ »Σὺ εἶ Πέτρος,
34 »καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν«. καὶ ὁ μὲν παρὰ τῷ Ἰωάννῃ Ἰησοῦς γινώσκεται παρὰ τοῖς Φαρισαίοις βαπτίζων, ἐν τοῖς μαθηταῖς αὐτοῦ βαπτίζων, μετὰ καὶ τῶν ἄλλων ἐξαιρέτων καὶ τοῦτο ποιῶν· ὁ δὲ παρὰ τοῖς τρισὶν Ἰησοῦς οὐδαμῶς βαπτίζει.
35 ἔτι δὲ καὶ ὁ βαπτιστὴς Ἰωάννης μέχρι πολλοῦ παρὰ τῷ ὁμωνύμῳ 156 H
εὐαγγελιστῇ διαρκεῖ μὴ βεβλημένος εἰς φυλακήν· ὁ δὲ παρὰ τῷ Ματθαίῳ σχεδὸν Ἰησοῦ πειραζομένου εἰς τὴν φυλακὴν παραδίδοται· δι' ὃν καὶ ἀναχωρεῖ ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, περιϊστάμενος τὸ γενέσθαι ἐν τῇ φυλακῇ· ἀλλ' οὐδὲ εὑρίσκεται παρὰ τῷ Ἰωάννῃ ὁ βαπτι- 168 R
36 στὴς παραδιδόμενος εἰς φυλακήν. τίς δ' οὕτως σοφὸς καὶ ἐπὶ τοσοῦτον ἱκανὸς ὡς πάντα τὸν Ἰησοῦν ἀπὸ τῶν τεσσάρων εὐαγγελιστῶν μαθεῖν, καὶ ἕκαστον ἰδίᾳ χωρῆσαι νοῆσαι, καὶ πάσας αὐτοῦ τὰς καθ' ἕκαστον τόπον ἰδεῖν ἐπιδημίας καὶ λόγους καὶ ἔργα;
37 Κατὰ μέντοι γε τὸν προκείμενον τόπον ἀκολούθως νομίζομεν τῇ ἕκτῃ ἡμέρᾳ τὸν σωτῆρα, ὅτε γεγένηται ἡ κατὰ τὸν γάμον οἰκονομία ἐν Κανᾷ τῆς Γαλιλαίας, καταβεβηκέναι ἅμα τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς καὶ τοῖς μαθηταῖς εἰς τὴν Καφαρναούμ, ὅπερ ἑρμηνεύεται »ἀγρὸς
38 »παρακλήσεως«. ἐχρῆν γὰρ μετὰ τὴν ἐν τῷ οἴνῳ εὐωχίαν καὶ εἰς τὸν τῆς »παρακλήσεως ἀγρὸν« ἅμα τῇ μητρὶ καὶ τοῖς μαθηταῖς ἐληλυθέναι τὸν σωτῆρα, παρακαλέσοντα ἐπὶ τοῖς ἐν τῷ † πλήθει ἀγρῷ ἐσομένοις καρποῖς τοὺς μαθητευομένους καὶ τὴν συνειληφυῖαν αὐτὸν ψυχὴν ἐκ τοῦ ἁγίου πνεύματος, ἢ τοὺς ἐκεῖ ὠφεληθέντας.
39 IX. (7) Ζητητέον μέντοι γε, διὰ τί εἰς μὲν τὸν γάμον οὐ καλοῦνται οἱ ἀδελφοὶ αὐτοῦ (ἀλλ' οὐδὲ ἦσαν ἐκεῖ, οὐ γὰρ εἴρηται), εἰς δὲ τὴν Καφαρναοὺμ καταβαίνουσιν μετ' αὐτοῦ καὶ τῆς μητρὸς αὐτοῦ καὶ τῶν μαθητῶν. ἔτι δὲ ἐξεταστέον, διὰ τί νῦν οὐκ εἰσέρχονται εἰς τὴν
40 Καφαρναοὺμ μηδὲ ἀναβαίνουσιν εἰς αὐτήν, ἀλλὰ καταβαίνουσιν. ὅρα οὖν εἰ ἐνταῦθα τοὺς ἀδελφοὺς ἀντὶ τῶν συγκαταβεβηκυιῶν αὐτῷ δυ-

1 Vgl. Joh. 1, 2. — **3** Vgl. Joh. 1, 39. — **6** Matth. 16, 18. — **8** Vgl. Joh. 3, 22. 4, 1 f. — **13** Vgl. Matth. 4, 12. — **21** Vgl. S. 172, 28. — **22** Vgl. Joh. 2, 12. — **23** Vgl. Lagarde, Onomast. p. 193, 27: *Καφαναοὺμ κώμη παρακλήσεως.* Armen. Onom. Kapharnaum: Landgut der Auswanderung (*παρεκκλίσεως, παρακλίσεως*?) — **31** Vgl. Joh. 2, 12.

20 *κατὰ*] *καὶ ἀ.* corr. Hu | **26** *πλήθει* verdorben; *παρακλήσεως*? We, *λειχῷ*? Pr | **28** *ἢ*] *καὶ*? We | *ὠφελησομένους*? We | **33** *οὐδὲ*? We.

Digitized by Google

νάμεων ἐκληπτέον, οὐ καλουμένων εἰς τὸν γάμον καθ' ἃς εἴπαμεν διηγήσεις. κατωτέρω δὲ ἐν ὑποδεεστέροις τῶν χρηματιζόντων μαθητῶν
180r τοῦ χριστοῦ καὶ ἀλλοειδῶς ὠφελημένων· ὅτι εἰ καλεῖται μήτηρ | αὐτοῦ. εἰσί τινες καρποφοροῦντες, πρὸς οὓς αὐτός τε καταβαίνει ὁ κύριος
5 σὺν τοῖς ὑπηρέταις τοῦ λόγου καὶ μαθηταῖς, τοὺς τοιούτους ὠφελῶν. καὶ τῆς μητρὸς αὐτῷ συμπαρούσης.

Ἐοίκασίν γε οἱ καλούμενοι Καφαρναοὺμ μὴ χωρεῖν τὴν ἐπιπλεῖον 41
διατριβὴν παρ' αὐτοῖς τοῦ Ἰησοῦ καὶ τῶν συγκαταβαινόντων αὐτῷ· ὅθεν μένουσι μὲν παρ' αὐτοῖς, οὐ μὴν πολλὰς ἡμέρας· τὸν γὰρ περὶ
10 τῶν πλειόνων δογμάτων φωτισμὸν ὁ τῆς κατωτέρω »παρακλήσεως »ἀγρὸς« οὐ χωρεῖ, ὀλιγωτέρων τυγχάνων δεκτικός. παραθετέον δὲ πρὸς 42
τὸ θεωρῆσαι διαφορὰς τῶν ἐπιπλεῖον ἢ ἔλαττον δεχομένων τὸν Ἰη-
169R 157H σοῦν τῷ »Ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας« τὸ ἐν τῷ κατὰ Ματθαῖον τῷ ἀναστάντι ἐκ νεκρῶν μεμαθητευμένοις λεγόμενον καὶ ἀποστελλο-
15 μένοις μαθητεῦσαι πάντα τὰ ἔθνη οὕτως ἔχον· »Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν »εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος«. τοῖς μὲν γὰρ πάντα ὅσα ἐνδέχεται φύσιν ἀνθρωπίνην γνῶναι ἔτι ἐνταῦθα τυγχάνουσαν εἰσομένοις λέγεται δεικτικῶς τὸ »Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν »εἰμι«· καὶ περὶ πάσης τῆς ἐν τοῖς θεωρησομένοις ἀνατολῆς ἡμέρας
20 πλείονας ποιούσης τοῖς μακαριωτάτοις τὸ »Πάσας τὰς ἡμέρας ἕως τῆς »συντελείας τοῦ αἰῶνος«· περὶ δὲ τῶν ἐν Καφαρναούμ, πρὸς οὓς ὡς ὑποδεεστέρους καταβαίνουσιν οὐ μόνον ὁ Ἰησοῦς ἀλλὰ καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ μαθηταί· »Ἐκεῖ ἔμειναν οὐ πολ-
»λὰς ἡμέρας«.

25 X. (8) Εἰκὸς δὲ οὐκ ἀλόγως ζητήσειν τινὰς εἰ μετὰ πάσας τὰς 43
ἡμέρας τούτου τοῦ αἰῶνος οὐκέτι ἔσται ὁ εἰπών· »Ἰδοὺ ἐγὼ μεθ' »ὑμῶν« μετὰ τῶν χωρησάντων αὐτὸν »ἕως τῆς συντελείας τοῦ αἰῶ-
»νος«· τὸ γὰρ »ἕως« οἱονεὶ περιγραφήν τινα δηλοῖ χρόνου. λεκτέον 44
δὲ καὶ πρὸς τοῦτο, ὅτι οὐ ταὐτόν ἐστιν τὸ »Μεθ' ὑμῶν εἰμι« ⟨τῷ
30 »Ἐν ὑμῖν εἰμι«⟩. τάχα οὖν κυριώτερον λέγοιμεν ⟨ἂν⟩ οὐκ »ἐν« τοῖς μαθητευομένοις εἶναι τὸν σωτῆρα, ἀλλὰ »μετ'« αὐτῶν ὅσον τῷ νῷ οὐκ ἐφθακόσιν ἐπὶ τὴν τοῦ αἰῶνος συντέλειαν. ἐπὰν δὲ [τὴν] τοῦ κόσμου 45
σταυρωθέντος αὐτοῖς τὴν συντέλειαν αὐτοῦ ἑνστᾶσαν τὸ ὅσον ἐπὶ τῇ αὐτῶν παρασκευῇ θεωρήσωσιν, τότε οὐκέτι μετ' αὐτῶν ἀλλὰ ἐν αὐ-

2 Vgl. c. III (2)ff. — **9** Vgl. Joh. 2, 12. — **13** Joh. 2, 12. — **15** Matth. 28, 20. — **18** Matth. 28, 20. — **20** Matth. 28, 20. — **23** Joh. 2, 12. — **26** Matth. 28, 20. — **32** Vgl. Gal. 6, 14.

1 ἐκληπτέον, *μ* nachträgl. eingefügt | **3** ἀλλοειδῶς] ἄλλου εἴδους, corr. Br | **19** ἀνατολῆς] ἀναστροφῆς? vgl. S. 189, 15 f. | **25** ζητήσειν] ζήτησιν, corr. V | **29** τῷ — εἰμι⟩ add. V | **30** ⟨ἂν⟩ add. Pr | **32** ἐφθάκασιν Ausgg. | τὴν str. Br.

Digitized by Google

τοῖς γενομένου τοῦ Ἰησοῦ ἐροῦσιν τὸ »Οὐκέτι ζῶ ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ »Χριστός« καὶ τὸ »Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος χρι-
46 στοῦ«. ταῦτα δὲ λέγομεν τηρουμένης πως ἰδίᾳ καὶ τῆς παριστάσης ἐκδοχῆς τὸ »πάσας τὰς ἡμέρας« λέγεσθαι τὰς »ἕως συντελείας τοῦ »αἰῶνος« κατὰ τὰ ἐφικτὰ τῇ ἀνθρωπίνῃ φύσει καταλαβεῖν ἔτι ἐνταῦθα
τυγχανούσῃ· ἔστιν γὰρ καὶ ἐκείνης τῆς ἑρμηνείας τηρουμένης ἐπιστῆσαι τῷ »ἐγώ«, ἵνα ὁ μὲν ἕως τῆς συντελείας μετὰ τῶν ἀποστελλομένων μαθητεύειν πάντα τὰ ἔθνη ᾖ ὁ κενώσας ἑαυτὸν καὶ τὴν τοῦ
47 δούλου μορφὴν λαβών· ὡσπερεὶ δὲ τούτου ἕτερος ἐν τῇ καταστάσει ὢν τῇ πρὸ τοῦ κενῶσαι ἑαυτὸν μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος γέ- 10
νηται μετὰ τούτων, ἕως ὑπὸ τοῦ πατρὸς »τεθῶσι« | πάντες »οἱ ἐχθροὶ 180v
»αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ«, μετὰ ταῦτα, ὅτε παραδίδωσιν
ὁ υἱὸς τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί, τοῦ πατρὸς ἐροῦντος αὐτοῖς 170R
τὸ »Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι«· πότερον δὲ πάσας ἡμέρας ἕως τοῦδε
τοῦ χρόνου, ἢ ἁπλῶς πάσας τὰς ἡμέρας, ἢ οὐδὲ πάσας ἀλλὰ πᾶσαν, 15
ἐνέσται σκοπεῖν τῷ βουλομένῳ. νῦν γὰρ ἡμᾶς οὐκ ἀπαιτεῖ τὰ προ- 158H
κείμενα ἐπὶ τοσοῦτον παρεκβῆναι τοῦ λόγου.

48 XI. (9) Ὁ μέντοι γε Ἡρακλέων τὸ »Μετὰ τοῦτο κατέβη εἰς »Καφαρναοὺμ αὐτὸς« διηγούμενος ἄλλης πάλιν οἰκονομίας ἀρχὴν φησὶ δηλοῦσθαι, οὐκ ἀργῶς τοῦ »Κατέ⟨βη⟩« εἰρημένου· 20
καί φησι τὴν Καφαρναοὺμ σημαίνειν ταῦτα τὰ ἔσχατα τοῦ κόσμου, ταῦτα τὰ ὑλικὰ εἰς ἃ κατῆλθεν· καὶ διὰ τὸ ἀνοίκειον, φησίν, εἶναι τὸν τόπον οὐδὲ πεποιηκώς τι λέγεται
49 ἐν αὐτῇ ἢ λελαληκώς. εἰ μὲν οὖν μηδὲ ἐν τοῖς λοιποῖς εὐαγγελίοις πεποιηκώς τι ἢ λελαληκὼς ἐν τῇ Καφαρναοὺμ ὁ κύριος 25
ἡμῶν ἀνεγέγραπτο, τάχα ἂν ἐδιστάξαμεν περὶ τοῦ παραδέξασθαι
50 αὐτοῦ τὴν ἑρμηνείαν. νυνὶ δὲ ὁ μὲν Ματθαῖος καταλιπόντα φησὶ τὸν κύριον ἡμῶν τὴν Ναζαρὰ ἐλθόντα κατῳκηκέναι εἰς Καφαρναοὺμ τὴν παραθαλασσίαν, καὶ ἀπὸ τότε ἀρχὴν τοῦ κη-
51 ρύσσειν πεποιῆσθαι λέγοντα· »Μετανοεῖτε, ἤγγικεν γὰρ ἡ βασιλεία 30
»τῶν οὐρανῶν«. ὁ δὲ Μάρκος ἀπὸ τοῦ πρὸς τὸν διάβολον πειρασμοῦ, μετὰ τὸ παραδοθῆναι τὸν Ἰωάννην ἀπαγγέλλει ἡμῖν εἰς τὴν Γαλιλαίαν κηρύσσοντα τὸ εὐαγγέλιον τοῦ θεοῦ ἐληλυθέναι τὸν κύριον· καὶ μετὰ τὴν εἰς ἀποστολὴν ἐκλογὴν τῶν τεσσάρων
ἁλιέων »εἰσπορεύονται εἰς Καφαρναούμ· καὶ εὐθὺς τοῖς σάββασιν 35

1 Gal. 2, 20. — 2 II Kor. 13, 3. — 4 Vgl. Matth. 28, 20. — 7 Vgl. Matth. 28, 20. — 8 Phil. 2, 7. — 11 Vgl. Hebr. 10, 13 (Ps. 110, 1). — Vgl. 12 I Kor. 15, 24. — 18 Joh. 2, 12. — 27 Matth. 4, 13. — 29 Matth. 4, 17. — 31 Mark. 1, 13 ff. — 35 Mark. 1, 21 f.

4 ἐκοχῆς M*, do v. jüngerer H. ü. d. Z. zugefügt | 9 τοῦτο, corr. Hu | 10 σὴν τελείαν, corr. V | 15 ἢ οὐδὲ] τοῦδε, corr. Del | 16 ἐνέσται] ἐνεστε, letztes ε viell. aus ω corr., ἐνέστω Br, ἔνεστι Ausgg. | 20 κατέ, corr. V | 26 ἀναγέγραπτο.

Digitized by Google

»ἐδίδασκεν εἰς τὴν συναγωγήν, καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ
»αὐτοῦ«. ἀλλὰ καὶ πρᾶξιν αὐτοῦ ἀναγράφει γεγενημένην ἐν Κα- 52
φαρναούμ· »Εὐθύς«, γάρ φησιν, »ἐν τῇ συναγωγῇ αὐτῶν ἦν
»ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἀνέκραξε λέγων· Ἔα, τί
»ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδαμέν σε
»τίς εἶ, ὁ υἱὸς τοῦ θεοῦ. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων· 53
»Φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ«· ὅτε ἐσπάραξεν »αὐτὸν τὸ
»πνεῦμα τὸ ἀκάθαρτον καὶ φωνῆσαν φωνῇ μεγάλῃ ἐξῆλθεν ἐξ
»αὐτοῦ· καὶ ἐθαμβήθησαν ἅπαντες«. καὶ ἡ πενθερὰ Σίμωνος
τοῦ πυρετοῦ ἀπαλλάσσεται ἐν τῇ Καφαρναούμ. πρὸς τούτοις ὁ 54
Μάρκος φησὶν ἑσπέρας γεγενημένης ἐν τῇ Καφαρναοὺμ τεθερα-
πεῦσθαι »πάντας τοὺς κακῶς ἔχοντας καὶ δαιμονιζομένους«. καὶ 55
ὁ Λουκᾶς δὲ τὰ παραπλήσια τῷ Μάρκῳ ἀπαγγέλλει περὶ τῆς
Καφαρναοὺμ λέγων· »Καὶ ἦλθεν εἰς Καφαρναούμ, πόλιν τῆς
»Γαλιλαίας, καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασιν καὶ ἐξε-
171R »πλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ.
»καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκα- 56
»θάρτου, καὶ ἀνέκραξεν φωνῇ μεγάλῃ· Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ
181r »Ναζαρηνέ; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. | καὶ ἐπετίμησεν
159H »αὐτῷ ὁ Ἰησοῦς λέγων· Φιμώθητι καὶ ἔξελθε ἀπ' αὐτοῦ. τότε
»καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς μέσον ἐξῆλθεν ἀπ' αὐτοῦ
»μηδὲν βλάψαν αὐτόν«. καὶ μετὰ ταῦτα ἀπαγγέλλει ὡς Ἀναστὰς 57
ὁ κύριος ἀπὸ τῆς συναγωγῆς εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος.
καὶ ἐπιτιμήσας τῷ ἐν τῇ πενθερᾷ αὐτοῦ πυρετῷ ἀπήλλαξεν αὐ-
τὴν τῆς νόσου· μεθ' ἣν θεραπευθεῖσαν »Δῦντος, φησί, τοῦ ἡλίου
»πάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις ἦγον αὐτοὺς πρὸς
»αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς ἐθεράπευεν
»αὐτούς. ἐξήρχοντο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν, κραυγάζοντα
»καὶ λέγοντα ὅτι Σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ· καὶ ἐπιτιμῶν οὐκ εἴα
»αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν Χριστὸν αὐτὸν εἶναι«. ταῦτα δὲ πάντα 58
περὶ τῶν ἐν Καφαρναοὺμ τῷ σωτῆρι εἰρημένων καὶ πεπραγμένων
παρεστήσαμεν ὑπὲρ τοῦ ἐλέγξαι τὴν Ἡρακλέωνος ἑρμηνείαν λέγοντος·
Διὰ τοῦτο οὐδὲ πεποιηκώς τι λέγεται ἐν αὐτῇ ἢ λελαλη-
κώς. ἢ γὰρ δύο ἐπινοίας διδότω καὶ αὐτὸς τῆς Καφαρναοὺμ καὶ παρι- 59

3 Mark. 1, 23—25. — **7** Mark. 1, 26f. — **9** Vgl. Mark. 1, 30. — **11** Vgl. Mark. 1, 32. 34. — **13** Luk. 4, 31—35. — **22** Luk. 4, 38. — **24** Luk. 4, 39. — **25** Luk. 4, 40f. — **33** Vgl. S. 180, 23.

6 *υἱὸς* statt *ἅγιος* gegen alle Hss. und u. XXVIII, 13 (15) | **7** *ἔξελθε*] *ἐξῆλθεν* vgl. Z. 8 | **11** *τεθεραπεύεσθαι* | **14** *εἰς*] *ἐκ*, corr. V | **18** *σοι*] *σν* (vgl. AFXH) | **22** *μετὰ ταῦτα*] *μεταῦτα* M, *μετὰ τοῦτο* V, *μετ' αὐτὰ* Ausgg. **24** *ἐπετιμήσας* **26** *ἀσθενοῦντας*] *ἀσθένιαν* (*ι* a. Ras.) M, *ἀσθενεῖς* (*ς* a. Ras.) V; corr. Hu nach T.

Digitized by Google

στάτω καὶ πεισάτω ποίας· ἢ τοῦτο ποιῆσαι μὴ δυνάμενος ἀφιστάσθω τοῦ λέγειν τὸν σωτῆρα μάτην τινὶ τόπῳ ἐπιδεδημηκέναι.

60 Καὶ ἡμεῖς δὲ θεοῦ διδόντος γενόμενοι κατὰ τὰ τοιαῦτα χωρία τῆς συναναγνώσεως ὅπου δόξαι ἂν μηδὲν [ἂν] ἠνυκέναι ἐπιδημήσας χωρίοις τισίν, πειρασόμεθα τὸ μὴ μάταιον τῆς ἐπιδημίας αὐτοῦ τρα- 5

61 νῶσαι. XII. (10) Ἔτι δὲ ὁ Ματθαῖος εἰσελθόντος τοῦ κυρίου εἰς τὴν Καφαρναούμ φησι τὸν ἑκατόνταρχον αὐτῷ προσεληλυθέναι λέγοντα· »Ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος«, καὶ ἀκηκοέναι μεθ' ἕτερα εἰρημένα τῷ κυρίῳ παρ' αὐτοῦ τὸ »Ὕπαγε, »καὶ ὡς ἐπίστευσας γενηθήτω σοι«. καὶ τὰ περὶ τῆς Πέτρου πενθερᾶς 10 συμφώνως τοῖς ἄλλοις δυσὶν καὶ αὐτὸς παρέστησεν.

62 Ἡγοῦμαι δὲ εἶναι φιλότιμον καὶ πρέπον τῷ ἐν Χριστῷ φιλομαθεῖ συναγαγεῖν ἀπὸ τῶν τεσσάρων εὐαγγελίων πάντα τὰ περὶ τῆς Καφαρναοὺμ ἀναγεγραμμένα καὶ τοὺς ἐν αὐτῇ λόγους καὶ ἔργα τοῦ κυρίου, καὶ ὁσάκις εἰς αὐτὴν ἐπιδεδήμηκε, καὶ πότε μὲν λέγεται καταβεβηκέναι 172R εἰς αὐτήν, πότε δὲ εἰσεληλυθέναι, καὶ πόθεν. ταῦτα γὰρ ἀλλήλοις συντεθέντα οὐκ ἐάσει ἡμᾶς διαπεσεῖν εἰς τὴν περὶ τῆς Καφαρναοὺμ

63 ἐκδοχήν. πλὴν εἰ καὶ νοσοῦντες ἐκεῖ θεραπεύονται καὶ ἄλλαι δυνάμεις ἐκεῖ γίνονται, τό τε κηρύσσειν »Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν« ἐκεῖθεν ἄρχεται, ἔοικεν εἶναι σύμβολον, ὡς κατὰ τὰς ἀρχὰς ὑπεδειξά- 20 μεθα, ὑποδεεστέρου τινὸς »χωρίου παρακλήσεως«, τάχα διὰ τὸν Ἰησοῦν γινομένου παρακαλέσαντα ἐφ' οἷς ἐδίδαξεν καὶ πεποίηκεν ἐκεῖ τοῦ τόπου »χωρίου παρακλήσεως«· ἴσμεν γὰρ καὶ τόπων ὀνόματα ἐπώ-, νυμα τυγχάνοντα | τοῖς κατὰ τὸν Ἰησοῦν πράγμασιν· ὥσπερ τὰ Γέργεσα 181v

ἔνθα παρεκάλεσαν αὐτὸν μεταβῆναι ἐκ τῶν ὁρίων αὐτῶν οἱ τῶν χοίρων 160H

64 πολῖται, ἑρμηνεύεται »παροικία ἐκβεβληκότων«. ἔτι δὲ καὶ τοῦτο περὶ τῆς Καφαρναοὺμ τετηρήκαμεν, ὅτι οὐ μόνον ἐν αὐτῇ κηρύσσειν τὸ »Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν« ἤρξατο, ἀλλὰ ⟨καὶ⟩ κατὰ τοὺς

65 τρεῖς εὐαγγελιστὰς τὰς πρώτας δυνάμεις ἐκεῖ πεποίηκεν. οὐδεὶς δὲ τῶν τριῶν ἐφ' οἷς πρῶτον ἀνέγραψεν παραδόξοις ἐν τῇ Καφαρναοὺμ 30 γεγεννημένοις τὴν τοῦ μαθητοῦ Ἰωάννου ἐπὶ τῷ πρώτῳ ἔργῳ σημείωσιν πεποίηται λέγοντος· »Ταύτην ἀρχὴν τῶν σημείων ἐποίησεν ὁ Ἰη-

6 Vgl. Matth. 8, 5ff. — 8 Matth. 8, 6. — 9 Matth. 8, 13. — 10 Vgl. Matth. 8, 14.ff. — 19 Matth. 4, 17. — 20 Vgl. S. 179, 22ff. — 24 Vgl. Matth. 8, 34. — 26 Vgl. Lagarde, Onom. s. p. 202, 62 *παροικία ἐκβεβλημένος*. 6, 24 Gergesaeus: colonum eiciens. — 27 Vgl. S. 180, 24ff. — 28 Matth. 4, 17. — 32 Joh. 2, 11.

2 *τινὶ τῷ τόπῳ*, corr. Ausgg. | 4 *ποῦ δόξειὰν μηδὲν ἂν ἠνυκέναι*, corr. Br | 11 *συμφώνως*] *συμφώνοις* M, *σύμφωνα* V, corr. Br | 20 *ὑπεδειξάμεθα*] *ὑπεδεξάμεθα*, corr. Br; *ὑπεδείξαμεν* V | 22 *παρεκαλέσαντα* | *τοῦ τό τόπου* | 25 *χοίρων*] ι a. Ras., *χωρῶν* V vgl. S. 150, 20 | 28 ⟨*καὶ*⟩ + We.

Digitized by Google

»σοῦς ἐν Καπ̃ τῆς Γαλιλαίας«. οὐ γὰρ ἦν ἀρχὴ τῶν σημείων τὸ ἐν 66
Καφαρναούμ, τῷ προηγούμενον μὲν σημείων εἶναι τοῦ υἱοῦ τοῦ θεοῦ
τὴν εὐφροσύνην· διὰ δὲ τὰ τοῖς ἀνθρώποις συμβεβηκότα περιστατικὰ
οὐχ οὕτως τῇ θεραπείᾳ ἐπιδεικνυμένου τοῦ λόγου τὸ ἴδιον κάλλος ἐν
τῷ θεραπεύειν τοὺς πεπονθότας, ὅσον ἐν τῷ εὐφραίνειν τῷ νηφαλίῳ
πόματι τοὺς διὰ τὸ ὑγιαίνειν καὶ εὐωχίᾳ σχολάζειν δυναμένους.

II, 13. *Καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων.*

XIII. (11) *Τὴν τοῦ σοφωτάτου Ἰωάννου ἐξετάζων ἀκρίβειαν κατ'* 67
ἐμαυτὸν ἐζήτουν τί βούλεται αὐτῷ ἡ προσθήκη »Τῶν Ἰουδαίων«. ποίου
γὰρ ἄλλου ἔθνους ἐστὶν ἑορτὴ τὸ πάσχα; διόπερ αὐταρκὲς ἦν, εἰ εἶπεν
»Καὶ ἦν ἐγγὺς τὸ πάσχα«. μήποτε δέ, ἐπεὶ τὸ μέν τί ἐστιν πάσχα 68
ἀνθρώπινον, τῶν μὴ κατὰ βούλησιν τῆς γραφῆς ἐπιτελούντων αὐτό.
τὸ δέ τι θεῖον τὸ ἀληθές, πνεύματι καὶ ἀληθείᾳ ἐνεργούμενον ὑπὸ
τῶν πνεύματι καὶ ἀληθείᾳ προσκυνούντων τὸν θεόν, ἀντιδιέσταλται
πρὸς τὸ θεῖον τὸ λεγόμενον »τῶν Ἰουδαίων«. ἀκούσωμεν γοῦν τοῦ 69
κυρίου νομοθετοῦντος τὸ πάσχα, τί φησιν ὅτε καὶ πρῶτον ὠνόμασται
ἐν τῇ γραφῇ· »Καὶ εἶπε κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν ἐν γῇ
»Αἰγύπτου λέγων· Ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτός ἐστιν ὑμῖν
»ἐν τοῖς μησὶν τοῦ ἐνιαυτοῦ. λάλησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν 70
173R *»Ἰσραὴλ λέγων· Τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρό-*
»βατον κατ' οἴκους πατριῶν«· καὶ μετ' ὀλίγα, ἐν οἷς οὐδέπω τὸ
πάσχα ὀνομαστὶ εἴρητο, ἐπιφέρει· »Οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες
»ὑμῶν περιεζωσμέναι καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν καὶ
»αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν, καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς.
»πάσχα ἐστὶν τοῦ κυρίου«. οὐ γάρ φησι »Πάσχα ἐστὶν ὑμῶν«. καὶ 71
μετ' ὀλίγα δεύτερον οὕτως ὀνομάζει τὴν ἑορτήν· »Καὶ ἔσται ἐὰν
161H *»λέγωσιν πρὸς ὑμᾶς οἱ υἱοὶ ὑμῶν· Τίς ἡ λατρεία αὕτη; καὶ ἐρεῖτε αὐ-*
»τοῖς· Θυσία τὸ πάσχα τοῦ κυρίου, ὡς ἐσκέπασεν τοὺς οἴκους τῶν
»υἱῶν Ἰσραήλ«. καὶ πάλιν δὲ μετ' ὀλίγα· »Εἶπεν δὲ κύριος πρὸς
»Μωϋσῆν καὶ Ἀαρὼν λέγων· Οὗτος ὁ νόμος τοῦ πάσχα· πᾶς ἀλλο-
»γενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ«. καὶ πάλιν μετ' ὀλίγα· »Ἐὰν δέ τις 72
182r *» προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος καὶ ποιῇ τὸ πάσχα κυρίου, περι-*
»τεμεῖται αὐτοῦ πᾶν ἀρσενικόν«. παρατηρητέον γὰρ ὅτι ἐν τῇ νομο- 73

14 Vgl. Joh. 4, 24. — **17** Exod. 12, 1—3. — **22** Exod. 12, 11. — **26** Exod. 12, 26 f. — **29** Exod. 12, 43. — **31** Exod. 12, 48.

1 *οὐ — ἀρχὴ* a. Ras. | **3** *περιστατικὸν*, corr. We | **4** *τὴν θεραπείαν*, corr. We | **6** *τὸ]τοῦ*, corr. V | **10** *εἰ εἶπεν] ἰ εἶπεν*, corr. V, *εἰπεῖν* (ohne *εἰ*) Ausgg. | **14** *προσκυνούντων] προσ* a. Ras. | *ἀντιδιεστάλθαι*, corr. Ausgg. | **22** *φάγεσθαι*, corr. V | **24** *ἔδεσθαι*, corr. V | **28. 32** Die LXX haben *κυρίῳ*, nicht *κυρίου*.

Digitized by Google

θεσίᾳ οὐδαμοῦ λέγεται »Πάσχα ὑμῶν«, ἀλλ᾽ ἅπαξ μὲν ἐν οἷς προεθέμεθα χωρὶς πάσης προσθήκης, τρὶς δὲ »Τὸ πάσχα τοῦ κυρίου«. πρὸς δὲ τὸ παραδέξασθαι τοῦθ᾽ οὕτως ἔχειν περὶ τῆς διαφορᾶς τοῦ »πάσχα »κυρίου« καὶ »πάσχα Ἰουδαίων«, ἴδωμεν καὶ τὰ ἐν τῷ Ἡσαΐᾳ τοῦτον τὸν τρόπον εἰρημένα· »Τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ »ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργείαν καὶ τὰς νουμη-
74 »νίας ὑμῶν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου«. οὐκ ἴδια γὰρ ἑαυτοῦ φησιν ὁ κύριος τὰ ὑπὸ τῶν ἁμαρτανόντων ἐπιτελούμενα, ὑπὸ τῆς ψυχῆς αὐτοῦ, εἴ τίς ποτέ ἐστιν, μισούμενα, οὔτε τὰς νουμηνίας οὔτε τὰ σάββατα οὔτε ἡμέραν μεγάλην οὔτε νηστείαν οὔτε τὰς ἑορτάς.
75 ἐν μέντοι γε τῇ νομοθεσίᾳ τῆς Ἐξόδου περὶ σαββάτου ταῦτα λέγεται· »Εἶπεν δὲ Μωϋσῆς πρὸς αὐτούς· Τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησεν κύριος· »Σάββατα ἀνάπαυσις ἁγία τῷ κυρίῳ«. καὶ μετ᾽ ὀλίγα· »Εἶπεν δὲ
76 »Μωϋσῆς· Φάγετε, σήμερον γάρ ἐστιν σάββατα τῷ κυρίῳ«. καὶ ἐν Ἀριθμοῖς πρὸ τούτων ἐφ᾽ ἑκάστῃ ἑορτῇ θυσιῶν, ὡς ἑορτῆς οὔσης κατὰ τὸν νόμον τοῦ ἐνδελεχισμοῦ καὶ ἑκάστης ἡμέρας, ταῦτα γέγραπται· »Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν· Ἀπάγγειλαι τοῖς υἱοῖς Ἰσραὴλ »καὶ ἐρεῖς πρὸς αὐτοὺς λέγων· Τὰ δῶρά μου, δόματά μου, καρπώματά »μου εἰς ὀσμὴν εὐωδίας διατηρήσετε προσφέρειν μοι ἐν ταῖς ἑορταῖς »μου. καὶ ἐρεῖς πρὸς αὐτούς· Ταῦτα τὰ καρπώματα, ὅσα προσάξετε
»τῷ κυρίῳ«. ἰδίας γὰρ ἑορτὰς ὠνόμασεν καὶ οὐ τῶν νομοθετουμένων τὰς ἐκκειμένας ἐν τῇ γραφῇ, καὶ δῶρα αὐτοῦ καὶ δόματα αὐτοῦ.

77 XIV. Ὅμοιον δέ τι τούτοις ἐστὶν καὶ περὶ τοῦ λαοῦ ἐν τῇ Ἐξόδῳ ἀναγεγραμμένον, ὅστις ὑπὸ τοῦ θεοῦ ἴδιος εἶναι λέγεται ὅτε 174R
μὴ ἁμαρτάνει· ἀποκηρύττων δὲ αὐτὸν ἐν τῇ μοσχοποιΐᾳ »λαὸν Μωϋ-
»σέως« ὠνόμασεν· πρὸς μὲν γὰρ τὸν Φαραὼ »Ἐρεῖς, φησί, Τάδε »λέγει κύριος· Ἐξαπόστειλον τὸν λαόν μου ἵνα λατρεύσῃ μοι ἐν τῇ
78 »ἐρήμῳ. ἐὰν δὲ μὴ βούλῃ ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἀπο»στέλλω ἐπὶ σὲ καὶ ἐπὶ τοὺς θεράποντάς σου καὶ ἐπὶ τὸν λαόν σου »καὶ ἐπὶ τοὺς οἴκους σου κυνόμυιαν, καὶ πλησθήσονται αἱ οἰκίαι τῶν
»Αἰγυπτίων τῆς κυνομυίας, καὶ εἰς τὴν γῆν ἐφ᾽ ἧς εἰσιν ἐπ᾽ αὐτῆς. 162H
79 »καὶ παραδοξάσω τῇ ἡμέρᾳ ἐκείνῃ τὴν γῆν Γεσέμ, ἐφ᾽ ἧς ὁ λαός μου »ἔπεστιν ἐπ᾽ αὐτῆς, ἔφ᾽ † ᾧ οὐκ ἔσται κυνόμυια, ἵνα εἰδῇς ὅτι ἐγώ εἰμι »κύριος ὁ κύριος πάσης τῆς γῆς. καὶ δώσω διαστολὴν ἀνὰ μέσον τοῦ ἐμοῦ »λαοῦ«. πρὸς δὲ τὸν Μωϋσέα ἐλάλησεν κύριος λέγων »Βάδιζε, κατά»βηθι τὸ τάχος· ἠνόμησεν γὰρ ὁ λαός σου οὓς ἐξήγαγες ἐκ γῆς Αἰ-

2 Exod. 12, 11. 27. 48. — **4** Joh. 2, 13. — **5** Jes. 1, 13f. — **12** Exod. 16, 23. (AF al.) — **13** Exod. 16, 25. — **17** Num. 28, 1f. — **25** Exod. 8, 20 (16)—23 (19). — **34** Exod. 32, 7.

6 ἀργείαν (mit AΓ), ἀργίαν V (mit B) | **27** λατρεύσῃ mit A (B λατρεύσωσιν | **30** οἰκία | **33** ἐφ᾽ ᾧ] wohl ἐφ᾽ ἧ (nach A) | ἔσται] ἔστιν, corr. Br.

Digitized by Google

»γύπτου«. ὥσπερ οὖν ὁ λαὸς μὴ ἁμαρτάνων μὲν τοῦ θεοῦ ἐστιν, 80
ἁμαρτάνων δὲ οὐκέτι λέγεται εἶναι αὐτοῦ· οὕτω καὶ αἱ ἑορταί, ὅτε
182v μὲν μισοῦνται ὑπὸ τῆς τοῦ | κυρίου ψυχῆς, τῶν ἁμαρτανόντων εἰσὶν
ἑορταί, ὅτε δὲ ὑπὸ τοῦ κυρίου νομοθετοῦνται, κυρίου εἶναι προσαγο-
ρεύονται. τῶν δὲ ἑορτῶν μία ἐστὶν καὶ τὸ πάσχα, ὅπερ ἐν τῇ προ- 81
κειμένῃ τοῦ εὐαγγελίου γραφῇ οὐ τοῦ κυρίου ἀλλὰ τῶν Ἰουδαίων
εἶναι λέγεται· καὶ ἀλλαχοῦ δέ· »Αὗται, φησίν, αἱ ἑορταὶ κυρίου ἃς
»καλέσετε αὐτὰς κλητὰς ἁγίας«. ἀπὸ μὲν οὖν τῆς τοῦ κυρίου φωνῆς 82
οὐκ ἔστιν ἀντιλέγειν οἷς παρεστήσαμεν. πιθανῶς δέ τις ἀπὸ τοῦ
ἀποστόλου ζητήσει ἐν τῇ πρὸς Κορινθίους ἀναγράφοντος· »Καὶ γὰρ
»τὸ πάσχα ἡμῶν ἐτύθη Χριστός«· οὐ γάρ φησιν »Τὸ πάσχα κυρίου
»ἐτύθη Χριστός«. καὶ πρὸς τοῦτο δὲ λεκτέον ἤτοι ὅτι ἁπλούστερον 83
πάσχα ἡμῶν τυθὲν τὸ δι' ἡμᾶς τυθὲν εἴρηκεν, ἢ ὅτι πᾶσα ἑορτὴ
ἀληθῶς κυρίου, ὧν μία ἐστὶν τὸ πάσχα, οὐκ ἐν τούτῳ τῷ αἰῶνι οὐδὲ
ἐπὶ γῆς ἀλλ' ἐν τῷ μέλλοντι καὶ ἐν οὐρανοῖς, ἐνστάσης τῆς βασιλείας
τῶν οὐρανῶν ἐπιτελεσθήσεται. καὶ περὶ ἐκείνων γε τῶν ἑορτῶν ὁ 84
μὲν εἷς τῶν ιβ' προφητῶν φησι »Τί ποιήσετε ἐν ἡμέραις πανηγύρεως
»καὶ ἐν ἡμέραις ἑορτῆς τοῦ κυρίου;« ὁ δὲ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους·
»Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ
»ἐπουρανίῳ καὶ μυριάσιν ἀγγέλων πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων
»ἀπογεγραμμένων ἐν οὐρανοῖς«· καὶ ἐν τῇ πρὸς Κολασσαεῖς· »Μὴ
»οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει †καὶ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς
»ἢ νουμηνίας ἢ σαββάτων, ἅ ἐστι σκιὰ τῶν μελλόντων«.
175R XV. (12) Τίνα δὲ τρόπον ἐν τοῖς ἐπουρανίοις, ὧν σκιὰ παρὰ 85
τοῖς σωματικοῖς Ἰουδαίοις ἦν, ἑορτάσομεν, ὑπὸ τὸν ἀληθῆ πρότερον
παιδαγωγούμενοι νόμον παρὰ ἐπιτρόποις καὶ οἰκονόμοις ἕως τὸ ἐκεῖ
πλήρωμα τοῦ χρόνου ἐνστῇ καὶ τὴν τελειότητα τοῦ υἱοῦ τοῦ θεοῦ
χωρήσωμεν, ἔργον σοφίας τῆς ἐν μυστηρίῳ ἀποκεκρυμμένης ἔστιν φα-
νερῶσαι, καὶ τὰ περὶ βρωμάτων νομοθετούμενα, σύμβολα τῶν ἐκεῖ
μελλόντων τρέφειν καὶ ἰσχυροποιεῖν ἡμῶν τὴν ψυχὴν τυγχάνοντα,
163H θεωρεῖν. εἰκὸς δὲ φανταστωθέντα τινὰ τὸ πέλαγος τῶν τοσούτων 86
νοημάτων καὶ βουλόμενον † σῶσαι πῶς ἡ κατὰ τόπον λατρεία ὑπόδειγμα

7 Lev. 23, 1. — 10 I Kor. 5, 7. — 17 Hos. 9, 5. — 19 Hebr. 12, 22f. — 21 Kol. 2, 16f. — 24 Vgl. Hebr. 8, 5. — 26 Vgl. Gal. 3, 24; 4, 2. 4. — 28 Vgl. I Kor. 2, 7.

11 nach ἡμῶν + ὑπὲρ ἡμῶν V mit ϛκzC^{3}37.47 al.; dass Origenes den Zusatz nicht las, geht aus dem δι' ἡμᾶς Z. 13 hervor | 16 ἑορτῶν] ἑορ a. Ras. | 22 καὶ] wahrscheinl. las Orig. ἤ, wie Com. in Mt. XI, 16 und die lat. Übersss. bieten (Tregelles z. d. St.); doch lässt sich nichts Genaueres ausmachen | 25 ἑορτάσομεν] ἑορτὰς οἱ μέν, corr. Br | 31 εἰκῇ, corr. Br | 32 σῶσαι] σκοπῆσαι? We.

Digitized by Google

καὶ σκιά ἐστιν τῶν ἐπουρανίων, τά τε θύματα καὶ τὸ πρόβατον νοῆσαι
βουλόμενον, προσκόψαι καὶ τῷ ἀποστόλῳ ἐπᾶραι μὲν ἡμῶν τὸ φρό-
νημα βουληθέντι ἀπὸ τῶν γηίνων περὶ τοῦ νόμου δογμάτων οὐ πάνυ
87 δὲ παραστήσαντι πῶς ταῦτα μέλλει γίνεσθαι. ἐὰν δὲ καὶ ἑορταί, ὧν
μία τὸ πάσχα ἐστίν, καὶ ἐπὶ τὸν μέλλοντα ἀνάγονται αἰῶνα, ἔτι
μᾶλλον ἐπισκοπητέον πῶς καὶ νῦν »τὸ πάσχα ἡμῶν ἐτύθη Χριστὸς«
καὶ μετὰ ταῦτα τυθήσεται.

88 XVI. (13) Ὀλίγα δὲ εἰς τὴν ἐπαπόρησιν τῶν δογμάτων παραθε-
τέον ἡμῖν, ἰδίας δεομένων πραγματείας ἐξαιρέτου καὶ πολυβίβλου,
παντός τε τοῦ κατὰ τὸν νόμον μυστικοῦ | λόγου, καὶ ἰδίᾳ τῶν κατὰ 183r
89 τὰς ἑορτὰς καὶ ἔτι ἰδικώτερον περὶ τοῦ πάσχα. Ἰουδαίων μὲν οὖν
τὸ πάσχα πρόβατόν ἐστιν θυόμενον, λαμβανόμενον ἑκάστῳ κατ' οἴκους
πατριῶν καὶ ἐπιτελούμενον μυριάσιν σφαζομέναις ἀμνῶν καὶ ἐρίφων,
πλείοσιν κατὰ τὴν ἀναλογίαν τοῦ ἀριθμοῦ τῶν οἴκων τοῦ λαοῦ· »τὸ
90 »δὲ ἡμῶν πάσχα ἐτύθη Χριστός«. καὶ πάλιν ἐκείνων μέν ἐστιν τὰ 15
ἄζυμα ἀφανιζομένης πάσης ζύμης ἐκ τῶν οἴκων αὐτῶν· ἡμεῖς δὲ
ἑορτάζομεν οὐ »ζύμῃ παλαιᾷ« οὐδὲ »ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ'
91 »ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας«. εἰ δέ ἐστί τι τρίτον παρὰ τὰ
εἰρημένα δύο τὸ πάσχα τοῦ κυρίου καὶ ἄζυμων ἑορτή, ἀκριβέστερον
ἐξεταστέον διὰ τὸ ὑποδείγματι καὶ σκιᾷ λατρεύειν ἐκείνους τῶν ἐπου- 20
ρανίων ἐκείνων, καὶ οὐ μόνον βρώματα καὶ πόματα καὶ νεομηνίας καὶ σάβ-
92 βατα ἀλλὰ καὶ τὰς ἑορτὰς σκιὰν εἶναι τῶν μελλόντων. πρῶτον δὴ τοῦ
ἀποστόλου λέγοντος· »Τὸ πάσχα ἡμῶν ἐτύθη Χριστός« ἐπαπορήσει
τις πρὸς αὐτὸν ταῦτα· εἰ τύπος ἐστὶν τῆς Χριστοῦ θύσεως τὸ παρὰ
Ἰουδαίοις πρόβατον, ἤτοι ἐχρῆν ἓν καὶ μὴ πολλὰ θύεσθαι παρ' αὐτοῖς 25
πρόβατα, ὥσπερ εἷς ἐστιν ὁ χριστός, ἢ πολλῶν θυομένων προβάτων 176R
οἱονεὶ πολλοὺς Χριστοὺς θυομένους ἀκολούθως τῷ τύπῳ ζητητέον.
93 ἵνα δὲ τοῦτο παραπεμψώμεθα, πῶς τὸ θυόμενον πρόβατον Χριστοῦ
περιέχει εἰκόνα, τοῦ μὲν προβάτου ὑπὸ τῶν τηρούντων τὸν νόμον
θυομένου, Χριστοῦ δὲ ὑπὸ τῶν παραβαινόντων αὐτὸν ἀναιρουμένου; 30
ἔτι δὲ πῶς ἐπὶ Χριστοῦ τὸ »Φάγονται τὰ κρέα ταύτῃ τῇ νυκτὶ ὀπτὰ
»πυρὶ καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται«; ἑρμηνευτέον καὶ τὸ »Οὐκ
»ἔδεσθε ἀπ' αὐτῶν ὠμὸν οὐδὲ ἡψημένον ἐν ὕδατι, ἀλλ' ἢ ὀπτὰ πυρί· 164H
»κεφαλὴν σὺν τοῖς ποσὶν καὶ τοῖς ἐνδοσθίοις· οὐκ ἀπολείψετε ἀπ'
»αὐτῶν ἕως πρωΐ, καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτῶν· τὰ δὲ κατα- 35

6 Vgl. I Kor. 5, 7. — 12 Vgl. Exod. 12, 3. — 14 I Kor. 5, 7. — 16 Vgl. Exod. 12, 15. — 17 Vgl. I Kor. 5, 8. — 20 Vgl. Hebr. 8, 5. — 21 Vgl. Hebr. 9, 10; Kol. 2, 16f. Contra Cels. II, 2. — 23 I Kor. 5, 7. — 31 Exod. 12, 8. — 32 Exod. 12, 9f.

1 σκιαί, corr. V | 2 προσκόψαι, corr. Br | 4 ἑορτα | 9 ἡμῖν] ἡμῶν, corr. Br | ἰδίας] ἰδέας, corr. V | 10 πάντως? | 33 ἔδεσθαι, corr. V | 34 ἀπολείψεται, συντρίψεται T | 35 ὀστοῦν] οστ a. Ras.

Digitized by Google

»λειπόμενα ἀπ᾽ αὐτῶν ἕως πρωῒ καταναύσετε«. ἔοικεν δὲ τῷ »Ὀστοῦν 94
»οὐ συντρίψετε ἀπ᾽ αὐτοῦ« ὁ Ἰωάννης ἐν τῷ εὐαγγελίῳ κεχρῆσθαι
ὡς ἀναφερομένῳ ἐπὶ τὴν περὶ τὸν σωτῆρα οἰκονομίαν, καὶ ὅτε ἐν
τῷ νόμῳ κελεύονται τὸ πρόβατον ἐσθίοντες ὀστοῦν αὐτοῦ μὴ συν-
5 τρίβειν. λέγει δὲ οὕτως· »Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν 95
»πρώτου κατέαξαν τὰ σκέλη ⟨καὶ τοῦ⟩ ἄλλου τοῦ συνσταυρωθέντος
»αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον ἤδη αὐτὸν τεθνηκότα
»οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη. ἀλλ᾽ εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν
»πλευρὰν αὐτοῦ ἔνυξεν· καὶ ἐξῆλθεν εὐθὺς αἷμα καὶ ὕδωρ. καὶ ὁ
10 »ἑωρακὼς μεμαρτύρηκεν καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία· καὶ
»ἐκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύητε. ἐγένετο γὰρ
183v »ταῦτα ἵνα ⟨ἡ⟩ γραφὴ πληρωθῇ· Ὀστοῦν αὐτοῦ οὐ συντριβήσεται«.

XVII. Καὶ ἄλλα δὲ μυρία παρὰ ταῦτά ἐστιν τὰ πρὸς τὴν τοῦ 96
ἀποστόλου λέξιν ἀναζητηθησόμενα καὶ περὶ τοῦ πάσχα καὶ ἀζύμων
15 ἐξετασθησόμενα, ⟨δεόμενα⟩ δέ, ὡς προειρήκαμεν, προηγουμένης πολυ-
βίβλου συγγραφῆς. νῦν δὲ ὡς ἐν ἐπιτομῇ διὰ τὴν προκειμένην λέξιν 97
ταῦτα παραθέμενοι, τὰ φαινόμενα ὡς ἐν βραχέσιν οὕτω λύειν πειρα-
σόμεθα, ὑπομνησθέντες καὶ τοῦ »Οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ θεοῦ ὁ
»αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου«, ἐπεὶ καὶ ἐν τῷ πάσχα »Ἀπὸ τῶν
20 »ἀμνῶν, φησί, καὶ τῶν ἐρίφων λήψεσθε«. δόξει γὰρ καὶ ὁ εὐαγγε- 98
λιστὴς συνᾴδων τῷ Παύλῳ τοιαύτας ἐνέχεσθαι τῶν ἐξητασμένων
ἀπορίαις. λεκτέον δὲ ὅτι εἰ ὁ λόγος γέγονε σὰρξ καί φησιν ὁ κύριος· 99
»Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ
»τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ τρώγων μου τὴν σάρκα καὶ
25 »πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ
177R »ἐσχάτῃ ἡμέρᾳ· ἡ γὰρ σάρξ μου ἀληθής ἐστιν βρῶσις, καὶ τὸ αἷμά
»μου ἀληθής ἐστιν πόσις. ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου
»τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ«, μήποτε αὕτη ἐστὶν ἡ σὰρξ
τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ, καὶ τοῦτ᾽ ἔστιν τὸ
30 αἷμα ἀφ᾽ οὗ τιθέναι δεῖ ἐπὶ τῶν δύο σταθμῶν, καὶ ἐπὶ τὴν φλιὰν
ἐν τοῖς οἴκοις, ἐν οἷς ἐσθίομεν τὸ πάσχα, καὶ ἀπὸ τῶν τοῦ ἀμνοῦ
τούτου δεῖ φαγεῖν κρεῶν ἐν τῷ τοῦ κόσμου χρόνῳ, ὅς ἐστιν νύξ·
ὀπτὰ δὲ τὰ κρέα πυρὶ βρωτέον μετὰ τοῦ ἀπὸ ἀζύμων ἄρτου· ὁ γὰρ
τοῦ θεοῦ λόγος οὐ μόνον ἐστὶ σάρξ· φησὶ γοῦν· »Ἐγώ εἰμι ὁ ἄρτος

1 Exod. 12, 10. — **5** Joh. 19, 32—36. — **15** Vgl. S. 186, 9. — **18** Joh. 1, 29. — **19** Exod. 12, 5. — **23** Joh. 6, 53—56. — **29** Vgl. Joh. 1, 29. — 30 Vgl. Exod. 12, 7f. — **33** Vgl. Exod. 12, 8. — **34** Joh. 6, 48.

2 *συντρίψεται*, corr. Pr vgl. S. 186, 35; 187, 12 | **6** *καὶ τοῦ* + Ausgg. nach T | *ἀλλ᾽ οὐ* M, *ἀλλ᾽ οὐδὲ* V | **12** *ἡ* add. V | *συντριβήσετε*, corr. V | Die Stellung von *αὐτοῦ* ist singulär | **15** *δεόμενα* + We | *προηγουμένως*? | **32** *κρέα*, corr. We.

Digitized by Google

»τῆς ζωῆς« καὶ »Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων
»ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν 165H
»ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου ζήσει
100 »εἰς τὸν αἰῶνα«. οὐκ ἀγνοητέον μέντοι γε ὅτι πᾶσα τροφὴ καταχρη-
στικώτερον ἄρτος λέγεται, ὡς ἐπὶ Μωϋσέως ἐν τῷ Δευτερονομίῳ 5
γέγραπται· »Τεσσεράκοντα ἡμέρας ἄρτον οὐκ ἔφαγεν καὶ ὕδωρ οὐκ
101 »ἔπιεν«· ἀντὶ τοῦ· οὔτε ξηρᾶς οὔτε ὑγρᾶς μετείληφεν τροφῆς. τοῦτο
δέ μοι τετήρηται διὰ τὸ καὶ ἐν τῷ κατὰ Ἰωάννην λέγεσθαι· »Καὶ ὁ
»ἄρτος δέ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς«.
102 ἤτοι δὲ διὰ τὰς ἐπὶ τοῖς ἁμαρτήμασιν ἡμῶν μετανοίας τὴν κατὰ θεὸν 10
λύπην λυπούμενοι, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἡμῖν ἐργα-
ζομένην, ἐπὶ πικρίδων ἐσθίομεν τὰ κρέα τοῦ ἀμνοῦ καὶ τὰ ἄζυμα, ἢ
διὰ τὰς βασάνους ζητοῦντες καὶ τρεφόμενοι ἀπὸ τῶν εὑρισκομένων
τῆς ἀληθείας θεωρημάτων.

103 XVIII. Οὐκ ὠμὴν οὖν βρωτέον τὴν σάρκα τοῦ ἀμνοῦ, ὥσπερ 15
ποιοῦσιν οἱ τῆς λέξεως δοῦλοι τρόπον ἀλόγων ζῴων καὶ ἀποτεθη-
ριωμένων, πρὸς τοὺς ἀληθῶς λογικοὺς διὰ τοῦ | συνιέναι βούλεσθαι 184r
104 τὰ πνευματικὰ λόγου, μεταλαμβάνοντες θηρίων ἀπηγριωμένων. φι-
λοτιμητέον δὲ τῷ εἰς ἔψησιν μεταλαμβάνοντι τὸ ὠμὸν τῆς γραφῆς
μὴ ἐπὶ τὸ πλαδαρώτερον καὶ ὑδαρέστερον καὶ ἐκλελυμένον μεταλαμ- 20
βάνειν τὰ γεγραμμένα, ὅπερ ποιοῦσιν οἱ »κνηθόμενοι τὴν ἀκοὴν καὶ ἀπὸ
»μὲν τῆς ἀληθείας« ἀποστρέφοντες αὐτήν, ἐπὶ δὲ τὸ ἀνειμένον καὶ ὑδα-
ρέστερον τῆς πολιτείας μεταλαμβάνοντες τὰς κατ' αὐτοὺς ἀναγωγάς.
105 ἡμεῖς δὲ τῷ ζέοντι πνεύματι, καὶ τοῖς διδομένοις ὑπὸ θεοῦ διαπύροις
λόγοις, ὁποίους Ἱερεμίας εἰλήφει ἀπὸ τοῦ λέγοντος πρὸς αὐτόν· »Ἰδοὺ 25
»δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ«, ὀπτὰ ποιήσωμεν
τὰ κρέα τοῦ ἀμνοῦ, ὥστε τοὺς μεταλαμβάνοντας αὐτῶν λέγειν, Χρι-
στοῦ ἐν ἡμῖν λαλοῦντος, ὅτι »Ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν τῇ ὁδῷ, 178B
»ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς«. †εἰς δὲ τὸ τοιοῦτον ἡμᾶς ζητῆσαι
πυρὶ ὀπτῆσαι δὲ ἤξει † τὰ τοῦ ἀμνοῦ κρέα, παραθετέον τὴν ὁμο- 30
λογίαν οὗ ἐπεπόνθει ἐπὶ τοῖς λόγοις τοῦ θεοῦ πάθους Ἱερεμίας λέγων·
»Καὶ ἐγένετο ὡς πῦρ καιόμενον, φλέγον ἐν τοῖς ὀστέοις μου, καὶ

1 Joh. 6, 50f. — **6** Exod. 34, 28; vgl. Deut. 9, 9. — **8** Joh. 6, 51. — **10** Vgl. II Kor. 7, 9f. — **12** Vgl. Exod. 12, 8. — **21** Vgl. II Tim. 4, 3f. — **24** Vgl. Röm. 12, 11. — **25** Jer. 5, 14. — **27** Vgl. II Kor. 13, 3. — **28** Luk. 24, 32. (nach Syr. Sin. Cur.) — **32** Jer. 20, 9.

1 οὗτος] ουτ a. Ras. | ὁ² über d. Z. | ἐκ τοῦ] ἐκτὸν, Ras. über τ | **6** wenn das Citat aus Deut. entnommen ist, musste es ἔφαγον und ἔπιον heissen. Doch liegt wohl ein begreiflicher Irrtum vor | **11** λυπούμενοι] λυπουμένων, corr. Br | **19** τῷ] τῶν, corr. V | **20** ὑδωρέστερον | a. Rand: ἐκλυτώτερον | **23** κατ' αὐτοῦ, corr. V | **29** εἰς δὲ] εἷς δὲ V Ausgg., ὡς δὲ, abhängig von παραθετέον We | **30** δὲ ἤξει] δεήσει V Ausgg. Viell. ist die Zeile so herzustellen: ⟨μεμφομέν⟩οις δὲ τὸ τοιοῦτον ἡμᾶς ζητῆσαι, ⟨ὡσπερεὶ⟩ πυρὶ ὀ. δεήσει τὰ κτλ.

Digitized by Google

»παρεῖμαι πάντοθεν καὶ οὐ δύναμαι φέρειν«. ἀρκτέον δὲ ἐν τῷ ἐσθίειν 106
ἀπὸ τῆς κεφαλῆς, τουτέστιν τῶν κορυφαιοτάτων καὶ ἀρχικῶν δογ-
μάτων περὶ τῶν ἐπουρανίων, καὶ καταληκτέον ἐπὶ τοὺς πόδας, τὰ
ἔσχατα τῶν μαθημάτων τὰ ζητοῦντα περὶ τῆς τελευταίας ἐν τοῖς
οὖσιν φύσεως, ἤτοι τῶν ὑλικωτέρων ἢ τῶν καταχθονίων ἢ τῶν πο-
νηρῶν πνευμάτων καὶ ἀκαθάρτων δαιμονίων. ὁ γὰρ περὶ αὐτῶν λόγος, 107
106H ἕτερος ὢν αὐτῶν, ἐναποκείμενος τοῖς μυστηρίοις τῆς γραφῆς δύνα-
ται τροπικώτερον »πόδες« ὠνομάσθαι τοῦ ἀμνοῦ. καὶ τῶν ἐνδοσθίων
δὲ καὶ ἐσωτερικῶν καὶ ἀποκεκρυμμένων οὐκ ἀφεκτέον· ὡς ἐνὶ δὲ
σώματι τῇ ἁπάσῃ προσελθετέον γραφῇ, καὶ τὰς ἐν τῇ ἁρμονίᾳ τῆς
πάσης συνθέσεως αὐτῆς εὐτονωτάτας καὶ στερροτάτας συνοχὰς οὐ
συντριπτέον οὐδὲ διακοπτέον, ὅπερ πεποιήκασιν οἱ τὴν ἑνότητα τοῦ
ἐν πάσαις ταῖς γραφαῖς πνεύματος τὸ ὅσον ἐπ᾽ αὐτοῖς συντρίβοντες.
αὕτη μέντοι γε ἡ ἀπὸ τοῦ ἀμνοῦ προειρημένη προφητεία τὴν νύκτα 108
μόνην ἡμᾶς τρεφέτω τοῦ ἐν τῷ βίῳ σκότους· ἕως γὰρ τῆς ἀνατολῆς
τῆς ἡμέρας τῶν μετὰ τὸν βίον τοῦτον οὐδὲν καταλειπτέον ἔσται
ἡμῖν τῆς ἐπὶ τοῦ παρόντος μόνου χρησίμου ἡμῖν οὕτω τροφῆς. παρ- 109
ελθούσης γὰρ τῆς νυκτὸς καὶ ἐπελθούσης τῆς μετὰ ταῦτα ἡμέρας,
τὸν μηδαμῶς ἀπὸ τῶν παλαιοτέρων καὶ κάτωθεν ζυμούντων ἄζυμον
ἔχοντες ἄρτον φαγόμεθα, χρήσιμον ἡμῖν ἐσόμενον, ἕως δοθῇ τὸ μετὰ
τὸν ἄζυμον μάννα, ἡ ἀγγελικὴ καὶ μὴ ἀνθρωπίνη τροφή. ἑκάστῳ
184v τοίνυν ἡμῶν θυέσθω | τὸ πρόβατον ἐν παντὶ οἴκῳ πατριᾶς ἡμῶν, καὶ
δυνατὸν ἔστω τόνδε μέν τινα παρανομεῖν μὴ θύοντα τὸ πρόβατον,
τόνδε ⟨δὲ⟩ πᾶσαν φυλάττειν τὴν ἐντολὴν θύοντα καὶ περιέψοντα
καὶ ὀστέον αὐτοῦ μὴ συντρίβοντα. καὶ οὕτως ὡς ἐν βραχέσι, συμ- 110
φώνως τῇ ἀποστολικῇ ἐκδοχῇ καὶ τῷ ἐν τῷ εὐαγγελίῳ ἀμνῷ ἀποδι-
δόσθω τὸ τυθὲν πάσχα Χριστός. οὐ γὰρ νομιστέον τὰ ἱστορικὰ ἱστο-
ρικῶν εἶναι τύπους καὶ τὰ σωματικὰ σωματικῶν, ἀλλὰ τὰ σωματικὰ
πνευματικῶν καὶ τὰ ἱστορικὰ νοητῶν. ἀναβῆναι τῷ λόγῳ καὶ ἐπὶ 111
179R τὸ τρίτον πάσχα ἐπιτελεσθησόμενον ἐν μυριάσιν ἀγγέλων πανηγύρει
[ἐπι]τελειοτάτῃ καὶ μακαριωτάτῃ ἐξόδῳ, νῦν οὐκ ἔστιν ἀναγκαῖον,
καὶ τούτων ἐπιπλεῖον καὶ περισσότερον παρ᾽ ὃ ἀπῄτει τὸ ἀνάγνωσμα
εἰρημένων ἡμῖν. 112

XIX. (14) Οὐκ ἀζήτητον δὲ οὐδὲ ἐατέον πῶς »ἐγγὺς ἦν τὸ πάσχα
»τῶν Ἰουδαίων«, ὅτε ἦν ὁ κύριος ἅμα τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς 113
καὶ τοῖς μαθηταῖς ἐν τῇ Καφαρναούμ. ἐν μὲν οὖν τῷ κατὰ Ματ-

14 Vgl. S. 187, 23ff. — 19 Vgl. I Kor. 5, 7. — 21 Vgl. Ps. 77, 25. — 25 Vgl. Exod. 12, 10. — 26 Vgl. I Kor. 5, 7. — 30 Vgl. Hebr. 12, 22. — 32 Vgl. Joh. 2, 13. 34 Vgl. Matth. 4, 11ff.

14 προφητεία] τροφή? | 15 ἕως] ὡς, corr. We | 24 δὲ⟩ + We | 26 ἀποδιδόσθαι | 31 τελειοτάτῃ We, „ἐπι aus Z. 32 interpoliert“ | 36 τῷ] τὸ M.

Digitized by Google

θαῖον, ἀφεθεὶς ὑπὸ τοῦ διαβόλου, τῶν ἀγγέλων προσελθόντων καὶ διακονούντων αὐτῷ, ἀκούσας Ἰωάννην παραδεδόσθαι »ἀνεχώρησεν εἰς »τὴν Γαλιλαίαν, καὶ καταλιπὼν τὴν Ναζαρὰ ἐλθὼν κατῴκησεν εἰς »Καφαρναούμ«. ἔπειτα ἀρξάμενος κηρύσσειν καὶ ἐκλεξάμενος τοὺς τέσσαρας ἁλιεῖς ἀποστόλους, διδάξας τε ἐν ταῖς συναγωγαῖς ὅλης τῆς Γαλιλαίας καὶ θεραπεύσας τοὺς προσενεχθέντας αὐτῷ ἀνέρχεται εἰς τὸ ὄρος καὶ λέγει τοὺς μακαρισμοὺς καὶ τὰ ἑχόμενα αὐτῶν· τελέσας 167H δὲ ἐκείνην τὴν διδασκαλίαν, καταβὰς ἐκ τοῦ ὄρους εἰσέρχεται εἰς Καφαρναοὺμ δεύτερον, κἀκεῖθεν δὲ ἐμβὰς εἰς πλοῖον περᾷ εἰς τὴν χώραν τῶν Γεργεσηνῶν· παρακληθείς τε μεταβῆναι ἀπὸ τῶν ὁρίων αὐτῶν, »ἐμβὰς εἰς πλοῖον διεπέρασεν καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν«, ἔνθα θεραπείας ἐπιτελέσας τινὰς »περιῆγεν τὰς πόλεις πάσας καὶ τὰς
114 »κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν«· καὶ ἄλλα δὲ πλεῖστα μετὰ ταῦτα γίνεται πρὶν ἐπισημειώσασθαι τὸν Ματθαῖον τὸν τοῦ πάσχα καιρόν. καὶ παρὰ τοῖς λοιποῖς δὲ εὐαγγελισταῖς μετὰ τὴν ἐν τῇ Καφαρναοὺμ διατριβὴν οὐχ εὑρίσκεται ἐγγὺς τὸ πάσχα εἶναι λεγό-
115 μενον. σῶσαι δὲ ⟨τὸ⟩ βούλημα τῶν ἀνδρῶν ἔστιν ἐννοήσαντα τὰ περὶ τῆς Καφαρναοὺμ εἰρημένα ἡμῖν ἐν τοῖς πρὸ τούτων. † ἐνδιατριβὴ πλησίον τυγχάνει τοῦ τῶν Ἰουδαίων πάσχα, ὀλίγῳ βελτιουμένη παρ' αὐτὸ καὶ κρείττων αὐτοῦ τυγχάνουσα, καὶ μάλιστα ἐπεὶ ἐν τῷ πάσχα τῶν Ἰουδαίων εὑρίσκονται ἐν τῷ ἱερῷ οἱ πωλοῦντες τοὺς βόας καὶ τὰ πρόβατα καὶ τὰς περιστεράς· δι' οὓς ἔτι μᾶλλον πρόκειται μὴ τοῦ κυρίου ἀλλὰ τῶν Ἰουδαίων εἶναι | τὸ πάσχα· ὡς 185r γὰρ ὁ οἶκος τοῦ πατρὸς γέγονεν οἶκος ἐμπορίου παρὰ τοῖς μὴ ἀγιάζουσιν αὐτόν, οὕτω καὶ τὸ πάσχα κυρίου ἀνθρώπινον καὶ Ἰουδαϊκὸν πάσχα παρὰ τοῖς ταπεινότερον καὶ σωματικώτερον αὐτὸ ἐκδεξαμένοις.
116 εὐκαιρότερον δὲ ἐν ἄλλοις ἔσται ἰδεῖν καὶ τὰ περὶ τοῦ χρόνου τοῦ πάσχα, περὶ τὴν ἐαρινὴν ἰσημερίαν γινομένου, καὶ εἴ τι ἕτερον ἀπαιτεῖ τὸ πρόβλημα ἐπεξεργάσασθαι.

117 Ὁ μέντοι γε Ἡρακλέων· Αὕτη, φησίν, ἡ μεγάλη ἑορτή· τοῦ γὰρ πάθους τοῦ σωτῆρος τύπος ἦν, ὅτε οὐ μόνον ἀνῃρεῖτο τὸ πρόβατον, ἀλλὰ καὶ ἀνάπαυσιν παρεῖχεν 180R ἐσθιόμενον, καὶ θυόμενον ⟨μὲν⟩ τὸ πάθος τοῦ σωτῆρος τὸ ἐν κόσμῳ ἐσήμαινεν, ἐσθιόμενον δὲ τὴν ἀνάπαυσιν

2 Matth. 4, 12. — **4** Vgl. Matth. 4, 17ff. — **6** Vgl. Matth. 4, 23. — **7** Vgl. Matth. 5, 1ff. — **8** Vgl. Matth. 8, 1ff. — **9** Vgl. Matth. 8, 28ff. — **11** Matth. 9, 1. — **12** Vgl. Matth. 9, 2ff. Matth. 9, 35. — **14** Vgl. Matth. 26, 2. — **17** Vgl. o. c. III (2)ff. — **21** Joh. 2, 13. — **24** Vgl. Joh. 2, 16.

1 ὑπὸ] ἀπὸ, corr. V | **3** καταλειπὼν vgl. zu S. 173, 18 | **9.** **11** πλοῖον] πλεῖον, corr. V | **16** οὐκ | **17** τὸ⟩ + We | **18** ⟨ἡ γὰρ⟩ ἐν Καφαρναοὺμ⟩ διατριβὴ + We | **23** πρόσκειται, corr. Del | **26** ἐκλεξαμένοις, corr. We | **33** ⟨μὲν⟩ + V | τὸ πάθος] τοῦ πάθους, corr. V | **34** ἐσήμαινον, corr. V.

Digitized by Google

τὴν ἐν γάμῳ. παρεθέμεθα δὲ αὐτοῦ τὴν λέξιν, ἵνα τὸ ὡς ἐν 118
τηλικούτοις ἀναστρέφειν τὸν ἄνδρα παρερριμένως καὶ ὑδαρῶς
μετὰ μηδενὸς κατασκευαστικοῦ θεωρήσαντες μᾶλλον αὐτοῦ κατα-
φρονήσωμεν.

II, 14. *Καὶ ἀνέβη εἰς Ἱεροσόλυμα Ἰησοῦς, καὶ εὗρεν ἐν τῷ ἱερῷ*
τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς καὶ τοὺς κερμα-
τιστὰς καθημένους, **15** *καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων ἐξέβαλεν*
ἐκ τοῦ ἱεροῦ τά τε πρόβατα καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν
ἐξέχεεν τὰ κέρματα καὶ τὰς τραπέζας ἀνέστρεψεν, **16** *καὶ τοῖς*
τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν, μὴ ποι-
εῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου. **17** *τότε ἐμνή-*
168H *σθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι γεγραμμένον ἐστίν· Ὁ ζῆλος τοῦ*
οἴκου σου καταφάγεταί με.

XX (15). *Σημειωτέον ὅτι ὁ μὲν Ἰωάννης δεύτερον ἔργον τοῦ* 119
Ἰησοῦ ἀναγράφει τὸ περὶ τῶν ἐν τῷ ἱερῷ εὑρεθέντων ὑπ' αὐτοῦ
πωλούντων βόας καὶ πρόβατα καὶ περιστεράς, οἱ δὲ λοιποὶ σχεδὸν
πρὸς τῷ τέλει ἐπὶ τῆς κατὰ τὸ πάθος οἰκονομίας τὸ παραπλήσιον
ποιοῦσιν· ὁ μὲν Ματθαῖος οὕτως· »Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἰε- 120
»ροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα· Τίς ἐστιν οὗτος; οἱ δὲ
»ὄχλοι ἔλεγον· Οὗτός ἐστιν ὁ προφήτης Ἰησοῦς, ὁ ἀπὸ Ναζαρὲτ τῆς
»Γαλιλαίας. καὶ εἰσῆλθεν Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐξέβαλλε πάντας
»τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας
»τῶν κολλυβιστῶν κατέστρεψε καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς
»περιστεράς. καὶ λέγει αὐτοῖς· Γέγραπται· Ὁ οἶκός μου οἶκος προσ-
»ευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν ποιεῖτε σπήλαιον ληστῶν«. ὁ δὲ
Μάρκος· »Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα. καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν 121
»ἤρξατο ἐκβαλεῖν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ
»τὰς τραπέζας τῶν κολλυβιστῶν ἀνέστρεψεν καὶ τὰς καθέδρας τῶν
»πωλούντων τὰς περιστεράς, καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος
»διὰ τοῦ ἱεροῦ· καὶ ἐδίδασκε καὶ ἔλεγεν αὐτοῖς· Οὐ γέγραπται ὅτι Ὁ
»οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσιν τοῖς ἔθνεσιν; ὑμεῖς δὲ 122
»πεποιήκατε αὐτὸν σπήλαιον ληστῶν«. ὁ δὲ Λουκᾶς· »Καὶ ὡς ἤγγι-
»σεν, ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ' αὐτήν, λέγων ὅτι Εἰ ἔγνως ἐν τῇ
185v *» ἡμέρᾳ ταύτῃ καὶ σὺ τὰ πρὸς εἰρήνην· νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλ-*

18 Matth. 21, 10—13. — **26** Mark. 11, 15—17. — **32** Luk. 19, 41—46.

7 *πάντας* nach *ἐξέβαλεν* ist wohl nur durch Versehen des Copisten ausgefallen | **32** *σπήλαιον*] a. Ras. v. 2 Buchst. geschrieben | **33** *αὐτῇ* V nach ς.

Digitized by Google

»μῶν σου. ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ καὶ περικυκλώσουσιν καὶ συνέ-
»ξουσί σε πάντοθεν, καὶ ἐδαφιοῦσί σε καὶ τὰ τέκνα σου, καὶ οὐκ ἀφή-
»σουσι λίθον ἐπὶ λίθον ἐν σοί, ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς 181 R
»ἐπισκοπῆς σου. καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς
»πωλοῦντας λέγων αὐτοῖς· Γέγραπται· Καὶ ἔσται ὁ οἶκος μου οἶκος
»προσευχῆς, ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν«.

123 XXI. Ἔτι δὲ καὶ τοῦτο παρατηρητέον, ὅτι τοῖς εἰρημένοις παρὰ
τοῖς τρισὶν ἐπὶ τῇ εἰς Ἱεροσόλυμα ἀνόδῳ τοῦ κυρίου, καθ' ἣν ταῦτα
πεποίηκεν ἐν τῷ ἱερῷ, τὰ παραπλήσια ἀνέγραψεν ὁ Ἰωάννης μετὰ
πολλὰ γεγονέναι τὰ ἑτέραν αὐτοῦ παρὰ ⟨ταύ⟩την ἐπιδημίαν τοῖς Ἱε-
124 ροσολύμοις. οὕτω δὲ κατανοητέον τὰ εἰρημένα, καὶ πρῶτόν γε τὰ
Ματθαίῳ λεγόμενα· »Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα καὶ ἦλθεν εἰς
»Βηθσφαγῆ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε Ἰησοῦς ἀπέστειλεν δύο
»μαθητάς, λέγων αὐτοῖς· Πορεύεσθε εἰς τὴν κώμην τὴν κατέναντι
»ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην καὶ πῶλον μετ' αὐτῆς· 169 H
»λύσαντες ἀγάγετέ μοι. καὶ ἐάν τις ὑμῖν εἴπῃ· Τί † ποιεῖτε; ἐρεῖτε ὅτι Ὁ
»κύριος αὐτῶν χρείαν ἔχει· εὐθὺς δὲ ἀποστέλλει αὐτούς. τοῦτο δὲ
»γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· Εἴπατε
»τῇ θυγατρὶ Σιών· Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται πραΰς καὶ ἐπιβεβηκὼς
»ἐπὶ ὄνον καὶ πῶλον ὑποζυγίου. πορευθέντες δὲ οἱ μαθηταὶ καὶ
»ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον καὶ
»τὸν πῶλον καὶ ἐπέθηκαν ἐπ' αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπεκάθισεν
»ἐπάνω αὐτῶν. ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ
»ὁδῷ. * * * οἱ δὲ ὄχλοι οἱ προάγοντες αὐτὸν καὶ ἀκολουθοῦντες ἔκρα-
»ξαν· Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυ-
125 »ρίου· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις«. ἑξῆς δὲ τούτων ἐστίν· »Καὶ εἰσελ-
»θόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις«· ἅτινα παρε-
126 θέμεθα ἐν τοῖς πρὸ τούτων. δεύτερα δὲ τὰ Μάρκου· »Καὶ ὅτε ἐγγί-
»ζουσιν εἰς Ἱεροσόλυμα εἰς Βηθφαγῆ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν
»ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς Ὑπά-
»γετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθὺς εἰσπορευόμενοι

12 Matth. 21, 1—9. — **18** Sach. 9, 9. Jes. 62, 11. — **26** Matth. 21, 10. — **28** Vgl. S. 191, 18 ff. — Mark. 11, 1—12.

1 nach *καὶ* ist *περιβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι καὶ* ausgefallen | **2** *ἐκ-δαφιοῦσι* | **9** *κατὰ*] *μετὰ*, corr. Pr | **10** *ταύτην*] *τὴν*, corr. Br | **13** *βηθσφαγῆ* mit B𝔎*X69KUM²Π* | **16** *ποιεῖτε* ist kaum LA des Orig. vgl. u. c. XXVII. (S. 200, 10) in Mt. XVI, 16 (IV, 48, 22 Lo) | **20** *υἱὸν ὑποζυγίου* V mit B𝔎CD²N rell. u. S. 198, 29 (aus Sach.) und 199, 35; die LA *ὑποζυγίου* (ohne *υἱόν*) auch LZ al. | **21** *τὸν*, corr. V | **22** *αὐτῶν*¹] *αὐτὸν* V mit D u. Vulgatahss. | **24** nach *ὁδῷ* ist durch Homoioteleuton ausgefallen *ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἔστρωσαν ἐν τῇ ὁδῷ* | *οἱ* vor *ἀκολουθοῦντες* fehlt mit *Δ* | *ἔκραξαν*] *ἔκραζον* V; vgl. in Mt. XVI, 19 (IV 56, 26 Lo).

Digitized by Google

»εἰς αὐτὴν εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς οὔπω ἀνθρώπων ἐκά-
»θισεν· λύσατε αὐτὸν καὶ φέρετε. καὶ ἐάν τις ὑμῖν εἴπῃ· Τί ποιεῖτε
»τοῦτο; εἴπατε ὅτι Ὁ κύριος αὐτοῦ χρείαν ἔχει· καὶ εὐθὺς αὐτὸν ἀπο-
»στέλλει ὧδε. καὶ ἀπῆλθον καὶ εὗρον πῶλον δεδεμένον πρὸς θύραν
5 »ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐτόν. καί τινες τῶν ἐκεῖ ἑστῶ-
»των ἔλεγον αὐτοῖς· Τί ποιεῖτε λύοντες τὸν πῶλον; οἱ δὲ εἶπαν αὐ-
»τοῖς καθὼς εἶπεν Ἰησοῦς· καὶ ἀφῆκαν αὐτούς. καὶ φέρουσι τὸν
182 R »πῶλον πρὸς τὸν Ἰησοῦν, καὶ ἐπιβάλλουσιν αὐτῷ τὰ ἱμάτια αὐτῶν.
186 r »ἄλλοι δὲ στιβάδας κόψαντες ἐκ τῶν ἀγρῶν ἔστρωσαν εἰς τὴν | ὁδόν.
10 »καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον· Ὡσαννά· εὐλογη-
»μένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· εὐλογημένη ἡ ἐρχομένη [ἡ] βα-
»σιλεία τοῦ πατρὸς ἡμῶν Δαβίδ· ὡσαννὰ ἐν τοῖς ὑψίστοις. καὶ
»εἰσῆλθεν εἰς Ἱεροσόλυμα εἰς τὸ ἱερόν· καὶ περιβλεψάμενος πάντα
»ὀψὲ ἤδη οὔσης τῆς ὥρας ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.
15 »καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας ἐπείνασεν«. εἶτα
μετὰ τὴν τῆς ξηραινομένης συκῆς οἰκονομίαν »Ἔρχονται εἰς Ἱεροσό-
»λυμα. καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας«
καὶ τὰ ἑξῆς * *τῷ Λουκᾷ τοῦτον τὸν τρόπον· »Καὶ ἐγένετο ὡς ἤγγισεν 127
»εἰς Βηθφαγῆ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τὸ καλούμενον Ἐλαιών,
20 »ἀπέστειλεν δύο τῶν μαθητῶν λέγων· Ὑπάγετε εἰς τὴν κατέναντι
170 H »κώμην, ἐν ᾗ εἰσπορευόμενοι εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς
»πώποτε ἀνθρώπων ἐκάθισεν, λύσαντες αὐτὸν ἀγάγετε. καὶ ἐάν τις
»ὑμᾶς ἐρωτᾷ· Διὰ τί λύετε; οὕτως ἐρεῖτε ὅτι Ὁ κύριος αὐτοῦ χρείαν
»ἔχει. ἀπελθόντες δὲ οἱ μαθηταὶ εὗρον ὡς εἶπεν αὐτοῖς. λυόντων
25 »δὲ αὐτῶν τὸν πῶλον εἶπαν οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς· Τί λύετε
»τὸν πῶλον; οἱ δὲ εἶπαν ὅτι Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. καὶ ἤγαγον
»αὐτὸν πρὸς τὸν Ἰησοῦν, καὶ ἐπιρίψαντες αὐτῶν τὰ ἱμάτια ἐπὶ τὸν
»πῶλον ἐπεβίβασαν τὸν Ἰησοῦν· πορευομένου δὲ αὐτοῦ ὑπεστρώ-
»νυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ. ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς
30 »τῇ καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν ἤρξατο ἅπαντᾶν πλῆθος τῶν
»μαθητῶν χαίροντες καὶ αἰνοῦντες τὸν θεὸν φωνῇ μεγάλῃ περὶ πα-
»σῶν ὧν εἶδον δυνάμεων, λέγοντες· Εὐλογημένος ὁ βασιλεὺς ἐν ὀνό-
»ματι κυρίου· ἐν οὐρανῷ εἰρήνη καὶ δόξα ἐν ὑψίστοις. καί τινες
»τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπαν πρὸς αὐτόν· Διδάσκαλε, ἐπιτί-
35 »μησον τοῖς μαθηταῖς σου. καὶ ἀποκριθεὶς εἶπεν· Λέγω ὑμῖν ὅτι ἐὰν
»οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν
»πόλιν ἔκλαυσεν ἐπ' αὐτήν« καὶ τὰ ἑξῆς, ἅπερ παρεθέμεθα.

16 Mark. 11, 15. — **18** Luk. 19, 29—41. — **37** Vgl. S. 191, 32 ff.

2 ποιεῖτε] λύετε in Mt. XVI, 16 (IV, 48, 19) mit D. 69. Arm. a. b. f. ff. i. | **18** Zu erg. etwa ⟨ἅτινα παρεθέμεθα. παρὰ δὲ⟩ | **24** εὗρον] εὑρόντες, corr. Ausgg., V καὶ εὑρόντες | **30** ἁπαντᾶν] ἅπαν τὸ T.

Digitized by Google

128 XXII. Ὁ μέντοι γε Ἰωάννης μετὰ πλεῖστα ὅσα τοῦ »Καὶ ἀνέβη »εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς, καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας »[τοὺς] βόας καὶ πρόβατα« ἑτέραν διηγούμενος ἄνοδον τοῦ κυρίου εἰς Ἱεροσόλυμα, ταῦτά φησι μετὰ τὸ πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἐν Βηθανίᾳ δεῖπνον, ἐν ᾧ ἡ Μάρθα διηκόνει καὶ ὁ Λάζαρος ἀνέκειτο· »Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι »ἔρχεται Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων καὶ 183 R »ἐξῆλθον εἰς ἀπάντησιν αὐτῷ, καὶ ἔκραζον· Ὡσαννά· εὐλογημένος ἐν »ὀνόματι κυρίου ὁ βασιλεὺς τοῦ Ἰσραήλ. εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον »ἐκάθισεν ἐπ᾽ αὐτό, καθώς ἐστι γεγραμμένον· Μὴ φοβοῦ, θυγάτηρ »Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου«.

129 Ταῦτα δὲ νομίζω, εἰ καὶ ἐπιπλεῖον τῆς λέξεως παρεθέμην τῶν εὐαγγελιστῶν, ἀναγκαίως πεποιηκέναι ὑπὲρ τοῦ παραστῆσαι τὴν κατὰ τὸ ῥητὸν δια|φωνίαν· τῶν μὲν τριῶν ἐν μιᾷ τῇ αὐτῇ εἰς Ἱεροσόλυμα 186 v ἐπιδημίᾳ τοῦ κυρίου λεγόντων τὰ νομιζόμενα παρὰ τοῖς πολλοῖς τὰ αὐτὰ εἶναι καὶ τῷ Ἰωάννῃ γεγραμμένα· τοῦ δὲ Ἰωάννου ἐν δυσὶν ὑπὸ πολλῶν πράξεων διϊσταμέναις μεταξὺ δηλουμένων καὶ εἰς διαφόρους τόπους ἐπιδημιῶν τοῦ κυρίου εἰς Ἱεροσόλυμα ἀνόδοις ἀπαγ-
130 γέλλοντος γεγονέναι τὰ ἐκκείμενα. ἐγὼ μὲν οὖν ὑπολαμβάνω ἀδύνατον εἶναι τοῖς μηδὲν πέρα τῆς ἱστορίας ἐν τούτοις ἐκδεχομένοις 171 H παραστῆσαι τὴν δοκοῦσαν διαφωνίαν σύμφωνον ὑπάρχειν. εἰ δέ τις οἴεται μὴ ὑγιῶς ἡμᾶς ἐξειληφέναι, συνετῶς ἀντιγραψάτω τῇ τοιαύτῃ ἡμῶν ἀποφάσει.

131 XXIII. (16) Τὰ δὲ κινοῦντα ἡμᾶς εἰς τὴν περὶ τούτων συμφωνίαν, αἰτήσαντες τὸν διδόντα παντὶ τῷ αἰτοῦντι καὶ ὀξέως ζητεῖν ἀγωνιζομένῳ, κρούοντές τε ὑπὲρ τοῦ ἀνοιχθῆναι ἡμῖν ταῖς τῆς γνώσεως κλεισὶν τὰ κεκρυμμένα τῆς γραφῆς, τὸν αὐτὸν κατὰ τὴν διδομένην ἡμῖν δύναμιν ἐκθησόμεθα τρόπον. καὶ πρῶτόν γε ἴδωμεν τὴν τοῦ Ἰωάννου λέξιν ἀρχομένην ἀπὸ τοῦ »Καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ »Ἰησοῦς«. Ἱεροσόλυμα τοίνυν ἐστίν, ὡς αὐτὸς ἐν τῷ κατὰ Ματθαῖον διδάσκει ὁ κύριος, »τοῦ μεγάλου βασιλέως πόλις«, οὐκ ἐν κοιλάδι ἢ κάτω που κειμένη, ἀλλ᾽ ἐν ὑψηλῷ ὄρει ᾠκοδομημένη, καὶ »Ὄρη κύκλῳ »αὐτῆς«, »ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό«· καὶ »Ἐκεῖ ἀνέβησαν αἱ

1 Joh. 2, 13f. — **5** Vgl. Joh. 12, 1f. — **6** Joh. 12, 12—15. — **25** Vgl. Matth. 7, 7f. — **29** Joh. 2, 13. — **31** Matth. 5, 35 (vgl. Ps. 47, 3). — **32** Matth. 5, 14. — Ps. 124, 2. — **33** Ps. 121, 3f.

3 τοὺς ist nach S. 191, 6; 195, 29 u. T z. str. | **5** ἐννῶ | **8** Die LA ohne ὁ ἐρχόμενος nach εὐλογημένος ist singulär, erklärt aber das in DK XII al. Sah. (vgl. ΑΓΔΛ al.) fehlende καὶ vor ὁ βασιλεύς | **13** καταστῆσαι, corr. We | **17** πράξεσιν, corr. We | **27** τὸν αὐτὸν] ταυτὸν, corr. V.

Digitized by Google

»φυλαὶ κυρίου, μαρτύριον τῷ Ἰσραήλ«. καλεῖται δὲ καὶ ἡ πόλις 132
αὕτη [καὶ] Ἱερουσαλήμ, εἰς ἣν οὐδεὶς τῶν ἐπὶ γῆς ἀναβαίνει οὐδὲ
εἰσέρχεται· καὶ πᾶσά γε ἡ φυσικὸν ἔχουσα δίαρμα ψυχὴ καὶ ὀξύτητα
νοητῶν διορατικὴν ταύτης τῆς πόλεως πολῖτις ὑπάρχει. καὶ δυνατὸν
ἐν ἁμαρτίᾳ εἶναι καὶ τὸν Ἱεροσολυμίτην· δυνατὸν γὰρ καὶ τοὺς εὐ-
φυεστάτους ἁμαρτάνειν, εἰ μὴ ἐπιστρέψαιεν μετὰ τὴν ἁμαρτίαν τάχιον
ἀπολοῦντας τὴν εὐφυΐαν, καὶ μίαν τῶν ἀλλοτρίων τῆς Ἰουδαίας
πόλεων οὐ μόνον παροικήσοντας ἀλλὰ καὶ ἐγγραφησομένους. ἀναβαίνει 133
⟨οὖν⟩ εἰς Ἱεροσόλυμα Ἰησοῦς μετὰ τὸ βοηθῆσαι τοῖς ἐν Κανᾷ τῆς
Γαλιλαίας καὶ ἐξῆς εἰς τὴν Καφαρναοὺμ καταβεβηκέναι, ἵνα ποιήσῃ
184R ἐν τοῖς Ἱεροσολύμοις τὰ γεγραμμένα. εὗρεν γοῦν ἐν τῷ ἱερῷ, ὅπερ
καὶ οἶκος τοῦ πατρὸς εἶναι λέγεται τοῦ σωτῆρος, τουτέστιν ἐν τῇ
ἐκκλησίᾳ ἢ ἐν τῇ ἀπαγγελίᾳ τοῦ ἐκκλησιαστικοῦ καὶ ὑγιαίνοντος
λόγου τινὰς τὸν οἶκον τοῦ πατρὸς ἐμπορίου ποιοῦντας οἶκον. καὶ 134
ἀεί τινας εὑρίσκει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ. πότε γὰρ ἐν τῇ ὀνομαζο-
μένῃ ἐκκλησίᾳ, ἥτις ἐστὶν οἶκος »θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα
»τῆς ἀληθείας«, οὐκ εἰσίν τινες κερματισταὶ καθήμενοι, δεόμενοι
πληγῶν ἐκ τοῦ ὑπὸ Ἰησοῦ πεποιημένου φραγελλίου ἐκ σχοινίων, καὶ
χρήζοντες κολλυβισταὶ τοῦ ἐκχεῖσθαι αὐτῶν τὰ κέρματα ἀνατρέ-
187r πεσθαί | τε αὐτῶν τὰς τραπέζας; πότε δὲ οὐκ εἰσὶν οἱ ἀποδιδόμενοι 135
ἐμπορικῶς οὓς ἐχρῆν τηρεῖν ἐπ' ἄροτρον βοῦς, ἵνα βαλόντες ἐπ' αὐτὸ
τὰς χεῖρας καὶ μὴ στρεφόμενοι εἰς τὰ ὀπίσω γένωνται τῇ τοῦ θεοῦ
βασιλείᾳ εὔθετοι; πότε δὲ οὐκ εἰσὶν οἱ προτιμῶντες τὸν τῆς ἀδικίας
172H μαμωνᾶν τῶν τὴν ὕλην τοῦ κοσμεῖσθαι αὐτοῖς παρεχόντων προβάτων; 136
ἀεὶ δὲ πολλοί εἰσιν καὶ οἱ τοῦ ἀδόλου καὶ ἀκεραίου ἐστερημένου τε πάσης
πικρότητος καὶ χολῆς καταφρονοῦντες καὶ ταλαιπώρου κέρδους ἕνεκεν
προδιδόντες τὴν τῶν τροπικώτερον λεγομένων περιστερῶν ἐπιμέλειαν.
ἐπὰν οὖν εὕρῃ ὁ σωτὴρ ἐν τῷ ἱερῷ, οἴκῳ τοῦ πατρός, τοὺς πωλοῦν- 137
τας βόας καὶ πρόβατα καὶ περιστεράς, καὶ τοὺς κερματιστὰς καθη-
μένους, ἐξελαύνει αὐτοὺς χρησάμενος τῷ ἐκ σχοινίων ὑπ' αὐτοῦ πε-
ποιημένῳ φραγελλίῳ, ἅμα τοῖς ἐμπορικοῖς προβάτοις καὶ βουσὶν αὐ-

3 Vgl. Diog. L. IX, 5. — 4 Vgl. hom. in Jer. IX, 2 (65, 21 Kl.): ὅρασις τῆς εἰρήνης. — 9 Vgl. Joh. 2, 1ff. — 10 Vgl. Joh. 2, 12. — 11 Vgl. Joh. 2, 14. — 12 Vgl. hom. in Jer. IX, 2. Sel. in Ps. 45, 5. — 14 Vgl. Joh. 2, 16. — 16 I Tim. 3, 15. — 18 Vgl. Joh. 2, 15. — 21 Vgl. Luk. 9, 62. — 23 Vgl. Luk. 16, 9.

2 καὶ wohl aus dem vorhergehenden η entstanden; nach Ἱερουσαλήμ scheint etwas ausgefallen zu sein, was den Namen erläuterte | 4 πολῖτις] πολεῖτις, corr. V | 7 ἀπολλόντας, corr. We | 9 ⟨οὖν⟩ + V | 13 ἐπαγγελία, corr. Pr | 18 ὑπὸ, corr. Pr vgl. Z. 30 | 24 τῶν] τοῦ, corr. Del | 25 τε] γε, corr. Pr | 27 τροπικωτέρων, corr. V | 28 πωλοῦντας τὰς, corr. V | 29 καὶ τὰ πρόβατα, corr. V, den Artikel zog das fehlerhafte τὰς nach.

Digitized by Google

τῶν, καὶ ἐκχεῖ ὡς μὴ ἄξια τοῦ συνέχεσθαι τὰ κέρματα, δεικνὺς αὐτῶν τὸ ἄχρηστον· ἀνατρέπει τε τὰς ἐν ταῖς ψυχαῖς τῶν φιλαργύρων τραπέζας, λέγων καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν· »Ἄρατε ταῦτα »ἐντεῦθεν«, ἵνα μηκέτι ἐν τῷ ἱερῷ τοῦ θεοῦ ἐμπορεύωνται.

138 XXIV. Οἶμαι δὲ ἔτι καὶ σημεῖον πεποιηκέναι αὐτὸν διὰ τῶν εἰρημένων βαθύτερον, ὥστε σύμβολον ἡμᾶς νοεῖν γεγονέναι ταῦτα τοῦ μηκέτι μέλλειν τὴν περὶ τὸ ἱερὸν ἐκεῖνο λατρείαν ὑπὸ τῶν ἱερέων κατὰ τὰς αἰσθητὰς θυσίας ἐπιτελεῖσθαι, μηδὲ τὸν νόμον τηρεῖσθαι
139 κἂν ὡς ἐβούλοντο οἱ σωματικοὶ Ἰουδαῖοι, δύνασθαι ἔτι. ἅπαξ Ἰησοῦ γὰρ ἐκβάλλοντος τοὺς βόας καὶ τὰ πρόβατα καὶ κελεύοντος ἐκεῖθεν ἀΐρεσθαι τὰς περιστεράς, οὐκέτι δὴ βόες καὶ πρόβατα καὶ περιστεραὶ
140 ἐπὶ πολὺ θύεσθαι κατὰ ⟨τὰ⟩ Ἰουδαίων ἔθη ἔμελλον. καὶ εἰκὸς δὲ ἐστὶ τὰ νομίσματα τῶν σωματικῶν νομισμάτων καὶ μὴ τοῦ θεοῦ ἐχόντων τοὺς χαρακτῆρας τύπους τυγχάνοντα ἐκκεχύσθαι, ἐπεὶ ἡ σεμνὴ εἶναι δοκοῦσα κατὰ τὸ ἀποκτεῖνον γράμμα νομοθεσία Ἰησοῦ 185R
ἐληλυθότος καὶ ταῖς κατὰ τοῦ λαοῦ μάστιξιν χρησαμένου διαλύεσθαι καὶ ἐκχεῖσθαι ἔμελλεν, μεθισταμένης τῆς ἐπισκοπῆς ἐπὶ τοὺς ἀπὸ τῶν ἐθνῶν πιστεύοντας εἰς θεὸν διὰ Χριστοῦ [πιστεύοντας], καὶ αἱρομένης ἀπ' ἐκείνων τῆς βασιλείας τοῦ θεοῦ, διδομένης τε [ἐν] ἔθνει
141 ποιοῦντι τοὺς καρποὺς αὐτῆς. δύναται δὲ καὶ φύσει ἱερὸν εἶναι ἡ εὐφυὴς ἐν λόγῳ ψυχὴ διὰ τὸν συμπεφυκότα λόγον ἀνωτέρω τυγχάνουσα τοῦ σώματος, εἰς ἣν ἀπὸ τῆς Καφαρναοὺμ κάτω που κειμένης ταπεινότερον ἀναβαίνει ὁ Ἰησοῦς, ἐν ᾗ εὑρίσκεται τὰ πρὸ τῆς ἀπὸ Ἰησοῦ παιδεύσεως γήϊνα καὶ ἀνόητα καὶ χαλεπὰ κινήματα, καὶ τὰ νομιζόμενα | ⟨μὲν⟩ οὐκ ὄντα δὲ καλά, ἅπερ τῷ πεπλεγμένῳ ἐξ ἀπο- 187r
δεικτικῶν ⟨καὶ⟩ ἐλεγκτικῶν δογμάτων λόγῳ ἀπελαύνεται ὑπὸ τοῦ Ἰησοῦ, ἵνα μηκέτι ὁ τοῦ πατρὸς αὐτοῦ οἶκος ⟨οἶκος⟩ ἐμπορίου ᾖ, ἀλλὰ ἀπολάβῃ τὴν κατὰ τοὺς οὐρανίους καὶ πνευματικοὺς νόμους ἐπιτελουμένην ὑπὲρ σωτηρίας αὐτῆς τε καὶ πλειόνων θεραπείαν τοῦ θεοῦ.
142 σύμβολον δὲ τῶν μὲν γηΐνων ὁ βοῦς, γεωπόνος γάρ· τῶν δὲ ἀνοήτων 173H
καὶ κτηνωδῶν τὸ πρόβατον, ἐπειδὴ τὸ ζῷον ἀνδραποδῶδες παρὰ

3 Joh. 2, 16. — **10** Vgl. Joh. 2, 15. — **15** Vgl. II Kor. 3, 6. — **17f.** Vgl. Act. 1, 20. 15, 19. — **19** Vgl. Matth. 21, 43. — **27** Vgl. Joh. 2, 16.

1 τοῦνέχεσθαι τὰ συνέχεσθαι τὰ M | **5** ἔτι] ὅτι, corr. Br | **11** δὴ] δὲ, corr. Pr | **12** ⟨τὰ⟩ add. V | ἔμελλεν, corr. Hu | καὶ εἰκὸς δὲ] καὶ ὁ εἰ οἴοντε M, corr. We; καὶ ὡς οὐχ οἷόντε V | **13** νομισμάτων, comp. geschrieben νν̄, wie in den Papyri; doch ist wohl νόμων z. l. vgl. Z. 15 | **18** πιστεύοντας² str. V | **19** τε ἐν < V | **20** ἱεροῦ, corr. V | **23** ταπεινότερα, corr. We; viell. in ἐπὶ τὰ ἀνώτερα zu ändern; ἐπὶ ταπεινότερα V | ᾖ] ᾧ, corr. V | **25** ⟨μὲν⟩ ist am Anfang d. Seite verloren gegangen | **26** ⟨καὶ⟩ + We | **27** ⟨οἶκος⟩ + V | **28** οὐρανοὺς, corr. V | **31** ἐπειδὴ] ἐπεὶ δὲ, corr. We.

Digitized by Google

πολλὰ τῶν ἀλόγων ἐστίν· τῶν δὲ κούφων καὶ εὐριπίστων λογισμῶν ἡ περιστερά· τῶν δὲ νομιζομένων καλῶν τὰ κέρματα.

XXV. Ἐὰν δέ τις προσκόπτῃ τῇ τοιαύτῃ ἀποδόσει διὰ τὸ καθαρὰ εἶναι τὰ παραληφθέντα εἰς τὴν γραφὴν ζῷα, λεκτέον ὅτι ἀπίθανος ἂν ἦν ἡ γραφὴ κατὰ τὴν ἐνδεχομένην ἱστορίαν γεγονέναι ἀπαγγελλομένη· ἐν τῷ ναῷ γὰρ τοῦ θεοῦ οὐχ οἷόν τε ἦν ἀπαγγέλλεσθαι γεγονέναι ἑτέρων παρὰ τὰ καθαρὰ ζῴων ἀγέλης εἴσοδον, καὶ εἰς ἐμπορίαν ἄλλων παρὰ τὰ θυόμενα. διόπερ τῷ ὑπὸ τῶν ἐμπόρων κατὰ τοὺς τῶν Ἰουδαϊκῶν ἑορτῶν χρόνους γινομένῳ, ἐπεισαγόντων τῷ ἐξωτέρῳ περιβόλῳ τοῦ ναοῦ ταῦτα τὰ ζῷα, ἐχρήσατο ὁ εὐαγγελιστής, ὡς οἶμαι, καὶ γεγενημένῳ συγχρησάμενος πράγματι. καίτοιγε ᾧ μέλει τῆς ἀκριβεστέρας ἐξετάσεως ἐπισκοπήσει εἰ κατὰ τὸ ἐν τῷ βίῳ τούτῳ ἀξίωμα τοῦ Ἰησοῦ ἦν, νομιζομένου υἱοῦ εἶναι τέκτονος, τὸ τηλικοῦτο ποιῆσαι θαρρῆσαι ὥστε ἐξελάσαι πλῆθος ἐμπόρων, ἐπὶ τὴν ἑορτὴν ἀνεληλυθότων τοσούτῳ ἀποδίδοσθαι λαῷ πρόβατα τυθησόμενα κατ᾽ οἴκους πατριῶν αὐτῶν, ἐν πλειόνων μυριάδων ἀριθμῷ τυγχάνοντα, καὶ βοῦς τοῖς πλουσιωτέροις καὶ τηλικαῦτα εὐξαμένοις πραθησομένους, περιστεράς τε, ἄστινας πολλοὶ ὡς ἐν πανηγύρει εὐωχηθησόμενοι ὠνοῦντο ἄν· τῶν τε τραπεζιτῶν * * * μὴ ὕβρεως κατηγορῆσαι τοῦ Ἰησοῦ ἐκχεόμενα ἰδόντων τὰ χρήματα καὶ ἀνατρε-
186 R πομένας τὰς τραπέζας. τίς δὲ τῷ ἐκ σχοινίων φραγελλίῳ ὑπὸ τοῦ νομιζομένου παρ᾽ αὐτοῖς εὐτελοῦς τυπτόμενος καὶ ἀπελαυνόμενος οὐκ ἂν ἐπιλαβόμενος κατεβόησεν καὶ ἐκ χειρὸς τὴν δίκην ἐποιήσατο, καὶ ταῦτα τοσοῦτο πλῆθος τῶν συνυβρίζεσθαι δοξάντων συνεργοῦν κατὰ τοῦ Ἰησοῦ ἔχων;

Ἐπινοήσωμεν δὲ ⟨τὸ⟩ τὸν υἱὸν τοῦ θεοῦ λαμβάνοντα σχοινία καὶ ἑαυτῷ φραγέλλιον ἐπὶ τῷ ἐξελάσαι τοῦ ναοῦ πλέκοντα εἰ μὴ ἐμφαίνει πρὸς τῷ αὐθάδει καὶ θρασυτέρῳ καὶ τὸ ἄτακτον. μία δὲ καταφυγὴ τῆς πρὸς ταῦτα ἀπολογίας καταλείπεται τῷ καὶ τὴν ἱστορίαν σῶσαι θέλοντι, ἡ θειοτέρα τοῦ Ἰησοῦ δύναμις, οἵου τε ὄντος, ὅτε ἐβούλετο,
188 r καὶ θυμὸν ἐχθρῶν ἀναπτόμενον | σβέσαι καὶ μυριάδων θεῖᾳ χάριτι περιγενέσθαι καὶ λογισμοὺς θορυβοῦντας διασκεδάσαι· »Κύριος γὰρ »διασκεδάσει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν· ἡ δὲ βουλὴ
174 H »τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει«, ὥστε μηδενὸς τῶν σφόδρα παρα-

143 144 145 146 147 148

4 Vgl. VI, 51 (32). — 13 Vgl. Matth. 13, 55. Mark. 6, 3. — 15 Vgl. Exod. 12, 3. — 19 Vgl. Joh. 2, 14 f. — 32 Ps. 32, 10 f.

6 ἀπαγγελλομένη ἦ M | 7 ἀγέλην, corr. Hu | 9 γινομένων, corr. Hu | ⟨ἔθει⟩ ἐπεισαγόντων oder ⟨ἔθει⟩ εἰσαγόντων We | 11 καὶ] ὡς? We | 14 ἐπὶ] ἐπεὶ, corr. V | 17 εὐξαμένους, corr. Del | 18 παραθησομένους, corr. We | τινας] τινες, corr. V | 20 ἰδόντων] ἴδιον τῶν, corr. Hu | 26 ⟨τὸ⟩ + We | 28 τὸ] o a. Ras. | 32 διασκεδάσει] διασκεδάσαι.

Digitized by Google

δόξως ὑπ' αὐτοῦ γεγενημένων καὶ προκαλεσαμένων διὰ τῆς θειότητος
εἰς πίστιν τοὺς τεθεωρηκότας ἐλάττονα ἐμφαίνειν ἐνεργηθεῖσαν δύ-
149 ναμιν τὴν κατὰ τὸν τόπον ἱστορίαν, εἴ γε καὶ αὐτὴ γεγένηται. καὶ
μείζονα δ' αὐτὴν ἔστιν ἀποφήνασθαι τῆς γεγενημένης περὶ τοῦ ἐν
Κανᾷ τῆς Γαλιλαίας μεταβεβληκότος ὕδατος εἰς οἶνον, τῷ ἐκεῖ μὲν
ἄψυχον ὕλην εἶναι τὴν τετραμμένην, ἐνθάδε δὲ τῶν τοσούτων μυ-
150 ριάδων δεδουλῶσθαι τὰ ἡγεμονικά. παρατηρητέον μέντοι γε ὅτι ἐν
μὲν τῷ γάμῳ ἡ μήτηρ τοῦ Ἰησοῦ εἶναι λέγεται, κεκλῆσθαι δὲ ὁ Ἰη-
σοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ· εἰς δὲ τὴν Καφαρναοὺμ καταβεβηκέναι
151 * * * * οὐδεὶς πλὴν Ἰησοῦ κατείλεκται. φαίνονται δ' ὕστερον καὶ
οἱ μαθηταὶ παρόντες, εἴ γε ἐμνήσθησαν ὅτι »Ὁ ζῆλος τοῦ οἴκου σου
»καταφάγεταί με«. καὶ τάχα ἐν ἑκάστῳ τῶν μαθητῶν ὁ Ἰησοῦς
ἀναβαίνων εἰς Ἱεροσόλυμα ἦν, διόπερ οὐκ εἴρηται τὸ »Ἀνέβη Ἰησοῦς
»εἰς Ἱεροσόλυμα καὶ οἱ μαθηταὶ αὐτοῦ«, ὥσπερ »Κατέβη εἰς Κα-
»φαρναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ καὶ οἱ μαθηταὶ
»αὐτοῦ«.

152 XXVI. (17) Ἤδη δὲ τὰ συγγενῆ τῷ τόπῳ, ἐκβεβλῆσθαι ἀπὸ τοῦ
ἱεροῦ τοὺς ποιοῦντας αὐτὸν οἶκον ἐμπορίου, παρὰ τοῖς λοιποῖς κεί-
153 μενα κατανοητέον. καὶ πρῶτόν γε τὰ παρὰ τῷ Ματθαίῳ, ὅς φησιν
εἰσελθόντος τοῦ κυρίου εἰς Ἱεροσόλυμα σεσεῖσθαι πᾶσαν τὴν πόλιν,
154 λέγουσαν· »Τίς ἐστιν οὗτος;« πρὸ δὲ τούτων διηγεῖται τὰ περὶ τὴν
ὄνον καὶ τὸν πῶλον, ληφθέντα προστάξει τοῦ κυρίου, ὑπὸ δύο μα-
θητῶν ἀποσταλέντων ὑπ' αὐτοῦ ἀπὸ Βηθφαγὴ εἰς τὴν κατέναντι 187 R
αὐτῆς κώμην εὑρημένα, ὅπου καὶ λύεται ὑπὸ τῶν δύο μαθητῶν ἡ
πρότερον δεδεμένη ὄνος κελευσθέντων, ἐάν τις αὐτοῖς εἴπῃ τι, ἀπο-
κρίνασθαι ὡς ἄρα »Ὁ κύριος αὐτῶν χρείαν ἔχει· καὶ εὐθὺς αὐτοὺς ἀπο-
155 »στέλλει«. ἀπαγγέλλει δὲ πληροῦσθαι προφητείαν διὰ τούτων γεγενημέ-
νων τὴν φάσκουσαν· »Ἰδοὺ ὁ βασιλεὺς ἔρχεται πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ
»ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου«, ἥντινα παρὰ τῷ Ζαχαρίᾳ εὕρομεν.
156 ὡς δὲ πορευθέντες οἱ μαθηταὶ καὶ ποιήσαντες ὡς προσέταξεν αὐτοῖς ὁ
Ἰησοῦς »ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, ἐπέθηκαν, φησίν, ἐπ' αὐτῶν
»τὰ ἱμάτια ἑαυτῶν καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν« ὁ κύριος, δῆλον δ'
ὅτι καὶ τῆς ὄνου καὶ τοῦ πώλου, ὅτε καὶ »ὁ πλεῖστος ὄχλος ἔστρωσαν

5 Vgl. Joh. 2, 1ff. — 8 Vgl. Joh. 2, 1. — 10 Vgl. Joh. 2, 12f. — 11 Joh. 2, 17. — 17 Vgl. Joh. 2, 15f. — 19 Vgl. Matth. 21, 11. — 21 Vgl. Matth. 21, 1ff. — 26 Matth. 21, 3. — 28 Vgl. Matth. 21, 5. — 30 Sach. 9, 9. — Matth. 21, 6—9.

6 τετραμμένην We, γεγραμμένην, γεγρα steht ziemlich verlaufen auf Ras. M, μεταβεβλημένην V | 10 in der Lücke stand etwa: αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ ἀδελφοὶ καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς Ἱεροσόλυμα δὲ ἀναβεβηκέναι οὐδεὶς κτλ. Homoioteleuton wird den Ausfall verschuldet haben | 32 τὸν ὄνον, corr. V.

Digitized by Google

τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων
καὶ ἔστρωσαν ἐν τῇ ὁδῷ«, τῶν προαγόντων καὶ ἀκολουθούντων ὄχλων
κεκραγότων· »Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνό-
188v »ματι κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις«. πλὴν | ὡς διὰ ταῦτα »εἰσελ- 157
175H »θόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ⟨ἡ⟩ πόλις λέγουσα· Τίς
»ἐστιν οὗτος;« οἱ ὄχλοι, δηλονότι οἱ προάγοντες καὶ ἀκολουθοῦντες,
ἀπεκρίναντο τοῖς ἐρωτῶσιν, τίς εἴη, τὸ »Οὗτός ἐστιν ὁ προφήτης
»Ἰησοῦς, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας. καὶ εἰσῆλθεν Ἰησοῦς εἰς τὸ 158
»ἱερόν, καὶ ἐξέβαλεν πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ
»ἱερῷ καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψεν καὶ τὰς καθέ-
»δρας τῶν πωλούντων τὰς περιστεράς. καὶ λέγει αὐτοῖς· Γέγραπται·
»Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ποιεῖτε
»σπήλαιον λῃστῶν«. πευσόμεθα δὴ τῶν πέρα τῆς ἱστορίας μηδὲν 159
οἰομένων προκεῖσθαι γράφοντι τῷ Ματθαίῳ τὸ εὐαγγέλιον, τί ἦν τὸ
ἐπεῖγον πεμφθῆναι τῶν μαθητῶν δύο εἰς τὴν κατέναντι τῆς Βηθφα-
γῆς κώμην ὑπὲρ τοῦ εὑρόντας αὐτοὺς δεδεμένην ὄνον καὶ πῶλον μετ'
αὐτῆς λῦσαι καὶ ἀγαγεῖν αὐτῷ; τί δὲ ἄξιον ἀναγραφῆς ἦν γενόμενον 160
τῷ ἐπικαθεσθέντι ὄνῳ καὶ πώλῳ καὶ εἰσελθόντι εἰς τὴν πόλιν; τί
δὲ μετὰ ⟨τὰ⟩ περὶ τοῦ χριστοῦ προφητεύων ὁ Ζαχαρίας φησί· »Χαῖρε
»σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἰερουσαλήμ· ἰδοὺ ὁ βα-
»σιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραΰς καὶ ἐπιβεβη-
»κὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον;« εἰ γὰρ ἡ προφητεία αὕτη τὸ 161
παρὰ τοῖς εὐαγγελισταῖς δηλούμενον σωματικὸν μόνον προλέγει, τὴν
ἀκολουθίαν τῆς προφητείας σωζέτωσαν ἡμῖν οἱ ἐπὶ τοῦ γράμματος
188R ἱστάμενοι οὕτως ἔχουσαν· »Καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραΐμ καὶ
»ἵππον ἐξ Ἰερουσαλήμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικόν, καὶ
»πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν, καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης,
»καὶ ποταμῶν διεκβολὰς γῆς« καὶ τὰ ἑξῆς.

Ἰστέον μέντοι γε ὅτι οὐχ ὡς κεῖται παρὰ τῷ προφήτῃ ἡ λέξις 162
ἐξέθετο αὐτὴν ὁ Ματθαῖος. ἀντὶ γὰρ τοῦ »Χαῖρε σφόδρα, θύγατερ
»Σιών· κήρυσσε, θύγατερ Ἰερουσαλήμ« πεποίηκεν· »Εἴπατε τῇ θυ-
»γατρὶ Σιών«, ἐπιτεμνόμενος τὸ προφητικόν· παρεσιώπησεν δὲ καὶ
τὸ »Δίκαιος καὶ σώζων αὐτός«, καὶ εἰπὼν ὡς κεῖται τὸ »Πραΰς καὶ
»ἐπιβεβηκώς« ἀντὶ τοῦ »Ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον« ἀνέγραψεν·
»Ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου«.

XXVII. Καὶ Ἰουδαῖοι δὲ συνεξετάζοντες τὸν τῆς προφητείας εἰρ- 163
μὸν τοῖς περὶ Ἰησοῦ ἀναγεγραμμένοις, οὐκ εὐκαταφρονήτως ἡμᾶς

3 Matth. 21, 3. — 4 Matth. 21, 10—13. — 19 Sach. 9, 9. — 25 Sach. 9, 10. — 31 Matth. 21, 5.

5 ⟨ἡ⟩ add. V | 7 εἴῃ τὸ] ἐλήτο, corr. Hu, ἐστιν οὗτος rät V | 9 ἐξέβαλλεν, corr. Pr vgl. S. 200, 26 | 13 πνευσόμεθα M | 19 ⟨τὰ⟩ add. V 23 προλέγειν, corr. Hu 32 ἐπιτεμόμενος.

Digitized by Google

θλίβουσιν ἀπαιτοῦντες πῶς ὁ Ἰησοῦς ἐξωλόθρευσεν ἅρματα ἐξ Ἐφραὶμ
καὶ ἵππον ἐξ Ἰερουσαλήμ, καὶ ἐξωλόθρευσεν τόξον πολεμικὸν καὶ τὰ
164 ἐξῆς πεποίηκεν. καὶ ταῦτα μὲν περὶ τῆς προφητείας. ἐὰν δὲ τὸ
μῆκος τῆς ὁδοῦ αἰτιάσωνται, μηδὲν ἄξιον τῆς τοῦ υἱοῦ τοῦ θεοῦ
οἰκονομίας εὑρίσκοντες εἰς τὸν περὶ τῆς ὄνου καὶ πώλου λόγον, πρῶ- 176H
τον μὲν οἱ πεντεκαίδεκα σταδίοις βραχεῖ διαστήματι οὖσιν προσχρώ- 189r
μενοι οὐ πάνυ τι ἀπολογίαν εὔλογον κομιοῦσιν τῆς ὁδοῦ· δεύτερον
δὲ πῶς δύο κτηνῶν εἰς τὴν οὕτω βραχεῖαν δεῖται ὁδὸν λεγέτωσαν
165 ἡμῖν· »Ἐπεκάθισεν, γάρ φησιν, ἐπάνω αὐτῶν«. ἔτι δὲ καὶ τὸ »Ἐάν τις
»ὑμῖν εἴπῃ, ἐρεῖτε ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει· εὐθὺς δὲ ἀπο- 10
»στέλλει αὐτούς« οὐκ οἶμαι ἄξιον εἶναι τοῦ μεγέθους τῆς τοῦ υἱοῦ
τοῦ θεοῦ θειότητος, ὥστε εἰπεῖν τὴν τηλικαύτην φύσιν χρείαν ὁμο-
λογεῖν ἔχειν ὄνου ἀπὸ δεσμῶν λυομένης, καὶ πώλου σὺν αὐτῇ ἐρχο-
μένου· δεῖ γὰρ μέγα εἶναι πᾶν, οὗ χρείαν ἔχει ὁ υἱὸς τοῦ θεοῦ, καὶ
166 ἄξιον τῆς χρηστότητος αὐτοῦ. πρὸς δὲ τούτοις ὁ στρωννύων αὐτοῦ 15
τὰ ἱμάτια πλεῖστος ὄχλος ἐν τῇ ὁδῷ, ἀνεχομένου τούτων τοῦ Ἰησοῦ
καὶ μὴ ἐπιτιμῶντος, ὡς δῆλον ἐκ τῶν παρ' ἄλλοις κειμένων· »Ἐὰν
»οὗτοι σιωπήσωσιν, οἱ λίθοι κράξουσιν« οὐκ οἶδα εἰ μὴ βλακείαν τινὰ
ἐμφαίνουσιν τοῦ ἐπὶ τοῖς τοιούτοις, εἰ μηδὲν ἄλλο ἀπ' αὐτῶν δηλοῦ-
ται εὐφραινομένου· ⟨τὸ⟩ δὲ καὶ κοπτομένους κλάδους ἀπὸ τῶν δέν- 20
δρων στρώννυσθαι ἐν τῇ ὁδῷ ὄνων διερχομένων ἐμπόδιον μᾶλλον
δόξαι ἂν εἶναι τοῦ ὀχλουμένου ἤπερ λελογισμένη ἀποδοχή.
167 Ὅσα δὲ ἐπεπορήσαμεν ⟨περὶ⟩ τῶν ἐκ τοῦ ἱεροῦ ὑπ' αὐτοῦ ἐκβαλ-
168 λομένων, ταῦτα καὶ ἔτι μείζονα ἐνθάδε λεκτέον. ἐν μὲν γὰρ τῷ κατὰ 189R
Ἰωάννην ἐκβάλλει τοὺς ἀγοράζοντας· ὁ δὲ Ματθαῖός φησιν ὅτι 25
»Ἐξέβαλεν πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ«·
πολλῷ δὲ ὡς εἰκὸς ἀριθμὸς τῶν ἀγοραζόντων πλείων ἦν παρὰ τοὺς
169 πωλοῦντας. καὶ ἐπιστήσωμεν εἰ μὴ τὸ πάντας ἐκβάλλεσθαι τοὺς
πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ παρὰ τὸ ἀξίωμα τοῦ νομι-
ζομένου υἱοῦ τέκτονος εἶναι ἐτύγχανεν, εἰ μὴ ἄρα, ὡς κἀκεῖ ἐλέγομεν, 30
θειοτέρᾳ δυνάμει τοὺς πάντας ὑπέτασσεν, χαλεπώτερα ὅσον ἐπὶ τοῖς

9 Matth. 21, 7. — Matth. 21, 3. — **15** Vgl. Matth. 21, 8. — **17** Luk. 19, 40. — **23** Vgl. S. 197, 3ff. — **24** Vgl. Joh. 2, 15. — **26** Matth. 21, 12. — **29** Vgl. Matth. 13, 55; Mark. 6, 3. — **30** Vgl. S. 197, 13ff.

1. 2 ἐξωλέθρευσεν | 5 πώλον (Accent aus Circumflex corr.) | 6 οἱ ῖε a. Ras. | 8 δύο] vo a. Ras. | 17 ἐπιμῶντος M | 18 κράξουσιν mit BʁL., V wie oben S. 193, 36 u. in Mt. XVI, 18 κεκράξονται (AR rel. ς); ersteres die LA d. Orig. | 18f. τι᾽ ἀνεμφαινουσιν M, αἰτιαν ἐμφαίνουσι V, corr. Hu | 20 ⟨τὸ⟩ add. Br | 21 ἐμποδιαλαμβα δόξαιαν εἶναι M, ἐμπόδια ἐμβάλλεσθαι δόξαι ἂν εἶναι V, corr. Hu | 22 ἀποδοχῆς, corr. V | 23 περὶ⟩ τῶν ἐκ] ἐκ τῶν, corr. Pr | 24 ἔτι] ἐπί τι (Vorlage wohl ἐπ̃ι), corr. Hu.

Digitized by Google

λοιποῖς εὐαγγελισταῖς παρὰ τὸν Ἰωάννην ἀκούσαντας. ὁ μὲν γὰρ 170
Ἰωάννης φησὶν αὐτοῖς εἰρῆσθαι ὑπὸ τοῦ Ἰησοῦ· »Μὴ ποιεῖτε τὸν
»οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου«· τοῖς δὲ λοιποῖς »σπήλαιον
»λῃστῶν« ἐλέγχονται πεποιηκότες τὸν οἶκον τῆς προσευχῆς, οὐ χω-
ροῦντος τοῦ οἴκου τοῦ πατρὸς ὥστε γενέσθαι σπήλαιον λῃστῶν, ἀλλὰ
μέχρι τοσούτου ὑπὸ τῶν ἁμαρτανόντων φυρομένου ὡς οἶκον ἐμπο-
ρίου αὐτὸν γενέσθαι. μόνον δὲ τῆς προσευχῆς οἶκος, οὐ πάντως οἶκος 171
τοῦ πατρὸς ὤν, ἀμεληθεὶς καὶ λῃστὰς παραδέξεται, οὐ γινόμενος αὐ-
τῶν οἶκος, ἀλλὰ σπήλαιον, πρᾶγμα οὐχ ὑπὸ ἀρχιτεκτονικῆς καὶ λογι-
κῆς ἐντρεχείας γεγενημένον.

177H XXVIII. (18) Τὸ μὲν οὖν ἰδεῖν [ἔχει] ἢ ἔχει ταῦτα νοῦ ἀληθοῦς 172
τοῦ δοθέντος τοῖς λέγουσιν· »Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, ἵνα
»ἴδωμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν« μεῖζον, ἢ καθ' ἡμᾶς εἶναι
πειθόμεθα. οὐδὲ γὰρ ἀθόλωτον ἡμῶν ἐστιν τὸ ἡγεμονικόν, οὐδὲ 173
189v ὀφθαλμοὶ ὁποίους δεῖ εἶναι τοὺς τῆς καλῆς νύμφης Χριστοῦ | ὀφθαλ-
μούς, περὶ ὧν φησιν ὁ νυμφίος· »Ὀφθαλμοί σου περιστεραί«, τάχα
αἰνισσόμενος τὴν τῶν πνευματικῶν κατανοητικὴν δύναμιν, διὰ τὸ καὶ
τὸ πνεῦμα τὸ ἅγιον ὡς περιστερὰν ἐληλυθέναι ἐπὶ τὸν κύριον ⟨Ἰη-
σοῦν⟩ καὶ τὸν ἐν ἑκάστῳ κύριον· ἀλλ' ὅμως καὶ οὕτως ἔχοντες οὐκ
ἀποκνήσομεν, ψηλαφῶντες τοὺς εἰρημένους τῆς ζωῆς λόγους, πειρα-
θῆναι λαβέσθαι αὐτῶν τῆς ἀπορρεούσης εἰς τὸν μετὰ πίστεως ἁψά-
μενον δυνάμεως. Ἰησοῦς τοίνυν ἐστὶν ὁ τοῦ θεοῦ λόγος, ὅστις εἰσ- 174
έρχεται εἰς τὴν Ἱεροσόλυμα καλουμένην ψυχήν, ὀχούμενος τῇ ὑπὸ τῶν
μαθητῶν λελυμένῃ ἀπὸ τῶν δεσμῶν ὄνῳ, λέγω δὲ τοῖς ἀφελέσι τῆς
παλαιᾶς διαθήκης γράμμασι, σαφηνιζομένοις ὑπὸ τῶν λυόντων αὐτὰ
μαθητῶν δύο· τοῦ τ' ἐπὶ τὴν θεραπείαν τῆς ψυχῆς ἀνάγοντος τὰ
γεγραμμένα καὶ ἐπ' αὐτὴν αὐτὰ ἀλληγοροῦντος, καὶ τοῦ τὰ μέλλοντα
ἀγαθὰ καὶ ἀληθινὰ διὰ τῶν ἐν τῇ σκιᾷ κειμένων παριστάντος. ὀχεῖται 175
δὲ καὶ τῷ νέῳ πώλῳ, τῇ καινῇ διαθήκῃ· ἐν ἀμφοτέραις γὰρ ἔστιν
190R εὑρεῖν τὸν καθαίροντα ἡμᾶς τῆς ἀληθείας λόγον καὶ ἀπελαύνοντα
τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν ἡμῖν πάντας λογισμούς. μόνος 176
δὲ εἰς τὴν Ἱεροσόλυμα ψυχὴν οὐκ ἔρχεται, ἀλλ' οὐδὲ μετὰ ὀλίγων
τινῶν· πολλὰ γὰρ τὰ προάγοντα τὸν τελειοῦντα ἡμᾶς λόγον θεοῦ

2 Joh. 2, 16. — 3 Vgl. Matth. 21, 13. Mark. 11, 17. Luk. 19, 46. — 12 I Kor. 2, 16. 12. — 16 Hohel. 1, 15. — 18 Vgl. Matth. 3, 16. Mark. 1, 10. Luk. 3, 22. Joh. 1, 32. — 22 Vgl. Joh. 1, 1. — 24 Vgl. Matth. 21, 2. — 29 Vgl. Sach. 9, 9. — 30 Vgl. II Kor. 6, 7. — 33 Vgl. Matth. 21, 9.

3 τοῖς δὲ λοιποῖς] οἱ δὲ λοιποί, corr. Pr | 6 φερομένου, corr. We | 11 ὡς ἔχει V | 13 εἰδῶμεν T | μεῖζον ⟨δὲ⟩? We | 18 ⟨Ἰησοῦν⟩ add. Pr, wenn nicht nach κύριος etwas ausgefallen ist, etwa ⟨φωτίσαι ἡμᾶς⟩ | 20 ἀποκνήσομεν | 31 μόνος] σ a. Ras. | 33 προάγοντα aus προσάγοντα durch Ras. corr.

Digitized by Google

δεῖ ἐν ἡμῖν γενέσθαι, καὶ ἕτερα πλεῖστα ὅσα τὰ ἑπόμενα αὐτῷ· πάντα μέντοι γε αὐτὸν ὑμνοῦντα καὶ δοξάζοντα, καὶ τὸν ἴδιον κόσμον καὶ περιβολὴν αὐτῷ ὑποτιθέντα, ἵνα αὐτοῦ τὰ ὀχήματα μὴ ἅπτηται γῆς,
177 ἔχοντα τὸν οὐρανόθεν καταβεβηκότα ἐπαναπαυόμενον αὐτοῖς. ἵνα δὲ ἔτι μᾶλλον ἀνωτέρω τῆς γῆς τυγχάνωσιν οἱ ὀχοῦντες αὐτὸν παλαιοὶ καὶ καινοὶ λόγοι τῶν γραφῶν, ἐκκόπτεσθαι κλάδους δεῖ ἀπὸ τῶν δένδρων, ἵνα βαίνωσιν ἐπὶ τῶν εὐλόγως ἐκκειμένων. δύνανται δὲ οἱ προάγοντες καὶ ἀκολουθοῦντες αὐτῷ ὄχλοι δηλοῦν καὶ τὰς ἀγγελικὰς συνεργείας, τινὰς μὲν εὐτρεπιζούσας αὐτῷ τὴν ὁδὸν ἐν ταῖς ψυχαῖς ἡμῶν, δι' ὧν αὐτοὶ κεκόσμηνται, τινῶν δὲ ἐπακολουθούντων τῇ αὐ-
τοῦ ἐν ἡμῖν παρουσίᾳ, περὶ ἧς πολλάκις εἰρηκότες νῦν εἰς τοῦτο μαρτυριῶν οὐ χρῄζομεν.

178 XXIX. Καὶ τάχα οὐκ ἀλόγως ὄνῳ εἰκάσαι ⟨ἄν τις⟩ τὰς περιστάσας φωνὰς τὸν ἄγοντα αὐτὰς εἰς τὴν ψυχὴν λόγον· ἀχθοφόρον γὰρ τὸ ζῷον, πολὺ δὲ τὸ ἄχθος καὶ φορτίον βαρὺ δηλοῦνται ἀπὸ τῆς 178H
λέξεως, καὶ μάλιστα τῆς παλαιοτέρας, ὡς δῆλον τῷ ἐφιστάντι τοῖς
179 ὑπὸ Ἰουδαίων γινομένοις. οὐχ οὕτω δὲ ὁ πῶλος ἀχθοφόρον ὡς ἡ ὄνος. εἰ γὰρ καὶ βαρὺ πᾶν τὸ τοῦ γράμματος φορτίον ἐστὶν τὸ ἀνώφορον καὶ κουφότατον τοῦ πνεύματος χωρεῖν μὴ δυναμένοις, ἀλλά
180 γε ἔλαττον ἔχει βάρος τὸ καινὸν γράμμα παρὰ τὸ πρεσβύτερον. οἶδα δέ τινας τὴν μὲν δεδεμένην ὄνον | ἐξειληφότας τοὺς ἐκ περιτομῆς 190r
πιστεύοντας, πολλῶν δεσμῶν ὑπὸ τῶν γνησίως τῷ λόγῳ πνευματικῶς μεμαθητευμένων ἀπολυομένους, τὸν δὲ πῶλον τοὺς ἀπὸ τῶν ἐθνῶν, ἀνέτους πρὶν παραδέξωνται τὸν Ἰησοῦ λόγον καὶ ἔξω παντὸς ἐπικει-
181 μένου ζυγοῦ κατὰ τὸ ἀφηνιαστικὸν καὶ φιλήδονον γεγενημένους. εἰ καὶ μὴ εἰρήκασιν δὲ οὗτοι τοὺς προάγοντας καὶ ἀκολουθοῦντας ὄχλους, οὐκ ἀπίθανόν ἐστιν ἐφαρμόσαι τοὺς μὲν προάγοντας Μωσεῖ καὶ τοῖς προφήταις, τοὺς δὲ ἐπακολουθοῦντας τοῖς ἱεροῖς ἀποστόλοις, οἵτινες ἅπαντες εἰσέρχονται εἰς πόλιν Ἱεροσόλυμα, ὅσον κατὰ τοῦτον τὸν λόγον ζητητέον, ἔχοντα πωλοῦντας καὶ ἀγοράζοντας πολλοὺς ἐξελαυ-
182 νομένους ὑπὸ τοῦ υἱοῦ τοῦ θεοῦ. καὶ τάχα »ἡ ἄνω Ἱερουσαλήμ«, εἰς 191R
ἣν ἀναβήσεται ὁ κύριος, ἡνιοχῶν τοὺς ἐκ περιτομῆς καὶ ἐθνῶν πιστεύοντας, προαγόντων αὐτὸν καὶ ἀκολουθούντων ἤτοι προφητῶν καὶ ἀποστόλων, ἢ τῶν διακονούντων αὐτῷ ἀγγέλων — δύνανται γὰρ

3 Vgl. Dan. 8, 5. — 6 Vgl. Matth. 21, 8. — 31 Vgl. Gal. 4, 26. — 34 Vgl. Matth. 4, 11.

4 οὐρανόθεν] οὐρανὸν ὅθεν, corr. Hu | 5 ἔτι] ἐπὶ, corr. Hu | 13 εἰκάσαι] εἰκασεν M, εἴκασε V, corr. We | 14 αὐτὰς] αὐτὸν V Ausgg. | 19 χωρεῖν] χωροῦν, corr. Hu | 29 πόλιν] ποίαν, corr. We | 34 ἀγγέλων] ἀπαγγέλων, corr. Hu.

Digitized by Google

καὶ οὗτοι δηλοῦσθαι ἀπὸ τῶν προαγόντων καὶ ἀκολουθούντων αὐτῷ — λέγεται νῦν, ἢ εἶχεν πρὸ τῆς ἀνόδου αὐτοῦ τὰ λεγόμενα »πνευματικὰ »τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις«, ἢ τοὺς Χαναναίους καὶ Χετταίους καὶ Ἀμορραίους καὶ τοὺς λοιποὺς πολεμίους τοῦ λαοῦ, καὶ ἁπαξαπλῶς τοὺς ἀλλοτρίους, κἀκεῖ πως δυναμένης τῆς προφητείας πεπληρῶσθαι, λεγούσης· »Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν »χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν«. οὗτοι 183
γάρ εἰσιν οἱ τὸν οὐράνιον τοῦ πατρὸς οἶκον, τὴν ἁγίαν Ἱερουσαλήμ, τὸν οἶκον τῆς προσευχῆς μολύνοντες καὶ »σπήλαιον λῃστῶν« ποιήσαντες, οὐκ ἄλλων ἢ ἑαυτῶν, ἀργύριον ἔχοντες ἀδόκιμον καὶ διδόντες ὀβολοὺς καὶ κόλλυβα τοῖς προσιοῦσιν, εὐτελῆ καὶ εὐκαταφρόνητα νομίσματα. οὗτοί εἰσιν οἱ λαμβάνοντες ἀπὸ τῶν ψυχῶν ἐν τῷ παλαίειν 184
αὐταῖς τὰ τιμιώτερα, καὶ συλῶσιν τὰ κρείττονα, ἵνα δῶσιν τὰ μηδενὸς ἄξια. XXX. πλὴν πορευθέντες οἱ μαθηταὶ εὑρίσκουσιν τὴν δεδεμένην 185
ὄνον καὶ λύουσιν, διὰ τὸ ἐπικείμενον κάλυμμα τῷ νόμῳ Ἰησοῦν οὐκ ἔχουσαν. καὶ ὁ πῶλος δὲ μετ' αὐτῆς εὑρίσκεται, ἐπεὶ ἀμφότερα πρὸ 186
179H Ἰησοῦ ἦν ἀπολωλότα· λέγω δὲ οἱ ἐκ περιτομῆς καὶ οἱ ἀπὸ τῶν ἐθνῶν ὕστερον πιστεύσαντες. πῶς δὲ οὗτοι εὐθὺς πάλιν ἀποστέλλονται 187
μετὰ τὸ ἐπικαθεσθέντα τὸν Ἰησοῦν εἰς τὰ Ἱεροσόλυμα ἀναβεβηκέναι οὐκ ἀκίνδυνον εἰπεῖν, μυστικὸν γὰρ ἐχόμενον τῆς [περὶ] τῶν ἁγίων εἰς ἀγγέλους μεταβολῆς, ἀποσταλησομένους κατὰ τὸν μετὰ τοῦτον αἰῶνα, παραπλησίως τοῖς εἰς διακονίαν ἀποστελλομένοις λειτουργικοῖς πνεύμασιν διὰ τοὺς κατά γε ταῦτα μέλλοντας κληρονομεῖν ζωὴν αἰώ-
190v νιον. εἰ δὲ ἡ ὄνος καὶ ὁ πῶλος τὰ παλαιὰ καὶ τὰ καινὰ εἴη | γράμ- 188
μματα, οἷς ὁ λόγος ὀχεῖται τοῦ θεοῦ, οὐ πάνυ τι χαλεπὸν ἔσται παραστῆσαι, πῶς ἀποστέλλονται τοῦ λόγου ἐν αὐτοῖς φανέντος οὐ μένουσιν ⟨δὲ⟩ μετὰ τὸ εἰσελθεῖν εἰς Ἱεροσόλυμα τὸν λόγον ἐν τοῖς ἀποβεβληκόσιν πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας λογισμούς.

Ἐγὼ δὲ οἶμαι μὴ μάτην κώμην τε εἶναι τὸν τόπον τοῦτον, ὅπου 189
ἦν ἡ δεδεμένη ὄνος καὶ ὁ πῶλος, καὶ τοῦτο ἀνώνυμον· κώμη γὰρ ὡς πρὸς τὸν ἐν οὐρανῷ πάντα κόσμον ἡ πᾶσά ἐστιν γῆ, ὅπου ἐστὶν ἡ δεδεμένη ὄνος καὶ ὁ πῶλος, καὶ ἡ κώμη αὐτάρκως χωρὶς προσθήκης ἑτέρου ὀνόματος καλουμένη. ἀπὸ Βηθφαγὴ δὲ ὁ Ματθαῖός φησιν 190
192R ἀποστέλλεσθαι τοὺς παραληψομένους τὴν ὄνον καὶ τὸν πῶλον, ἥτις

2 Eph. 6, 12. — 6 Jes. 1, 7. — 9 Vgl. Matth. 21, 13. — 15 Vgl. II Kor. 3, 15. 22 Vgl. Hebr. 1, 14. — 30 Vgl. Matth. 21, 2.

1 οὕτω, corr. We | 17 οἱ] ὁ | 20 ἐχόμενον wohl verderbt, viell. ἔχει νοῦν | περὶ, str. We, der noch vorschlägt: τῆς ⟨ἀλληγορίας τῆς⟩ περὶ τῆς τῶν | 27 ⟨δὲ⟩ + We.

Digitized by Google

191 τόπος ἦν ἱερατικός ›οἶκος σιαγόνων‹ ἑρμηνευόμενος. καὶ ταῦτα μὲν κατὰ δύναμιν εἰς τὰ παρὰ τῷ Ματθαίῳ λεκτέον, τοῦ ὁλοκλήρου καὶ παρὰ ταῦτα ἀκριβεστέρου λόγου εὐκαιρότερον, ὅταν εἰς τὸ κατὰ Ματ-
192 θαῖον ἡμῖν λέγειν δοθῇ, λεχθησομένου. ὁ δὲ Μάρκος καὶ ὁ Λουκᾶς πῶλον δεδεμένον, ἐφ' ὃν οὐδείς πω ἀνθρώπων ἐκάθισεν, εὑρῆσθαί φασι κατὰ τὴν πρόσταξιν τοῦ κυρίου ὑπὸ τῶν δύο μαθητῶν, ὄντινα
193 λύσαντες ἤγαγον πρὸς τὸν κύριον. προστίθησιν δὲ ὁ Μάρκος ὅτι ›εὗρον τὸν πῶλον δεδεμένον πρὸς θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου‹· τίς δὲ ἔξω; οἱ ἀπὸ τῶν ἐθνῶν, οἳ ἦσαν ›ξένοι τῶν διαθηκῶν‹ καὶ ἀλλότριοι τῆς ἐπαγγελίας τοῦ θεοῦ, ἐπὶ τοῦ ἀμφόδου καὶ οὐχὶ ὑπὸ στέγην ἢ οἰκίαν ἀναπαυόμενοι, δεδεμένοι ταῖς ἰδίαις ἁμαρτίαις καὶ
194 λυόμενοι ὑπὸ τῆς προειρημένης διπλῆς ἐπιστήμης τῶν Ἰησοῦ γνωρίμων. οἱ δὲ δεσμοὶ τοῦ δεδεμένου πώλου, καὶ αἱ ἁμαρτίαι παρὰ τὸν ὑγιῆ γεγενημέναι λόγον ἐλεγχόμεναι ὑπ' αὐτοῦ θύρας τυγχάνοντος ζωῆς πρὸς ἐκείνην (λέγω δὴ τὴν θύραν) ἦσαν οὐκ ἔνδον, ἀλλ' ἔξω·
195 τάχα γὰρ ἔνδον τῆς θύρας δεσμὸς γενέσθαι τῆς κακίας οὐ δύναται. ἑστήκασιν δέ τινες παρὰ τῷ δεδεμένῳ πώλῳ, ὡς ὁ Μάρκος φησίν, οἶμαι ὅτι οἱ δήσαντες αὐτόν· ὡς ⟨δὲ⟩ Λουκᾶς ἀναγράφει, ›Εἶπαν οἱ ›κύριοι τοῦ πώλου πρὸς τοὺς μαθητάς· Τί λύετε τὸν πῶλον;‹ κύριοι 190R
γὰρ οἱ ὑποτάξαντες καὶ δήσαντες τὸν ἡμαρτηκότα παράνομοι, οἵτινες
οὐ δύνανται ἀντιβλέψαι τῷ ἀληθῶς κυρίῳ ἀφέλκοντι τοῦ δεσμοῦ αὐτῶν
196 τὸν πῶλον. ὅτι οὖν φασιν οἱ μαθηταί· ›Ὁ κύριος αὐτοῦ χρείαν ›ἔχει‹ μηδὲν δυνηθέντων τῶν πονηρῶν κυρίων ἀποκρίνασθαι, ἄγουσι πρὸς τὸν Ἰησοῦν τὸν πῶλον γυμνόν, ἐπιρρίπτουσι τὸν ἴδιον κόσμον, ἵνα τοῖς ἐπιβληθεῖσι τῶν μαθητῶν ἱματίοις ἐπικαθεσθεὶς ὁ κύριος
197 ἀναπαύσηται. XXXI. Τὰ δὲ λοιπὰ ἐκ τῶν εἰρημένων παρὰ τῷ Ματθαίῳ οὐ πάνυ τι ἔσται ἀσαφῆ, τίνα τρόπον ›ἔρχονται εἰς Ἱεροσόλυμα, καὶ | ›εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ ἀγορά- 191r
ζοντας ἐν τῷ ἱερῷ‹ ἤ· ›Ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ' ›αὐτήν. καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας‹.
198 ἐν οἷς μὲν γὰρ τῶν ἐχόντων τὸ ἱερὸν ἐν αὐτοῖς ἐκβάλλει πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ· ἐν ἑτέροις δὲ μὴ

1 Vgl. in Matth. XVI, 17. Lagarde, Onomast. sacr. p. 188, 75: *Βηθφαγή· οἶκος σιαγόνων.* Vgl. Hieron. p. 60, 26: quidam putant domum maxillarum uocari. Dass übrigens Bethphage Priesterstadt gewesen sei, ist nicht überliefert. Orig. hat die Angabe wohl aus rabbinischer Tradition. — **4** Vgl. Mark. 11, 2; Luk. 19, 30. — **7** Mark. 11, 4. — **9** Eph. 2, 12. — **12** Vgl. S. 202, 20ff. — **13** Vgl. Mark. 11, 2. — **17** Vgl. Mark. 11, 5. — **18** Luk. 19, 33. — **22** Luk. 19, 34. — **28** Mark. 11, 15. — **30** Luk. 19, 41. 45.

6 *φησι*, corr. We | **15** *τὴν θύραν*] *τῆς θύρας*, corr. Pr | **18** ⟨*δὲ*⟩ + We.

Digitized by Google

σφόδρα πειθομένοις τῷ λόγῳ τοῦ θεοῦ μόνον τὴν ἀρχὴν ποιεῖται
τοῦ ἐκβάλλειν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας. τρίτοι δέ εἰσιν παρὰ
τούτους, ἐν οἷς ἤρξατο ἐκβάλλειν μόνους τοὺς πωλοῦντας, οὐχὶ δὲ
193 R καὶ τοὺς ἀγοράζοντας. οἱ δὲ παρὰ τῷ Ἰωάννῃ πάντες ἅμα τοῖς προ- 199
βάτοις καὶ τοῖς βουσὶν τῷ πλακέντι ἐκ σχοινίων φραγελλίῳ ἐκβάλ-
λονται. ἐπίστησον δὲ ἐπιμελῶς εἰ δυνατὸν † ὡς τάς γε ἐναλλαγὰς
τῶν γεγραμμένων καὶ τὰς διαφωνίας διαλύεσθαι παρὰ τὸν τῆς ἀνα-
γωγῆς τρόπον, ἑκάστου τῶν εὐαγγελιστῶν διαγράφοντος διαφόρους
τοῦ λόγου ἐνεργείας ἐν διαφόροις ἤθεσι ψυχῶν οὐ τὰ αὐτὰ ἀλλά τινα
παραπλήσια ἐπιτελούσας. καὶ ἡ δοκοῦσα δὲ διακοπὴ τῶν εἰς Ἱεροσό- 200
λυμα ἀνόδων τοῦ Ἰησοῦ παρὰ τῷ τὸ ἐν χερσὶν εὐαγγέλιον ἀναγράψαντι
ἑτέρως παρὰ τοὺς τρεῖς, ὡς ἐξεθέμεθα τὰς λέξεις αὐτῶν οὕτω μόνως
σώζεσθει δύναται· τοῖς παραπλησίοις πράγμασιν ἐπιπεσόντος τοῦ
Ἰωάννου ἀντὶ τῶν κοπτομένων ἀπὸ τῶν δένδρων κλάδων, ἢ στιβά-
δων ἐκ τῶν ἀγρῶν καὶ στρωννυμένων ἐν τῇ ὁδῷ βαΐα τῶν φοινίκων
εἰληφέναι λέγοντος τὸν πολὺν ἐξεληλυθέναι εἰς τὴν ἑορτὴν ὄχλον, καὶ
ἐξεληλυθέναι εἰς ἀπάντησιν αὐτῷ κεκραγότα· »Εὐλογημένος ὁ ἐρχό-
»μενος ἐν ὀνόματι κυρίου, καὶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ«. πλὴν οὗτος 201
ὑπ' αὐτοῦ φησι τοῦ Ἰησοῦ εὑρίσκεσθαι τὸ ὀνάριον, ἐφ' ὃ καθέζεται
ὁ χριστός, πλέον τι περὶ τοῦ τροπικώτερον δηλουμένου ὀναρίου
παριστὰς μείζονα εὐεργεσίαν χωρήσαντος τὴν »οὐκ ἀπὸ ἀνθρώπων
οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ«. οὐδὲ Ἰωάννης δὲ 202
181 H αὐτολεξεὶ τὸ προφητικὸν ἐξέθετο, ἀλλ' ἀντ' αὐτοῦ τὸ »Μὴ φοβοῦ,
»θύγατερ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος«· * * * ἀντὶ
τοῦ· »Ἐπιβεβηκὼς * * ἐπὶ πῶλον ὄνου * * ἐπὶ ὑποζύγιον καὶ πῶλον
»νέον«. τὸ δὲ »Μὴ φοβοῦ, ἡ θυγάτηρ Σιὼν« οὐδ' ὅλως εἴρηται.

XXXII. Πλὴν ἴδωμεν ὑπὸ πάντων ἐκτεθέντος τοῦ προφητικοῦ 203
λόγου, εἰ μὴ χαίρειν σφόδρα θυγατέρα Σιὼν ἀναγκαῖον, τὴν δὲ κρείτ-
τονα ταύτης θυγατέρα Ἱερουσαλὴμ οὐ μόνον χαίρειν σφόδρα ἀλλὰ καὶ
κηρύσσειν δεῖ, τοῦ βασιλέως αὐτῆς ἐρχομένου τοῦ δικαίου καὶ σώζον-
τος καὶ πράου, διὰ τοῦ ἐπιβεβηκέναι τῷ ὑποζυγίῳ καὶ τῷ νέῳ πώλῳ.
191 v πᾶς γοῦν ὁ δεξάμενος αὐτὸν οὐκέτι φοβηθήσεται τοὺς τῶν ἑτεροδόξων 204
ὡπλισμένους τοῖς πιθανοῖς λόγοις, ἅρματα Ἐφραὶμ λεγόμενα ὑπὸ τοῦ

4 Vgl. Joh. 2, 15. — 14 Vgl. Matth. 21, 8. — 15 Vgl. Mark. 11, 8. — 16 Joh. 12, 12f. — 19 Vgl. Joh. 12, 14. — 21 Gal. 1, 1. — 23 Vgl. Joh. 12, 15; Sach. 9, 9. — 28 Vgl. Sach. 9, 9. — 33 Vgl. Sach. 9, 10.

3 τοῦ] τοὺς | 6 ὡς] ἐστι? We | 16 εἰληφότα? We | 19 ἀνάριον | 20 περὶ τοῦτο, corr. We | 25 Der Text ist durch Ausfall verstümmelt. Zu ergänzen etwa: καθήμενος ⟨ἐπὶ πῶλον ὄνου· τὸ »καθήμενος«⟩ ἀντὶ τοῦ »ἐπιβεβηκὼς« ⟨καὶ τὸ »ἐπὶ πῶλον ὄνου« θέμενος ἀντὶ τοῦ⟩ »ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον« | 26 ἡ fehlt o. S. 194, 10 in dem längeren Citat | 32 αὐ[τὸν — ἑτεροδόξων] a. Ras. | 33 λόγους We.

Digitized by Google

κυρίου ἐξολοθρευόμενα, οὐδὲ τὸν ψευδῆ ἵππον εἰς σωτηρίαν, θηλυμανῆ
ἐπιθυμίαν τοῖς αἰσθητοῖς ᾠκειωμένην, καὶ πολλοὺς τῶν ἐν Ἱερουσα-
205 λὴμ οἰκεῖν θελόντων καὶ τῷ ὑγιεῖ λόγῳ προσέχειν βλάπτοντα. ἔστι
δὲ χαίρειν ἄξιον ἐπὶ τῷ ἐξολοθρεύεσθαι ὑπὸ τοῦ ὀχουμένου τῷ ὑπο-
ζυγίῳ καὶ τῷ νέῳ πώλῳ πᾶν »τόξον πολεμικόν«, οὐκέτι τῶν πε- 5
πυρωμένων βελῶν τοῦ ἐχθροῦ κατισχυόντων τοῦ παραδεξαμένου τὸν 194 R
206 Ἰησοῦν εἰς τὸ ἑαυτοῦ ἱερόν. ἔσται δὲ καὶ »πλῆθος« μετὰ »εἰρήνης«
ἀπὸ τῶν ἐθνῶν ἐν τῇ ⟨εἰς⟩ Ἱερουσαλὴμ τοῦ σωτῆρος ἐπιδημίᾳ, ἄρ-
χοντος τῶν ὑδάτων, ἵνα συντρίψῃ τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ
τοῦ ὕδατος, καὶ πατήσωμεν τὰ κύματα τῆς θαλάσσης, φθάνοντες ἕως 10
207 τῶν διεκβολῶν πάντων τῶν ἐπὶ γῆς ποταμῶν. ὁ μέντοι γε Μάρκος
περὶ τῆς ὄνου γράφων εἰρῆσθαι ὑπὸ τοῦ κυρίου· »Ἐφ' ὃν οὐδεὶς οὔπω
»ἀνθρώπων ἐκάθισεν« δοκεῖ μοι αἰνίττεσθαι τὸ μηδέπω ποτὲ λόγῳ
ὑποτεταχέναι ἑαυτοὺς πρὸ τῆς Ἰησοῦ ἐν αὐτοῖς ἐπιδημίας τοὺς ὕστε-
208 ρον πεπιστευκότας. τάχα γὰρ ἀνθρώπων μὲν οὐδείς πω καθίσας ἐπὶ 15
τὸν πῶλον ἦν, θηρίων δὲ ἢ τῶν ἀλλοτρίων τοῦ λόγου δυνάμεών
τινες ἐπεκάθισαν, ἐπεὶ ὁ πλοῦτος τῶν ἀντικειμένων δυνάμεων καὶ
παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ ἐπὶ ὄνων φέρεσθαι καὶ καμήλων λέγεται
διὰ τούτων· »Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ λέων καὶ σκύμνος,
»ἐκεῖθεν καὶ ἔχγο⟨να⟩ ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπὶ ὄνων καὶ 20
209 »καμήλων τὸν πλοῦτον αὐτῶν«. πευστέον δὲ πάλιν τῶν ψιλῇ τῇ
λέξει προσεχόντων εἰ μὴ κατ' αὐτοὺς ματαίως ἂν δόξαι γεγράφθαι
τὸ »Ἐφ' ὃν οὐδεὶς οὔπω ἀνθρώπων ἐκάθισεν«. τίς γὰρ παρὰ ἄνθρω-
πον καθέζεται ἐπὶ πῶλον; καὶ ταῦτα μὲν τὰ ἡμέτερα.

210 XXXIII. (19) Ἴδωμεν δὲ καὶ τὰ Ἡρακλέωνος, ὅς φησι τὴν 182 H
⟨εἰς⟩ Ἱεροσόλυμα ἄνοδον σημαίνειν τὴν ἀπὸ τῶν ὑλικῶν
εἰς τὸν ψυχικὸν τόπον τυγχάνοντα εἰκόνα τῆς Ἱερουσα-
211 λήμ, ἀνάβασιν τοῦ κυρίου. τὸ δὲ »Εὗρεν ἐν τῷ ἱερῷ« καὶ
οὐχὶ »τῷ ναῷ«, οἴεται εἰρῆσθαι ὑπὲρ τοῦ μὴ τὴν κλῆσιν
μόνην νοηθῆναι τὴν χωρὶς πνεύματος βοηθεισθαι ὑπὸ 30
τοῦ κυρίου· ἡγεῖται γὰρ τὰ μὲν ἅγια τῶν ἁγίων εἶναι τὸ
ἱερόν, εἰς ἃ μόνος ὁ ἀρχιερεὺς εἰσήει, ἔνθα οἴομαι αὐτὸν
λέγειν τοὺς πνευματικοὺς χωρεῖν· τὰ δὲ τοῦ προνάου,
ὅπου καὶ οἱ Λευῖται, σύμβολον εἶναι τῶν ἔξω τοῦ πλη-

1 Vgl. Jer. 5, 8. — 5 Vgl. Eph. 6, 16. — Vgl. Sach. 9, 10. — 7 Vgl. Sach. — 9 Ps. 73, 13. 9, 10. — 10 Vgl. Sach. 9, 10. — 11 Mark. 11, 2. — 19 Jes. 30, 6. — 23 Mark. 11, 2. — 28 Joh. 2, 14. — 32 Vgl. Hebr. 9, 7.

2 *οἰκειωμένην* corr. We, *οἰκειουμένην* Lommatzsch | 3 *τὸν ὑγιῆ λόγον*, corr. Hu | *ἔστι*] *ἔτι* V | 8 ⟨*εἰς*⟩ + We | 20 *πετόμενα ὤν*, corr. Hu | 26 ⟨*εἰς*⟩ + Hu vgl. zu S. 173, 23 | *σημαίνει*, corr. V | 29 *τῷ ναῷ*] *τῶν ἄνω* aus *τωναω* verlesen; corr. Neander *προνάῳ* Br | 32 *εἰσήει*] *εἰσίει*, corr. V.

Digitized by Google

ρώματος ψυχικῶν εὑρισκομένων ἐν σωτηρίᾳ. πρὸς τούτοις 212
τοὺς εὑρισκομένους ἐν τῷ ἱερῷ πωλοῦντας βόας καὶ
192r πρόβατα καὶ περιστερὰς καὶ τοὺς καθημένους | κερματι-
στὰς ἐξεδέξατο λέγεσθαι ἀντὶ τῶν μηδὲν χάριτι διδόντων,
5 ἀλλ' ἐμπορίαν καὶ κέρδος τὴν τῶν ξένων εἰς τὸ ἱερὸν
εἴσοδον νομιζόντων, τοῦ ἰδίου κέρδους καὶ φιλαργυρίας
ἕνεκεν τὰς εἰς τὴν λατρείαν τοῦ θεοῦ θυσίας χορηγούν-
των. καὶ τὸ φραγέλλιον δὲ πεποιῆσθαι ἐκ σχοινίων ὑπὸ 213
τοῦ Ἰησοῦ, οὐχὶ παρ' ἄλλου λαβόντος ἰδιοτρόπως ἀπαγγέλλει,
10 λέγων τὸ φραγέλλιον εἰκόνα τυγχάνειν τῆς δυνάμεως καὶ
195R ἐνεργείας τοῦ ἁγίου πνεύματος ἐκφυσῶντος τοὺς χείρο-
νας, καί φησι τὸ φραγέλλιον καὶ τὸ λίνον καὶ τὴν σινδόνα,
καὶ ὅσα τοιαῦτα, εἰκόνα τῆς δυνάμεως καὶ τῆς ἐνεργείας
εἶναι τοῦ ἁγίου πνεύματος. ἔπειτα ἑαυτῷ προσείληφεν τὸ 214
15 μὴ γεγραμμένον, ὡς ἄρα εἰς ξύλον ἐδέδετο τὸ φραγέλλιον·
ὅπερ ξύλον τύπον ἐκλαβὼν εἶναι τοῦ σταυροῦ φησι Τούτῳ
τῷ ξύλῳ ἀνηλῶσθαι καὶ ἠφανίσθαι τοὺς κυβευτὰς ἐμ-
πόρους καὶ πᾶσαν τὴν κακίαν. καὶ οὐκ οἶδ' ὅπως φλυαρῶν 215
φησιν ἐκ δύο τούτων πραγμάτων φραγέλλιον κατασκευά-
20 ζεσθαι, ζητῶν τὸ ὑπὸ τοῦ Ἰησοῦ γενόμενον· Οὐ γὰρ ἐκ δέρ-
ματος, φησί, νεκροῦ ἐποίησεν αὐτό, ἵνα τὴν ἐκκλησίαν
κατασκευάσῃ οὐκέτι λῃστῶν καὶ ἐμπόρων σπήλαιον, ἀλλὰ
οἶκον τοῦ πατρὸς αὐτοῦ. λεκτέον δὲ τὸ ἀναγκαιότατον περὶ 216
τῆς θεότητος καὶ ἐκ τῶν ῥητῶν τούτων πρὸς αὐτόν. εἰ γὰρ τὸ
25 ἐν Ἱεροσολύμοις ἱερὸν οἶκον τοῦ ἰδίου πατρός φησιν εἶναι ὁ Ἰη-
σοῦς, τοῦτο δὲ τὸ ἱερὸν εἰς δόξαν τοῦ κτίσαντος τὸν οὐρανὸν
καὶ τὴν γῆν γέγονεν, πῶς οὐκ ἄντικρυς διδασκόμεθα μὴ ἑτέρου
τινὸς νομίζειν υἱὸν εἶναι παρὰ τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς τὸν
υἱὸν τοῦ θεοῦ;
30 XXXIV. Εἰς τοῦτον οὖν τὸν οἶκον τοῦ πατρὸς Ἰησοῦ, ὡς οἶκον 217
τυγχάνοντα τῆς προσευχῆς, καὶ οἱ τοῦ χριστοῦ ἀπόστολοι (ὡς ἐν ταῖς
Πράξεσιν αὐτῶν εὕρομεν) ὑπὸ τοῦ ἀγγέλου κελεύονται πορευθέντες
στῆναι καὶ λαλεῖν »τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης«. ἀλλὰ καὶ
διὰ τῆς ὡραίας πύλης ἐκεῖσε προσεύξασθαι ὡς εἰς »οἶκον προσευχῆς« 218
183H προσέρχονται, οὐκ ἂν τοῦτο ποιήσαντες, εἰ μὴ τὸν αὐτὸν ᾔδεσαν θεὸν
τῷ ὑπὸ τῶν ἐκθειαζόντων τὸν ναὸν ἐκεῖνον προσκυνουμένῳ. διόπερ 219

2 Vgl. Joh. 2, 14. — 8 Vgl. Joh. 2, 15. — 22 Vgl. Matth. 21, 13. — 27 Vgl. Apok. 10, 6. — 31 Act. 5, 20. — 33 Vgl. Act. 3, 2. — 34 Vgl. Matth. 21, 13.

6 τοῦ] τῶν Grabe | 16 ἐκλαβὼν] λαβ a. Ras. | 22 σπήλαιον] σπ a. Ras. | 27 πῶς a. Ras. | 30 τοῦτον οὖν] τονοῦν› corr. V | 36 ἐκθιαζόντων.

Digitized by Google

καὶ λέγουσιν οἱ πειθαρχοῦντες θεῷ μᾶλλον ἢ ἀνθρώποις Πέτρος καὶ οἱ ἀπόστολοι· »Ὁ θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς »διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου« οὐ γὰρ ὑπ' ἄλλου ἴσασιν ἐκ νεκρῶν ἐγηγερμένον Ἰησοῦν θεοῦ ἢ τοῦ τῶν πατέρων, ὃν καὶ ὁ χριστὸς δοξάζων θεὸν τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ φησιν εἶναι, 5
220 οὐκ ὄντων »νεκρῶν ἀλλὰ ζώντων«. πῶς δὲ καὶ οἱ μαθηταί, εἰ μὴ τοῦ αὐτοῦ θεοῦ θεοῦ τοῦ χριστοῦ ὁ οἶκος ἦν, ἐμέμνηντο ἂν τοῦ ἐν ξη' εἰρημένου ψαλμῷ· »Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με;« οὕτω
221 γὰρ κεῖται ἐν τῷ προφήτῃ καὶ οὐχί »Καταφάγεταί με«. ζηλοῖ δὲ μάλιστα ὁ χριστὸς τὸν ἐν ἑκάστῳ ἡμῶν οἶκον τοῦ θεοῦ, μὴ βουλόμενος αὐτὸν εἶναι οἶκον ἐμπορίου, μηδὲ τὸν οἶκον τῆς προσευχῆς ληστῶν σπήλαιον, ἅτε θεοῦ ζηλωτοῦ υἱὸς ὤν, ἐὰν εὐγνωμονέστερον 19 R
ἀκούωμεν | τῶν τοιούτων ἀπὸ τῶν γραφῶν φωνῶν, κατὰ μεταφορὰν 19 V
εἰρημένων ἀπὸ τῶν ἀνθρωπίνων εἰς παράστασιν τοῦ μηδὲν ἀλλότριον βούλεσθαι τὸν θεὸν ἐπιμίγνυσθαι τοῦ βουλήματος αὐτοῦ τῇ ψυχῇ πάντων μὲν ἀνθρώπων, ἐξαιρέτως δὲ τῶν ⟨τὰ τῆς⟩ θειοτάτης πί-
222 στεως παραδέξασθαι θελόντων. πλὴν τὸν ξη' ψαλμόν, ἔχοντα τὸ »Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με« καὶ μετ' ὀλίγα· »Ἔδωκαν εἰς »τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος« ἀμφότερα ἐν τοῖς εὐαγγελίοις ἀναγεγραμμένα, ἰστέον ἐκ προσώπου λέγεσθαι τοῦ χριστοῦ, οὐδεμίαν ἐμφαίνοντα τοῦ λέγοντος προσώπου μεταβολήν.

223 Σφόδρα δὲ ἀπαρατηρήτως ὁ Ἡρακλέων οἴεται τὸ »Ὁ ζῆλος »τοῦ οἴκου σου καταφάγεταί με« ἐκ προσώπου τῶν ἐκβληθέντων καὶ ἀναλωθέντων ὑπὸ τοῦ σωτῆρος δυνάμεων λέγεσθαι, μὴ δυνάμενος τὸν εἰρμὸν τῆς ἐν τῷ ψαλμῷ προφητείας τηρῆσαι νοούμενον ἐκ προσώπου τῶν ἐκβληθέντων καὶ ἀναλω-
224 θέντων δυνάμεων λέγεσθαι. ἀκόλουθον δέ ἐστιν κατ' αὐτὸν καὶ τὸ »Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν« ἀπ' ἐκείνων λέγεσθαι ἐν τῷ αὐτῷ ἀναγεγραμμένον ψαλμῷ· ἀλλ', ὡς εἰκός, ἐτάραξεν αὐτὸν τὸ »Καταφάγεταί με« ὡς μὴ δυνάμενον ὑπὸ Χριστοῦ ἀπαγγέλλεσθαι, οὐχ ὁρῶντα τὸ ἔθος τῶν ἀνθρωποπαθῶν περὶ θεοῦ καὶ Χριστοῦ λόγων.

1 Vgl. Act. 5, 29 f. — **5** Vgl. Matth. 22, 32. — **8** Ps. 68, 10 (B^{a}ℵ^{b}R). — **10** Joh. 2, 16. — **11** Vgl. Matth. 21, 13. — **12** Vgl. Exod. 20, 5. — **18** Ps. 68, 10. — Ps. 68, 22. — 20 Vgl. Matth. 27, 34. 48. Luk. 23, 36. Joh. 19, 28 ff. — **23** Ps. 68, 10. — 29 Ps. 68, 22.

4 τοῦ τῶν] τοίτων, corr. Pr | **7** θεοῦ^{2}] θεῶ, corr. Pr, viell. z. str. | **8** κατέφαγε] καταφάγεται, corr. nach B^{b} ℵ^{a}R wegen Z. 9 | **16** ⟨τὰ τῆς⟩ + B | **18** κατέφαγέ] καταφάγεται, corr. Pr | 32 τῶν] τῶ, corr. V.

Digitized by Google

II, 18f. *Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπαν αὐτῷ· Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.*

184H XXXV. (20) *Οἱ σωματικοὶ καὶ τοῖς αἰσθητοῖς φίλοι δοκοῦσίν* 225
μοι νῦν διὰ τῶν Ἰουδαίων δηλοῦσθαι, οἵτινες ἐπὶ τοῖς ὑπὸ τοῦ Ἰησοῦ
ἀπελαυνομένοις, ποιοῦσιν »οἶκον ἐμπορίου« τὸν οἶκον τοῦ πατρός,
ἀγανακτοῦντες [πράγμασιν] ὑπ' αὐτῶν περιεπομένοις ἀπαιτοῦσιν ση-
μεῖον, καθ' ὃ σημεῖον πρεπόντως φανήσεται ὁ λόγος, ὃν μὴ παρα-
10 *δέχονται ἐκεῖνοι, ταῦτα ποιῶν. συνάπτων δὲ ὁ σωτὴρ ὡς ἕνα τῷ* 226
περὶ τοῦ ἱεροῦ ἐκείνου τὸν περὶ τοῦ ἰδίου σώματος λόγον, ἀποκρί-
νεται πρὸς τὸ »Τί σημεῖον δεικνύεις, ὅτι ταῦτα ποιεῖς;« τὸ »Λύσατε
»τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν«· εἰ γὰρ καὶ 227
μυρία ὅσα σημεῖα ἄλλα δεικνύναι οἷός τε ἦν, ἀλλ' † οὔτι γε πρὸς τὸ
15 *»Ὅτι ταῦτα ποιεῖς;« τὰ κατὰ τὸν ναὸν πρεπόντως ἀντὶ τῶν ἑτέρων*
197R *παρὰ τὸν ναὸν σημείων ἀπεκρίνατο. ἀμφότερα μέντοι γε, τό τε* 228
ἱερὸν καὶ τὸ σῶμα τοῦ Ἰησοῦ, κατὰ μίαν τῶν ἐκδοχῶν τύπος μοι
εἶναι φαίνεται τῆς ἐκκλησίας, τῷ ἐκ λίθων ζώντων οἰκοδομεῖσθαι
αὐτήν, οἶκον πνευματικὸν »εἰς ἱεράτευμα ἅγιον« γινομένην, ἐποικοδο-
20 *μουμένην »ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος*
»ἀκρογωνιαίου Χριστοῦ Ἰησοῦ«, χρηματίζουσαν »ναόν«. διὰ δὲ τοῦ 229
»Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους«, κἂν λύεσθαι δὲ
193r *ἡ τῶν λίθων τοῦ ναοῦ ἁρμο|νία δοκῇ ⟨ἢ⟩ διασκορπίζεσθαι, ὡς ἐν κα'*
ψαλμῷ γέγραπται, πάντα τὰ ὀστᾶ τοῦ χριστοῦ ὑπὸ τῶν ἐν διωγμοῖς
25 *καὶ θλίψεσιν ἐπιβουλῶν ἀπὸ τῶν προσπολεμούντων τῇ ἑνότητι τοῦ*
ναοῦ ἐν διωγμοῖς, ἐγερθήσεται ὁ ναὸς καὶ ἀναστήσεται τὸ σῶμα τῇ
τρίτῃ ἡμέρᾳ μετὰ τὴν ἐνεστηκυῖαν ἐν αὐτῷ κακίας ἡμέραν καὶ τὴν
μετὰ ταύτην τῆς συντελείας· τρίτῃ γὰρ ἐν τῷ καινῷ οὐρανῷ καὶ
καινῇ γῇ ἐνστήσεται, ὅτε τὰ ὀστᾶ ταῦτα, πᾶς οἶκος Ἰσραήλ, ἐν τῇ
30 *μεγάλῃ κυριακῇ ἐγερθήσεται τοῦ θανάτου νενικημένου· ὥστε καὶ τὴν*
γενομένην ἀνάστασιν τοῦ χριστοῦ ἀπὸ τοῦ κατὰ τὸν σταυρὸν πάθους
περιέχειν μυστήριον τῆς ἀναστάσεως τοῦ παντὸς Χριστοῦ σώματος.

6 Vgl. Joh. 2, 16. — **19** Vgl. I Petr. 2, 5. — **20** Eph. 2, 20. — **22** I Kor. 12, 27. — **23** Vgl. Ps. 21, 15. — **27** Vgl. Pred. Sal. 7, 15. — **28** Vgl. Apok. 21, 1. IV Esr. 7, 43. — **29** Vgl. Ez. 37, 11. — **30** Vgl. I Kor. 15, 55.

6 *διὰ*] *δὴ* (aus *δῆ* corr.), corr. Hu | **8** [*πράγμασιν*] str. We | **10** *τῷ*] *τὸν*, corr. Lommatzsch | **11** *τὸν*] *τοῦ*, corr. Lommatzsch | **14** *οὔτι γε*] *αὐτόθι γε* We | *γε*] *σε*, corr. V | *τῷ*] *τὸ*, corr. Br | **23** ⟨*ἢ*⟩ add. Br, ⟨*καὶ*⟩? We | **27** *ἐνεστηκυῖα*, corr. V | *κακίας*] *κακίαν*, corr. V.

Digitized by Google

230 ὥσπερ δὲ ἐκεῖνο τὸ ἀσθητὸν τοῦ Ἰησοῦ σῶμα ἐσταύρωται καὶ τέθαπται καὶ μετὰ τοῦτο ἐγήγερται, οὕτως τὸ ὅλον τῶν ἁγίων Χριστοῦ σῶμα Χριστῷ συνεσταύρωται καὶ νῦν οὐκέτι ζῇ· ἕκαστος γὰρ τῶν ὡς Παῦλος ἐν οὐδενὶ ἄλλῳ καυχᾶται ἢ »ἐν τῷ σταυρῷ τοῦ κυ»ρίου ἡμῶν Χριστοῦ Ἰησοῦ«, δι' οὗ αὐτὸς κόσμῳ ἐσταύρωται καὶ 5
231 κόσμος αὐτῷ. οὐ μόνον οὖν Χριστῷ συνεσταύρωται καὶ κόσμῳ ἐσταύρωται, ἀλλὰ καὶ Χριστῷ συνθάπτεται· »Συνετάφημεν, γάρ φησι, τῷ
232 »χριστῷ«, ὁ Παῦλος. καὶ ὡσπερεὶ ἔν τινι ἀρραβῶνι ἀναστάσεως γενόμενος λέγει τὸ »Συνανέστημεν αὐτῷ«· ἐπεὶ ἐν καινότητι ζωῆς τινι περιπατεῖ, ὡς κατὰ τὴν ἐλπιζομένην μακαρίαν καὶ τελείαν ἀνάστασιν 185H
μηδέπω ἀναστάς. ἤτοι οὖν νῦν μὲν ἐσταύρωται, μετὰ δὲ ταῦτα θάπτεται, ἢ νῦν ⟨μὲν⟩ θάπτεται [καὶ] ἀρθεὶς ἀπὸ τοῦ σταυροῦ, ποτὲ δέ, καθὸ νῦν τέθαπται, ἀναστήσεται.

233 XXXVI. Μέγα δέ ἐστιν τὸ τῆς ἀναστάσεως καὶ δυσθεώρητον τοῖς πολλοῖς ἡμῶν μυστήριον, ὅπερ καὶ ἐν ἄλλοις πολλοῖς λέγεται 15
τῶν γραφῶν τόποις, οὐχ ἧττον καὶ ἐν τῷ Ἐζεκιὴλ διὰ τούτων ἀπαγγέλλεται· »Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου καὶ ἐξήγαγέν με ἐν πνεύ»ματι κυρίου καὶ ἔθηκέν με ἐν μέσῳ τοῦ πεδίου, καὶ τοῦτο ἦν μεστὸν »ὀστῶν ἀνθρωπίνων. καὶ περιήγαγέν με ἐπ' αὐτὰ κύκλοθεν κύκλῳ, »καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου, καὶ ἰδού, ξηρὰ 20
»σφόδρα. καὶ εἶπεν πρὸς μέ· Υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστᾶ »ταῦτα; καὶ εἶπα· Κύριε, κύριε σὺ ἐπίστῃ ταῦτα. καὶ εἶπεν πρὸς μέ· 198R
»Προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα καὶ ἐρεῖς αὐτοῖς· Τὰ ὀστᾶ τὰ ξηρά,
234 »ἀκούσατε λόγον κυρίου«· καὶ μετ' ὀλίγα· »Καὶ ἐλάλησεν κύριος πρὸς μὲ »λέγων· Υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραὴλ ἐστιν. καὶ 25
»αὐτοὶ λέγουσιν· Ξηρὰ γέγονεν τὰ ὀστᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν,
235 »διαπεφωνήκαμεν«. ποίοις γὰρ ὀστοῖς λέγεται· »Ἀκούσατε λόγον »κυρίου«, ὡς αἰσθανομένοις λόγου κυρίου, ἅτε οὖσιν οἴκῳ Ἰσραὴλ ἢ τῷ Χριστοῦ σώματι, περὶ οὗ ἔλεγεν | ὁ κύριος· »Διεσκορπίσθη πάντα 193r
»τὰ ὀστᾶ μου« τῶν σωματικῶν ὀστέων αὐτοῦ μὴ διασκεδασθέντων, 30
236 ἀλλὰ μηδὲ συντριβέντος τινὸς ἐξ αὐτῶν; ὅτε δὲ γίνεται αὐτὴ ἡ ἀνάστασις τοῦ ἀληθινοῦ καὶ τελειοτέρου Χριστοῦ σώματος, τότε τὰ μέλη τοῦ χριστοῦ τὰ νῦν, ὡς πρὸς τὸ μέλλον, ξηρὰ ὀστᾶ συναχθήσεται, ὀστοῦν πρὸς ὀστοῦν καὶ ἁρμονία πρὸς ἁρμονίαν, οὐδενὸς τῶν ἐστε-

3 Vgl. Gal. 2, 20. — 4 Vgl. Gal. 6, 14. — 7 Röm. 6, 4. — 9 Vgl. Röm. 6, 5. — 17 Ez. 37, 1—4. — 24 Ez. 37, 11. — 27 Ez, 37, 4. — 29 Ps. 21, 15. — 31 Vgl. Joh. 19, 36. — 33 Vgl. Ez. 37, 7.

8 ὡσπερεὶ] ὥσπερ οἱ, corr. V | 12 μὲν⟩ add. Pr | καὶ ist zu str. | 18 κυρίου mit Q | ἔθηκεν] εθ a. Ras. | 19 ὀστῶν mit Q | nach κύκλοθεν + ἦν, corr. V | 20 καὶ ἰδοὺ mit AQ | 22 doppeltes κύριε mit AQ | 23 ἐρεῖ, corr. V | 27 ποίοις] ποῖος corr. V | 28 λόγου] λόγον, corr. Hu.

Digitized by Google

ρημένων ἁρμονίας καταντήσοντος εἰς τὸν τέλειον ἄνδρα, »εἰς τὸ μέ-
»τρον τῆς ἡλικίας τοῦ πληρώματος« τοῦ σώματος »τοῦ χριστοῦ«.
καὶ τότε τὰ πολλὰ μέλη τὸ ἓν ἔσται σῶμα, πάντων τῶν τοῦ σώμα- 237
τος μελῶν πολλῶν ὄντων γινομένων ἑνὸς σώματος· τὴν δὲ κρίσιν
ποδὸς καὶ χειρὸς καὶ ὀφθαλμοῦ καὶ ἀκοῆς καὶ ὀσφρήσεως τῶν συν-
πληρούντων ἰδίᾳ μὲν τὴν κεφαλήν, ἰδίᾳ δὲ τοὺς πόδας, καὶ τὰ λοιπὰ
τῶν μελῶν τά τε ἀσθενέστερα καὶ ταπεινότερα καὶ ἀσχήμονα καὶ
εὐσχήμονα μόνου θεοῦ ἔστιν ποιήσασθαι, ὃς συγκεράσει τὸ σῶμα, καὶ 238
τότε μᾶλλον τοῦ νῦν τῷ ὑστεροῦντι πλεῖσσοτέραν διδοὺς τιμήν, ἵνα
μηδαμῶς »ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων με-
»ριμνῶσιν τὰ μέλη«, καὶ εἴ τινα εὐπάθειαν ἔχει μέλος, συνευπαθήσῃ
πάντα τὰ μέλη, εἴτε δοξάζεται, συγχαίρῃ τὰ πάντα.

XXXVII. (21) Ταῦτά μοι οὐκ ἀλλοτρίως τοῦ ἱεροῦ καὶ τῶν ἀπ' 239
186H αὐτοῦ ἐξελαυνομένων, περὶ οὗ λέγει ὁ σωτήρ· »Ὁ ζῆλος τοῦ οἴκου
»σου καταφάγεταί με«, εἴρηται, τῶν τε αἰτούντων σημεῖον Ἰουδαίων
αὐτοῖς δειχθῆναι, καὶ τῆς τοῦ κυρίου πρὸς αὐτοὺς ἀποκρίσεως, συν-
άπτοντος τὸν τοῦ ναοῦ λόγον τῷ τοῦ ἰδίου σώματος, καὶ φάσκοντος·
»Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν«. ἀπὸ 240
γὰρ τούτου τοῦ ναοῦ ὄντος σώματος Χριστοῦ δεῖ ἀπελαύνεσθαι ταῦτα
τὰ ἄλογα καὶ ἐμπορικά, ἵνα μηκέτι οἶκος ἐμπορίου ᾖ. καὶ τοῦτον τὸν 241
ναὸν λυθῆναι δεῖ ὑπὸ τῶν ἐπιβουλευόντων τῷ λόγῳ τοῦ θεοῦ καὶ
μετὰ τὸ λυθῆναι τῇ προειρημένῃ ἡμῖν τρίτῃ ἡμέρᾳ ἐγερθῆναι· ὅτε
199R καὶ οἱ μαθηταὶ ὅ τε ἔλεγεν πρὶν λυθῆναι τὸν ναὸν τοῦ θεοῦ ὁ λόγος
αὐτοῦ μνησθήσονται [οὐ ἔλεγεν] καὶ πιστεύσουσιν, τελειουμένης αὐτῶν
μετὰ τῆς γνώσεως τότε καὶ τῆς πίστεως, οὐ τῇ γραφῇ μόνῃ ἀλλὰ
καὶ τῷ λόγῳ, ὃν εἶπεν ὁ Ἰησοῦς. καὶ ἕκαστος δὲ τῶν τοιῶνδε Ἰησοῦ 242
αὐτὸν καθαίροντος ἀποθέμενος τὰ ἄλογα καὶ τὰ πωλοῦντα διὰ τὸν
τοῦ ἐν αὐτοῖς λόγου ζῆλον καταλυθήσεται, ἐπὶ τῷ ὑπὸ Ἰησοῦ ἐγερ-
θῆναι οὐ τῇ τρίτῃ ἡμέρᾳ, ὅσον ἐπὶ τῇ προκειμένῃ λέξει· οὐ γὰρ
γέγραπται »Λύσατε τὸν ναὸν τοῦτον καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερῶ αὐ-
»τόν«, ἀλλ' »Ἐν τρισὶν ἡμέραις«· ἐγείρεται γὰρ ἡ τοῦ ναοῦ * τῇ 243
πρώτῃ μετὰ τὸ λυθῆναι ἡμέρᾳ καὶ τῇ δευτέρᾳ, τελειοῦται δὲ αὐτοῦ
ἡ ἔγερσις ἐν ὅλαις ταῖς τρισὶν ἡμέραις. διὰ τοῦτο καὶ γέγονεν ἀνά-
στασις καὶ ἔσται ἀνάστασις, εἴ γε συνετάφημεν τῷ χριστῷ καὶ συναν-

1 Eph. 4, 13. — **3** Vgl. I Kor. 12, 12. — **4** Vgl. I Kor. 12, 12ff. — **7** Vgl. I Kor. 12, 23ff. — **14** Ps. 68, 10; vgl. Joh. 2, 17. — **18** Joh. 2, 19. — **22** Vgl. S. 209, 26ff. — **23** Vgl. Joh. 2, 22. — **34** Vgl. Röm. 6, 4.

10 *σχίσμα*] *σμ* a. Ras. | **17** *τῷ*] *τῶν*, corr. V | **22** *ἡμέρᾳ*] *μετὰ*, corr. V | **24** *οὐ ἔλεγεν* str. We | *πιστεύσουσιν*] *πιστεύουσιν*, corr. V | **25** *οὐ τῇ γραφῇ μόνῃ*] *οὐ τῃ γὰρ ἀφημονῃ*, darüber Punkte von jüngerer Hd., > V, corr. Br | **31** nach *ναοῦ* etw. ausgef., *κατασκευῆ* erg. We | **33** *γέγονεν*] *γεγον* a. Ras. | **34** *συνανέστημε*[*ν αὐτῷ*] a. Ras.

Digitized by Google

244 ἑστημεν αὐτῷ. καὶ ἐπεὶ οὐκ ἀρκει εἰς τὴν ὅλην ἀνάστασιν τὸ »Συν-
»ανέστημεν«· »Ἐν τῷ χριστῷ πάντες ζωοποιηθήσονται, ἕκαστος
»δὲ | ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ χριστοῦ ἐν 194r
245 »τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τὸ τέλος«. ἀναστάσεως γὰρ ἦν καὶ τὸ
ἐν τῇ πρώτῃ ἡμέρᾳ γενέσθαι ἐν τῷ παραδείσῳ τοῦ θεοῦ, ἀναστάσεως 5
δὲ ὅτε φαινόμενός φησι· »Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς
»τὸν πατέρα«· τὸ δὲ τέλειον τῆς ἀναστάσεως ἦν, ὅτε γίνεται πρὸς
246 τὸν πατέρα. ἐπεὶ δὲ οἱ συγχεόμενοι ἐν τῷ περὶ πατρὸς καὶ υἱοῦ τόπῳ
συνάγοντες τὸ »Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι
»ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ ὅτι ἤγειρεν τὸν χριστόν, ὃν οὐκ 10
»ἤγειρεν« καὶ τὰ τούτοις ὅμοια, δηλοῦντα ἕτερον εἶναι τὸν ἐγείραντα
παρὰ τὸν ἐγηγερμένον, καὶ τὸ »Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν
»ἡμέραις ἐγερῶ αὐτόν«, ᾤοντο ἐκ τούτων παρίστασθαι μὴ διαφέρειν
τῷ ἀριθμῷ τὸν υἱὸν τοῦ πατρός, ἀλλ' ἓν οὐ μόνον οὐσίᾳ ἀλλὰ καὶ
ὑποκειμένῳ τυγχάνοντας ἀμφοτέρους, κατά τινας ἐπινοίας διαφόρους, 15
οὐ κατὰ ὑπόστασιν λέγεσθαι πατέρα καὶ υἱόν· λεκτέον πρὸς αὐτοὺς 187H
πρῶτον μὲν τὰ προηγουμένως κατασκευαστικὰ ῥητὰ τοῦ ἕτερον εἶναι
τὸν υἱὸν παρὰ τὸν πατέρα, καὶ ὅτι ἀνάγκη τὸν υἱὸν πατρὸς εἶναι
247 υἱόν, καὶ τὸν πατέρα υἱοῦ πατέρα. μετὰ δὲ τοῦτο οὐκ ἄτοπόν ἐστιν
τὸν ὁμολογοῦντα μηδὲν δύνασθαι ποιεῖν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα 20
ποιοῦντα, καὶ λέγοντα ὅτι ὅσ' ἂν ὁ πατὴρ ποιῇ, ταῦτα ὁμοίως καὶ
ὁ υἱὸς ποιεῖ, τὸν νεκρόν (ὅπερ τὸ σῶμα ἦν) ἐγηγερκέναι τοῦ πατρὸς
αὐτῷ τοῦτο χαριζομένου, ὃν προηγουμένως λεκτέον ἐγηγερκέναι τὸν
χριστὸν ἐκ νεκρῶν.

248 Ὁ μέντοι γε Ἡρακλέων τὸ »Ἐν τρισὶν« φησὶν ἀντὶ τοῦ 25
Ἐν τρίτῃ, μὴ ἐρευνήσας, καίτοι γε ἐπιστήσας τῷ »Ἐν τρισίν«, 200R
249 πῶς ἐν τρισὶν ἡ ἀνάστασις ἐνεργεῖται ἡμέραις. ἔτι δὲ καὶ τὴν
τρίτην φησὶ τὴν πνευματικὴν ἡμέραν, ἐν ᾗ οἴονται δη-
250 λοῦσθαι τὴν τῆς ἐκκλησίας ἀνάστασιν. τούτῳ δὲ ἀκόλου-
θόν ἐστιν πρώτην λέγειν εἶναι τὴν χοϊκὴν ἡμέραν καὶ τὴν 30
δευτέραν τὴν ψυχικήν, οὐ γεγενημένης τῆς ἐκκλησίας
251 τῆς ἀναστάσεως ἐν αὐταῖς. ἔοικεν μὲν τοίνυν τὰ ὑπὸ τῶν
ἐν τῷ κατὰ Ματθαῖον καὶ Μάρκον † ἀναγεγραμμένα εὐαγγελίῳ
ψευδομαρτύρων πρὸς τῷ τέλει τοῦ εὐαγγελίου κατηγορούντων

2 I Kor. 15, 22—24. — 5 Vgl. Luk. 23, 43. — 6 Joh. 20, 17. — 9 I Kor. 15, 15. — 12 Joh. 2, 19. — 20 Vgl. Joh. 5, 19. — 22 Vgl Joh. 11, 17ff. — 33 Vgl. Matth. 26, 61. Mark., 14, 58.

8 wohl *συγχρεόμενοι τῷ* z. l. | 13 *ᾤοντο*] *οἷον τὸ*, corr. Pr; *οἴονται* We | 21 *ὅσ' ἂν* | 29 *τούτων*, corr. We | 33 *ἀναγεγραμμένα* wohl verderbt, wenn nicht zu verstehen als „die von den falschen Zeugen gesprochenen u. in den Evv. aufgezeichneten Worte"; We str. *ὑπὸ* u. liest *ἀναγεγραμμένων*.

Digitized by Google

τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν ἀναφορὰν ἔχειν ἐπὶ τὸ »Λύσατε τὸν ναὸν τοῦτον κἀγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν«. ὁ μὲν γὰρ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ, οἱ δ' ὑπο- 252
νοοῦντες περὶ τοῦ ἐκ λίθων οἰκοδομηθέντος ναοῦ λέγεσθαι τὰ
5 ἐνταῦθα εἰρημένα ἔφασκον κατηγοροῦντες· »Οὗτος ἔφη· Δύναμαι »καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμερῶν † αὐτὸν »οἰκοδομῆσαι« ἢ ὡς ὁ Μάρκος· »Ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγον- »τος ὅτι Ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον καὶ »διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω«, ὅτε καὶ ⟨ὁ⟩
10 ἀρχιερεὺς ἀναστὰς εἶπεν αὐτῷ »Οὐδὲν ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ Ἰησοῦς ἐσιώπα«· ἢ ὡς ὁ † Λουκᾶς φησί· »Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς μέσον ἐπηρώτησεν τὸν Ἰησοῦν »λέγων· Οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ »δὲ ἐσιώπα καὶ οὐκ ἀπεκρίνατο οὐδέν«. νομίζω δ' ἀναγκαίως 253
194v καὶ ταῦτα παρατεθεῖσθαι τὴν ἀναφορὰν ἔχοντα ἐπὶ τὸ ἐν χερσὶν ῥητόν.

II, 20 *Εἶπαν οὖν οἱ Ἰουδαῖοι· Τεσσεράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;*

XXVIII. (22) *Πῶς τεσσεράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομῆσθαί φασι* 254
20 *τὸν ναὸν οἱ Ἰουδαῖοι λέγειν οὐκ ἔχομεν, εἰ τῇ ἱστορίᾳ κατακολουθή-*
σομεν. γέγραπται γὰρ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν ὡς »Ἡτοίμασαν 255
»τοὺς λίθους καὶ τὰ ξύλα τρισὶν ἔτεσιν«· »ἐν δὲ τῷ τετάρτῳ ἔτει,
»μηνὶ δευτέρῳ, βασιλεύοντος τοῦ βασιλέως Σαλομῶντος ἐπὶ Ἰσραήλ,
188H *»ἐνετείλατο ὁ βασιλεὺς καὶ αἴρουσιν λίθους μεγάλους τιμίους εἰς τὸν*
25 *»θεμέλιον τοῦ οἴκου καὶ λίθους ἀπελεκήτους. καὶ ἐπελέκησαν οἱ υἱοὶ*
»Σαλομῶντος καὶ οἱ υἱοὶ Χειρὰμ καὶ ἔβαλον αὐτοὺς ἐν τῷ τετάρτῳ
»ἔτει, καὶ ἐθεμελίωσαν τὸν οἶκον κυρίου ἐν μηνὶ Νεισὰν καὶ τῷ δευ-
201R *»τέρῳ μηνί· ἑνδεκάτῳ ἐνιαυτῷ, μηνὶ Βαάλ, ὃς ἦν μὴν ὄγδοος, συνε-*
»τελέσθη ὁ οἶκος εἰς πάντα λόγον αὐτοῦ καὶ εἰς πᾶσαν διάταξιν
30 *»αὐτοῦ«. ἵνα οὖν καὶ τὴν ἑτοιμασίαν συγκατατάξωμεν τῷ χρόνῳ τῆς* 256
οἰκοδομῆς, ἔνδεκα ἔτη τὰ πάντα οὐ συμπληροῦται εἰς τὴν οἰκοδομὴν
τοῦ ναοῦ. πῶς οὖν οἱ Ἰουδαῖοι λέγουσιν· »τεσσεράκοντα καὶ ἓξ ἔτεσιν 257

2 Joh. 2, 19. — **3** Vgl. Joh. 2, 21. — **5** Matth. 26, 61. — **7** Mark. 14, 58. — **10** Matth. 26, 62. — **12** Mark. 14, 60. — **21** I Kön. 5, 17; 6, 1—5. — **32** Vgl. Joh. 2, 20.

6 *αὐτὸν*] verdächtig, vgl. u. XXVIII, 14; C. Cels. prooem. 1 (I, 51, 18 K.) vgl. C. Cels. II, 10 (I, 137, 21 K.) (u. Bs 1. 69. Arm. Aeth.) | **9** *ἀναχειροποίητον* | ⟨*ὁ*⟩ + V | **11** *Λουκᾶς* wohl Irrtum des Autors, vgl. S. 134, 24. 138, 32. | **19** *ὠκοδομῆσαι*, corr. B | **20** *λέγονται*, corr. Hu | *κατακολουθήσωμεν*, corr. We | **23** *σολομῶντος* | **26** *σαλωμῶντος* | **28** *ἐνιαυτῷ*] *ἐν ἑαυτῷ*, corr. V (*ἐνιαυ* a. Ras.).

Digitized by Google

»ὠκοδομήθη ὁ ναὸς οὗτος;« εἰ μὴ ἄρα τις βιασάμενος φιλοτιμήσεται παραστῆσαι τὸν τεσσεράκοντα καὶ ἓξ ἐτῶν πληρουμένων χρόνον, ἀφ' οὗ ὁ Δαβὶδ φησι πρὸς Νάθαν τὸν προφήτην βουλευσάμενος περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ· »Ἰδού, ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ, καὶ ἡ »κιβωτὸς τοῦ θεοῦ κάθηται ἐν μέσῳ τῆς σκηνῆς«. εἰ γὰρ ⟨καὶ⟩ κεκώλυται, ὡς ἀνὴρ αἱμάτων, οἰκοδομῆσαι αὐτόν, ἔοικέν γε ἠσχολῆσθαι
258 περὶ τὴν συναγωγὴν τῆς ὕλης τοῦ ναοῦ. φησὶ γοῦν ἐν τῇ πρώτῃ τῶν Παραλειπομένων Δαβὶδ ὁ βασιλεὺς πάσῃ τῇ ἐκκλησίᾳ· »Σολομὼν »ὁ υἱός μου, εἰς ὃν ᾑρέτικεν αὐτὸν κύριος, νέος καὶ ἁπαλός, καὶ τὸ »ἔργον μέγα, ὅτι οὐκ ἀνθρώπῳ οἰκοδομὴ ἀλλὰ κυρίῳ θεῷ. κατὰ »πᾶσαν τὴν δύναμιν ἡτοίμακα εἰς οἶκον θεοῦ μου χρυσίον, ἀργύριον, »χαλκὸν καὶ σίδηρον, ξύλα, λίθους Σοὺμ καὶ πληρώσεως, καὶ λίθους »πολυτελείας καὶ ποικίλους, καὶ πάντα λίθον τίμιον, καὶ Πάριον πολύ. »ἔτι ἐν τῷ εὐδοκῆσαί με ἐν οἴκῳ θεοῦ μου, ἔστιν μοι ὃ περιπεποίη»μαι χρυσίον καὶ ἀργύριον, καὶ ἰδοὺ δέδωκα εἰς οἶκον κυρίου μου εἰς »ὕψος, ἐκτὸς ὧν ἡτοίμασα εἰς τὸν οἶκον τῶν ἁγίων, τρισχίλια τά»λαντα χρυσίου τοῦ ἐκ Σουφεὶρ καὶ ἑπτακισχίλια τάλαντα ἀργυρίου »δοκίμου, ἐπαλειφῆναι ἐν αὐτοῖς τοὺς οἴκους τοῦ θεοῦ διὰ χειρὸς
259 »τεχνιτῶν«. ἐβασίλευσεν γὰρ ὁ Δαβὶδ ἑπτὰ ἔτη ἐν Χεβρῶν καὶ λγ' ἐν Ἱερουσαλήμ. ἐὰν οὖν τις δυνηθῇ ἀποδεῖξαι τὴν ἀρχὴν τῆς περὶ τοῦ ναοῦ κατασκευῆς γεγονέναι συνάγοντος αὐτοῦ τὴν ἐπιτήδειον ὕλην ἀπὸ τοῦ ε' τῆς βασιλείας αὐτοῦ χρόνου, δυνήσεται βιασάμενος περὶ τῶν μς' ἐτῶν εἰπεῖν. ἄλλος δέ τις ἐρεῖ τὸν δεικνύμενον μὴ τὸν ὑπὸ Σολομῶντος ὠκοδομημένον εἶναι, ἐκεῖνον ⟨γὰρ⟩ κατεστράφθαι κατὰ τοὺς | τῆς αἰχμαλωσίας χρόνους, ἀλλὰ τὸν ἐπὶ Ἔσδρᾳ οἰκοδομη- 195r
θέντα, περὶ οὗ οὐκ ἔχομεν τρανῶς τὸν τῶν τεσσεράκοντα καὶ ἓξ ἐτῶν
260 ἀποδεῖξαι ἀληθευόμενον λόγον. ἔοικεν δὲ καὶ κατὰ τὰ Μακκαβαϊκὰ πολλή τις ἀκαταστασία γεγονέναι περὶ τὸν λαὸν καὶ τὸν ναόν, καὶ 189H
οὐκ οἶδα εἰ τότε ἀνῳκοδομήθη τοσούτοις ἔτεσιν ὁ ναός.

261 Ὁ μέντοι γε Ἡρακλέων μηδὲ ἐπιστήσας τῇ ἱστορίᾳ φησὶ τὸν 202R
Σολομῶντα τεσσεράκοντα καὶ ἓξ ἔτεσιν κατεσκευακέναι τὸν ναὸν εἰκόνα τυγχάνοντα τοῦ σωτῆρος, καὶ τὸν ς' ἀριθμὸν εἰς τὴν ὕλην, τουτέστιν τὸ πλάσμα, ἀναφέρει, τὸν δὲ τῶν τεσσεράκοντα, »ὃ τετρὰς ἐστίν«, φησίν, »ἡ »ἀπρόσπλοκος«, εἰς τὸ ἐμφύσημα καὶ τὸ ἐν τῷ ἐμφυσή-

4 II Sam. 7, 2. — **6** Vgl. I Chron. 22, 8. — II Sam. 16, 8. — **8** I Chron. 29, 1—5. — **19** Vgl. I Kön. 2, 11. — **25** Vgl. I Esdr. 6. — **27** Vgl. I Makk. 1, 20ff.

1 *φιλοτιμήσηται*, corr. We | **2** *πληρούμενον* We | **5** ⟨*καὶ*⟩ add. V | **13** *πολυτελείας*] wohl *πολυτελεῖς* gemeint, wie T | **17** *χρυσίον — καὶ* a. Ras. | **24** *οἰκοδομημένον* | *ἐκεῖνον ⟨γὰρ⟩*] *τὸν ἐκεῖνον*, corr. V | **29** *ἀνοικοδομήθη*.

Digitized by Google

ματι σπέρμα. ὅρα δὲ εἰ δυνατὸν τὸν μὲν τεσσεράκοντα διὰ τὰ 262
τέσσαρα τοῦ κόσμου στοιχεῖα ἐν τοῖς † ἀγωνισμένοις εἰς τὸν ναὸν
ἐγκατατασσόμενα λαμβάνειν, τὸν δὲ ς′ διὰ τὸ τῇ ἕκτῃ ἡμέρᾳ γε-
γονέναι τὸν ἄνθρωπον.

II, 21f. *Ἐκεῖνος δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ.*
ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο
ἔλεγεν, καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ὃν εἶπεν ὁ Ἰησοῦς·

XXXIX. (23) *Εἰ τὸ σῶμα τοῦ Ἰησοῦ ναὸς αὐτοῦ εἴρηται, ζητῆσαι* 263
ἄξιον πότερον ἁπλούστερον τοῦτο ἐκδεκτέον, ἢ ἕκαστον τῶν ἀνα-
γεγραμμένων περὶ τοῦ ναοῦ φιλοτιμητέον ἀνάγειν εἰς τὸν περὶ τοῦ
σώματος Ἰησοῦ λόγον, ἤτοι οὗ εἴληφεν ἐκ τῆς παρθένου, ἢ τῆς ἐκ-
κλησίας σώματος αὐτοῦ λεγομένης εἶναι, ὡς καὶ ἡμᾶς μέλη τοῦ σώ-
ματος αὐτοῦ παρὰ τῷ ἀποστόλῳ ὀνομάζεσθαι. ὁ μὲν οὖν τις πραγ- 264
μάτων αὐτὸν ἀπαλλάττων τῷ ἀπογινώσκειν ἕκαστον δύνασθαι τῶν
κατὰ τὸν ναὸν ἀναφέρειν ἐπὶ τὸ σῶμα, ὁποτέρως ἂν ἔχῃ, ἐπὶ τὸ
ἁπλούστερον καταφεύξεται, λέγων διὰ τοῦτο σῶμα ἑκατέρως νοούμε-
νον τὸν ναὸν ὠνομάσθαι, ἐπεὶ ὥσπερ ὁ ναὸς δόξαν εἶχεν θεοῦ κατα-
σκηνοῦσαν ἐν αὐτῷ, οὕτως εἰκόνα καὶ δόξαν θεοῦ ὑπάρχοντα τὸν
πρωτότοκον πάσης κτίσεως, τὸ σῶμα ἢ τὴν ἐκκλησίαν ἀγαλματοφο-
ροῦντα ναὸν εὐλόγως εἰρῆσθαι θεοῦ. ἡμεῖς δὲ τὸ μὲν περὶ ἑκάστου 265
τῶν ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν περὶ τοῦ ναοῦ εἰπεῖν δυσδιήγητον
ὁρῶντες καὶ πολλῷ τῆς λέξεως ἡμῶν μεῖζον, ἄλλως τε καὶ οὐ κατὰ
τὴν παροῦσαν γραφήν, ὑπερτιθέμεθα. πλὴν ἐν τοῖς τοιούτοις μάλιστα 266
διὰ τὸ ὑπὲρ τὴν ἀνθρωπίνην εἶναι φύσιν καὶ κατὰ τὴν τοῦ θεοῦ
σοφίαν τὸ ἴδιον τῆς θεοπνεύστου γραφῆς ἐμφαίνεσθαι πειθόμενοι,
σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν οὐδεὶς τῶν ἀρχόντων
τοῦ αἰῶνος τούτου ἔγνωκεν, παριστάσης, καὶ καταλαμβάνοντες ἐξαι-
ρέτου πνεύματος σοφίας ἑαυτοὺς δεομένους πρὸς τὸ τὰ τηλικαῦτα
ἱεροπρεπῶς νοῆσαι, ὡς ἔνι μάλιστα δι' ὀλίγων τὴν περίνοιαν τῶν
κατὰ τὸν τόπον διαγράψαι πειρασόμεθα, σῶμα τὴν ἐκκλησίαν καὶ
190H *οἶκον θεοῦ ἐκ λίθων ζώντων οἰκοδομούμενον, οἶκον πνευματικὸν εἰς*
203R *ἱεράτευμα ἅγιον μανθάνοντες ἀπὸ τοῦ Πέτρου τυγχάνειν, ὡς τὸν*
οἰκοδομοῦντα τὸν ναὸν υἱὸν Δαβὶδ κατὰ τοῦτο Χριστοῦ εἶναι τύπον

13 Vgl. Eph. 5, 30. — **17** Vgl. Joh. 1, 14. — **19** Vgl. Kol. 1, 15. — **26** Vgl. I Kor. 2, 7f. — **31** I Petr. 2, 5. — **33** Vgl. I Kön. 5, 3ff.

2 *ἀγωνισμένοις* verderbt, *ἀνθρώπων* (*ων̄*) *ναοῖς* We | **8** *εἰ*] *εἰς*, corr. Perionius | **9** *ἐκδεκτέον*] *ἐκλεκτέον*, corr. Pr | **15** *ἀναφέρειν*] *ἀφερεῖν*, corr. Hu | **24** *διὰ*] *δὴ* Br | *φύσιν*] *φησὶν*, corr. V | *καὶ* z. str.?

Digitized by Google

μετὰ τοὺς πολέμους εἰρήνης βαθυτάτης γεγενημένης οἰκοδομοῦντα 195v
εἰς δόξαν τοῦ θεοῦ τὸν ναὸν ἐν τῇ ἐπιγείῳ Ἰερουσαλήμ, ἵνα μηκέτι
267 παρὰ μετακινητῷ πράγματι τῇ σκηνῇ ⟨ἡ⟩ λατρεία ἐπιτελῆται. ἕκαστον
⟨δὲ⟩ τῶν κατὰ τὸν ναὸν ἐπὶ τὴν ἐκκλησίαν ἀνάγειν πειρασόμεθα.
τάχα γὰρ ἐὰν πάντες οἱ ἐχθροὶ ὑποπόδιον γένωνται τῶν Χριστοῦ 5
ποδῶν, καὶ ὁ ἔσχατος ἐχθρὸς θάνατος καταργηθῇ, ἡ τελειοτάτη εἰρήνη
ἔσται ὅτε Χριστὸς ἔσται Σαλομών, ὅπερ ἑρμηνεύεται »Εἰρηνικός«,
πληρουμένης τῆς προφητείας εἰς αὐτὸν λεγούσης· »Μετὰ τῶν μισούν-
268 »των τὴν εἰρήνην ἤμην εἰρηνικός«. καὶ τότε ἕκαστος τῶν ζώντων
λίθων κατὰ τὴν ἀξίαν τοῦ ἐνταῦθα βίου ἔσται τοῦ ναοῦ λίθος. ὁ 10
μέν τις ἐν τῷ θεμελίῳ ἀπόστολος ἢ προφήτης βαστάζων τοὺς ἐπι-
κειμένους, ὁ δέ τις μετὰ τοὺς ἐν τῷ θεμελίῳ ὑπὸ μὲν τῶν ἀποστόλων
βασταζόμενος καὶ αὐτὸς σὺν τοῖς ἀποστόλοις συνβαστάζων τοὺς ὑπο-
δεεστέρους· καὶ ὁ μέν τις ἔσται λίθος τῶν ἐνδοτάτων, ἔνθα ἡ κιβω-
τὸς καὶ τὰ Χερουβὶν καὶ τὸ ἱλαστήριον· ἕτερος δὲ τοῦ περιβόλου, 15
καὶ ἄλλος ἔτι ἔξω τοῦ περιβόλου τῶν Λευϊτῶν καὶ ἱερέων λίθος τοῦ
269 θυσιαστηρίου τῶν ὁλοκαρπωμάτων. τὴν δὲ περὶ τούτων οἰκονομίαν
καὶ λειτουργίαν ἐγχειρισθήσονται ἅγιαι δυνάμεις, ἄγγελοι θεοῦ, αἱ μέν
τινες οὖσαι κυριότητες, ἢ θρόνοι, ἢ ἀρχαί, ἢ ἐξουσίαι, αἱ δὲ τούτοις
ὑποτεταγμέναι, ὧν τύποι οἱ τρισχίλιοι καὶ ἑξακόσιοι ἄρχοντες ἐπιστά- 20
ται, ἄρχοντες κατεσταμένοι ἐπὶ τῶν ἔργων τῶν Σαλομών, καὶ ἑβδο-
μήκοντα χιλιάδες τῶν αἰρόντων ἄρσιν, καὶ αἱ τῶν λατόμων ὀγδοή-
κοντα χιλιάδες ἐν τῷ ὄρει, οἱ ποιοῦντες τὰ ἔργα καὶ ἑτοιμάσαντες
270 τοὺς λίθους καὶ τὰ ξύλα. παρατηρητέον δὲ ὅτι οἱ μὲν ἀναγεγραμμένοι
αἴρειν ἄρσιν ἑβδομάδος εἰσὶν συγγενεῖς· οἱ δὲ λατόμοι καὶ ἐκτυποῦντες 25
τοὺς λίθους, πρὸς τὸ ἁρμονίους αὐτοὺς γενέσθαι τῷ ναῷ, ὀγδοάδι
προσφκείωνται· οἱ δὲ ἐπιστάται, ⟨τρισχίλιοι καὶ⟩ ἑξακόσιοι τυγχάνον-
τες, τῷ τοῦ ἓξ τελείῳ ἀριθμῷ οἱονεὶ ἐφ' ἑαυτὸν πολυπλασιαζομένῳ
συνάπτονται· τὰ μέντοι γε τῆς ἑτοιμασίας τῶν λίθων αἰρομένων
καὶ εὐτρεπιζομένων εἰς τὴν οἰκοδομήν, τρισὶν ἔτεσιν ἐπιτελούμενα, 30
ἐμφαίνειν μοι δοκεῖ τοῦ ἐν αἰωνίῳ τῇ τριάδι συγγενοῦς διαστήματος
271 τὸν ὅλον χρόνον. ταῦτα δὲ ἔσται ὅταν ἡ εἰρήνη τελειωθῇ μετὰ ἔτη 204R

1 Vgl. IV Makk. 3, 20. — **5** Vgl. I Kor. 15, 25f. — **7** Vgl. Lagarde, Onom. s. p. 204, 31. — **8** Ps. 119, 6f. — **9** Vgl. Hermas, vis. III, 5. — **11** Vgl. Eph. 2, 20. — **14** Vgl. I Kön. 6, 18. 26 (27). — **18** Vgl. Kol. 1, 16. — **20** Vgl. I Kön. 5, 16. — **21** Vgl. I Kön. 5, 15. — **23** Vgl. I Kön. 5, 17. — **28** Vgl. u. XXVIII, 1. — **30** Vgl. I Kön. 5, 17.

3 ⟨ἡ⟩ + We | **4** ⟨δὲ⟩ + We | ἐπὶ] καὶ, corr. Br, εἰς V | **23** ὄρει a. Ras. **26** αὐτοὺς] αὐτὸς, corr. V | **27** ⟨τρισχίλιοι καὶ⟩ add. Pr, weil das Quadrat von 6 (vgl. Z. 28f.) 36 ist | **28** ἀριθμῷ] ἀριθμοῦ,corr. Hu. | **32** ὂιον, corr. V.

Digitized by Google

τῆς οἰκονομίας τῶν κατὰ τὴν ἀπ' Αἰγύπτου ἔξοδον πραγμάτων τε-
191H τρακόσια καὶ τριάκοντα, καὶ τῶν κατὰ τὴν Αἴγυπτον οἰκονομηθέντων
μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη τῆς πρὸς τὸν Ἀβραὰμ ἀπὸ θεοῦ
διαθήκης, ὡς εἶναι ἀπὸ τοῦ Ἀβραὰμ ἐπὶ τὴν ἀρχὴν τῆς οἰκοδομῆς
5 τοῦ ναοῦ σαββατικοὺς ἀριθμοὺς δύο, τὸν ἑπτακόσια καὶ ἑβδομήκοντα,
ὅτε καὶ ἐντελεῖται ὁ βασιλεὺς ἡμῶν ὁ χριστὸς ταῖς τῶν νωτοφόρων
196r ἑβδομήκοντα χιλιάσιν μὴ τοὺς τυχόντας παραλαμβάνειν | λίθους εἰς
τὸν θεμέλιον τοῦ οἴκου, ἀλλὰ λίθους μεγάλους, τιμίους, ἀπελεκήτους,
ἵνα πελεκηθῶσιν οὐχ ὑπὸ τῶν τυχόντων ἐργατῶν ἀλλ' ὑπὸ τῶν Σα-
10 λομῶντος υἱῶν· τοῦτο γὰρ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν γεγραμμένον
εὕρομεν. τότε δὲ διὰ τὴν πολλὴν εἰρήνην καὶ ὁ τῆς Τύρου βασιλεὺς 272
Χειρὰμ συνεργεῖ τῇ οἰκοδομῇ τοῦ ναοῦ, διδοὺς ἑαυτοῦ τοὺς υἱοὺς
τοῖς υἱοῖς τοῦ Σαλομών, συνπελεκᾶν τοὺς μεγάλους καὶ τιμίους
λίθους τῷ ἁγίῳ καὶ ἐν τῷ τετάρτῳ ἔτει ἱδρυμένους εἰς τὴν θεμελίω-
15 σιν τοῦ οἴκου κυρίου. ὀγδοάδι μέντοι γε ἐτῶν συντελεῖται ὁ οἶκος
τῷ ὀγδόῳ μηνὶ τοῦ ὀγδόου ἔτους ἀπὸ τῆς θεμελιώσεως.

XL. (24) Οὐδὲν δὲ ἄτοπον ἔσται διὰ μέσου τοῖς μηδὲν πέρα τῆς 273
ἱστορίας οἰομένοις διὰ τούτων δηλοῦσθαι δυσωπητικοὺς λόγους προσ-
αγαγεῖν πρὸς τὸ ὡς πνεύματος γραμμάτων ζητῆσαι τοῦ πνεύματος
20 νοῦν ἐν τούτοις ἄξιον. ἆρα γὰρ οἱ τῶν βασιλέων υἱοὶ ἐσχόλαζον τῇ 274
πελεκήσει τῶν μεγάλων καὶ τιμίων λίθων, ἀναλαμβάνοντες τέχνην
205R βασιλικῆς εὐγενείας ἀλλοτρίαν; καὶ ὁ ἀριθμὸς τῶν νωτοφόρων καὶ
λατόμων καὶ ἐπιστατῶν, τοῦ τε χρόνου τῆς ἑτοιμασίας τῶν λίθων
καὶ τῆς ἐπισημειώσεως τῶν ὁμοίων ὡς ἔτυχεν ἀναγέγραπται; ἐχρῆν 275
25 δὲ τὸν ἅγιον ἐν εἰρήνῃ κατασκευαζόμενον οἶκον τῷ θεῷ οἰκοδομῆσθαι
χωρὶς σφύρας καὶ πελέκεως καὶ παντὸς σιδηροῦ σκεύους, ἵνα μηδὲν
ἀκουσθῇ θορυβῶδες ἐν τῷ ναῷ τοῦ θεοῦ. πάλιν δὲ ἀπορῶ πρὸς 276
τοὺς τῇ λέξει δουλεύοντας πῶς δυνατὸν ὀγδοήκοντα χιλιάδων λατό-
μων τυγχανουσῶν λίθοις ἀκροτόμοις ἀργοῖς οἰκοδομεῖσθαι τὸν οἶκον
30 τοῦ θεοῦ, σφύρας καὶ πελέκεως καὶ παντὸς σκεύους σιδηροῦ οὐκ
ἀκουσθέντος ἐν τῷ οἴκῳ αὐτοῦ ἐν τῷ οἰκοδομεῖσθαι αὐτόν; ἀλλὰ 277
μήποτε οἱ λατομούμενοι λίθοι ζῶντες ἀψοφητὶ καὶ ἀταράχως λατο-
μοῦνται ἔξω τοῦ κατὰ τὸν ναόν, ἵνα ἕτοιμοι ἔλθωσιν ἐπὶ τὸ ἁρμόζον
αὐτοῖς τῆς οἰκοδομῆς χωρίον. καὶ ἀνάβασις δέ τις περὶ τὸν οἶκον 278

1 Vgl. I Kön. 6, 1. — **6** Vgl. I Kön. 5, 15. 6, 2. — **10** I Kön. 6, 3. — **15** Vgl. Kön. 6, 5 (5, 38). — **20** Vgl. I Kön. 6, 3 (5, 32). — **22** Vgl. II Chr. 2, 2 (1). — **25** Vgl. I Kön. 6, 12 (7). — **28** Vgl. I Kön. 5, 15 (29) 6, 12 (7).

1 *ν'*] ιϖ, corr. Hu | **13** *Σαλωμὼν* wie I Kön. 6, 3 | **14** *ἐν τῷ*] *αἰνετω*, corr. V (vgl. I Kön. 6, 4) | **23** *τε*] *γε*, corr. We | **25** *ὠκοδομῆσθαι*] *οἰκοδομεῖσθαι* V; vgl. Z. 29 | **27** *ἀκολουθῇ*, corr. We, vgl. Z. 31 | **29** *οἰκοδομῆσθαι*, corr. V.

Digitized by Google

τοῦ θεοῦ μὴ γεγωνισμένη, ἀνακλάσεις εὐθειῶν ἔχουσα. γέγραπται γάρ· »Καὶ ἑλικτὴ ἀνάβασις εἰς τὸ μέσον, καὶ ἐκ τῆς μέσης ἐπὶ τὰ »τριώροφα«· ἑλικοειδῆ γὰρ ἐχρῆν εἶναι τὴν ἐν τῷ ναῷ τοῦ θεοῦ
279 ἄνοδον τῆς ἕλικος ἀναβάσει τὸν ἰσαίτατον κύκλον μιμουμένης. ἵνα 192 H
δὲ οὗτος ὁ οἶκος βέβαιος ᾖ, ὡς ἔνι μάλιστα οἰκοδομοῦνται ἔνδεσμοι
αὐτῷ δι' ὅλου οἴκου πέντε ἐν πήχει τὸ ὕψος, ἵνα ἡ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰς καλουμένας θείας αἰσθήσεις ἄνοδος δηλωθῇ ἐν ὕψει
280 τυγχάνουσα πρὸς κατανόησιν τῶν νοητῶν. μακαριωτέρων δὲ λίθων χωρίον ἔοικεν εἶναι τὸ καλούμενον Δαβείρ, ἔνθα ἡ κιβωτὸς τῆς διαθήκης τοῦ κυρίου ἦν, ⟨ἣ⟩ ἵν' οὕτως εἴπω, τὸ χειρόγραφον ἐτύχανεν τοῦ 196
281 θεοῦ, αἱ πλάκες γεγραμμέναι τῷ δακτύλῳ αὐτοῦ. ὁ δὲ οἶκος ὅλος χρυσοῦται· »Ὅλον, γάρ φησιν, τὸν οἶκον περιέχρισεν χρυσίῳ, ἕως
282 »συντελείας παντὸς τοῦ οἴκου«. τὰ μέντοι δύο Χερουβεὶμ ἐν τῷ Δαβεὶρ ἦν, ὅπερ οὐ δεδύνηνται ἑρμηνεῦσαι κυρίως οἱ μεταλαμβάνοντες
283 εἰς Ἑλληνισμὸν τὰ Ἑβραίων. καταχρηστικώτερον δέ τινες ναὸν αὐτὸν εἰρήκασιν τοῦ ναοῦ τιμιώτερον τυγχάνοντα. πάντα μέντοι γε χρυσὸς τὰ κατὰ τὸν οἶκον γεγένηται, εἰς σύμβολον τοῦ τελειουμένου πάντως
284 νοῦ πρὸς τὴν τῶν νοητῶν ἀκριβῆ † ἀπόταξιν. ἐπεὶ δὲ παντάπασιν οὐκ ἔστιν βατὰ καὶ γνωστά, οἰκοδομεῖται καταπέτασμα τῆς αὐλῆς, τοῖς πολλοῖς τῶν ἱερέων καὶ Λευϊτῶν οὐκ ἀποκαλυπτομένων τῶν
ἐνδοτάτω. 206 R

285 XLI. (25) Ἄξιον δὲ ζητῆσαι πῶς ὡς μὲν βασιλεὺς Σαλομὼν καὶ οἰκοδομεῖν τὸν ναὸν λέγεται, ὡς δ' ἀρχιτέκτων ὃν ἔλαβεν ἀποστείλας ὁ Σαλομὼν »Χειρὰμ ἐκ Τύρου, υἱὸν γυναικὸς χήρας· καὶ οὗτος ἀπὸ »τῆς φυλῆς Νεφθαλείμ, καὶ ὁ πατὴρ αὐτοῦ Τύριος, τέκτων χαλκοῦ
»καὶ πεπληρωμένος τῆς συνέσεως καὶ ἐπιγνώσεως, τοῦ ποιεῖν πᾶν »ἔργον ἐν χαλκῷ, ὃς εἰσήχθη πρὸς τὸν βασιλέα Σαλομών, καὶ ἐποίη-
286 »σεν πάντα τὰ ἔργα«. ἐφίστημι δὲ μήποτε ὁ μὲν Σαλομὼν εἰς τὸν πρωτότοκον πάσης κτίσεως λαμβάνεσθαι δύναται, ὁ δὲ Χειρὰμ εἰς ὃν ἀνείληφεν οὗτος ἄνθρωπον, ἀπὸ τῆς τῶν ἀνθρώπων συνοχῆς
(Τύριοι γὰρ ἑρμηνεύονται συνέχοντες) τῇ φύσει τὸ γένος ἔχοντα, ὅστις

2 I Kön. 6, 13 (8). — 5 Vgl. I Kön. 6, 15 (10). — 9 Vgl. I Kön. 6, 17 (16). — 12 I Kön. 6, 21 (22). — 13 Vgl. I Kön. 6, 22 (23). — 14 D. h. die LXX; Aquila, Symmachus, Theodot. übersetzen χρηματιστήριον. Vgl. Field zu III Regn. 6, 16. — 19 Vgl. I Kön. 6, 34 (36). — 24 I Kön. 7, 1f. (13)f. — 29 Vgl. Kol. 1, 15. — 31 Vgl. in Mt. XI, 16: *Τύρος μὲν οὖν παρ' Ἑβραίοις μεταλαμβάνεται Σόρ, ἥτις ἑρμηνεύεται »συνοχή«.* Lagarde, Onom. s. p. 199, 90 *Τύρος: συνοχή.* p. 71, 27: Tyrii coangustati; Armen. Onom. „Sur: Pressung".

5 ᾖ] ἦν, corr. V | *μάλιστα*] *κάλιστα*, corr. Pr, *κάλλιστα* V Ausgg. | 10 ⟨ἣ + Pr | 16 *τυγχάνον*, corr. V | 17 *πάντως*] *πάντων*, corr. Hu | 18 *ἀπόταξιν* verderbt; *ἐξέτασιν*? We | 22 *σολομῶν* | 31 *ἔχοντα*] *συνέχοντα* V.

Digitized by Google

πεπληρωμένος πάσης τέχνης καὶ συνέσεως καὶ ἐπιγνώσεως εἰσήχθη, συνεργῶν τῷ πρωτοτόκῳ πάσης κτίσεως, ἵνα οἰκοδομήσῃ τὸν ναόν, ἐν ᾧ καὶ θυρίδες παρακυπτόμεναι κρυπταὶ κατασκευάζονται πρὸς ⟨τὸ⟩ τὰς ἐλλάμψεις τοῦ φωτὸς τοῦ θεοῦ σωτηρίως δυνηθῆναι χωρῆσαι, καὶ (τί με δεῖ λέγειν καθ' ἕκαστον;) ἵνα εὑρεθῇ τὸ σῶμα Χριστοῦ ἡ ἐκκλησία τὸν λόγον ἔχουσα τοῦ πνευματικοῦ οἴκου καὶ ναοῦ τοῦ θεοῦ· ὡς γὰρ προεῖπον, τῆς ἐν μυστηρίῳ ἀποκεκρυμμένης δεόμεθα σοφίας, χωρητῆς τυγχανούσης μόνῳ τῷ δυναμένῳ εἰπεῖν· »Ἡμεῖς δὲ νοῦν »Χριστοῦ ἔχομεν«, ἵνα κατὰ τὸ βούλημα τοῦ οἰκονομήσαντος ταῦτα γραφῆναι πνευματικῶς ἐκλάβωμεν ἕκαστον τῶν εἰρημένων. ἄλλως 287
δὲ καὶ οὐ κατὰ τὸ παρόν ἐστιν ἀνάγνωσμα ἕκαστον τούτων ἀναπλῶ-
193H σαι. καὶ ταῦτα οὖν αὐτάρκη πρὸς τὸ ἰδεῖν πῶς »Ἐκεῖνος δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ«.

XLII. (26) Ἄξιον δὲ μετὰ ταῦτα ἰδεῖν εἰ δυνατὸν τὰ ἱστορούμενα 288
γεγονέναι κατὰ τὸν ναὸν συμβεβηκέναι ποτὲ ἢ συμβήσεσθαι περὶ τὸν πνευματικὸν οἶκον. δόξει δὲ ὁ λόγος θλίβειν ἑκατέρωθεν· εἴτε γὰρ 289
ἐροῦμεν οἷόν τε γενέσθαι ἢ γεγονέναι τινὰ λόγον τοῖς κατὰ τὴν ἱστορίαν περὶ τὸν ναόν, δυσόκνως μετάπτωσιν τῶν τηλικούτων ἀγα-
197r θῶν παραδέξονται οἱ ἀκούοντες, πρῶτον | μὲν διὰ τὸ μὴ βούλεσθαι,
δεύτερον δὲ διὰ τὸ ἀπεμφαίνειν τροπὴν τῶν ἀγαθῶν ἔσεσθαι. εἰ δὲ 290
βουλόμενοι ἄτρεπτα τηρεῖν τὰ ἅπαξ δοθέντα τοῖς ἁγίοις ἀγαθὰ οὐκ ἐφαρμόσομεν τὰ τῆς ἱστορίας, δόξομεν ὅμοιόν τι τοῖς ἀπὸ τῶν αἱρέσεων ἐν τούτῳ ποιεῖν, τὴν συμφωνίαν τῆς διηγήσεως τῶν γραφῶν ἀρχῆθεν μέχρι τέλους μὴ φυλάττοντες. εἰ μέντοι γε μὴ μέλλομεν 291
γραωδῶς καὶ Ἰουδαϊκῶς τὰς παρὰ τοῖς προφήταις, μάλιστα δὲ τῷ
207R Ἡσαΐᾳ, ἀναγεγραμμένας ἐπαγγελίας νοεῖν ὡς ἐσομένας περὶ τὴν ἐπὶ γῆς Ἱερουσαλήμ, ἀνάγκη ἔτι, εἰ μετὰ τὴν αἰχμαλωσίαν καὶ τὴν καταστροφὴν τοῦ ναοῦ λέγεταί τινα ἔνδοξα συμβεβῆσθαι εἰς οἰκοδομὴν τοῦ ναοῦ καὶ τὴν ἀποκατάστασιν τοῦ λαοῦ ἀπὸ τῆς αἰχμαλωσίας, λέγειν ἡμᾶς γεγονέναι τὸν ναὸν καὶ ᾐχμαλωτεῦσθαι τὸν λαόν, ἐπανελεύσεσθαι δὲ ἐπὶ τὴν Ἰουδαίαν καὶ τὴν Ἱερουσαλὴμ καὶ οἰκοδομηθήσεσθαι τοῖς ἐντίμοις λίθοις τὴν Ἱερουσαλήμ. οὐκ οἶδα δέ, εἰ μακραῖς 292
χρόνων περιόδοις ἀνακυκλουμέναις τὰ παραπλήσια πάλιν δυνατὸν γενέσθαι ὡς ἐπὶ τὸ χεῖρον. ἔχει δὲ τὰ τῶν ἐπαγγελιῶν ἐν τῷ Ἡσαΐᾳ 293
οὕτως· »Ἰδού, ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου, καὶ τὰ

2 Vgl. Kol. 1, 15. — 3 Vgl. I Kön. 6, 9 (4). — 6 Vgl. 1 Petr. 2, 5. Vgl. S. 215, 23ff. — 7 Vgl. I Kor. 2, 7. — 8 I Kor. 2, 16. — 12 Joh. 2, 21. — 21 Vgl. Jud. 3. — 35 Jes. 54, 11—14.

3 παρ[ακυπτόμεναι κρυπταὶ κ]ατασκενάζονται a. Ras. | ⟨τὸ + We | 17 τι ἀνάλογον? Pr, vgl. Lommatzsch | 19 παραδέξωνται | 30 λαόν] ναόν, corr. V | ᾐχμαλωτεῦσθαι M.

Digitized by Google

»θεμέλιά σου σάπφειρον, καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τὰς
»πύλας σου λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου λίθους ἐκλεκ-
»τούς, καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς θεοῦ, καὶ ἐν πολλῇ εἰ-
294 »ρήνῃ τὰ τέκνα σου, καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ«. καὶ μετ' ὀλίγα
πρὸς τὴν αὐτὴν Ἱερουσαλήμ· »Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει
»ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα δοξάσουσι τὸν τόπον τὸν ἁγιόν
»μου. καὶ πορεύσονται πρὸς σὲ δεδοικότες υἱοὶ ταπεινωσάντων καὶ
»παροξυνάντων σε· καὶ κληθήσῃ πόλις κυρίου, Σιὼν ἁγίου Ἰσραήλ,
»διὰ τὸ γεγενῆσθαί σε ἐγκαταλελειμμένην καὶ μεμισημένην, καὶ οὐκ ἦν
»ὁ βοηθῶν· καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεῶν
»γενεαῖς. καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον βασιλέων φάγεσαι,
»καὶ γνώσῃ ὅτι ἐγὼ κύριος σώζων σε καὶ ἐξαιρούμενός σε θεὸς Ἰσραήλ.
»καὶ ἀντὶ χαλκοῦ οἴσω σοι χρυσίον, ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύ-
»ριον, ἀντὶ δὲ ξύλων οἴσω σοι χαλκόν, ἀντὶ δὲ λίθων σίδηρον. καὶ 194H
»δώσω τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου ἐν
»δικαιοσύνῃ. καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ σου, οὐδὲ σύν-
»τριμμα καὶ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου, ἀλλὰ κληθήσεται σωτή-
»ριον τὰ τείχη σου, καὶ αἱ πύλαι σου γλύμμα. καὶ οὐκ ἔσται σοι ἔτι
»ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σοι τὴν νύκτα·
»ἀλλ' ἔσται σοι Χριστὸς φῶς αἰώνιον, καὶ ὁ θεὸς | δόξα σοι. οὐ γὰρ 197v
»δύσεταί σοι ὁ ἥλιος, καὶ ἡ σελήνη σοι οὐκ ἐκλείψει· ἔσται γὰρ κύ-
»ριός σοι φῶς αἰώνιον, καὶ πληρωθήσονται αἱ ἡμέραι τοῦ πένθους
295 »σου«. ταῦτα γὰρ σαφῶς περὶ τοῦ μέλλοντος αἰῶνος προφητεύεται
τοῖς ἐν αἰχμαλωσίᾳ οὖσιν υἱοῖς Ἰσραήλ, ἐφ' οὓς ἦλθεν ἀποσταλεὶς ὁ
λέγων· »Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα
»οἴκου Ἰσραήλ«. εἰ δὲ αἰχμάλωτοι ὄντες ταῦτα ἐν τῇ πατρίδι αὐτῶν
ἀπολήψονται, ὅτε καὶ προσήλυτοι προσελεύσονται αὐτοῖς διὰ τοῦ
χριστοῦ καὶ ἐπ' αὐτοὺς καταφεύξονται, κατὰ τὸ λεγόμενον· »Ἰδοὺ 208R
»προσήλυτοι προσελεύσονταί σοι δι' ἐμοῦ καὶ ἐπὶ σὲ καταφεύξονται«,
δῆλον ὅτι περὶ τὸν ναὸν τυγχάνοντές ποτε οἱ αἰχμαλωτευθέντες καὶ
πάλιν ἐκεῖσε ἐπανελεύσονται ἀνοικοδομηθησόμενοι, τιμιώτατοι γεγε-
νημένοι λίθων· νικῶν γάρ τις καὶ παρὰ τῷ Ἰωάννῃ ἐν τῇ Ἀποκα-
λύψει ἐπαγγελίαν ἔχει στύλος ἔσεσθαι ἐν τῷ ναῷ τοῦ θεοῦ, μὴ ἐξε-
λευσόμενος ἔξω.

296 Ταῦτα δέ μοι πάντα εἴρηται ὑπὲρ τοῦ κἂν ἐν βραχείᾳ περινοίᾳ
γενέσθαι ἡμᾶς τῶν κατὰ τὸν ναὸν καὶ τὸν οἶκον τοῦ θεοῦ καὶ τὴν

5 Jes. 60, 13—20. — 25 Matth. 15, 24. — 28 Jes. 54, 15. — 31 Vgl. Apok. 21, 11, — 32 Vgl. Apok. 3, 12.

6 δοξάσαι? (nach T) | 9 ἐγκαταλελιμμένην = Bab𝔄a | 12 ὁ σώζων? (wie T) 16 καὶ] οὐδὲ T | 35 βραχείᾳ] βραχει, corr. V.

Digitized by Google

ἐκκλησίαν καὶ τὴν Ἱερουσαλὴμ πραγμάτων, »περὶ ὧν οὐκ ἔστιν νῦν »λέγειν κατὰ μέρος«. τὴν δὲ ἀκριβεστάτην καὶ μέχρι τοῦ τυχόντος 297
περὶ ταῦτα ἐπιμελῆ ἐξέτασιν ποιητέον τοῖς μὴ ἀπαυδῶσιν πρὸς τοὺς
ἐν τῷ ἐντυγχάνειν ταῖς προφητείαις ⟨καὶ⟩ ζητεῖν τὸν ἐν αὐταῖς
πνευματικὸν νοῦν καμάτους. καὶ ταῦτα μὲν περὶ τοῦ ναοῦ τοῦ σώ-
ματος αὐτοῦ.

XLIII. (27) Ἐπεὶ δὲ »ὅτε ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μα- 298
»θηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν, καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ
»λόγῳ ὃν εἶπεν ὁ Ἰησοῦς« ἐκδεκτέον, ὡς κατὰ τὴν λέξιν, ὅτι οἱ μα-
θηταὶ μετὰ τὸ ἐγηγέρθαι ἐκ νεκρῶν τὸν κύριον συνῆκαν τὰ περὶ τοῦ
ναοῦ εἰρημένα ἀναφέρεσθαι εἰς τὸ πάθος αὐτοῦ καὶ τὴν ἀνάστασιν,
ὑπομνησθέντες ὅτι τὸ »Ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν« τὴν ἀνάστα-
σιν ἐδήλου, ὅτε »καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ὃν εἶπεν ὁ
»Ἰησοῦς«, πρότερον οὐ μεμαρτυρημένοι πεπιστευκέναι τῇ γραφῇ οὐδὲ
τῷ λόγῳ τούτῳ, ὃν εἶπεν ὁ Ἰησοῦς· κυρίως γὰρ πίστις ἐστὶν κατὰ
τὸ βάπτισμα τοῦ ὅλῃ ψυχῇ παραδεχομένου τὸ πιστευόμενον. ὡς δὲ 299
195H πρὸς τὴν ἀναγωγήν, ἐπεὶ προείρηται ἡμῖν ἡ ἐκ νεκρῶν ἀνάστασις τοῦ
παντὸς τοῦ κυρίου σώματος, εἰδέναι χρὴ ὅτι οἱ μαθηταὶ ὑπομνησθέντες
διὰ τῶν ἀποτελεσμάτων τῆς, ὅτε ἦσαν ἐν τῷ βίῳ, μὴ ἠκριβωμένης
αὐτοῖς γραφῆς, ὑπὸ ὄψιν γινομένης καὶ φανερουμένης τίνων ἐπουρα-
νίων ὑπόδειγμα καὶ σκιὰ ἐτύγχανε, πιστεύουσιν οἷς πρότερον οὐκ
ἐπίστευον καὶ τῷ λόγῳ τοῦ Ἰησοῦ, ὃν πρὸ τῆς ἀναστάσεως, ὡς ἐβού-
λετο ὁ λέγων, οὐ συνίεσαν. πῶς γὰρ δύναταί τις πιστεύειν κυρίως 300
198r λέγεσθαι τῇ γραφῇ τὸν ἐν αὐτῇ | τοῦ ἁγίου πνεύματος νοῦν μὴ θεω-
ρῶν, ὃν πιστεύεσθαι μᾶλλον ὁ θεὸς βούλεται ἢ τὸ τοῦ γράμματος
θέλημα; κατὰ τοῦτο λεκτέον μηδένα τῶν κατὰ σάρκα περιπατούντων
209R πιστεύειν τοῖς πνευματικοῖς τοῦ νόμου, οἷς μηδὲ τὴν ἀρχὴν φαντά-
ζεται. πλήν φασι μακαριωτέρους εἶναι τοὺς μὴ ἰδόντας καὶ πιστεύ- 301
σαντας τῶν ἑωρακότων καὶ πεπιστευκότων, παρεκδεξάμενοι τὸ ἐν
τῷ κατὰ Ἰωάννην ἐπὶ τέλει εἰρημένον πρὸς τὸν Θωμᾶν ὑπὸ τοῦ
κυρίου· »Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες«. οὐ γὰρ ⟨ἔστιν⟩
μακαριωτέρους εἶναι τοὺς μὴ ἰδόντας καὶ πιστεύσαντας τῶν ἑωρακό-
των καὶ πεπιστευκότων. κατὰ γοῦν τὴν ἐκδοχὴν αὐτῶν τῶν ἀπο- 302
στόλων μακαριώτεροι οἱ μετὰ τοὺς ἀποστόλους εἰσίν, ὅπερ ἐστὶ πάν-
των ἠλιθιώτατον. ἰδεῖν δὲ τῷ νῷ τὰ πιστευόμενα δεῖ τὸν ἐσόμενον

1 Hebr. 9, 5. — **6** Vgl. Joh. 2, 21. — **7** Joh. 2, 22. — **12** Joh. 2, 19. — **13** Vgl. Joh. 2, 22. — **17** Vgl. S. 209, 23ff. — **20** Vgl. Hebr. 8, 5. — **22** Vgl. Matth. 13, 13. — **26** Vgl. II Kor. 10, 2. — **28** Vgl. Joh. 20, 29. — **31** Joh 20, 29.

4 ⟨καὶ⟩ + We | **9** ἐκδετέον, corr. V | **21** οἷς] οισι, corr. V | **28** φασι] φησι, corr. Hu | ἰδόντας] ιδ a. Ras. | **31** ⟨ἔστιν⟩ + We.

Digitized by Google

μακάριον ὡς οἱ ἀπόστολοι, δυνηθέντα ἀκούειν τὸ »Μακάριοι οἱ ὀφ-
»θαλμοὶ ὑμῶν ὅτι βλέπουσιν καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούουσιν« καὶ
τὸ »Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε καὶ
303 »οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν«. ἀγαπητὸν δὲ
καὶ τὸν ὑποδεέστερον λαβεῖν μακαρισμὸν λέγοντα· »Μακάριοι οἱ μὴ
304 ἰδόντες καὶ πιστεύσαντες. πῶς δὲ οὐ μακαριώτεροι οἱ ὀφθαλμοὶ οἱ
ὑπὸ τοῦ Ἰησοῦ μακαριζόμενοι ἐπὶ τοῖς τεθεωρημένοις τῶν μὴ φθα-
σάντων ἐπὶ τὴν τῶν τοιούτων θέαν; ὁ δὲ Συμεὼν ἀγαπᾷ εἰς τὰς
ἀγκάλας λαβὼν τὸ σωτήριον τοῦ θεοῦ, καὶ θεασάμενος αὐτὸ εἶπεν·
»Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ,
»ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου«. διόπερ φιλοτιμητέον
ἀνοίγειν τοὺς ὀφθαλμοὺς κατὰ τὸν Σολομῶντα, ἵνα ἄρτων ἐμπλη-
σθῶμεν· φησὶ γάρ· »Διάνοιξον τοὺς ὀφθαλμούς σου καὶ ἐμπλήσθητι
»ἄρτων«. καὶ ταῦτά μοι διὰ τὸ »Ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ
»ὃν εἶπεν ὁ Ἰησοῦς« εἰρήσθω, ἵνα τὸ τέλειον τῆς πίστεως ἐκ τῶν
περὶ πίστεως ἐξητασμένων καταλάβωμεν ἡμῖν δοθήσεσθαι ἐν τῇ με-
γάλῃ ἐκ νεκρῶν ἀναστάσει τοῦ παντὸς Ἰησοῦ σώματος, τῆς ἁγίας
305 ἐκκλησίας αὐτοῦ. ὅπερ γὰρ ἐπὶ γνώσεως εἴρηται· »Ἄρτι γινώσκω ἐκ 196H
»μέρους«, τόδε καὶ ἐπὶ παντὸς καλοῦ ἀκόλουθον οἶμαι λέγειν· Ἐν δὲ
306 τῶν ἄλλων ἡ πίστις. διόπερ »ἄρτι πιστεύω ἐκ μέρους· ὅταν δὲ ἔλθῃ
»τὸ τέλειον« τῆς πίστεως »τὸ ἐκ μέρους καταργηθήσεται«, τῆς διὰ
εἴδους πίστεως πολλῷ διαφερούσης τῆς, ἵν' οὕτως εἴπω, »δι' ἐσόπτρου
»καὶ ἐν αἰνίγματι«, ὁμοίως τῇ νῦν γνώσει πίστεως.

II, 23 *Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ*
ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ
τὰ σημεῖα ἃ ἐποίει. **24** *αὐτὸς δὲ Ἰησοῦς οὐκ ἐπίστευσεν αὐτὸν*
αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντας **25** *καὶ ὅτι οὐ χρείαν*
εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκεν
τί ἦν ἐν τῷ ἀνθρώπῳ.

307 XLIV. (28) *Ζητήσαι τις ἂν πῶς τοῖς μεμαρτυρημένοις πιστεύειν* 210B
ἑαυτὸν οὐκ ἐπίστευεν ὁ Ἰησοῦς. λεκτέον δὲ πρὸς τοῦτο, ὅτι οὐχὶ
τοῖς πιστεύουσιν εἰς αὐτὸν οὐ πιστεύει ἑαυτὸν ὁ Ἰησοῦς, ἀλλὰ τοῖς 198r
πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· διαφέρει γὰρ τὸ πιστεύειν εἰς αὐτὸν

1 Matth. 13, 16. — **3** Matth. 13, 17. — **5** Joh. 20, 29. — **8** Vgl. Luk. 2, 28. — **10** Luk. 2, 29f. — **13** Prov. 20, 16 (13). — **14** Joh. 2, 22. — **18** I Kor. 13, 12. — **20** I Kor. 13, 10. — **22** Vgl. II Kor. 5, 7. — Vgl. I Kor. 13, 12.

4 viell. εἶδαν richtig? vgl. B. 33 | **7** τεθεωρημένοις] θεωρημένοις, corr. V | **20** ἀλλῶν] καλῶν?

Digitized by Google

τοῦ πιστεύειν εἰς τὸ ὄνομα αὐτοῦ. ὁ γοῦν διὰ πίστιν μὴ κριθησόμε- 308
νος τῷ εἰς αὐτὸν πιστεύειν οὐ κρίνεται, οὐχὶ δὲ εἰς τὸ ὄνομα αὐτοῦ· φησὶ γὰρ ὁ κύριος· »Ὁ πιστεύων εἰς ἐμὲ οὐ κρίνεται«· οὐχὶ δὲ »Ὁ »πιστεύων εἰς τὸ ὄνομά μου οὐ κρίνεται«. οὐκέτι δέ φησιν· »Ὁ πι- 309
5 »στεύων εἰς ἐμὲ ἤδη κέκριται«· τάχα γὰρ ὁ πιστεύων εἰς τὸ ὄνομα αὐτοῦ πιστεύει μέν, διόπερ οὐκ ἐστιν ἄξιος ἤδη κεκρίσθαι, ἐλάττων δέ ἐστιν τοῦ πιστεύοντος εἰς αὐτόν. διὰ τοῦτο τῷ πιστεύοντι εἰς τὸ ὄνομα αὐτοῦ ἑαυτὸν οὐ πιστεύει ὁ Ἰησοῦς. αὐτοῦ τοίνυν μᾶλλον 310
ἢ τοῦ ὀνόματος αὐτοῦ ἔχεσθαι δεῖ, ἵνα μὴ τῷ ὀνόματι αὐτοῦ δυνάμεις
10 ποιοῦντες ἀκούσωμεν τὰ ἐπὶ ⟨τῶν⟩ τῷ ὀνόματι μόνῳ καυχησαμένων αὐτοῦ εἰρημένα· ἀλλὰ θαρρήσωμεν μιμηταὶ τοῦ Παύλου γινόμενοι εἰπεῖν· »Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ«. παρατηρητέον δὲ καὶ τοῦτο, ὅτι ἀνωτέρω μέν· »Ἐγγύς, φησίν, ἦν τὸ πάσχα
»τῶν Ἰουδαίων«, ἐνθάδε δὲ οὐκ ἐν τῷ πάσχα τῶν Ἰουδαίων, ἀλλ'
15 ἐν τῷ πάσχα ἐν Ἱεροσολύμοις ἦν ὁ Ἰησοῦς· κἀκεῖ μὲν ὅτε Ἰουδαίων λέγεται τὸ πάσχα, οὐκ εἴρηται ἑορτή· ἐνθάδε δὲ ὁ Ἰησοῦς ἀναγέγραπται εἶναι »ἐν τῇ ἑορτῇ«· ἐν τοῖς Ἱεροσολύμοις γὰρ τυγχάνων ἐν πάσχα καὶ ἑορτῇ ἦν, πολλῶν πιστευόντων κἂν εἰς τὸ ὄνομα αὐτοῦ. καὶ 311
παρατηρητέον γε ὅτι πολλοὶ οὐκ εἰς αὐτόν, ἀλλ' »εἰς τὸ ὄνομα αὐτοῦ«
20 πιστεύειν λέγονται. οἱ δὲ εἰς αὐτὸν πιστεύοντες οἱ τὴν στενὴν καὶ τεθλιμμένην εἰσὶν ὁδεύοντες, ἀπάγουσαν εἰς τὴν ζωήν, ὅσον ὑπὸ τῶν ὀλίγων εὑρισκομένην. δυνατὸν μέντοι γε πολλοὺς τῶν εἰς τὸ ὄνομα 312
αὐτοῦ πιστευόντων ἀνακλιθῆναι μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐπεὶ »Πολλοὶ ἀπ' ἀνατολῶν καὶ δυσμῶν
197 H »ἥξουσιν καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν »τῇ βασιλείᾳ τῶν οὐρανῶν«, τυγχανούσῃ οἰκίᾳ τοῦ πατρός, ἐν ᾗ πολλαὶ μοναί εἰσιν. καὶ τοῦτο δὲ τηρητέον, ὅτι πολλοὶ πιστεύοντες εἰς 313
τὸ ὄνομα αὐτοῦ, οὐχ ὡς Ἀνδρέας καὶ Πέτρος καὶ Ναθαναὴλ καὶ Φίλιππος πιστευουσιν, ἀλλὰ τῇ μαρτυρίᾳ Ἰωάννου πείθονται λέγοντος·
30 »Ἰδού, ὁ ἀμνὸς τοῦ θεοῦ« ἢ τῷ ὑπ' Ἀνδρέου εὑρεθέντι χριστῷ, ἢ τῷ εἰπόντι τῷ Φιλίππῳ Ἰησοῦ· »Ἀκολούθει μοι« ἢ τῷ φάσκοντι
211 R Φιλίππῳ· »Ὃν ἔγραψεν Μωϋσῆς καὶ οἱ προφῆται εὑρήκαμεν, Ἰησοῦν »υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ«. οὗτοι δὲ »ἐπίστευσαν εἰς τὸ 314

3 Vgl. Joh. 3, 18. — **8** Vgl. Joh. 2, 24. — **9** Vgl. Matth. 7, 22. — **10** Vgl. Matth. 7, 22f. — **12** Phil. 4, 13. — **13** Joh. 2, 13. — **14** Vgl. Joh. 2, 23. — **20** Vgl. Matth. 7, 14. — **24** Matth. 8, 11. — **26** Vgl. Joh. 14, 2. — **27** Vgl. Joh. 2, 23. — **28** Vgl. Joh. 1, 40. 41. 45. 43. — **30** Joh. 1, 36. — **31** Joh. 1, 43. — **32** Joh. 1, 45. — **33** Joh. 2, 23ff.

10 ⟨τῶν⟩ + We | **14** ἐνθάδε — οὐκ ἐν a. Ras. | **15** τῶν, corr. V | **23** ἀνακλιθῆναι] ἀνακληθὴν, corr. V.

Digitized by Google

»ὄνομα αὐτοῦ. θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει«· καὶ † σημεῖα πιστεύουσιν οὐκ εἰς αὐτὸν ἀλλ᾽ »εἰς τὸ ὄνομα αὐτοῦ«, ὁ Ἰησοῦς »οὐκ »ἐπίστευεν ἑαυτὸν αὐτοῖς. πάντας γινώσκων. καὶ μὴ χρείαν ἔχων« ἵνα »τις μαρτυρήσῃ περὶ ἀνθρώπου«, τῷ γινώσκειν τί ἐστιν ἐν ἑκάστῳ τῶν ἀνθρώπων.

315 XLV. (29) Τῷ δὲ »Οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ περὶ ἀν- »θρώπου« εὐκαίρως χρηστέον εἰς παράστασιν τοῦ υἱοῦ | τοῦ θεοῦ ἀφ᾽ 199r ἑαυτοῦ δυναμένου θεωρεῖν περὶ ἑκάστου τῶν ἀνθρώπων, καὶ μηδαμῶς
316 μαρτυρίου δεῖσθαι τοῦ ἀπό τινος. τὸ δὲ »Οὐ χρείαν εἶχεν ἵνα τις »μαρτυρήσῃ περὶ ἀνθρώπου« ἀντιδιαστολτέον πρὸς τὸ »Οὐ χρείαν »ἔχει ἵνα τις μαρτυρήσῃ περί τινος«. εἰ μὲν γὰρ τὸ »Ἀνθρώπου« λαμβάνοιμεν ἐπὶ παντὸς τοῦ κατ᾽ εἰκόνα θεοῦ ἢ παντὸς λογικοῦ, οὐ χρείαν ἕξει ἵνα τις μαρτυρήσῃ περὶ αὐτοῦ, περὶ οὗ δήποτε τῶν λογικῶν, ἀφ᾽ ἑαυτοῦ γινώσκων τοὺς πάντας κατὰ τὴν δεδομένην αὐτῷ
317 δύναμιν ἀπὸ τοῦ πατρός. εἰ δὲ τὸ »Ἀνθρώπου« τηρήσαιμεν ἐπὶ τοῦ θνητοῦ λογικοῦ ζῴου μόνου, ὁ μέν τις ἐρεῖ χρείαν ἔχειν αὐτόν, ἵνα τις μαρτυρήσῃ περὶ τῶν ὑπὲρ τὸν ἄνθρωπον, οὐδὲ ἀρκοῦντα ὁμοίως
318 τοῖς ἀνθρωπίνοις γινώσκειν καὶ τὰ περὶ ἐκείνων. ἄλλος δέ τις φήσει τὸν κενώσαντα ἑαυτὸν μὴ χρείαν ἔχειν ἵνα τις μαρτυρήσῃ περὶ ἀνθρώπου, χρείαν δὲ ἔχειν περὶ τῶν κρειττόνων ἢ κατὰ ἄνθρωπον.

319 XLVI. (30) Καὶ τοῦτο δὲ ζητητέον, πόσα σημεῖα αὐτοῦ θεωροῦντες οἱ πολλοὶ ἐπίστευον εἰς αὐτόν· οὐ γὰρ ἀναγέγραπται σημεῖα πεποιηκέναι ἐν Ἱεροσολύμοις, εἰ μὴ ἄρα γεγένηται μὲν σημεῖα, οὐκ ἀναγέγραπται δέ· σκόπει δὲ εἰ δυνατὸν εἰς σημεῖα λογισθῆναι τὸ πεποιηκέναι φραγέλλιον ἐκ σχοινίων, καὶ πάντας ἐκβεβληκέναι τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν τὰ κέρματα ἐκκεχυ-
320 κέναι, καὶ τὰς τραπέζας ἀνατετραφέναι. πρὸς μέντοι γε τοὺς ὑπονοήσαντας ἂν περὶ μόνων ἀνθρώπων μὴ χρείαν ἔχειν αὐτὸν μαρτύ- 198H ρων, λεκτέον ὅτι δύο αὐτῷ ὁ εὐαγγελιστὴς μεμαρτύρηκε, τό τε γινώσκειν πάντας, καὶ τὸ μὴ χρείαν ἔχειν, ἵνα τις μαρτυρήσῃ περὶ
321 ἀνθρώπου. εἰ γὰρ πάντας ἐγίνωσκεν, οὐ μόνον ἀνθρώπους ἀλλὰ καὶ τὰ ὑπὲρ τὸν ἄνθρωπον ἐγίνωσκεν, καὶ πάντας τοὺς ἔξω τοιούτων σωμάτων· ἐγίνωσκέν τε τί ἦν ἐν τῷ ἀνθρώπῳ, ἅτε μείζων τυγχά-

1 Vgl. Joh. 4, 48. — **2** Vgl. Joh. 2. 25. — **6** Joh. 2, 25. — **12** Vgl. Gen. 1, 27. — **14** Vgl. Matth. 28, 18. — **19** Vgl. Phil. 2, 7. — **25** Vgl. Joh. 2, 25. — **31** Vgl. Joh. 2, 25.

1 Text in Unordnung; *κατὰ σημεῖα π.* We, vielleicht ist nach *σημεῖα* ausgefallen: *θεωροῦσιν καὶ* | **12** *παντὸς*²] *ος* a. Ras., viell. *πάντως*? | *λαμβανόμενον*, corr. We vgl. Z. 15 | **15** *ἐπὶ*] *ὑπὸ*, corr. We | **19** *φήσει*] *φησι*, corr. Br | **20** *ἄνθρωπον* aus *ἀνθρωπίνων* corr. | 30 *λεκτέον*] *λέγειν*, corr. Br.

Digitized by Google

212R *νων τῶν ἐν τῷ προφητεύειν ἐλεγχόντων καὶ κρινόντων, καὶ τὰ κρυπτὰ τῆς καρδίας εἰς φανερὸν ἀγόντων πάντων ὧν τὸ πνεῦμα ὑποβάλλει αὐτοῖς. δύναται δὲ τὸ »Ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ« λαμβάνεσθαι καὶ ἐπὶ τῶν ἐνεργουσῶν δυνάμεων χειρόνων ἢ κρειττό-*
νων ἐν ἀνθρώποις. εἰ μὲν γὰρ δίδωσίν τις »τόπον τῷ διαβόλῳ«, 322
εἰσέρχεται εἰς αὐτὸν ὁ σατανᾶς, ὥσπερ ἔδωκεν Ἰούδας, τοῦ διαβόλου βεβληκότος εἰς τὴν καρδίαν αὐτοῦ, ἵνα παραδῷ τὸν Ἰησοῦν· διὸ καὶ μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτὸν ὁ σατανᾶς. εἰ δὲ δίδωσιν τόπον 323
τῷ θεῷ, μακάριος γίνεται· »Μακάριος γὰρ οὗ ἐστιν ἀντίλημψις αὐτῷ »παρὰ τοῦ θεοῦ καὶ ἀνάβασις ἐν τῇ καρδίᾳ αὐτοῦ ἀπὸ τοῦ θεοῦ«. γινώσκει οὖν τί ἦν ἐν τῷ ἀνθρώπῳ ὁ γινώσκων πάντα υἱὸς τοῦ θεοῦ.

Ἴδη δὲ τὴν αὐτάρκη περιγραφὴν εἰληφότος καὶ τοῦ δεκάτου τόμου, ἐνταῦθά που καταπαύσομεν τὸ βιβλίον.

1 Vgl. I Kor. 14, 24 f. — **5** Vgl. Eph. 4, 27. — **6** Vgl. Joh. 13, 27. 2. — **9** Ps. 83, 6. — **11** Vgl. Joh. 2, 25.

2 ὧν] ὡς We | **9** *ἀντίλημψις*] *ἀντίλημψεις*, ohne vorausgehendes *ἡ* = AℵT | *αὐτῷ* = T, *αὐτοῦ* BℵA | **11** *νε̄* M | **13** *καταπαύσωμεν*?

Digitized by Google

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

199v

ΤΟΜΟΣ ΙΓ'.

1 I. *Ἴσως μὲν ἂν ἔδοξέν σοι, φιλοθεώτατε καὶ εὐσεβέστατε Ἀμβρόσιε, τὸν περὶ τῆς Σαμαρείτιδος λόγον μὴ διακοπῆναι, ὥστε μέρος μέν τι αὐτοῦ εἶναι ἐν τῷ δωδεκάτῳ τόμῳ, τὰ δὲ ἑξῆς ἐν τῷ τρισκαιδεκάτῳ.* 2 *ἀλλ' ἐπεὶ ἐωρῶμεν αὐτάρκη περιγραφὴν εἰληφέναι τὸν δωδέκατον τῶν ἐξηγητικῶν, ἔδοξεν ἡμῖν καταλῆξαι εἰς τὸν τῆς Σαμαρείτιδος λόγον περὶ τοῦ λεγομένου ὑπ' αὐτῆς φρέατος, ὡς ὁ Ἰακὼβ ἔδωκεν αὐτὸ καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ, ἵνα ἀρξώμεθα τοῦ τρισκαιδεκάτου ἀπὸ τῆς ἀποκρίσεως τοῦ κυρίου ἡμῶν πρὸς αὐτήν.*

IV, 13f. *»Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, * * *γενήσεται πηγὴ ἐν αὐτῷ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον«.*

3 *Δεύτερον τοῦτο ἀποκρίνεται πρὸς τὴν Σαμαρεῖτιν ὁ Ἰησοῦς, πρότερον μὲν λέγων· »Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ καὶ τίς ἐστιν ὁ »λέγων σοι· Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι »ὕδωρ ζῶν«, καὶ νῦν ὡς προτρέπων αὐτὴν ἐπὶ τὸ αἰτῆσαι τὸ ζῶν* 4 *ὕδωρ λέγει τὰ ἐκκείμενα. καὶ ἐπὶ μὲν τῷ προτέρῳ οὐκ εἶπεν, ἀλλὰ ἐπαπορεῖ περὶ τῆς συγκρίσεως τῶν ὑδάτων ἡ Σαμαρεῖτις· μετὰ δὲ τὴν δευτέραν ἀπόκρισιν τοῦ κυρίου παραδεξαμένη τὰ εἰρημένα φησί·*

199H

213R

6 Vgl. Joh. 4, 12. — 10 Joh. 4, 13f. — 15 Joh. 4, 10.

Überschrift *εἰς τὸν*, wie sonst; vgl. zu S. 1, 1 | 1 *εὐσεβέστατε*] *εσ* a. Ras. | 2 nach *μὴ* viell. *δεῖν* zu erg. | 12 nach *αὐτῷ* sind durch Abirren die Worte ausgefallen *οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ*; sie scheinen schon in dem Exemplar des Orig. gefehlt zu haben (vgl. S. 228, 12f. 229, 11ff. 230, 2f.), wie in C* l Copt. Herakleon las sie (vgl. S. 234, 20).

Digitized by Google

»Δός μοι τοῦτο τὸ ὕδωρ«. τάχα γὰρ δόγμα τί ἐστιν μηδένα λαμβά- 5
νειν θείαν δωρεὰν τῶν μὴ αἰτούντων αὐτήν. καὶ αὐτὸν γοῦν τὸν
σωτῆρα διὰ τοῦ ψαλμοῦ προτρέπει αἰτεῖν ὁ πατὴρ ἵνα αὐτῷ δωρή-
σηται, ὡς αὐτὸς ἡμᾶς διδάσκει ὁ υἱὸς λέγων· »Κύριος εἶπεν πρὸς μέ·
»Υἱός μου εἶ σύ· αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν
»σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς«· καὶ ὁ σωτὴρ φησιν·
»Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν«· »πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει«. πείθεται 6
μέντοι γε ἡ Σαμαρεῖτις αἰτῆσαι τὸν Ἰησοῦν ὕδωρ, εἰκών, ὡς προεί-
πομεν, τυγχάνουσα γνώμης ἑτεροδοξούντων περὶ τὰς θείας ἀσχολου-
μένων γραφάς, ὅτε ἀκούει περὶ τῆς συγκρίσεως ἀμφοτέρων τῶν ὑδά- 7
των. καὶ ὅρα ἐξ ὧν ἐπεπόνθει πῶς πίνουσα ἐκ τοῦ νομιζομένου αὐτῇ
βαθέος εἶναι φρέατος οὐκ ἀνεπαύετο, οὐδὲ τῆς δίψης ἀπηλλάττετο.

II. Ἴδωμεν οὖν τί σημαίνεται ἐκ τοῦ »Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδα- 8
»τος τούτου διψήσει πάλιν«. ἔστιν δὲ ἐκ τῆς »διψῆν« φωνῆς καὶ ἐκ
τῆς »πεινῆν« κατὰ τὸ σωματικὸν δύο σημαινόμενα· ἓν μὲν καθ' ὃ
δεόμεθα τροφῆς κενωθέντες καὶ ὀρεγόμενοι αὐτῆς ὑπὸ τοῦ ὑγροῦ
ἡμῖν ἐπιλείποντος· ἕτερον δὲ καθ' ὃ πολλάκις οἱ πένητες καὶ ἐν
ἀπορίᾳ ὄντες τῶν ἐπιτηδείων φασιν κεκορεσμένοι τὸ πεινῆν ἢ διψῆν.
200r καὶ μαρτύριόν γε τοῦ μὲν πρώτου ἐν τῇ Ἐξόδῳ, ὅτε ἀπορουῦντες 9
τροφῶν »τῇ ἐννεακαιδεκάτῃ ἡμέρᾳ, τῷ μηνὶ τῷ δευτέρῳ ἐξεληλυθό-
»των αὐτῶν ἐκ γῆς Αἰγύπτου, διεγόγγυζεν πᾶσα συναγωγὴ υἱῶν
»Ἰσραὴλ ἐπὶ Μωϋσῆν καὶ Ἀαρών. καὶ εἶπαν πρὸς αὐτοὺς οἱ υἱοὶ
»Ἰσραήλ· Ὄφελον ἀπεθάνομεν πληγέντες ὑπὸ κυρίου ἐν γῇ Αἰγύπτῳ,
»ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν καὶ ἠσθίομεν ἄρτους
»εἰς πλησμονήν, ὅτι ἐξηγάγετε ἡμᾶς εἰς τὴν ἔρημον ταύτην, ἀποκτεί-
»ναι πᾶσαν τὴν συναγωγὴν ταύτην ἐν λιμῷ. εἶπεν δὲ κύριος πρὸς
»Μωϋσῆν· Ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους ἐκ τοῦ οὐρανοῦ, καὶ ἐξελεύσεται
»ὁ λαὸς καὶ συλλέξουσιν τὸ τῆς ἡμέρας εἰς ἡμέραν, ὅπως πειράσω
»αὐτοὺς εἰ πορεύσονται τῷ νόμῳ μου ἢ οὔ«. πεινώντων γὰρ καὶ 10
200H ἀπορούντων τῆς ἀναγκαίας τροφῆς ὅσον ἐπὶ * * * οἱ λόγοι. ἀλλὰ
214R καὶ ὕδατος ἀπορουῦντες καὶ διψῶντες διεγόγγυζον κατὰ Μωϋσέως·
»Τί πιόμεθα;« ὅτε »ἐβόησεν Μωσῆς πρὸς κύριον, καὶ ἔδειξεν αὐτῷ
»κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ καὶ ἐγλυκάνθη τὸ ὕδωρ«.
καὶ μετ' ὀλίγα, ἡνίκα ἦλθεν εἰς Ῥαφιδείν, γέγραπται ὅτι »Ἐδίψησεν ὁ 11

1 Joh. 4, 15. — Vgl. Matth. 7, 7. — **4** Ps. 2, 7f. — **7** Matth. 7, 7f. Luk. 11, 9f. — **8** Vgl. Joh. 4, 15. — **11** Vgl. Joh. 4, 11. — **13** Joh. 4, 13. — **19** Exod. 16, 1—4. — **31** Ex. 15, 24f. — **34** Vgl. Ex. 17, 1ff.

4 ὡς αὐτὸς] ὁσαυτὸς, corr. V | **10** [τῶν ὑ]δάτων] a. Ras. | **15** ἓν] ἕνα, corr. V | **17** ἕτερα, corr. Br | **25** ἀπέκτειναι, corr. Hu | **29** εἰ] ἡ, corr. V | **30** ὅσὸν ἐπὶ * *] z. erg. etwa ⟨τῷ ῥήματι⟩ We; ὅσον ⟨γογγυσμὸν⟩ ἐποί ουν⟩ οἱ λ. V, οὗτοί εἰσιν Br | **32** μωσῆ.

Digitized by Google

12 »λαὸς ἐκεῖ ὕδατι, καὶ ἐγόγγυζεν ὁ λαὸς ἐκεῖ ἐπὶ Μωϋσῆν«. δόξει δὲ τοῦ δευτέρου τῶν σημαινομένων εἶναι παρὰ τῷ Παύλῳ παράδειγμα λέγοντι· »Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνι-»τεύομεν«. τὸ μὲν οὖν πρῶτον, πεινῆν καὶ διψῆν, ἀναγκαίως γίνεται τοῖς ὑγιαίνουσιν σώμασιν· τὸ δὲ δεύτερον τοῖς πεπονημένοις συμβαίνει.

13 III. Ζητητέον οὖν καὶ ἐκ τοῦ »Πᾶς ὁ πίνων ἐκ τούτου τοῦ »ὕδατος διψήσει πάλιν« ποῖον »διψήσει« λέγεται· πρῶτον ὡς ἐπὶ σωματικοῦ ἢ καὶ * * * τάχα τὸ δηλούμενόν ἐστιν ὅτι κἂν πρὸς τὸ παρὸν κορεσθῇ, ἀλλ' εὐθέως ὑποβιβασθέντος τοῦ ποτοῦ τὸ αὐτὸ πάθος πείσεται ὁ πιών, τουτέστι διψήσει πάλιν, εἰς ὅμοιον τῷ ἀρχῆθεν
14 ἀποκαταστάς. ἐπιφέρει οὖν τὸ »Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ »δώσω αὐτῷ, γενήσεται πηγὴ ἐν αὐτῷ ὕδατος ἁλλομένου εἰς ζωὴν
15 »αἰώνιον«. τίς δὲ ἐν ἑαυτῷ ἔχων πηγὴν διψῆσαι οἷός τε ἔσται; τὸ μέντοι γε προηγουμένως δηλούμενον τοιοῦτον ἂν εἴη· ὁ μεταλαμβάνων * * * ου, φησί, βάθους λόγων, κἂν πρὸς ὀλίγον ἀναπαύσηται, παραδεξάμενος ὡς βαθύτατα τὰ ἀνιμώμενα καὶ εὑρίσκεσθαι δοκοῦντα νοήματα, ἀλλά γε πάλιν δεύτερον ἐπιστήσας ἐπαπορήσει περὶ τούτων, ὅσοις * * ἐπανεπαύσατο, * * τρανὴν καὶ ἔκτυπον περὶ τῶν ζητουμένων κατάληψιν οὐ δύναται τὸ νομιζόμενον ὑπ' αὐτοῦ βάθος
16 παρασχεῖν. διόπερ κἂν συναρπασθεὶς συγκαταθῆταί τις τῇ πιθανότητι τῶν λεγομένων, ἀλλά γε ὕστερον εὑρήσει τὴν αὐτὴν ἀπορίαν τυγχάνουσαν ἐν αὐτῷ, ἥνπερ εἶχεν πρὶν τάδε τινὰ μαθεῖν· ἐγὼ δὲ τοιοῦτον ἔχω λόγον, ὥστε τὴν πηγὴν γενέσθαι τοῦ ζωτικοῦ πόματος ἐν τῷ παραδεξαμένῳ τὰ ὑπ' ἐμοῦ ἀπαγγελλόμενα· καὶ ἐπὶ τοσοῦτόν γε
17 ὁ λαβὼν τοῦ ἐμοῦ ὕδατος εὐεργετηθήσεται, ὥστε πηγὴν | εὑρετικὴν 200r πάντων τῶν ζητουμένων ἀναβλυστάνειν ἐν αὐτῷ ἄνω πηδώντων ὑδάτων, τῆς διανοίας ἁλλομένης καὶ τάχιστα διϊπταμένης ἀκολούθως τῷ εὐκινήτῳ τούτῳ ὕδατι, φέροντος αὐτοῦ τοῦ ἅλλεσθαι καὶ πηδᾶν ἐπὶ τὸ ἀνώτερον, ἐπὶ τὴν αἰώνιον ζωήν. οἷον * * * τὴν τοῦ

3 I Kor. 4, 11. — 7 Joh. 4, 13. — 12 Joh. 4, 14.

3 *γυμιτεύομεν* mit A¹BκCDFG 37 P; *γυμητεύομεν* de or. 29, 4 (II, 383, 19 K.) mit B² 17. 47. L rec. | 5 *παινομένοις*, corr. We | 9 *ἢ καὶ* * *; Br str. d. Worte als Dittographie von *ικον*, ohne Grund; es müssen mehrere Worte ausgefallen sein | 11 *ομοιαν*, corr. Hu | 12 *οὗ ἐγὼ* a. Ras. | 16 zu ergänzen etwa ‹*τοῦ νομιζομέν ον* Br vgl. Z. 20 | *βάθος*, corr. V | 19 *ὅσοις*] *ις* a. Ras. | nach *ὅσοις* Lücke von c. 3 Bchst., ‹*ποτε* add. Pr ‹*ἤδη*› We | nach *ἐπανεπαύσατο* Lücke von c. 5—6 Bchst. ‹*ἐπειδή*› add. Pr, *ἐπεὶ* Br | 23 *ἥνπερ εἶχεν*] *ἣν περὶ εἶχεν*, corr. Br *ἣνπερ καὶ εἶχε* V | 24 *τὴν* z. str.? oder *αὐτὸν* z. l.? | 27 *ἀναβλυσθάνειν* | 29 *φέροντι* M, corr V; 30 nach *οἷον* Lücke von c. 6—7 Buchst. Erg. etwa: *οἷον ‹εἰ ἀρχὴν› τὴν τοῦ ἁλλομένου ‹ὕδατ ος φησιν.*

Digitized by Google

ἀλλομένου, ὥς φησιν, εἶναι τὴν αἰώνιον ζωήν· ὥσπερ δὴ περὶ τοῦ νυμφίου ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων διαλεγόμενος Σολομῶν φησιν·
215 R »Ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνούς«.
201 H ὡς γὰρ ἐκεῖ ὁ νυμφίος ἐπὶ τὰς μεγαλοφυεστέρας καὶ θειοτέρας πηδᾷ 18
ψυχὰς ὄρη λεγομένας, ἐπὶ δὲ τὰς ὑποδεεστέρας διάλλεται βουνοὺς ὀνομαζομένας, οὕτως ἐνταῦθα ἡ γενομένη ἐν τῷ πιόντι ἐκ τοῦ ὕδατος, οὗ δίδωσιν ὁ Ἰησοῦς, πηγὴ ἅλλεται εἰς τὴν αἰώνιον ζωήν. τάχα δὲ 19
καὶ πηδήσει μετὰ τὴν αἰώνιον ζωὴν εἰς τὸν ὑπὲρ τὴν αἰώνιον ζωὴν πατέρα· Χριστὸς γὰρ ἡ ζωή· ὁ δὲ μείζων τοῦ χριστοῦ, μείζων τῆς ζωῆς.

IV. Τότε δὲ ὁ πιὼν ἐκ τοῦ ὕδατος, οὗ δώσει ὁ Ἰησοῦς, ἕξει τὴν 20
γενομένην ἐν αὐτῷ πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, ὅτε πληροῦται τοῦ μακαριζομένου ἐπὶ τῷ πεινῆν καὶ διψῆν τὴν δικαιοσύνην ἡ ἐπαγγελία. φησὶ γὰρ ὁ λόγος· »Μακάριοι οἱ πεινῶντες καὶ 21
»διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται«. καὶ τάχα 22
ἐπεὶ πεινῆσαι καὶ διψῆσαι δεήσει τὴν δικαιοσύνην πρὸ τοῦ χορτασθῆναι, ὑπὲρ τοῦ κορεσθῆναι ἐμποιητέον τὸ πεινῆν καὶ τὸ διψῆν, ἵνα εἴπωμεν· »Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, »οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ θεός. ἐδίψησεν ἡ ψυχή μου
»πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι »τῷ προσώπῳ τοῦ θεοῦ;« ἵν' οὖν διψήσωμεν, καλόν ἐστιν πιεῖν πρῶ- 23
τον ἐκ τῆς πηγῆς τοῦ Ἰακώβ, οὐ λέγοντα αὐτὴν ὁμοίως τῇ Σαμαρείτιδι φρέαρ. ὁ γοῦν σωτὴρ οὐδὲ νῦν πρὸς τὸν ἐκείνης ἁπάντων λόγον ἐκ φρέατός φησιν εἶναι τὸ ὕδωρ, ἀλλὰ ἁπλῶς φησι· »Πᾶς ὁ πίνων
»ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν«. εἴπερ δὲ μὴ ἐγίνετό τι χρή- 24
σιμον ἐκ τοῦ πιεῖν ἀπὸ τῆς πηγῆς, οὔτ' ἂν ἐκαθέζετο ἐπὶ τῇ πηγῇ ὁ Ἰησοῦς, οὔτ' ἂν ἔλεγεν τῇ Σαμαρείτιδι »Δός μοι πιεῖν«. παρατη- 25
ρητέον οὖν ὅτι καὶ αἰτούσῃ τὸ ὕδωρ τῇ Σαμαρείτιδι τὸν Ἰησοῦν οἰονεὶ ἐπηγγέλλετο παρέξειν αὐτὸ οὐ παρ' ἄλλῳ τόπῳ ἀλλ' ἢ παρὰ
τῇ πηγῇ, λέγων αὐτῇ· »Ὕπαγε φώνησον τὸν ἄνδρα σου καὶ ἐλθὲ ἐνθάδε«.

V. Ἔτι δὲ ἐπιστήσομεν εἰ δύναται δηλοῦσθαι τὸ ἑτερογενὲς τῆς 26
τῶν αὐτῇ τῇ ἀληθείᾳ ὁμιλησόντων καὶ συνεσομένων ὠφελείας παρὰ τὴν νομιζομένην ὠφέλειαν γίνεσθαι ἡμῖν ἀπὸ τῶν γραφῶν, κἂν νοη-

3 Hohel. 2, 8. — **9** Vgl. Joh. 11, 25; 14, 6. — Vgl. Joh. 14, 28. — **11** Vgl. Joh. 4, 14. — **14** Matth. 5, 6. — **18** Ps. 41, 2f. — **22** Vgl. Philo III S. 205, 21 We. — **24** Joh. 4, 13. — **26** Vgl. Joh. 4, 6f. — **30** Joh. 4, 16.

1 δὴ] δὲ, corr. Pr | **5** ἐπεὶ | ὀνομαζομένους, corr. V | **13** τῷ] τοῦ, corr. We | **14** nach φησίν + ὁ | **16** πνῆσαι M | δεήσει] δέ τισ εἰ, corr. Br | **19** [ἡ ψυχὴ — ἐδίψη]σεν a. Ras. | **22** λέγοντας? We | **26** οὔτ' ἄν] ὁτἄν, corr. V | **29** ἐπαγγέλλετο | παρ'] γὰρ, corr. Br | **33** ὁμιλησάντων, corr. We.

Digitized by Google

θῶσιν ἀκριβῶς, ἐκ τοῦ τὸν μὲν πιόντα ἀπὸ τῆς πηγῆς τοῦ Ἰακὼβ
διψῆν πάλιν, τὸν δὲ πιόντα ἐκ τοῦ ὕδατος, οὗ δίδωσιν ὁ Ἰησοῦς, 201r
27 πηγὴν ὕδατος | ἐν ἑαυτῷ ἴσχειν ἁλλομένου εἰς ζωὴν αἰώνιον. καὶ γὰρ 216R
τὰ κυριώτερα καὶ θειότερα τῶν μυστηρίων τοῦ θεοῦ ἔνια μὲν οὐ 202H
κεχώρηκεν γραφή, ἔνια δὲ οὐδὲ ἀνθρωπίνη φωνὴ κατὰ τὰ συνήθη
τῶν σημαινομένων καὶ γλῶσσα ἀνθρωπική· »Ἔστιν γὰρ καὶ ἄλλα
πολλά, ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν
28 οἶμαι τὸν κόσμον χωρήσειν τὰ γραφόμενα βιβλία«. καὶ ὅσα δὲ ἐλάλη-
σαν αἱ ἑπτὰ βρονταὶ μέλλων γράφειν Ἰωάννης κωλύεται· ὁ δὲ Παῦ-
λος ἀκηκοέναι φησὶν ἄρρητα ῥήματα, οὐχὶ ἃ οὐκ ἐξόν τινι λαλῆσαι
ἦν· ἐξὸν γὰρ ἦν αὐτὰ λαλῆσαι ἀγγέλοις, ἀνθρώποις δὲ οὐκ ἐξῆν·
29 »Πάντα μὲν γὰρ ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει«. ἃ δὲ ἤκουσεν
30 »ἄρρητα ῥήματα, οὐκ ἐξόν, φησίν, ἀνθρώπῳ λαλῆσαι«. οἶμαι δὲ
τῆς ὅλης γνώσεως στοιχεῖά τινα ἐλάχιστα καὶ βραχυτάτας εἶναι εἰσα-
31 γωγὰς ὅλας γραφάς, κἂν πάνυ νοηθῶσιν ἀκριβῶς. ὅρα τοιγαροῦν,
εἰ δύναται ἡ μὲν πηγὴ τοῦ Ἰακώβ, ἀφ' ἧς ἔπιέν ποτε ὁ Ἰακώβ, ἀλλ'
οὐκέτι πίνει νῦν· ἔπιον δὲ καὶ οἱ υἱοὶ αὐτοῦ, ἀλλὰ νῦν ἔχουσιν τὸ
κρεῖττον ἐκείνου ποτόν· πεπώκασιν δὲ καὶ τὰ θρέμματα αὐτῶν, ἡ
πᾶσα εἶναι γραφή· τὸ δὲ τοῦ Ἰησοῦ ὕδωρ τὸ »ὑπὲρ ἃ γέγραπται«.
32 οὐ πᾶσιν δὲ ἔξεστιν ἐρευνᾶν τὰ ὑπὲρ ἃ γέγραπται, ἐὰν μή τις αὐτοῖς
ἐξομοιωθῇ, ἵνα μὴ ἐπιπλήσσηται ἀκούων τὸ »Χαλεπώτερά σου μὴ
ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐρεύνα«.

33 VI. Ἐὰν δὲ λέγωμεν τὸ ὑπὲρ ἃ γέγραπται εἰδέναι τινά, οὐ τοῦτό
φαμεν, ὅτι γνωστὰ τοῖς πολλοῖς εἶναι δύναται, ἀλλὰ Ἰωάννῃ ἀκούοντι
καὶ γράφειν αὐτὰ μὴ ἐπιτρεπομένῳ, ὁποῖα ἦν τὰ τῶν βροντῶν ῥήματα,
καὶ μανθάνοντι καὶ διὰ τὸ φείδεσθαι τοῦ κόσμου οὐ γράφοντι αὐτά·
34 ᾤετο γὰρ μηδὲ αὐτὸν τὸν κόσμον χωρεῖν τὰ γραφόμενα βιβλία. ἀλλὰ
καὶ ἅπερ ὁ Παῦλος μεμάθηκεν »ἄρρητα ῥήματα« »ὑπὲρ ἃ γέγραπται«,
εἴ γε τὰ γεγραμμένα ἄνθρωποι λελαλήκασιν· καὶ »ἃ ὀφθαλμὸς οὐκ
»εἶδεν« ἐστὶν ὑπὲρ τὰ γεγραμμένα, καὶ »ἃ οὖς οὐκ ἤκουσεν« γραφῆναι
35 οὐ δύναται. καὶ τὰ ἐπὶ καρδίαν δὲ ἀνθρώπου μὴ ἀναβεβηκότα μείζονά
ἐστιν τῆς τοῦ Ἰακὼβ πηγῆς, ἀπὸ πηγῆς ὕδατος ἁλλομένου εἰς ζωὴν
αἰώνιον φανερούμενα τοῖς οὐκέτι καρδίαν ἀνθρώπου ἔχουσιν, ἀλλὰ
δυναμένοις λέγειν· »Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν«, »ἵνα εἰδῶμεν

1 Vgl. Joh. 4, 13. — **6** Joh. 21, 25. — **9** Vgl. Apok. 10, 4. — **10** Vgl. II Kor. 12, 4. — **12** I Kor. 6, 12. — **13** II Kor. 12, 4. — **19** Vgl. I Kor. 4, 6. — **20** Arist. eth. 9. 3. — **21** Sir. 3, 21 (22). — **23** Vgl. I Kor. 4, 6. — **25** Vgl. Apok. 10, 4. — **27** Vgl. Joh. 21, 25. — **29** Vgl. I Kor. 2, 9. — **32** Vgl. Joh. 4. 5. 14. — **34** I Kor. 2, 16 + 12f.

3 ἴσχει, corr. Hu | **5** κατὰ] καὶ, corr. We | συνήθη] οὖν, ἤθη M, corr. Br | **6** καὶ] ἡ, corr. We | **11** ἦν[2] ἢ M, ἢ ἐξὸν V, corr. Ausgg. | **14** ἐλάχιστα] ἐλαχίστας, corr. Br | **23** εἰδέναι] εἶναι, corr. Pr | **28** ῥήματα τὰ?

Digitized by Google

»τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν, ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς
»ἀνθρωπίνης σοφίας λόγοις ἀλλ' ἐν διδακτοῖς πνεύματος«. καὶ ἐπί- 36
στησον, εἰ οἷόν τ' ἔστιν ἀνθρωπίνην σοφίαν μὴ τὰ ψευδῆ καλεῖν
217R δόγματα, ἀλλὰ τὰ στοιχειωτικὰ τῆς ἀληθείας καὶ εἰς τοὺς ἔτι ἀνθρώ-
5 πους φθάνοντα· τὰ δὲ διδακτὰ τοῦ πνεύματος τάχα ἐστὶν ἡ πηγὴ
τοῦ ἁλλομένου ὕδατος εἰς ζωὴν αἰώνιον. εἰσαγωγαὶ οὖν εἰσιν αἱ γρα- 37
φαί, ἀφ' ὧν ἀκριβῶς νενοημένων νῦν ὀνομαζομένων πηγῆς τοῦ Ἰακὼβ
203H ἀνελθετέον πρὸς τὸν Ἰησοῦν, ἵν' [οὖν] ἡμῖν χαρίσηται πηγὴν τοῦ
ἁλλομένου ὕδατος εἰς ζωὴν αἰώνιον. οὐχ ὁμοίως δὲ πᾶς ἀντλεῖ ἀπὸ 38
10 τῆς πηγῆς τοῦ Ἰακώβ· εἰ γὰρ ἔπιεν Ἰακὼβ ἐξ αὐτῆς καὶ οἱ υἱοὶ |
201V αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ, διψῶσα δὲ καὶ ἡ Σαμαρεῖτις διέρχεται
ἐπ' αὐτὴν καὶ ἀντλεῖ, μήποτε καὶ ἄλλως ἔπινεν καὶ ἐπιστημόνως ὁ
Ἰακὼβ σὺν τοῖς υἱοῖς· ἄλλως δὲ καὶ ἁπλούστερον καὶ κτηνωδέστερον
[καὶ] τὰ θρέμματα αὐτοῦ· ἄλλως δὲ παρὰ τὸν Ἰακὼβ καὶ τοὺς υἱοὺς
15 καὶ τὰ θρέμματα αὐτοῦ ἡ Σαμαρεῖτις. οἱ μὲν γὰρ κατὰ τὰς γραφὰς 39
σοφοὶ πίνουσιν ὡς ὁ Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ· οἱ δὲ ἁπλούστεροι καὶ
ἀκεραιότεροι, οἱ λεγόμενοι »πρόβατα Χριστοῦ«, πίνουσιν ὡς τὰ θρέμ-
ματα τοῦ Ἰακώβ· οἱ δὲ παρεκδεχόμενοι τὰς γραφὰς καὶ δύσφημά τινα
συνιστάντες προφάσει τοῦ νενοηκέναι αὐτὰς πίνουσιν ὡς ἡ πρὸ τοῦ
20 πιστεῦσαι εἰς Ἰησοῦν Σαμαρεῖτις ἔπινεν.

IV, 15. *Λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ διέρχωμαι ἐνθάδε ἀντλεῖν.*

VII. Ἤδη δεύτερον »κύριον« ἀναγορεύει τὸν σωτῆρα ἡ Σαμαρεῖτις· 40
πρότερον μὲν ὅτε φησί· »Κύριε, οὔτε ἄντλημα ἔχεις καὶ τὸ φρέαρ
25 »ἐστὶν βαθύ«, ὅτε καὶ ἐπιζητεῖ πόθεν ἔχει τὸ ζῶν ὕδωρ, καὶ εἰ μείζων
εἴη τοῦ νομιζομένου πατρὸς αὐτῇ Ἰακώβ· νῦν δὲ ὅτε καὶ αἰτεῖ ἀπὸ
τοῦ ὕδατος τοῦ γινομένου πηγῆς ἐν τῷ πίνοντι ὕδατος ἁλλομένου
εἰς ζωὴν αἰώνιον. καὶ εἴπερ ἀληθὲς τὸ »Σὺ ἂν ᾔτησας αὐτὸν καὶ 41
»ἔδωκεν ἄν σοι ὕδωρ ζῶν«, δῆλον ὅτι εἰποῦσα· »Δός μοι τοῦτο τὸ
30 »ὕδωρ« ἔλαβεν τὸ ζῶν ὕδωρ, ἵνα μηκέτι ἀπορῇ διψῶσα μηδὲ διέρχη-
ται ἐπὶ τὴν πηγὴν τοῦ Ἰακὼβ διὰ τὸ ἀντλεῖν, ἀλλὰ χωρὶς τοῦ ὕδα-
τος τοῦ Ἰακὼβ θεωρῆσαι τὴν ἀλήθειαν ἀγγελικῶς καὶ ὑπὲρ ἄνθρω-
πον δυνηθῇ. οὐδὲ γὰρ οἱ ἄγγελοι δέονται τῆς τοῦ Ἰακὼβ πηγῆς, ἵνα
πίωσιν, ἀλλ' ἕκαστος ἐν ἑαυτῷ ἔχει πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν

6 Vgl. S. 230, 14. — 8 Vgl. Joh. 4, 14. — 10 Vgl. Joh. 4, 12. — 17 Vgl. Joh. 10, 2ff. — 24 Joh. 4, 11. — 27 Vgl. Joh. 4, 14. — 28 Joh. 4, 10. — 29 Joh. 4, 15.

3 λαλεῖν V | 5 φθάνοντας, corr. V | 8 οὖν ist z. str. | 12 αὐτὴν] αὐτοῦ corr. We vgl. Z. 31. S. 232, 5 | 14 καὶ str. We | 17 ἀκερέστεροι, corr. Hu vgl. u. c. LVIII (57) | 24 ὅτι M | 25 ἐπιζητεῖ] ἐπιποθεῖ, corr. Pr | 33 δυνηθῆναι, corr. V.

Digitized by Google

αἰώνιον γεγενημένην καὶ ἀποκαλυφθεῖσαν ἀπὸ αὐτοῦ τοῦ λόγου καὶ
42 *αὐτῆς τῆς σοφίας. οὐ δυνατὸν μέντοι γε τὸ ἕτερον παρὰ τὸ ἐκ τῆς πηγῆς τοῦ Ἰακὼβ ὕδωρ χωρῆσαι τὸ ὑπὸ τοῦ λόγου διδόμενον μὴ ἐπιμελέστατα ἀσχοληθέντα ἐκ τοῦ διψᾶν περὶ τὸ διέρχεσθαι καὶ ἀντλεῖν ἐντεῦθεν· ὥστε κατὰ τοῦτο πολλὰ ἐνδειὰ τοῖς πολλοῖς ὡς* 218R
ἐπὶ πλεῖον ἐγγεγυμνασμένοις τῷ ἀντλεῖν ἀπὸ τῆς τοῦ Ἰακὼβ πηγῆς.

IV, 16f. *Λέγει αὐτῇ· Ὕπαγε φώνησόν σου τὸν ἄνδρα καὶ ἐλθὲ ἐνθάδε. ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν· Οὐκ ἔχω ἄνδρα.*

43 VIII. Ἐλέγομεν καὶ ἐν τοῖς ἀνωτέρω τὸν ἄρχοντα τῆς ψυχῆς
νόμον, ᾧ ἕκαστος ὑπέταξεν ἑαυτόν, τοῦτον εἶναι τὸν ἄνδρα. νῦν δὲ 10
καὶ τοῦ ἀποστόλου ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς εἰς τοῦτο μαρ- 204H
τύριον παραθησόμεθα λέγοντος· »Ἢ ἀγνοεῖτε, ἀδελφοί (γινώσκουσιν
»γὰρ νόμον λαλῶ) ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου, ἐφ' ὅσον
»χρόνον ζῇ;« τίς δὴ ζῇ; ἀπὸ κοινοῦ λαμβανόντων ἡμῶν τὸν νόμον,
44 *ὁ νόμος. εἶτ' εὐθέως φησίν· »Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ* 15
»δέδεται νόμῳ«, ὡς εἰ ἔλεγεν »Ζῶντι ἀνδρί«, ὅστις ἀνὴρ νόμος ἐστίν«.
45 *εἶτα πάλιν φησίν· »Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ*
»νόμου τοῦ ἀνδρός«· | οἱονεὶ γυνὴ κατήργηται ἀποθανόντος τοῦ νόμου 202r
46 *καὶ οὐκέτι τὰ τῆς γυναικὸς ὡς πρὸς ἄνδρα ἐνεργεῖ. εἶτα λέγει· »Ἄρ'*
»οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· 20
»ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι
47 *»αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ«. ἀπέθανεν δὲ ὁ νόμος*
κατὰ τὸ γράμμα, καὶ οὐκ ἔστιν ἡ ψυχὴ μοιχαλὶς γενομένη ἀνδρὶ ἑτέρῳ,
τῷ νόμῳ τῷ κατὰ τὸ πνεῦμα· ἀποθανόντος δὲ τοῦ ἀνδρὸς τῇ γυναικὶ
ἀποτεθνηκέναι πως ἂν λέγοιτο καὶ ἡ γυνὴ τῷ ἀνδρί, ὥστε οὕτως 25
ἡμᾶς ἐκλαμβάνειν τὸ »Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ
»νόμῳ διὰ τοῦ σώματος τοῦ χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ
48 *»ἐκ νεκρῶν ἐγερθέντι ἵνα καρποφορήσωμεν τῷ θεῷ«. εἰ τοίνυν νόμος*
ἐστὶν ὁ ἀνήρ, καὶ ἡ Σαμαρεῖτις ἔχει τινὰ ἄνδρα ὑποτάξασα ἑαυτὴν
κατὰ τὴν παρεκδοχὴν τῶν ὑγιαινόντων λόγων νόμῳ τινί, καθ' ὃν 30
βιοῦν ἕκαστος τῶν ἑτεροδόξων θέλει, βούλεται ἐνταῦθα τὴν ἑτερόδοξον ψυχὴν ὁ θεῖος λόγος παρατιθεῖσαν τὸν ἄρχοντα ἑαυτῆς νόμον
διελεγχθῆναι, εἰς τὸ καταφρονήσασαν αὐτὴν ὡς οὐ νομίμου ἀνδρὸς
ζητῆσαι ἄνδρα ἕτερον, εἰς τὸ γενέσθαι αὐτὴν ἑτέρῳ, τῷ ἐκ νεκρῶν

12 Röm. 7, 1. — **15** Röm. 7, 2. — **17** Röm. 7, 2. — **20** Röm. 7, 3. — **26** Röm. 7, 4. — **33** Vgl. Röm. 7, 4.

5 ὥστε] ὠετὸν (= ὡστὸν), corr. Hu | ἐνδεινα, corr. We | **14** δὴ] δὲ, corr. We | **15** εἰτευθέσεως | **21** ἀποθάνει | **32** παρατεθεῖσαν] ε¹ aus ι corr., παρατιθεῖσαν V.

Digitized by Google

ἀναστησομένῳ λόγῳ, μὴ ἀνατρεπομένῳ μηδὲ τεθνηξομένῳ, ἀλλ' ἀϊδίῳ μενοῦντι καὶ βασιλεύοντι πάντας τε τοὺς ἐχθροὺς ὑποτάσσοντι· »Χρι-
»στὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ
219R »οὐκέτι κυριεύει· ὃ γὰρ ἀπέθανεν, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ·
5 »ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ«, ἐν δεξιᾷ ὢν αὐτοῦ, ἕως πάντες οἱ ἐχθροὶ αὐ-
τοῦ ὑποπόδιον τεθῶσιν αὐτῷ. ποῦ δὲ ἔδει ἐλεγχθῆναι τὸν νομιζό- 49
μενον ἄνδρα τῆς Σαμαρείτιδος ὡς οὐκ ἄνδρα ἢ παρὰ τῇ πηγῇ τοῦ
Ἰακὼβ ὑπὸ τοῦ Ἰησοῦ, εἰ μὴ ἀφ' ἑαυτῆς ἡ γυνὴ ἤρνητο τὸν ἄνδρα;
διὰ τοῦτο λέγει αὐτῇ ὁ Ἰησοῦς· »Ὕπαγε φώνησόν σου τὸν ἄνδρα καὶ
10 »ἐλθὲ ἐνθάδε«. οἷον δὲ ἔχουσά τι ἤδη τοῦ ἁλλομένου εἰς ζωὴν αἰώ- 50
νιον ὕδατος διὰ τὸ εἰρηκέναι· Δός μοι τοῦτο τὸ ὕδωρ« καὶ ἀψευδεῖν
205H τὸν προεπαγγειλάμενον ὅτι »Σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκέν σοι ὕδωρ
ζῶν«, ἀπεκρίθη ἡ γυνή, καταγνοῦσα ἑαυτῆς ἐπὶ τῇ κοινωνίᾳ τῇ πρὸς
τὸν τοιοῦτον ἄνδρα, καὶ εἶπεν· »Οὐκ ἔχω ἄνδρα«.

15 **IV, 17f.** *Λέγει αὐτῇ ὁ Ἰησοῦς· Καλῶς εἶπας ὅτι Ἄνδρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας.*

IX. *Οἶμαι πᾶσαν τὴν εἰσαγομένην ψυχὴν εἰς τὴν διὰ τῶν γραφῶν* 51
ἐν Χριστῷ θεοσέβειαν ἀπὸ τῶν αἰσθητῶν καὶ σωματικῶν λεγομένων
20 *ἀρχομένην, τοὺς πέντε ἄνδρας καθ' ἑκάστην τῶν αἰσθήσεων ἀνδρός*
τινος γινομένου ἴσχειν· ἐπὰν δὲ μετὰ τὸ ὠμιληκέναι τοῖς αἰσθητοῖς
ἀνακῦψαί τις θέλων καὶ προτραπεὶς ἐπὶ τὰ νοητὰ περιτύχῃ λόγῳ
προφάσει ἀλληγορίας καὶ πνευματικῶν οὐχ ὑγιαίνοντι, οὗτος μετὰ
τοὺς πέντε ἄνδρας ἑτέρῳ προσέρχεται, δούς, ἵν' οὕτως εἴπω, τὸ ἀπο-
25 *στάσιον τοῖς προτέροις πέντε καὶ κρίνων συνοικεῖν τῷ ἕκτῳ. καὶ* 52
ἕως γε ἐλθὼν ὁ Ἰησοῦς εἰς συναίσθησιν ἡμᾶς ἀγάγῃ τοῦ τοιούτου
ἀνδρός, ἐκείνῳ σύνεσμεν· ἐλθόντος δὲ τοῦ κυρίου λόγου καὶ διαλεχ-
θέντος ἡμῖν, ἀρνούμενοι ἐκεῖνον τὸν ἄνδρα φαμέν· »Οὐκ ἔχω ἄνδρα«·
202v *ὅτε καὶ ἐπαινεῖ ἡμᾶς ὁ κύριος | λέγων· »Καλῶς εἶπας ὅτι Οὐκ ἔχω*
30 »ἄνδρα«. *τὸ δὲ »Τοῦτο ἀληθὲς εἴρηκας« οἱονεὶ ἐλεγκτικόν ἐστιν, ὡς* 53
τῶν προτέρων οὐκ ἀληθῶς ὑπ' αὐτῆς εἰρημένων. καὶ τάχα οὐκ ἦν
ἀληθὲς τὸ »Οὐ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις«· αὐτὸς γοῦν ὁ 54
Ἰησοῦς, ὡς ἐν τοῖς πρὸ τούτων εἰρήκαμεν, συγχρῆται Σαμαρείταις ἵνα
καὶ αὐτοὺς ὠφελήσῃ. οὐκ ἀληθὲς δὲ καὶ τὸ »Οὔτε ἄντλημα ἔχεις καὶ 55

1 Vgl. Jes. 40, 8. I Petr. 1, 25. — Ps. 8, 7. Eph. 1, 22. — Röm. 6, 9f. — **5** Vgl. Hebr. 10, 12f.. Ps. 109, 1. 12. — **9** Joh. 4, 16. — **11** Vgl. Joh. 4, 14f. — **12** Joh. 4, 10. — **29** Joh. 4, 17. — **30** Joh. 4, 18. — **32** Joh. 4, 9. — **34** Joh. 4, 11.

18 οἶναι | **26** ὡς γε, corr. We, ἕως ἂν γε V.

Digitized by Google

56 »τὸ φρέαρ ἐστὶ βαθύ«. τάχα δὲ οὐκ ἀληθὲς καὶ τὸ »Ἰακὼβ ἐκ τοῦ »φρέατος ἔπιεν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ«· εἰ γὰρ οὐχ ὁμοίως ἔπιεν τῇ Σαμαρείτιδι ὁ Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ, οἴεται δὲ ἡ Σαμαρεῖτις τὸ ὅμοιον καὶ ταὐτὸν πάντη ποτὸν πεπωκέναι τῷ Ἰακὼβ καὶ τοῖς υἱοῖς αὐτοῦ καὶ τοῖς θρέμμασιν αὐτοῦ, δῆλον ὅτι ψεύδεται.

57 X. Ἴδωμεν δὲ καὶ τὰ Ἡρακλέωνος εἰς τοὺς τόπους, ὅστις 220 R
φησὶν ἄτονον καὶ πρόσκαιρον καὶ ἐπιλείπουσαν ἐκείνην γεγονέναι τὴν ζωὴν καὶ τὴν κατ' αὐτὴν δόξαν· κοσμικὴ γάρ, φησίν, ἦν· καὶ οἴεται τοῦ κοσμικὴν αὐτὴν εἶναι ἀπόδειξιν φέρειν ἐκ τοῦ τὰ θρέμματα τοῦ Ἰακὼβ ἐξ αὐτῆς πε-
58 πωκέναι. καὶ εἰ μὲν ἄτονον καὶ πρόσκαιρον καὶ ἐπιλείπουσαν ἐλάμβανεν τὴν ἐκ μέρους γνῶσιν, ἤτοι τὴν ἀπὸ τῶν γραφῶν συγκρίσει τῶν ἀρρήτων ῥημάτων, »ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆ-
»σαι«, ⟨ἢ⟩ πᾶσαν τὴν νῦν »δι' ἐσόπτρου καὶ αἰνίγματος« γινομένην 206 H
γνῶσιν καταργουμένην, ὅταν ἔλθῃ τὸ τέλειον, οὐκ ἂν αὐτὸ ἐνεκαλέσαμεν· εἰ δὲ ὑπὲρ τοῦ διαβάλλειν τὰ παλαιὰ τοῦτο ποιεῖ,
59 ἐγκλητέος ἂν εἴη. Ὃ δὲ δίδωσιν ὕδωρ ὁ σωτὴρ φησὶν εἶναι ἐκ τοῦ πνεύματος καὶ τῆς δυνάμεως αὐτοῦ, οὐ ψευδόμενος.
60 καὶ εἰς τὸ »Οὐ μὴ διψήσῃ δὲ εἰς τὸν αἰῶνα« ἀποδέδωκεν αὐταῖς λέξεσιν οὕτως· αἰώνιος γὰρ ἡ ζωὴ αὐτοῦ καὶ μηδέποτε φθειρομένη, ὡς καὶ ἡ πρώτη ἡ ἐκ τοῦ φρέατος, ἀλλὰ μένουσα· ἀναφαίρετος γὰρ ἡ χάρις καὶ ἡ δωρεὰ τοῦ σωτῆρος ἡμῶν καὶ μὴ ἀναλισκομένη μηδὲ φθειρομένη ἐν
61 τῷ μετέχοντι αὐτῆς. φθειρομένην δὲ τὴν πρώτην διδοὺς εἶναι ζωήν, εἰ μὲν τὴν κατὰ τὸ γράμμα ἔλεγεν, ζητῶν τὴν περιαιρέσει τοῦ καλύμματος γινομένην κατὰ τὸ πνεῦμα καὶ εὑρίσκων, ὑγιῶς ἂν ἔλεγεν· εἰ δὲ πάντη φθορὰν κατηγορεῖ τῶν παλαιῶν, δῆλον ὅτι τοῦτο ποιεῖ ὡς μὴ ὁρῶν τὰ ἀγαθὰ τῶν μελ-
62 λόντων ἔχειν ἐκεῖνα τὴν σκιάν. οὐκ ἀπιθάνως δὲ τὸ »ἀλλομέ-
»νου« διηγήσατο καὶ τοὺς μεταλαμβάνοντας τοῦ ἄνωθεν ἐπιχορηγουμένου πλουσίως καὶ αὐτοὺς ἐκβλύσαι εἰς τὴν
63 ἑτέρων αἰώνιον ζωὴν τὰ ἐπικεχορηγημένα αὐτοῖς. ἀλλὰ

1 Vgl. Joh. 4, 12. — **11** Vgl. Joh. 4, 12. — **13** Vgl. I Kor. 13, 9. — **14** Vgl. II Kor. 12, 4. — **15** Vgl. I Kor. 13, 12. — **16** Vgl. I Kor. 13, 10. — **20** Joh. 4, 14. — **27** Vgl. II Kor. 3, 16. — **29** Vgl. Hebr. 10, 1. — **31** Vgl. II Petr. 1, 11.

7 ⟨τούτους⟩ τοὺς? We | **13** τὴν²] τῇ, corr. Br | **15** ⟨ἢ⟩ add. Br | **26** τὴν²] τῇ, corr. Hilgenfeld | **27** γινομένην] γινομένη ἡ, corr. Br | **30** ἔχει M, corr. V; ἐκεῖνα gehört zu ἀγαθά; übers.: „dass jene Güter den Schatten der Zukünftigen in sich trugen".

Digitized by Google

καὶ ἐπαινεῖ τὴν Σαμαρεῖτιν ὡσὰν ἐνδειξαμένην τὴν ἀδιάκριτον καὶ κατάλληλον τῇ φύσει ἑαυτῆς πίστιν, μὴ διακριθεῖσαν ἐφ᾽ οἷς ἔλεγεν αὐτῇ. εἰ μὲν οὖν τὴν προαίρεσιν ἀπε- 64
δέχετο, μηδὲν περὶ φύσεως αἰνιττόμενος ὡς διαφερούσης, καὶ ἡμεῖς
ἂν συγκατεθέμεθα· εἰ δὲ τῇ φυσικῇ κατασκευῇ ἀναφέρει τὴν τῆς
συγκαταθέσεως αἰτίαν, ὡς οὐ πᾶσιν ταύτης παρούσης, ἀνατρεπτέον αὐτοῦ τὸν λόγον. οὐκ οἶδα δὲ πῶς ὁ Ἡρακλέων τὸ μὴ 65
γεγραμμένον ἐκλαβὼν φησι πρὸς τὸ »Δός μοι τοῦτο τὸ ὕδωρ«
203r ὡς ἄρα | βραχέα διανυχθεῖσα ὑπὸ τοῦ λόγου ἐμίσησεν λοιπὸν καὶ τὸν τόπον ἐκείνου τοῦ λεγομένου ζῶντος ὕδατος.
ἔτι δὲ καὶ πρὸς τὸ »Λύς μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ μηδὲ 66
221R »διέρχωμαι ἐνθάδε ἀντλεῖν« φησὶν ὅτι Ταῦτα λέγει ἡ γυνὴ ἐμφαίνουσα τὸ ἐπίμοχθον καὶ δυσπόριστον καὶ ἄτροφον ἐκείνου τοῦ ὕδατος. πόθεν γὰρ δεικνύναι ἔχει ἄτροφον εἶναι τὸ τοῦ Ἰακὼβ ὕδωρ;

XI. Ἔτι δὲ ὁ Ἡρακλέων πρὸς τὸ »Λέγει αὐτῇ« φησί· δῆ- 67
λον ὅτι τοιοῦτό τι λέγων, εἰ θέλεις λαβεῖν τοῦτο τὸ ὕδωρ, ὕπαγε φώνησον τὸν ἄνδρα σου«· καὶ οἴεται τῆς
Σαμαρείτιδος τὸν λεγόμενον ὑπὸ τοῦ σωτῆρος ἄνδρα τὸ
20 πλήρωμα εἶναι αὐτῆς, ἵνα σὺν ἐκείνῳ γενομένη πρὸς τὸν σωτῆρα κομίσασθαι παρ᾽ αὐτοῦ τὴν δύναμιν καὶ τὴν
207H ἕνωσιν καὶ τὴν ἀνάκρασιν τὴν πρὸς τὸ πλήρωμα αὐτῆς δυνηθῇ· οὐ γὰρ περὶ ἀνδρός, φησί, κοσμικοῦ ἔλεγεν αὐτῇ, ἵνα καλέσῃ, ἐπείπερ οὐκ ἠγνόει ὅτι οὐκ εἶχεν νόμιμον
25 ἄνδρα. προδήλως δὲ ἐνταῦθα βιάζεται, λέγων αὐτῇ τὸν σω- 68
τῆρα εἰρηκέναι· »Φώνησόν σου τὸν ἄνδρα καὶ ἐλθὲ ἐν»θάδε«· δηλοῦντα τὸν ἀπὸ τοῦ πληρώματος σύζυγον
εἴπερ γὰρ τοῦθ᾽ οὕτως εἶχεν, ἐχρῆν τὸν ἄνδρα καὶ τίνα τρόπον φωνητέον ἔσται αὐτόν * * *, ἵνα σὺν αὐτῷ γένηται πρὸς τὸν
30 σωτῆρα. ἀλλ᾽ ἐπεί, ὡς Ἡρακλέων φησί, κατὰ τὸ νοούμενον 69
ἠγνόει τὸν ἴδιον ἄνδρα, κατὰ δὲ τὸ ἁπλοῦν ᾐσχύνετο εἰπεῖν ὅτι μοιχόν, οὐχὶ δὲ ἄνδρα εἶχεν, πῶς οὐχὶ μάτην ἔσται προστάσσων ὁ λέγων· »Ὕπαγε, φώνησον τὸν ἄνδρα σου,
»καὶ ἐλθὲ ἐνθάδε;« εἶτα πρὸς τὸ »Ἀληθὲς εἴρηκας ὅτι ἄνδρα οὐκ 70

8 Joh. 4, 15. — 16 Joh. 4, 16. — 26 Joh. 4, 16. — 33 Joh. 4, 16. — Joh. 4, 17.

1 *ἀδιάκριτον*] α^1 a. Ras. | 5 nach *φυσικῇ* Ras. von einem Buchst. | 29 nach *αὐτὸν* + *εἰπεῖν* Br; We interpretiert: „er musste ihr auch sagen, auf welche Weise sie ihren Mann rufen könnte." | 31 *ἠγνόει*] *ἤγνόσι*, corr. V | 32 *μοιχὸν*] *ιχ* a. Ras. | 33 *προστάσσων*] *στασσω* a. Ras. | 34 *τὸ*] *τοῦτο*, corr. We | *ἀληθὲς εἴρηκας*] *καλῶς εἶπες* T, die LA Herakleons ist sonst unbezeugt.

Digitized by Google

»ἔχεις« φησίν· ἐπεὶ ἐν τῷ κόσμῳ οὐκ εἶχεν ἄνδρα ἡ Σαμα-
71 ρεῖτις· ἦν γὰρ αὐτῆς ὁ ἀνὴρ ἐν τῷ αἰῶνι. ἡμεῖς μὲν οὖν
ἀνέγνωμεν· »Πέντε ἄνδρας ἔσχες«· παρὰ δὲ τῷ Ἡρακλέωνι εὕρο-
72 μεν· »Ἐξ ἄνδρας ἔσχες«. καὶ ἑρμηνεύει γε τὴν ὑλικὴν πᾶσαν
κακίαν δηλοῦσθαι διὰ τῶν ἐξ ἀνδρῶν, ἣ συνεπέπλεκτο
καὶ ἐπλησίαζεν παρὰ λόγον πορνεύουσα καὶ ἐννυβριζομένη
73 καὶ ἀθετουμένη καὶ ἐγκαταλειπομένη ὑπ' αὐτῶν. λεκτέον
δὲ πρὸς αὐτὸν ὅτι εἴπερ ἐπόρνευεν ἡ πνευματική, ἡμάρτανεν ἡ
πνευματική· εἰ δὲ ἡμάρτανεν ἡ πνευματική, δένδρον ἀγαθὸν
οὐκ ἦν ἡ πνευματική· κατὰ γὰρ τὸ εὐαγγέλιον· »Οὐ δύναται
74 »δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ἐνεγκεῖν«· καὶ δῆλον ὅτι
οἴχεται αὐτοῖς τὰ τῆς μυθοποιίας. εἰ δὲ ἀδύνατόν ἐστι τὸ ἀγα-
θὸν δένδρον φέρειν πονηροὺς καρπούς, καὶ ἀγαθὸν δένδρον ἡ Σα-
μαρεῖτις ἅτε πνευματικὴ τυγχάνουσα, ἀκόλουθον αὐτῷ λέγειν ἐστίν,
ὅτι ἤτοι οὐκ ἦν ἁμαρτία ἡ πορνεία αὐτῆς, ἢ οὐκ αὐτὴ ἐπόρνευσεν.

IV, 19f. *Λέγει αὐτῷ ἡ γυνή· Κύριε, θεωρῶ ὅτι προφήτης* 222R
εἶ σύ. οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ
ὑμεῖς λέγετε· Ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου προσκυ-
νεῖν δεῖ.

75 XII. *Τρίτον ἤδη ἡ Σαμαρεῖτις κύριον ἀναγορεύει τὸν σωτῆρα ἡμῶν,*
ὅτε καὶ τελευταῖον ἀναγέγραπται τοῦτο πρὸς αὐτὸν εἰρηκέναι· πλὴν
οὐδέπω οἴεται αὐτὸν εἶναι τῶν προφητῶν κρείττονα οὐδὲ τὸν προ-
76 *φητευθέντα, ἀλλά τινα προφήτην. καὶ ἡ ἑτερόδοξος δὲ γνώμη τῶν* 203V
περὶ τὰς γραφὰς καλινδουμένων, διελεγχθέντων αὐτῆς τῶν τε προ-
τέρων πέντε ἀνδρῶν καὶ τοῦ μετ' ἐκείνους καταλειφθέντας ὑπ' αὐτῆς
δόξαντος εἶναι ἀνδρός, τὸν ἐλέγξαντα λόγον οὐ δυναμένη ἀρχῆθεν ὃ
ἔστιν ἰδεῖν, προφήτην εἶναί φησιν, οἱονεὶ θεῖόν τινα καὶ ἔχοντά τι
τοῦ ἀνθρωπίνου κρεῖττον, οὐ μὴν τοσοῦτον ὅσον ἦν. διόπερ φησὶν 208H
οἱονεὶ ἀναβλέψασά πως καὶ ἐν θεωρίᾳ νομίσασα γεγονέναι· »Θεωρῶ
77 *»ὅτι προφήτης εἶ σύ«. εἰς τὸ γοῦν »Οἱ πατέρες ἡμῶν« καὶ τὰ ἑξῆς*
ἰστέον τὴν Σαμαρειτῶν πρὸς Ἰουδαίους διάστασιν περὶ τοῦ νομιζο-
μένου αὐτοῖς ἁγίου τόπου· οἱ μὲν γὰρ Σαμαρεῖς τὸ καλούμενον
Γαριζεὶν ὄρος ἅγιον νομίζοντες ἐν αὐτῷ προσκυνοῦσιν τῷ θεῷ, οὗ

10 Matth. 7, 18. — **20** Vgl. S. 231, 23. — **22** Vgl. Matth. 16, 14. — **29** Joh. 4, 19. — **30** Joh. 4, 20.

4 ἑξ] auch diese LA ist sonst unbezeugt | **12** *αὐτῷ*? We vgl. Z. 14 | **17** *ἐν*] *ἑ* | **18** *ἐστὶν*] *ἔσται*, corr. V | **22** *τῶν*] *τὸν*? | **30** *γοῦν*] *τὸ*, corr. Pr.

Digitized by Google

μέμνηται Μωσῆς ἐν τῷ Δευτερονομίῳ οὕτως λέγων· »Καὶ ἐνετείλατο »Μωσῆς τῷ λαῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· Οὗτοι στήσονται εὐλο- »γεῖν τὸν λαὸν ἐν ὄρει Γαριζεὶν διαβάντες τὸν Ἰορδάνην· Συμεών, »Λευΐ, Ἰούδας, Ἰσσάχαρ, Ἰωσὴφ καὶ Βενιαμείν· καὶ οὗτοι στήσονται »ἐπὶ τῆς κατάρας ἐν ὄρει Γαιβάλ· Ῥουβήν, Γὰδ καὶ Ἀσήρ, Ζαβουλών, »Δὰν καὶ Νεφθαλείμ.« οἱ δὲ Ἰουδαῖοι τὸ Σιὼν θεῖόν τι νενομικότες 78 καὶ οἰκεῖον τοῦ θεοῦ ἐκεῖνον οἴονται εἶναι τὸν ἐκλελεγμένον ὑπὸ τοῦ πατρὸς τῶν ὅλων τόπον, καὶ διὰ τοῦτο ἐν αὐτῷ ᾠκοδομῆσθαι τὸν ναὸν ὑπὸ τοῦ Σολομῶνος λέγουσιν καὶ πᾶσαν τὴν λευϊτικὴν καὶ ἱερα- τικὴν λατρείαν ἐκεῖ ἐπιτελεῖσθαι. ἀκολούθως δὲ ταύταις ἑκάτερον 79 ἔθνος ταῖς ὑπολήψεσιν νενόμικεν τοὺς πατέρας ἐν τῷδε ἢ τῷδε ὄρει προσκεκυνηκέναι τῷ θεῷ.

XIII. Καὶ εἴ ποτε δὲ μέχρι τοῦ δεῦρο συγκαταβαίνοιεν ἀλλήλοις 80 εἰς λόγον Σαμαρεῖς καὶ Ἰουδαῖοι, ἑκάτερος πρὸς τὸν λοιπὸν ἐπαπο- ρήσει, καὶ ἐρεῖ γε ὁ Σαμαρεὺς τῷ Ἰουδαίῳ τὸν τῆς ἐνθάδε ἀναγεγραμ- μένον γυναικὸς λόγον· »Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσε- »κύνησαν«, δεικνὺς τὸ Γαριζείν, »ὑμεῖς δὲ λέγετε ὅτι ἐν Ἱεροσολύμοις 223R »ἐστὶν ὁ τόπος ὅπου προσκυνεῖν δεῖ«. ἀλλ' ἐπεὶ Ἰουδαῖοι μέν, (ἀπ' 81 αὐτῶν γὰρ ἡ σωτηρία) εἰκόνες εἰσὶν τῶν τοὺς ὑγιαίνοντας φρονούν- των λόγους, Σαμαρεῖς δὲ τῶν ἑτεροδόξων, ἀκολούθως τὸ μὲν Γαρι- ζεὶν θεοποιοῦσιν οἱ Σαμαρεῖς, ὅπερ ἑρμηνεύεται »Διατομὴ ἢ Διαίρεσις«, καὶ τῆς κατὰ τὴν ἱστορίαν διατομῆς καὶ διαιρέσεως τῶν δέκα φυλῶν διατετμημένων ἀπὸ τῶν λοιπῶν δύο γεγενημένης κατὰ τοὺς τοῦ Ἱεροβοὰμ χρόνους, ὃς καὶ αὐτὸς ἑρμηνεύεται »Δικασμὸς λαοῦ«· Ἰουδαῖοι δὲ τὸ Σιών, ὅπερ ἐστὶν »Σκοπευτήριον«. εἰκὸς δέ τινα ἐπα- πορήσειν διὰ τί αἱ παρὰ Μωσεῖ εὐλογίαι ἐπὶ τοῦ Γαριζεὶν γίνονται. λεκτέον δὲ καὶ πρὸς τοῦτο ὅτι, ἐπείπερ σημαίνει ἡ Γαριζεὶν φωνὴ 82 τὴν διατομὴν ἢ τὴν διαίρεσιν, τὸ μὲν τῆς διατομῆς σημαινόμενον ληπτέον, ὅτε σχίζεται ὁ λαὸς ὑπὸ τοῦ Ἱεροβοὰμ καὶ οἰκεῖ τὴν Σαμά- ρειαν ὁ βασιλεύς· τὸ δὲ τῆς διαιρέσεως ἐπὶ τῆς εὐλογίας, τῶν σοφῶν

1 Deut. 27, 11. 13. — **7** Vgl. Ps. 131, 13. — **11** Vgl. Joh. 4, 19. — **16** Joh. 4, 20. — **18** Vgl. Joh. 4, 22. — **21** Vgl. Lagarde, Onom. s. p. 18, 24: Garizin diuisio siue praecisio. — Armen. Onom. „Garezin: Berg der Beschneidung, oder Einbuchtung, oder ihre Fremdlingschaft." — **23** Vgl. I Kön. 12. — **24** Vgl. Lagarde, Onom. s. p. 192, 99: Ἱεροβοὰμ δικασμὸς λαοῦ; verderbt p. 169, 64 Ἱεροβοάμ . . . δικασμὸς θεοῦ. Armen. Onom. „Joroboam: Höheres Urteil" (Text verderbt). — **25** Vgl. Lagarde, Onom. s. p. 198, 3. hom. in Jerem. 5, 16 (46, 5 Kl.). Sel. in Ps. 9; in Jerem. 27, 28 (Kl. Nr. 32), Thren. 1, 6 (Kl. Nr. 19).

13 συνκατέβαιναν, corr. We | **19** φρονοῦν τω, corr. V | **24** δικασμός] διχασμὸς B a. R.; aber die Onomastika schützen die LA und die Etymologie (von דין prozessieren) beweist die Richtigkeit der Überlieferung | **28** ἤ] καὶ, corr. Pr.

Digitized by Google

τῇ διαιρέσει τεταγμένως χρωμένων ἑφ' ἑκάστου τῶν προβλημάτων,
83 ἥτις ἐστὶν ἀναγκαία πρὸς τὴν τῆς ἀληθείας κατανόησιν. ὅσον μὲν
οὖν οὐδέπω | ἐλήλυθεν ἡ ὑπὸ τοῦ κυρίου εἰρημένη ὥρα, ὅτε οὔτε ἐν 204r
τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσιν τῷ πατρί, 209H
φευκτέον τὸ τῶν Σαμαρειτῶν ὄρος, καὶ ἐν Σιών, ὅπου ἐστὶν τὰ
Ἱεροσόλυμα, προσκυνητέον τῷ θεῷ, ἅπερ Ἱεροσόλυμα πόλις εἶναι
84 λέγεται ὑπὸ τοῦ χριστοῦ τοῦ μεγάλου βασιλέως. τίς δ' ἂν εἴη ἡ
πόλις τοῦ μεγάλου βασιλέως, τὰ ἀληθινὰ Ἱεροσόλυμα, ἢ ἡ ἐκκλησία
ἐκ λίθων ᾠκοδομημένη ζώντων, ἔνθα ἱεράτευμα ἅγιον, πνευματικαὶ
θυσίαι προσφέρονται τῷ θεῷ ὑπὸ τῶν πνευματικῶν καὶ τὸν πνευ-
85 ματικὸν νενοηκότων νόμον; ἐπὰν δὲ ἐνστῇ τὸ πλήρωμα τοῦ χρόνου,
τότε οὐχ ἡγητέον τὴν ἀληθινὴν προσκύνησιν καὶ τελείαν θεοσέβειαν
τελεῖσθαι ἐν Ἱεροσολύμοις ἔτι, ὅταν τις γένηται μηδαμῶς ἐν σαρκὶ
ἀλλ' ἐν πνεύματι, καὶ μηδαμῶς ἔτι ἐν τύπῳ ἀλλὰ πᾶς ἐν ἀληθείᾳ,
τοιοῦτος κατεσκευασμένος ὥστε ἐξομοιοῦσθαι αὐτὸν οἷς ζητεῖ προσκυ-
νηταῖς ὁ θεός.

86 XIV. Διὰ δὲ τὸ »Ἔρχεται ὥρα« γέγραπται, καὶ κατὰ μὲν τὸ
πρῶτον οὐ πρόσκειται »Καὶ νῦν ἐστίν«, κατὰ δὲ τὸ δεύτερόν φησιν
87 ὁ εὐαγγελιστής· »Ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστίν«. καὶ οἶμαί γε τὸ
μὲν πρότερον δηλοῦν τὴν ἔξω σωμάτων προσκύνησιν ἐνστησομένην
κατὰ τὴν τελειότητα· τὸ δέ δεύτερον τὴν τῶν ἐν βίῳ τούτῳ ὡς
88 ἐνδέχεται κατὰ ἀνθρωπίνην φύσιν προκόπτειν τελειουμένων. ἔξεστιν 224R
οὖν καὶ ἐν τῷ πνεύματι καὶ ἀληθείᾳ προσκυνεῖν τῷ πατρὶ ὅτε οὐ
μόνον »ἔρχεται ὥρα« ἀλλὰ »καὶ νῦν ἐστίν«, κἂν ἐν τοῖς Ἱεροσολύμοις
διὰ τοὺς ἐπὶ τοσοῦτον μόνον φθάνοντας τυγχάνειν νομιζώμεθα.
89 ὅτε γοῦν γέγραπται· »Ἔρχεται ὥρα καὶ νῦν ἐστίν«, οὐκέτι λέγεται
τὸ »Οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ
»πατρί«, ὥσπερ εἴρηται, ὅπου τὸ »Ἔρχεται ὥρα« χωρὶς τοῦ »Νῦν
90 »ἐστίν« ἀναγέγραπται. ἔτι μέντοι γε ὁμοίαν ψευδοδοξίαν τῇ ἐπὶ τοῦ
νομιζομένου φρέατος εἰρημένῃ ἔχει ἡ Σαμαρεῖτις ταῦτα λέγουσα. ἐκεῖ
τε γὰρ »Μὴ σύ«, φησί, »μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς δέδωκεν
»ἡμῖν τὸ φρέαρ καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ
»θρέμματα αὐτοῦ;« ἐνθάδε δὲ τὸ »Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ
»προσεκύνησαν«.

3 Vgl. Joh. 4, 21. — 7 Vgl. Matth. 5, 35. — 8 Vgl. I Petr. 2, 5. — 11 Vgl. Gal. 4, 4. — 15 Vgl. Joh. 4, 23. — 17 Joh. 4, 21. — 19 Joh. 4, 23. — 24 Vgl. Joh. 4, 23. — 27 Joh. 4, 21. — 29 Vgl. S. 234, 1ff. — 31 Joh. 4, 12. — 33 Joh. 4, 20.

9 ἐνθαδεράτευμα | 12 οὐκ M | 24 καὶ ἐν M, corr. B | 25 διὰ τοῦ ... φθάνειν? We | νομιζόμεθα V | 30 εἰρημένον, corr. Br.

Digitized by Google

XV. Ὁ δὲ Ἡρακλέων εἰς τὰ αὐτὰ ῥήματα λέγει εὐσχη- 91
μόνως ὁμολογηκέναι τὴν Σαμαρεῖτιν τὰ ὑπ᾽ αὐτοῦ
πρὸς αὐτὴν εἰρημένα· προφήτου γὰρ μόνου, φησίν, ἐστὶν
εἰδέναι τὰ πάντα· ψευδόμενος ἑκατέρως· καὶ γὰρ οἱ ἄγγελοι
τὰ τοιαῦτα δύνανται εἰδέναι, καὶ ὁ προφήτης οὐ πάντα οἶδεν·
»Ἐκ μέρους γὰρ γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν«, κἂν
προφητεύωμεν ἢ γινώσκωμεν. μετὰ δὲ ταῦτα ἐπαινεῖ ὡς πρε- 92
210H πόντως τῇ αὐτῆς φύσει ποιήσασαν τὴν Σαμαρεῖτιν,
καὶ μήτε ψευσαμένην μήτε ἀντικρυς ὁμολογήσασαν τὴν
ἑαυτῆς ἀσχημοσύνην· πεπεισμένην τέ φησιν αὐτὴν ὅτι
προφήτης εἴη, ἐρωτᾶν αὐτὸν ἅμα τὴν αἰτίαν ἐμφαί-
νουσαν δι᾽ ἣν ἐξεπόρνευσεν, ὅτι δι᾽ ἄγνοιαν θεοῦ καὶ
τῆς κατὰ τὸν θεὸν λατρείας ἀμελήσασαν καὶ πάντων
τῶν κατὰ τὸν βίον αὐτῇ ἀναγκαίων, καὶ ἄλλως †ἀεὶ
τὴν ἐν τῷ βίῳ τυγχάνουσαν· οὐ γὰρ ἄν, φησίν, αὐτὴ ἤρ-
204v χετο ἐπὶ τὸ φρέαρ ἔξω | τῆς πόλεως τυγχάνον. οὐκ οἶδα 93
δὲ πῶς ἐνόμισεν ἐμφαίνεσθαι τὴν αἰτίαν τοῦ ἐκπεπορνευκέναι,
ἢ ἄγνοιαν ⟨θεοῦ⟩ αἰτίαν γεγονέναι ἐπὶ τῶν πλημμελημάτων καὶ
τῆς κατὰ θεὸν λατρείας· ἀλλ᾽ ἔοικεν ταῦτα ὡς ἔτυχεν ἐσχεδια-
κέναι χωρὶς πάσης πιθανότητος. προστίθησίν τε τούτοις· ὅτι 94
βουλομένη μαθεῖν πῶς καὶ τίνι εὐαρεστήσασα καὶ θεῷ
προσκυνήσασα ἀπαλλαγείη τοῦ πορνεύειν λέγει τὸ »Οἱ
»πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν« καὶ
τὸ ἑξῆς. σφόδρα δέ ἐστιν εὐέλεγκτα τὰ εἰρημένα· πόθεν γὰρ
ὅτι βούλεται μαθεῖν τίνι εὐαρεστήσασα ἀπαλλαγείη τοῦ πορνεύειν;

225R **IV, 21.** *Λέγει αὐτῇ ὁ Ἰησοῦς· Πίστευέ μοι, γύναι, ὅτι ἔρχεται*
ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυ-
νήσετε τῷ πατρί.

XVI. Ὅτε ἔδοξεν πιθανώτατα τετηρηκέναι ὁ Ἡρακλέων ἐν 95
τούτοις τὸ ἐπὶ μὲν τῶν προτέρων μὴ εἰρῆσθαι αὐτῇ· »Πίστευέ
»μοι, γύναι«, νῦν δὲ τοῦτο αὐτῇ προστετάχθαι, τότε ἐπεθόλωσεν
τὸ μὴ ἀπίθανον παρατήρημα, εἰπὼν ὄρος μὲν τὸν διάβολον
λέγεσθαι ἢ τὸν κόσμον αὐτοῦ, ἐπείπερ μέρος ἓν ὁ διά-
βολος ὅλης τῆς ὕλης, φησίν, ἦν, ὁ δὲ κόσμος τὸ σύμπαν
τῆς κακίας ὄρος, ἔρημον οἰκητήριον θηρίων, ᾧ προσε-
κύνουν πάντες οἱ πρὸ νόμου καὶ οἱ ἐθνικοί· Ἱεροσόλυμα

6 I Kor. 13, 9. — 22 Joh. 4, 20.

8 *φύσει*] *φαύσει* M, corr. V | 14 *ἀεὶ τὴν* ist verdorben, *ταπεινὴν* schlägt We vor | 15 *ἐκ* M | 18 ⟨*θεοῦ*⟩ + We.

Digitized by Google

δὲ τὴν κτίσιν ἢ τὸν κτίστην, ᾧ προσεκύνουν οἱ Ἰουδαῖοι.
96 ἀλλὰ καὶ δευτέρως ὅρος μὲν ἐνόμισεν εἶναι τὴν κτίσιν ἧ
⟨οἱ⟩ ἐθνικοὶ προσεκύνουν· Ἱεροσόλυμα δὲ τὸν κτίστην
97 ⟨ᾧ⟩ οἱ Ἰουδαῖοι ἐλάτρευον. ὑμεῖς οὖν, φησίν, οἱονεὶ οἱ
πνευματικοὶ οὔτε τῇ κτίσει οὔτε τῷ δημιουργῷ προσ- 5
κυνήσετε, ἀλλὰ τῷ πατρὶ τῆς ἀληθείας· καὶ συμπαραλαμβάνει γε, φησίν, αὐτὴν ὡς ἤδη πιστὴν καὶ συναριθμουμένην τοῖς κατὰ ἀλήθειαν προσκυνηταῖς.

98 Ἀλλ' ἡμεῖς τὴν μὲν ἐν φαντασίᾳ γνωστικῶν λόγων καὶ νομιζομένων ὑψηλῶν ὀνομαζομένην θεοσέβειαν παρὰ τοῖς ἑτεροδόξοις ὑπο- 10
λαμβάνομεν δηλοῦσθαι διὰ τοῦ »Οὔτε ἐν τῷ ὄρει τούτῳ« τὸν δὲ κανόνα ⟨τὸν⟩ κατὰ τοὺς πολλοὺς τῆς ἐκκλησίας, ὃν καὶ αὐτὸν ὁ τέλειος καὶ ἅγιος ὑπεραναβήσεται θεωρητικώτερον καὶ σαφέστερον καὶ θειότερον προσκυνῶν τῷ πατρὶ διὰ τοῦ »Οὔτε ἐν Ἱεροσολύμοις 211 H
99 »προσκυνήσετε τῷ πατρί«. ὥσπερ γάρ (καθὼς ὁμολογήσαιεν ἂν καὶ 15
οἱ Ἰουδαῖοι) οἱ ἄγγελοι οὐκ ἐν Ἱεροσολύμοις προσκυνοῦσιν τῷ πατρί, τῷ κρειττόνως παρὰ τοὺς ἐν Ἱεροσολύμοις προσκυνεῖν τῷ πατρί, οὕτως οἱ ἤδη τῇ διαθέσει τὸ ἰσάγγελοι εἶναι ἐσχηκότες οὐδὲ ἐν Ἱεροσολύμοις προσκυνήσουσιν τῷ πατρί, ἀλλὰ βέλτιον ἢ οἱ ἐν Ἱεροσολύμοις, κἂν διὰ τοὺς ἐν Ἱεροσολύμοις συνπεριφέρωνται τοῖς ἐν 20
Ἱεροσολύμοις, τοῖς Ἰουδαίοις γινόμενοι Ἰουδαῖοι ἵνα Ἰουδαίους κερδήσωσιν. Ἱεροσόλυμα δέ μοι | νοείσθω καθὼς προαποδεδώκαμεν, ὁμοίως 205 r
100 δὲ καὶ οἱ Ἰουδαῖοι. ὅτε μέντοι γε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις τις προσκυνεῖ, ἐλθούσης τῆς ὥρας προσκυνεῖ μετὰ παρρησίας υἱὸς γεγενημένος τὸν πατέρα. διόπερ οὐκ εἴρηται »οὔτε ἐν 25
»Ἱεροσολύμοις προσκυνήσετε τῷ θεῷ« ἀλλὰ »Οὔτε ἐν Ἱεροσολύμοις »προσκυνήσετε τῷ πατρί«.

IV, 22. Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦ- 226 R
μεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν.

101 XVII. Τὸ »Ὑμεῖς«, ὅσον ἐπὶ τῇ λέξει, οἱ Σαμαρεῖς· ὅσον δὲ ἐπὶ 30
τῇ ἀναγωγῇ, οἱ περὶ τὰς γραφὰς ἑτερόδοξοι· τὸ δὲ »Ἡμεῖς«, ὅσον ἐπὶ τῷ ῥητῷ, οἱ Ἰουδαῖοι· ὅσον δὲ ἐπὶ τῇ ἀλληγορίᾳ, ἐγὼ ὁ λόγος καὶ οἱ κατ' ἐμὲ μεμορφωμένοι, τὴν σωτηρίαν ἔχοντες ἀπὸ τῶν Ἰου-

2 Vgl. Röm. 1, 25. — 8 Joh. 4, 23. — 14 Joh. 4, 21. — 18 Vgl. Luk. 20, 36. — 21 Vgl. I Kor. 9, 20. — 22 Vgl. S. 237, 25 ff. — 24 Vgl. Joh. 4, 21. — 33 Vgl. Röm. 16, 26.

3 ⟨οἱ⟩ add. V | 4 ⟨ᾧ⟩ add. V | 5 οὔτε²] οὐδὲ, corr. We | 8 προσκυνηταῖς] ταις a. Ras. | 10 ὑπολαμβανόμενον | 12 ⟨τὸν⟩ + We | 17 τοὺς] τὸ, corr. We | 20 συνπεριφέρονται | 21 κερδήσουσιν | 24 τῇ | 26 προσκυνησαι, corr. V.

Digitized by Google

δαϊκῶν λόγων· τὸ γὰρ φανερωθὲν νῦν μυστήριον πεφανέρωται διά τε γραφῶν προφητικῶν καὶ τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὅρα δὲ εἰ μὴ ἰδίως καὶ παρὰ τὴν ἀκολουθίαν τῶν ῥητῶν ὁ 102
Ἡρακλέων ἐκδεξάμενος τὸ »Ὑμεῖς« ἀντὶ τοῦ »Οἱ Ἰουδαῖοι
⟨καὶ οἱ⟩ ἐθνικοὶ« διηγήσατο. οἷον δέ ἐστιν πρὸς τὴν Σαμα- 103
ρεῖτιν λέγεσθαι· Ὑμεῖς οἱ Ἰουδαῖοι, ἢ πρὸς Σαμαρεῖτιν· Ὑμεῖς οἱ
ἐθνικοί; ἀλλ' οὐκ οἴδασίν γε οἱ ἑτερόδοξοι ὃ προσκυνοῦσιν, ὅτι
πλάσμα ἐστὶν καὶ οὐκ ἀλήθεια, καὶ μῦθος καὶ ⟨οὐ⟩ μυστήρια·
ὁ δὲ προσκυνῶν τὸν δημιουργόν, μάλιστα κατὰ τὸν ἐν κρυπτῷ
Ἰουδαῖον καὶ τοὺς λόγους τοὺς πνευματικοὺς Ἰουδαϊκούς, οὗτος
ὃ οἶδεν προσκυνεῖ. πολὺ δέ ἐστιν νῦν παρατίθεσθαι τοῦ Ἡρα- 104
κλέωνος τὰ ῥητά, ἀπὸ τοῦ ἐπιγεγραμμένου »Πέτρου κηρύγματος«
παραλαμβανόμενα, καὶ ἵστασθαι πρὸς αὐτὰ ἐξετάζοντας καὶ περὶ
τοῦ βιβλίου, πότερόν ποτε γνήσιόν ἐστιν ἢ νόθον ἢ μικτόν·
διόπερ ἑκόντες ὑπερτιθέμεθα, ταῦτα μόνον ἐπισημειούμενοι φέρειν
αὐτόν, ὡς Πέτρου διδάξαντος, μὴ δεῖν καθ' Ἕλληνας προσ-
212 H κυνεῖν, τὰ τῆς ὕλης πράγματα ἀποδεχομένους καὶ λα-
τρεύοντας ξύλοις καὶ λίθοις, μήτε κατὰ Ἰουδαίους σέ-
βειν τὸ θεῖον, ἐπείπερ καὶ αὐτοὶ μόνοι οἰόμενοι ἐπί-
στασθαι θεὸν ἀγνοοῦσιν αὐτόν, λατρεύοντες ἀγγέλοις
227 R καὶ μηνὶ καὶ σελήνῃ. ζητητέον μέντοι γε, ὡς πρὸς τὸ ἀληθές, 105
τίνι ἡ σωματικὴ λατρεία ἐγίνετο ὑπὸ Ἰουδαίων· ὅτι μὲν γὰρ
προκείμενον ἦν αὐτοῖς προσφέρειν τὰς θυσίας τῷ κτίστῃ τοῦ
παντὸς τοῦτο δῆλον. ἄξιον δὲ ἰδεῖν τί ἐστιν τὸ ἐν ταῖς Πράξεσι 106
τῶν ἀποστόλων γεγραμμένον· »Ἔστρεψεν δὲ ὁ θεὸς καὶ παρέδω-
κεν αὐτοὺς λατρεύειν τῇ στρατείᾳ τοῦ οὐρανοῦ.« οὐκ οἶδα δὲ
228 R πῶς τοῦ σωτῆρος ἄντικρυς φάσκοντος ὅτι »Ἡ σωτηρία ἀπὸ
τῶν Ἰουδαίων ἐστίν« οἱ ἑτερόδοξοι ἀρνοῦνται τὸν θεὸν τοῦ
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν πατέρων τῶν Ἰουδαίων.

2 Vgl. II Tim. 1, 10. — 10 Vgl. Röm. 2, 29. — 13 Vgl. Preuschen, Antilegomena S. 53, 3 ff. — 17 Vgl. Clem. Al., Strom. VI, 5, 40 f.: (Ἕλληνες) ἀγνοίᾳ φερόμενοι καὶ μὴ ἐπιστάμενοι τὸν θεὸν ὡς ἡμεῖς κατὰ τὴν γνῶσιν τὴν τελείαν, ᾗ ἔδωκεν αὐτοῖς ἐξουσίαν, εἰς χρῆσιν μορφώσαντες ξύλα καὶ λίθους, χαλκὸν καὶ σίδηρον, χρυσὸν καὶ ἄργυρον, τῇ ὕλῃ αὐτῶν κεχρημένοι, τὰ δοῦλα τῆς ὑπάρξεως ἀναστήσαντες σέβονται . . . μηδὲ κατὰ Ἰουδαίους σέβεσθε. καὶ γὰρ ἐκεῖνοι μόνοι οἰόμενοι τὸν θεὸν γινώσκειν οὐκ ἐπίστανται λατρεύοντες ἀγγέλοις καὶ ἀρχαγγέλοις, μηνὶ καὶ σελήνῃ κτλ. — 26 Act. 7, 42. — 28 Joh. 4, 22.

2 κυρίου] χυ, corr. V | 6 ⟨καὶ οἱ⟩ + We, καὶ + Br | 9 ⟨οὐ⟩ add. Br | 17 καθελλην ἂς (M verstand wohl καθελεῖν ἂς!), corr. B | 20 μόνοις ἰομενοι, corr. V | 27 στρατείᾳ mit ABD; στρατιᾷ c. Cels. V, 8 (II, 8, 18 K); letzteres richtig.

Digitized by Google

107 Ἔτι δὲ εἰ πληροῖ ὁ σωτὴρ τὸν νόμον καὶ ἵνα πληρωθῇ τὰ ἐν
τοῖς προφήταις γεγραμμένα τάδε τινὰ καὶ τάδε | γίνεται κατὰ 205v
τὴν τοῦ κυρίου ἐπιδημίαν, πῶς οὐ σαφὲς τίνα τρόπον »ἡ σω-
108 »τηρία ἐκ τῶν Ἰουδαίων« γίνεται; ὁ αὐτὸς γὰρ θεὸς Ἰουδαίων καὶ 5
ἐθνῶν, »εἴπερ εἷς θεός, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ
»ἀκροβυστίαν διὰ τῆς πίστεως«. οὐ γὰρ καταργοῦμεν νόμον διὰ
τῆς πίστεως, ἀλλὰ ἱστάνομεν νόμον δι' αὐτῆς.

IV, 23. *Ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστίν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ.*

109 XVIII. Τοὺς μηδ' ὅλως ἐπαγγελλομένους προσκυνεῖν τῷ πατρὶ 10
οὐδὲ ὀνομάζεσθαι δεῖ προσκυνητὰς τοῦ θεοῦ· ἀλλὰ πάντων ⟨τῶν⟩
ἐπαγγελλομένων προσκυνεῖν τῷ κτίσαντι, ⟨ἐὰν⟩ οἱ μὲν μηκέτι ὦσιν
ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι, τῷ πνεύματι περιπατεῖν καὶ ἐπιθυμίαν
σαρκὸς μὴ ἐπιτελεῖν, οἱ δὲ μὴ ὦσιν ἐν πνεύματι, ἀλλ' ἐν σαρκὶ καὶ
κατὰ σάρκα στρατεύωνται, τότε λεκτέον ἀληθινοὺς μὲν προσκυνητὰς 15
τοὺς προσκυνοῦντας τῷ πατρὶ ἐν πνεύματι καὶ μὴ σαρκί, καὶ ἐν ἀλη-
110 θείᾳ καὶ μὴ τύποις, οὐκ ἀληθινοὺς δὲ τοὺς μὴ οὕτως ἔχοντας. καὶ
ὁ γράμματι δὲ τῷ ἀποκτιννύντι δεδουλωμένος, πνεύματος δὲ τοῦ ζωο-
ποιοῦντος μὴ μετειληφὼς μηδὲ τοῖς πνευματικοῖς ἀκολουθῶν τοῦ
νόμου, οὗτος ἂν εἴη ὁ μὴ ἀληθινὸς προσκυνητὴς καὶ πνεύματι μὴ 20
προσκυνῶν τῷ πατρί· ὁ δ' αὐτὸς οὗτος ὅλος τῶν τύπων καὶ τῶν
σωματικῶν ὤν, ὅταν ἐπιτυγχάνειν πάνυ δοκῇ, τότε ἐν τύπῳ καὶ οὐκ
ἐν ἀληθείᾳ προσκυνεῖ τῷ θεῷ, διὰ τοῦτο οὐδὲ ἀληθινὸς δυνάμενος
111 χρηματίζειν προσκυνητής. τάχα ⟨δὲ⟩ δέδοταί ποτε εὐλόγως καὶ τὸν
ἀληθινὸν προσκυνητὴν ἐν τῷ πνεύματι καὶ ἀληθείᾳ προσκυνοῦντα 25
τυπικά τινα ποιεῖν, ἵνα τοὺς τῷ τύπῳ δεδουλωμένους οἰκονομικώ-
τατα ἐλευθερώσας τῶν τύπων προσαγάγῃ τῇ ἀληθείᾳ, ὥσπερ φαίνε-
ται Παῦλος ἐπὶ Τιμοθέου πεποιηκώς, τάχα δὲ καὶ ἐν Κεγχρεαῖς καὶ 213H
112 Ἱεροσολύμοις, ὡς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων γέγραπται. τηρη-
τέον δὲ ὅτι οἱ ἀληθινοὶ προσκυνηταὶ οὐ μόνον ἐν μελλούσῃ ὥρᾳ ἀλλὰ 30

1 Vgl. Matth. 5, 17. — **3** Joh. 4, 22. — **4** Vgl. Röm. 3, 29f. — **6** Vgl. Röm. 3, 31. — **13** Vgl. Gal. 5, 16. — **14** Vgl. II Kor. 10, 3. — **18** Vgl. II Kor. 3, 6. — **28** Vgl. Act. 16, 3; 18, 18. 21, 23ff. — **30** Vgl. Joh. 4, 21.

5 ὁ vor θεός fehlt mit D*, wenn es nicht von σ in εἷς verschlungen ist | **10** ἀπαγγελλομένους? | **11** ⟨τῶν⟩ + We | **12** ἀπαγγελλομένων? | ⟨ἐὰν⟩ + Br. Doch ist die Verderbnis wohl grösser; ⟨ἀλλ' ἐὰν⟩ vermutet We | **14** μὴ²] μήπω? We **15** στρατεύονται | **17** δὲ] μὲν? | **18** ἀποκτείννυντι, νν a. Ras. ει aus ι; II Kor. 3, 6 lesen **8**(F)G 17 (37). KP ἀποκτέννει wie u. S. 247, 18 steht; AC D. 47. L. ἀποκτένει = C. Cels. IV, 70 [II, 140, 16 K]; in Mt. XV, 1 [IV, 329, 10 Lo] nach **M** | **24** ⟨δὲ⟩ + **We**.

Digitized by Google

καὶ ἐνεστηκυίᾳ προσκυνοῦσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ. ἀλλ' ἐν πνεύματι οἱ προσκυνοῦντες, ὡς εἰλήφασι προσκυνοῦντες, ἐν ἀρα-
229R βῶνι πνεύματος ἐπὶ τοῦ παρόντος προσκυνοῦσιν, ἐν * * πνεύματι, ὅτε πᾶν χωρήσουσι τὸ πνεῦμα, προσκυνήσουσι τῷ πατρί. εἰ δὲ ὁ βλέ- 113
πων διὰ κατόπτρου τὸ ἀληθὲς οὐ βλέπει, ὡς δείκνυται τούτοις τοῖς κατοπτρικοῖς ὑπὸ τῶν περὶ ταῦτα δεινῶν, βλέπει δὲ Παῦλος καὶ οἱ παραπλήσιοι αὐτῷ διὰ κατόπτρου νῦν, δῆλον ὅτι ⟨εἰ⟩ ὡς βλέπει οὕτω καὶ προσκυνεῖ τῷ θεῷ, καὶ διὰ κατόπτρου προσκυνεῖ τῷ θεῷ· ὅταν δὲ ἔλθῃ ἡ ὥρα ἡ μετὰ τὴν ἐνεστηκυῖαν ἐνστησομένη, τότε ἔσται ἡ προσκύνησις ἐν ἀληθείᾳ τῇ »πρόσωπον πρὸς πρόσωπον« καὶ οὐκέτι διὰ κατόπτρου θεωρουμένη.

XIX. Τὸ μέντοι γε »Ἡμεῖς προσκυνοῦμεν« ὁ Ἡρα- 114
κλέων οἴεται εἶναι ὁ ἐν αἰῶνι καὶ οἱ σὺν αὐτῷ ἐλθόντες·
206r οὗτοι γάρ, φησίν, ᾔδεσαν τίνι προσκυνοῦσιν κατὰ ἀλή-
θειαν προσκυνοῦντες. ἀλλὰ καὶ τὸ »Ὅτι ἡ σωτηρία ἐκ 115
τῶν Ἰουδαίων ἐστίν« ⟨εἰρῆσθαι⟩ ἐπεὶ ἐν τῇ Ἰουδαίᾳ, φησίν, ἐγενήθη, ἀλλ' οὐκ ἐν αὐτοῖς (οὐ γὰρ εἰς πάντας αὐτοὺς εὐδόκησεν) καὶ ὅτι ἐξ ἐκείνου τοῦ ἔθνους ἐξῆλθεν ἡ σωτηρία καὶ ὁ λόγος εἰς τὴν οἰκουμένην· κατὰ δὲ τὸ νοούμενον ἐκ τῶν Ἰουδαίων τὴν σωτηρίαν διηγεῖται γεγονέναι ἐπείπερ εἰκόνες οὗτοι τῶν ἐν τῷ πληρώματι αὐτῷ εἶναι νομίζονται. ἐχρῆν δὲ αὐτὸν καὶ τοὺς ἀπ' αὐτοῦ ἕκα- 116
στον τῶν ἐν τῇ λατρείᾳ δεικνύναι πῶς ἐστιν εἰκὼν τῶν ἐν τῷ πληρώματι, εἴγε μὴ μόνον φωνῇ τοῦτο λέγουσιν ἀλλὰ καὶ ἀληθείᾳ φρονοῦσιν αὐτό. πρὸς τούτοις τὸ »Ἐν πνεύματι καὶ 117
ἀληθείᾳ προσκυνεῖσθαι τὸν θεόν« ⟨δι⟩ηγούμενος λέγει, ὅτι οἱ πρότεροι προσκυνηταὶ ἐν σαρκὶ καὶ πλάνῃ προσεκύνουν τῷ μὴ πατρί, ὥστε κατ' αὐτὸν πεπλανῆσθαι πάντας τοὺς προσκεκυνηκότας τῷ δημιουργῷ. καὶ ἐπιφέρει γε ὁ Ἡρακλέων 118
ὅτι ἐλάτρευον τῇ κτίσει, καὶ οὐ τῷ κατ' ἀλήθειαν κτίστῃ, ὅς ἐστιν Χριστός, εἴ γε »Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν«.

2 II Kor. 5, 5. — **4** Vgl. I Kor. 13, 12. — **10** Vgl. I Kor. 13, 12. — **12** Joh. 4, 22. — **17** Vgl. I Kor. 10, 5. — **18** Vgl. Ps. 18, 5; Röm. 10, 18. — **25** Vgl. Joh. 4, 24. — **30** Vgl. Röm. 1, 25. — **31** Joh. 1, 3.

2 ὡς] ω M | ἀραβῶνι] wie II Kor. 5, 5 ℵD 37. 47 ἀραβῶνα schreiben | **3** nach πνεύματι wiederholt M τι | die Lücke füllt We etwa so: ἐν ⟨δὲ τῷ μέλλοντι αἰῶνι τῷ ὄντι ἐν⟩ πνεύματι | **4** προσκυνήσουσι] νη a. Ras. | **5** Die LA κάτοπτρον statt ἔσοπτρον ist I Kor. 13, 12 sonst nicht überliefert | τὸ] καὶ, corr. B | τούτοις] τοῦτο? We | **7** [νῦν δῆλον ὅ]τι a. Ras. | ⟨εἰ⟩ + Pr | **14** προσκυνοῦσιν | **16** ⟨εἰρῆσθαι⟩ + We | **26** διηγούμενος] ἡγούμενος, corr. V | **28** κατ' αὐτὸν] καὶ ταὐτον, corr. Pr.

Digitized by Google

IV, 23. *Καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτὸν.*

119 XX. *Εἰ ζητεῖ ὁ πατήρ, διὰ τοῦ υἱοῦ ζητεῖ τοῦ ἐληλυθότος ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός, οὕστινας καθαίρων καὶ παιδεύων τῷ λόγῳ καὶ τοῖς ὑγιέσι δόγμασιν κατασκευάζει ἀληθινοὺς*
120 *προσκυνητάς. ἀπολωλέναι δέ φησιν ὁ Ἡρακλέων ἐν τῇ βαθείᾳ ὕλῃ τῆς πλάνης τὸ οἰκεῖον τῷ πατρί, ὅπερ ζητεῖ-*
121 *ται, ἵνα ὁ πατὴρ ὑπὸ τῶν οἰκείων προσκυνῆται. εἰ μὲν οὖν ἐώρα τὸν περὶ τῆς ἀπωλείας τῶν προβάτων λόγον καὶ τοῦ* 214H
ἀποπεσόντος τῶν τοῦ πατρὸς υἱοῦ, κἂν ἀπεδεξάμεθα αὐτοῦ τὴν 230R
122 *διήγησιν. ἐπεὶ δὲ μυθοποιοῦντες οἱ ἀπὸ τῆς γνώμης αὐτοῦ οὐκ οἶδ' ὅ τί ποτε τρανῶς παριστᾶσιν περὶ τῆς ἀπολωλυίας πνευματικῆς φύσεως οὐδὲν σαφὲς διδάσκοντες ἡμᾶς περὶ τῶν πρὸ τῆς ἀπωλείας αὐτῆς χρόνων ἢ αἰώνων (οὐδὲ γὰρ τρανοῦν δύνανται ἑαυτῶν τὸν λόγον), διὰ τοῦτο αὐτοὺς ἑκόντες παραπεμψόμεθα, τοσοῦτον ἐπαπορήσαντες.*

IV, 24. *Πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.*

123 XXI. *Πολλῶν πολλὰ περὶ τοῦ θεοῦ ἀποφηναμένων καὶ τῆς οὐσίας αὐτοῦ, ὥστε τινὰς μὲν εἰρηκέναι καὶ αὐτὸν σωματικῆς φύσεως λεπτομεροῦς καὶ αἰθερώδους, τινὰς δὲ ἀσωμάτου, καὶ ἄλλης ὑπὲρ ἐκεῖνα οὐσίας πρεσβείᾳ καὶ δυνάμει, ἄξιον ἡμᾶς ἰδεῖν εἰ ἔχομεν ἀφορμὰς ἀπὸ τῶν θείων γραφῶν πρὸς τὸ εἰπεῖν τι περὶ οὐσίας*
124 *θεοῦ. ἐνθάδε μὲν οὖν λέγεται οἱονεὶ οὐσία εἶναι αὐτοῦ τὸ πνεῦμα· »Πνεῦμα γὰρ ὁ θεός«· φησίν· ἐν δὲ τῷ νόμῳ »πῦρ«· γέγραπται γὰρ »Ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον«· παρὰ δὲ τῷ Ἰωάννῃ »φῶς«· »Ὁ »θεός, γάρ φησι, φῶς ἐστιν καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία«.*
125 *ἐὰν μὲν οὖν ἁπλούστερον τούτων ἀκούσωμεν, μηδὲν πέρα τῆς λέξεως περιεργαζόμενοι, ὥρα ἡμῖν λέγειν σῶμα εἶναι τὸν θεόν· τίνα δὲ* 206V
ἡμᾶς διαδέχεται ἄτοπα τοῦτο λέγοντας οὐ τῶν πολλῶν ἐστιν εἰδέναι· ὀλίγοι γὰρ διειλήφασιν περὶ τῆς τῶν σωμάτων φύσεως, καὶ μάλιστα τῶν ὑπὸ λόγου καὶ προνοίας κατακοσμουμένων· καίτοι τὸ προνοοῦν τῆς αὐτῆς οὐσίας λέγοντες εἶναι τοῖς προνοουμένοις γενικῷ

4 Vgl. Luk. 19, 10; Ez. 34, 16. — 9 Vgl. Luk. 15, 4. 11. — 19 Vgl. de princ. I, 1. 6. II, 2—4. III, 6. hom. in Jer. 2, 3. 16, 6. C. Cels. VI, 71f. u. ö. — 25 Joh. 4, 24. — 26 Hebr. 12, 29; vgl. Deut. 4, 24. — I Joh. 1, 5.

5 *κληθινοὺς*] *ἀληθοὺς τοὺς*, corr. V | 10 *υἱοῦ*] *υἱοι*, corr. V | 20 *καὶ αὐτὸν*] *καὶ τὸν*, corr. V | 21 *ἄλλης*] *ἄλλους*, corr. We | 24 *τὸ πνεῦμα*] *τὸν πρᾱ*, corr. Hu.

Digitized by Google

λόγῳ, τέλειον ἀλλ' οἷον τὸ προνοούμενον. παρεδέξαντο δὲ τὰ ἀπαν-
231R τῶντα τῷ λόγῳ αὐτῶν ἄτοπα οἱ θέλοντες εἶναι σῶμα τὸν θεόν,
ἅτε μὴ δυνάμενοι ἀντιβλέπειν τοῖς ἐκ λόγου ἐναργῶς παρισταμένοις.
ταῦτα δέ φημι καθ' ὑπεξαίρεσιν τῶν πέμπτην λεγόντων εἶναι φύσιν 126
σωμάτων παρὰ τὰ στοιχεῖα. εἰ δὲ πᾶν σῶμα ὑλικὸν ἔχει φύσιν τῷ 127
ἰδίῳ λόγῳ ἄποιον τυγχάνουσαν, τρεπτὴν δὲ καὶ ἀλλοιωτὴν καὶ δι'
ὅλων μεταβλητὴν καὶ ποιότητας χωροῦσαν, ἃς ἐὰν βούληται αὐτῇ
περιτιθέναι ὁ δημιουργός, ἀνάγκη καὶ τὸν θεὸν ὑλικὸν ὄντα τρεπτὸν
εἶναι καὶ ἀλλοιωτὸν καὶ μεταβλητόν. καὶ ἐκεῖνοι μὲν οὐκ αἰδοῦνται 128
λέγειν ὅτι καὶ φθαρτός ἐστιν σῶμα ὤν, σῶμα δὲ πνευματικὸν καὶ
αἰθερῶδες, μάλιστα κατὰ τὸ ἡγεμονικὸν αὐτοῦ· φθαρτὸν δὲ ὄντα μὴ
φθείρεσθαι τῷ μὴ εἶναι τὸν φθείροντα αὐτὸν λέγουσιν. ἡμεῖς δὲ 129
διὰ τὸ μὴ ὁρᾶν τὰς ἀκολουθίας, ἐὰν σῶμα αὐτὸν ⟨προσαγορεύωμεν⟩,
λέγοντες καὶ διὰ τὴν γραφὴν τοιοῦτόν τι σῶμα, πνεῦμα καὶ πῦρ
215H καταναλίσκον καὶ φῶς, τὸ ἀναγκαίως ἑπόμενον τούτοις μὴ παρα-
δεχόμενοι ἀσχημονήσομεν ὡς ἠλίθιοι καὶ παρὰ τὰ ἐναργῆ λέγοντες·
πᾶν γὰρ πῦρ τροφῆς δεόμενον φθαρτόν ἐστιν, καὶ πᾶν πνεῦμα, εἰ
ἁπλούστερον ἐκλαμβάνομεν τὸ πνεῦμα, σῶμα τυγχάνον ἐπιδέχεται
ὅσον ἐπὶ τῇ ἑαυτοῦ φύσει τὴν εἰς τὸ παχύτερον μεταβολήν. ὥρα 130
οὖν ἐν τούτοις ἤτοι τηροῦντας τὰς λέξεις τὰ τοσαῦτα ἄτοπα παρα-
δέξασθαι καὶ δύσφημα περὶ τοῦ θεοῦ, ἢ ἐφοδεῦσαι, ὥσπερ καὶ ἐπὶ
ἄλλων πλειόνων ποιοῦμεν, καὶ ἐξετάσαι τί δύναται δηλοῦσθαι ἀπὸ
τοῦ λέγεσθαι πνεῦμα ἢ πῦρ ἢ φῶς εἶναι τὸν θεόν.

XXII. Καὶ πρῶτον λεκτέον, ὅτι ὥσπερ ὀφθαλμοὺς καὶ βλέφαρα 131
καὶ ὦτα, χεῖράς τε καὶ βραχίονας καὶ πόδας εὑρίσκοντες γεγραμμένα
τοῦ θεοῦ, ἔτι δὲ καὶ πτέρυγας, μεταλαμβάνομεν εἰς ἀλληγορίαν τὰ
γεγραμμένα, καταφρονοῦντες τῶν μορφὴν ἀνθρώπων παραπλήσιον
περιτιθέντων τῷ θεῷ καὶ εὐλόγως γε τοῦτο πράττομεν, οὕτως καὶ
ἐπὶ τῶν εἰρημένων ὀνομάτων τὸ ἀκόλουθον ἡμῖν ποιητέον· καὶ
δῆλόν γε ἀπὸ τοῦ φαινομένου ἡμῖν πρακτικωτέρου· »Φῶς γὰρ ἔστιν

4 Vgl. de princ. III, 6, 6: Non enim secundum quosdam graecorum philosophos praeter hoc corpus quod ex quattuor elementis est, aliud quintum corpus, quod per omnia aliud et diversum sit ab hoc nostro corpore, fides ecclesiae recipit. — **14** Vgl. Joh. 4, 24. Hebr. 12, 9. — **15** Vgl. I Joh. 1, 5. — **23** Vgl. Joh. 4, 24. Hebr. 12, 9. — I Joh. 1, 5. — Augen: Ps. 5, 6. 31, 8. 34, 16 u. o. Ohren: Jak. 5, 4. Ps. 115, 2. u. o. Hände: Exod. 15, 6. Deut. 33, 3. Ps. 37, 3. u. o. Arme: Deut. 11, 2. I Kön. 8, 42. Ps. 70, 18. u. o. Füsse: Matth. 5, 35. Act. 7, 49. Ps. 71, 8. Flügel: Ps. 15, 8. 35, 8. 90, 4 u. o. — **33** I Joh. 1, 5.

3 *παρισταμένοις*] Endung compend. geschrieben; das Compendium ist missraten und scheint = *ον* | **5** *τὰ ⟨τέσσαρα⟩ στοιχεῖα*? We vgl. S. 266, 3 | **6** *τυγχάνον*, corr. We | **7** *χωροῦσα*, corr. V | **13** *προσαγορεύωμεν⟩* + Pr | **14** *λέγωμεν* st. *λέγοντες* Del | **15** *ἀναγκαίαις*, corr. V.

Digitized by Google

»ὁ θεός«, κατὰ τὸν Ἰωάννην, καὶ σκοτία οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία.
132 πῶς δὴ φῶς αὐτὸν νοητέον κατὰ τὸ δυνατὸν ἡμῖν συνετώτερον
ἐπισκεψώμεθα· διχῶς γὰρ τὸ »φῶς« ὀνομάζεται, σωματικόν τε καὶ 232R
πνευματικόν, ὅπερ ἐστὶ νοητὸν καὶ ὡς μὲν αἱ γραφαὶ ἂν λέγοιεν
133 ἀόρατον, ὡς δ' ἂν | Ἕλληνες ὀνομάσαιεν ἀσώματον. καὶ τοῦ γε 207r
σωματικοῦ παράδειγμα ὁμολογούμενον τοῖς τὴν ἱστορίαν παραδεχο-
μένοις τὸ »Πᾶσιν δὲ τοῖς υἱοῖς Ἰσραὴλ ἦν φῶς ἐν πᾶσιν οἷς κατε-
»γίνοντο«· τοῦ δὲ νοητοῦ καὶ πνευματικοῦ ἔν τινι τῶν δώδεκα·
»Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς,
134 »φωτίσατε ἑαυτοῖς φῶς γνώσεως«. ὁμοίως δὲ καὶ τὸ »σκότος« κατ' 10
ἀναλογίαν διχῶς λεχθήσεται. καὶ τοῦ μὲν κοινότερον λεγομένου
παράδειγμα· »Καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος
»ἐκάλεσεν νύκτα«· τοῦ δὲ νοητοῦ· »Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει * *
»καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς«.
135 XXIII. Τούτων οὕτως ἐχόντων ἄξιον ἰδεῖν, τί ἁρμόζει νοεῖν ἡμᾶς 15
περὶ θεοῦ λεγομένου φῶς, ἐν ᾧ οὐδεμία ἐστὶν σκοτία. ἆρα γὰρ
⟨τοὺς⟩ σωματικοὺς ὀφθαλμοὺς ὁ θεὸς φωτίζων φῶς ἐστιν ἢ τοὺς
νοητούς, περὶ ὧν καὶ ὁ προφήτης φησί· »Φώτισον τοὺς ὀφθαλμούς
136 »μου, μήποτε ὑπνώσω εἰς θάνατον;« νομίζω δὲ προφανὲς παντί τῳ
εἶναι ὅτι οὐκ ἂν τὸ τοῦ ἡλίου ἔργον ποιεῖν λέγοιμεν τὸν θεόν, ἑτέρῳ 20
παραχωροῦντα φωτίζειν τοὺς ὀφθαλμοὺς τῶν μὴ ὑπνωσομένων εἰς
θάνατον· οὐκοῦν φωτίζει ὁ θεὸς τὸν νοῦν ὧν κρίνει ἀξίους εἶναι 216H
137 τοῦ οἰκείου φωτισμοῦ. εἰ δὲ νοῦς ἐστιν φωτιστικὸς κατὰ τὸ λεγό-
μενον· »Κύριος φωτισμός μου«· ἀνάγκη αὐτὸν νοητὸν τυγχάνοντα
καὶ ἀόρατον καὶ ἀσώματον τούτου ἡμᾶς αὐτὸν ὑπολαμβάνειν φῶς 25
* * * μήποτε καὶ πῦρ καταναλίσκοντῶμεν * * ὁμεν * * * σωματικο
138 * * ἀναλωτικὸν εἶναι δοκεῖ, οἷον ξύλων καὶ χόρτου καὶ καλάμης· εἰ δὲ

7 Exod. 10, 23. — 9 Hos. 10, 12. — 12 Gen. 1, 5. — 13 Matth. 4, 16 (Jes. 9, 2). — 16 Vgl. I Joh. 1, 5. — 18 Ps. 12, 4. — 21 Vgl. Ps. 12, 4. — 24 Ps. 26, 1. — 27 Vgl. I Kor. 3, 12.

3 *σωματικῶς καὶ πνευματικῶς*, corr. We | 5 *ἀόρατον*] *ὁρατὸν*, corr. Br vgl. Z. 25 | 7 *κατεγείνοντο* (= A) | 13 Das Citat ist durch Ausfall der Worte ⟨*φῶς εἰδε μέγα καὶ τοῖς καθημένοις ἐν χώρᾳ*⟩ verstümmelt; st. *σκότει* liest Orig. o. II, 37 (S. 96, 24) *σκότῳ* (ganz singulär); c. Cels. VI, 76 *σκοτίᾳ* mit BκD | 17 ⟨*τοὺς*⟩ + We| 22 *ὧν*] *τῶν* | 24 *νοοιταν* | 26—28. Die Vorlage war hier beschädigt, und nur noch z. T. leserlich. Nach *φῶς* ist Lücke von c. 9, nach *καταναλ.* eine von c. 7, nach *ομεν* eine von c. 3—4, nach *σωματικο* eine von c. 6—7, nach *ειδε* eine von c. 3—4 Bchst. Man kann die Sätze etwa so wiederherstellen: *ἀνάγκη αὐτὸν νοητὸν τυγχάνοντα καὶ ἀόρατον καὶ ἀσώματον τούτου* (d. h. *τοῦ νοῦ*) *ἡμᾶς αὐτὸν ὑπολαμβάνειν φῶς.* ⟨*ἀλλὰ καὶ ζητῶ, μήποτε καὶ πῦρ καταναλίσκον* [*τῶ μὲν*] ⟨*ἐστίν· τ ὸ μὲν γὰρ*⟩ *σωματικὸ ν πῦρ καὶ*⟩ *ἀναλωτικὸν εἶναι δοκεῖ, οἷον ξύλων καὶ χόρτου καὶ καλάμης· εἰ δὲ* ⟨*ἀναλίσκει*⟩ *ξύλα καὶ χόρτον* ⟨*καὶ*⟩ *καλάμην, μήποτε τὸ ἀναλωτικὸν κτλ.* | 27 *χόρτου*] *χόρτον*, corr. V.

Digitized by Google

* * * ξύλα καὶ χόρτον καλάμη, μήποτε τὸ ἀναλωτικὸν τῆς τοιαύτης ὕλης πῦρ ὁ θεός ἐστιν ἡμῶν, πῦρ λεγόμενος εἶναι καταναλίσκον· καὶ πρέπον γε τῷ κυρίῳ ἐστὶν τὸ ἀναλίσκειν τὰ τοιαῦτα καὶ ἐξαφανίζειν τὰ χείρονα, οὗ γινομένου ἀλγηδόνας οἶμαι καὶ πόνους γίνεσθαι, οὐκ ἀπό τινος σωματικῆς ἐπαφῆς, περὶ τὰ ἡγεμονικά, ἔνθα συνέστη ἡ τοῦ καταναλίσκεσθαι ἀξία οἰκοδομή.

Φῶς οὖν ὀνομάζεται ὁ θεὸς ἀπὸ τοῦ σωματικοῦ φωτὸς μετα- 139
233R ληφθεὶς εἰς ἀόρατον καὶ ἀσώματον φῶς, διὰ τὴν ἐν τῷ φωτίζειν νοητοὺς ὀφθαλμοὺς δύναμιν οὕτω λεγόμενος· πῦρ τε προσαγορεύεται καταναλίσκον, ἀπὸ τοῦ σωματικοῦ πυρὸς καὶ καταναλωτικοῦ τῆς τοιᾶσδε ὕλης νοούμενος. τοιοῦτόν τί μοι φαίνεται καὶ περὶ τὸ 140
»Πνεῦμα ὁ θεός« ἐπεὶ γὰρ εἰς τὴν μέσην καὶ κοινότερον καλουμένην ζωὴν σπῶντος τοῦ περὶ ἡμᾶς πνεύματος τὴν καλουμένην σωματικώτερον πνοὴν ζωῆς, ζωοποιούμεθα ἀπὸ τοῦ πνεύματος, ὑπολαμβάνω ἀπ' ἐκείνου εἰλῆφθαι τὸ πνεῦμα λέγεσθαι τὸν θεὸν πρὸς τὴν ἀλη-
207v θινὴν | ζωὴν ἡμᾶς ἄγοντα· τὸ πνεῦμα γὰρ κατὰ τὴν γραφὴν λέγεται ζωοποιεῖν, φανερὸν ὅτι ζωοποίησιν οὐ τὴν μέσην ἀλλὰ τὴν θειοτέραν· καὶ γὰρ τὸ γράμμα ἀποκτέννει καὶ ἐμποιεῖ θάνατον, οὐ τὸν κατὰ τὸν χωρισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, ἀλλὰ τὸν κατὰ τὸν χωρισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ θεοῦ, καὶ τοῦ κυρίου † αὐτοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

XXIV. Μήποτε δὲ καὶ τὸ »Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ 141
»ἐκλείψουσιν« καὶ »Ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται, »καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς« βέλτιον ἐκληψόμεθα ἀπὸ ⟨τούτου⟩ τοῦ πνεύματος, ⟨εἰ⟩ ὑπολαμβάνοιμεν ὅτι ὁ στερισκόμενος τοῦ θείου πνεύματος χοϊκὸς γίνεται, ἐπιτήδειον δὲ ἑαυτὸν ποιήσας πρὸς παραδοχὴν αὐτοῦ καὶ λαβὼν αὐτὸ ἀνακτισθήσεται καὶ ⟨ἀνακαινισθεὶς⟩ σωθήσεται. τοιοῦτον δ' ἂν εἴη καὶ εἰ »ἐνεφύσησεν εἰς 142
»τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν »ζῶσαν«, ὥστε καὶ τὸ ἐμφύσημα καὶ τὴν πνοὴν τῆς ζωῆς καὶ τὴν ζωὴν τῆς ψυχῆς πνευματικῶς ἀκούειν ἡμᾶς. ἐπεὶ δὲ ἡ προειρημένη 143
δύναμις οἱονεὶ οἰκητήριον ἐπιτήδειον εὑροῦσα τὴν τοῦ ἁγίου ψυχὴν
217H ἐπιδίδωσιν ἑαυτὴν τῇ ἐν αὐτῇ, ἵν' οὕτως εἴπω, μονῇ, γεγράφθαι

2 Vgl. Hebr. 12, 29. — **12** Joh. 4, 24. — **14** Vgl. Gen. 2, 7. — **16** Vgl. II Kor. 3, 6. — **22** Ps. 103, 29f. — **26** Vgl. I Kor. 15, 47ff. — **27** Vgl. Ps. 103, 30. — **28** Gen. 2, 7. — **31** Vgl. Z. 26f.

1 εἰ δὲ ⟨ἀλληγορικῶς νοοῖτο⟩ ξύλα καὶ χόρτος ⟨καὶ⟩ καλάμη We | **3** ἀναλίσκον, corr. V | **13** σπῶντος] ὀπωντες, corr. We | **18** ἀποκτέννει s. o. zu S. 212, 18 **19** χ[ωρισμὸν] a. Ras. | **20** θ[εοῦ καὶ τ]οῦ a. Ras. | **20** αὐτοῦ] Ἰησοῦ? Pr, υἱοῦ αὐτοῦ? Schmidt | **25** ⟨τούτου⟩ + We | ⟨εἰ⟩ + We, καὶ + V | **26** δὲ] τε, corr. We | **27** ⟨ἀνακαινισθεὶς⟩ in M Lücke von c. 9—10 Bchst. | **31** πνευματικὸν, corr. We.

Digitized by Google

νομιστέον τὸ »Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω ἐν αὐτοῖς, καὶ
144 »ἔσομαι αὐτοῖς θεός, καὶ αὐτοὶ ἔσονταί μου λαός«. πλείονος μέντοι
γε συγγυμνασίας δεόμεθα εἰς τὸ τελειωθέντας ἡμᾶς καὶ ⟨κατὰ⟩ τὰ
λεγόμενα παρὰ τῷ ἀποστόλῳ αἰσθητήρια γεγυμνασμένα ⟨ἔχοντας⟩
διακριτικοὺς γενέσθαι ἀγαθῶν τε καὶ κακῶν, ἀληθῶν τε καὶ ψευδῶν,
καὶ θεωρητικοὺς νοητῶν, ἵνα δυνηθῶμεν ἐπιμελέστερον καὶ θεο-
πρεπέστερον κατὰ τὸ ἐνδεχόμενον ἀνθρωπίνῃ φύσει νοῆσαι πῶς 234R
145 ἐστιν ὁ θεὸς φῶς καὶ πῦρ καὶ πνεῦμα. καὶ ἐν τῇ τρίτῃ δὲ τῶν
Βασιλειῶν τὸ γενόμενον πνεῦμα κυρίου πρὸς Ἠλίαν τοιάδε τινὰ
ὑποβάλλει περὶ θεοῦ· »Εἶπεν γάρ· Ἐξελεύσῃ αὔριον καὶ στήσῃ ἔναντι
»κυρίου ἐν τῷ ὄρει· ἰδοὺ παρελεύσεται κύριος καὶ πνεῦμα μέγα
»κραταιὸν διαλῦον ὄρη καὶ συντρῖβον πέτρας ἐνώπιον κυρίου, οὐκ
»ἐν τῷ πνεύματι κύριος« (ἐν δὲ ἄλλοις εὕρομεν· »ἐν τῷ πνεύματι
»κυρίου«·) »μετὰ τὸ πνεῦμα συνσεισμός, οὐκ ἐν τῷ συνσεισμῷ κύριος·
»καὶ μετὰ τὸν συνσεισμὸν πῦρ, οὐκ ἐν τῷ πυρὶ κύριος· καὶ μετὰ τὸ
»πῦρ φωνὴ αὔρας λεπτῆς«· καὶ τάχα γε ἐν ὅσοις δεήσει γίνεσθαι πῦρ
τῆς καταλήψεως τοῦ κυρίου δηλοῦται διὰ τούτων, ἅπερ οὐ τοῦ
146 παρόντος ἂν εἴη καιροῦ διηγήσασθαι. τίνα δὲ ἔπρεπεν λέγειν ἡμῖν
περὶ τοῦ θεοῦ ὅστις ἐστίν, ἢ τὸν υἱόν; »Οὐδεὶς γὰρ ἔγνω τὸν πατέρα
»εἰ μὴ ὁ υἱός«, ἵνα καὶ ἡμεῖς ἀποκαλύπτοντος τοῦ υἱοῦ γνῶμεν πῶς
πνεῦμά ἐστιν ὁ θεός, καὶ φιλοτιμησώμεθα ἐν πνεύματι τῷ ζωοποιοῦντι
καὶ μὴ γράμματι τῷ ἀποκτέννοντι προσκυνεῖν τὸν θεόν, καὶ ἐν ἀλη-
θείᾳ σέβειν αὐτὸν καὶ μηκέτι τύποις μηδὲ σκιαῖς καὶ ὑποδείγμασιν, ὥσπερ
οὐδὲ οἱ ἄγγελοι ὑποδείγμασι καὶ | σκιᾷ τῶν ἐπουρανίων λατρεύουσιν 208r
τῷ θεῷ, ἀλλὰ τοῖς νοητοῖς καὶ ἐπουρανίοις, τὸν κατὰ τὴν τάξιν
τοῦ Μελχισεδὲκ ἀρχιερέα ὁδηγὸν ἔχοντες τῆς ὑπὲρ τῶν δεομένων
σωτηρίας λατρείας καὶ μυστικῆς καὶ ἀπορρήτου θεωρίας.

147 XXV. Εἰς μέντοι γε τὸ »Πνεῦμα ὁ θεός« ὁ Ἡρακλέων
φησίν· ἄχραντος γὰρ καὶ καθαρὰ καὶ ἀόρατος ἡ θεία
148 φύσις αὐτοῦ. οὐκ οἶδα δὲ εἰ ἐδίδαξεν ἡμᾶς ταῦτα ἐπειπὼν
πῶς ὁ θεὸς πνεῦμά ἐστιν· τὸ δὲ »τοὺς προσκυνοῦντας ἐν
πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν« σαφηνίζειν νομίζων
φησίν· ἀξίως τοῦ προσκυνουμένου πνευματικῶς, οὐ σαρ-

1 Vgl. Lev. 26, 12. — **3** Vgl. Hebr. 5, 14. — **10** I Kön. 19, 11f. — **19** Matth. 11, 27. — **21** Joh. 4, 24. — Vgl. II Kor. 3, 6. — **23** Vgl. Hebr. 8, 5. — **26** Vgl. Hebr. 5, 6; Ps. 109, 4. — **28** Joh. 4, 24. — **31** Joh. 4, 24.

3 ⟨κατὰ⟩ + We | **4** ⟨ἔχοντας⟩ + We nach Hebr. | **10** *ἐνώπιον κυρίου ἐν τῷ ὄρει* ist die LA der LXX vgl. Field z. d. St. | **13** Wie die *ἄλλα* lesen AB, *κύριος*, wie Orig. im Texte hat, Iren. Syr. u. die meisten Hss. | **15** *τὸ* a. Ras. | **16** *πῦρ*²] *περὶ*, corr. Pr | **22** *ἀποκτέννοντι*, vgl. o. zu S. 242, 18 | **24** *τῶν ἐπουρανίων*] *περὶ ἀνθρώπων*, corr. Ferrarius, *ὥσπερ ἄνθρωποι* Br | **29** *ἡ*] *καὶ*.

Digitized by Google

κικῶς· καὶ γὰρ αὐτοὶ τῆς αὐτῆς φύσεως ὄντες τῷ πατρὶ πνεῦμά εἰσιν, οἵτινες κατὰ ἀλήθειαν καὶ οὐ κατὰ πλάνην προσκυνοῦσιν, καθὰ καὶ ὁ ἀπόστολος διδάσκει λέ-
235R γων λογικὴν λατρείαν τὴν τοιαύτην θεοσέβειαν. ἐπι- 149
218H στήσωμεν δὲ εἰ μὴ σφόδρα ἐστὶν ἀσεβὲς ὁμοουσίους τῇ ἀγεννήτῳ φύσει καὶ παμμακαρίᾳ λέγειν εἶναι τοὺς προσκυνοῦντας ἐν πνεύματι τῷ θεῷ, οὓς πρὸ βραχέος εἶπεν αὐτὸς ὁ Ἡρακλέων ἐκπεπτωκότας, τὴν Σαμαρεῖτιν λέγων πνευματικῆς φύσεως οὖσαν ἐκπεπορνευκέναι. ἀλλ' οὐχ ὁρῶσιν * * ὅτι παντὸς * * *, καὶ τῶν 150
10 αὐτῶν δεκτικόν· εἰ δὲ ἐδέξατο τὸ πορνεῦσαι ἡ πνευματικὴ φύσις, ὁμοούσιος οὖσα * * * ἀνόσια καὶ ἄθεα καὶ ἀσεβῆ ἀκολουθεῖ τῷ λόγῳ τῷ κατ' αὐτοὺς περὶ θεοῦ οὐδὲ φαντασιωθῆναι ἀκίνδυνόν ἐστιν.

Ἀλλ' ἡμεῖς πειθόμενοι τῷ σωτῆρι λέγοντι· »Ὁ πατήρ ὁ πέμψας 151
15 με μείζων μου ἐστίν« καὶ διὰ τοῦτο μὴ ἐνεγκόντι μηδὲ τὴν »ἀγαθὸς« προσηγορίαν τὴν κυρίαν καὶ ἀληθῆ καὶ τελείαν παραδέξασθαι αὐτῷ προσφερομένην, ἀλλὰ ἀναφέροντι ⟨αὐ⟩τὴν εὐχαρίστως τῷ πατρὶ μετ' ἐπιτιμήσεως πρὸς τὸν βουλόμενον ὑπερδοξάζειν τὸν υἱόν, πάντων μὲν τῶν γενητῶν ὑπερέχειν οὐ συγκρίσει ἀλλ' ὑπερβαλλούσῃ ὑπεροχῇ
20 φαμὲν τὸν σωτῆρα καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὑπερεχόμενον τοσοῦτον ἢ καὶ πλέον ὑπὸ τοῦ πατρός, ὅσῳ ὑπερέχει αὐτὸς καὶ τὸ ἅγιον πνεῦμα τῶν λοιπῶν, οὐ τῶν τυχόντων ὄντων· ὅση γὰρ δοξολογία τοῦ ὑπερέχοντος θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν, καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν
25 τῷ μέλλοντι, πρὸς τούτοις καὶ ἁγίων ἀγγέλων καὶ πνευμάτων καὶ ψυχῶν δικαίων, ⟨τί δεῖ⟩ καὶ λέγειν; ἀλλ' ὅμως τῶν τοσούτων καὶ 152
τηλικούτων ὑπερέχων οὐσίᾳ καὶ πρεσβείᾳ καὶ δυνάμει καὶ θειότητι (ἔμψυχος γάρ ἐστι λόγος), καὶ σοφίᾳ, οὐ συγκρίνεται κατ' οὐδὲν τῷ
236R πατρί. εἰκὼν γάρ ἐστιν τῆς ἀγαθότητος αὐτοῦ καὶ ἀπαύγασμα οὐ 153
30 τοῦ θεοῦ ἀλλὰ τῆς δόξης αὐτοῦ καὶ τοῦ ἀϊδίου φωτὸς αὐτοῦ, καὶ ἀτμὶς οὐ τοῦ πατρὸς ἀλλὰ τῆς δυνάμεως αὐτοῦ, καὶ ἀπόρροια εἰλικρινὴς τῆς παντοκρατορικῆς δόξης αὐτοῦ, καὶ ἔσοπτρον ἀκηλίδωτον

4 Vgl. Röm. 12, 1. — **7** Vgl. o. c. 11. — **14** Joh. 14, 28. — **15** Vgl. Mark. 10, 18. — **23** Vgl. Eph. 1, 21. — **29** Vgl. Weish. Sal. 7, 25f. — 30 Vgl. Hebr. 1, 3.

5 ὁμοούσιον, corr. We | ἀγενήτῳ | **9** nach ὁρῶσιν Lücke von c. 4—5 Bchst., nach ὅτι παντὸς eine solche von c. 9—10. Etwa zu erg.: ἀλλ' οὐχ ὁρῶσιν ⟨τοῦτο⟩ ὅτι πᾶν τὸ ὁ⟨μοούσιον ἐστὶν⟩ καὶ τῶν αὐτῶν δεκτικόν. We schlägt vor: ὅτι παντὸς ⟨τοῦ ὁμοουσίου οἰκεῖον τὸ εἶναι⟩ καὶ | **11** nach οὖσα Lücke von c. 12—13 Bchst. Die Lücke ist etwa auszufüllen ⟨τῇ θείᾳ φύσει, ὖσα⟩ | **14** ἀλλ' ἡμεῖς] ἀλληλοὺς, corr. Br | **17** ⟨αὐ⟩τὴν] τὴν, corr. Hu | πατρὶ] πνεύματι (πνῖ) | **18** πρὸς τὸν] προσὸν | **21** ὑπὸ] ἀπὸ, corr. We | **26** ⟨τί δεῖ⟩ + Br | 29 ἔκων.

Digitized by Google

τῆς ἐνεργείας αὐτοῦ, δι' οὗ ἐσόπτρου Παῦλος καὶ Πέτρος καὶ οἱ παραπλήσιοι αὐτοῖς βλέπουσι τὸν θεόν, λέγοντος· »Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα τὸν πέμψαντά με«.

IV, 25. *Λέγει αὐτῷ ἡ γυνή· Οἶδα ὅτι Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, | ἀναγγελεῖ ἡμῖν ἅπαντα.* 208r

154 XXVI. Ἄξιον ἰδεῖν πῶς ἡ Σαμαρεῖτις, πλεῖον τῆς Πεντατεύχου Μωσέως μηδὲν προσιεμένη, τὴν παρουσίαν Χριστοῦ ὡς ἀπὸ τοῦ νόμου μόνου κηρυσσομένην προσδοκᾷ. καὶ εἰκός γε ἐκ τῆς εὐλογίας τοῦ Ἰακὼβ τῆς πρὸς τὸν Ἰούδαν ἐλπίζειν αὐτοὺς ἔσεσθαι καὶ τὴν ἐπιδημίαν λέγοντος· »Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου 10
»ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσίν σοι υἱοὶ τοῦ πατρός
»σου·« καὶ μετ' ὀλίγα· »Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος 219H
»ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ αὐτὸς
155 »προσδοκία ἐθνῶν«. εἰκὸς δὲ καὶ ἐκ τῶν προφητειῶν τοῦ Βαλαὰμ τὸ αὐτὸ αὐτοὺς ἐλπίζειν, τῆς τε »Ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ 15
»σπέρματος αὐτοῦ καὶ κυριεύσει ἐθνῶν πολλῶν, καὶ ὑψωθήσεται ἡ
156 »Γὼγ βασιλεία, καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ. θεὸς ὡδήγησεν
»αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μονοκέρωτος αὐτῷ· ἔδεται ἔθνη
»ἐχθρῶν αὐτοῦ καὶ τὰ πάχη αὐτῶν ἐκμυελεῖ, καὶ ταῖς βολίσιν
»αὐτοῦ κατατοξεύσει ἐχθρόν· καὶ κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων 20
»καὶ ὡς σκύμνος· τίς ἀναστήσει αὐτόν; οἱ εὐλογοῦντές σε εὐλό-
157 »γηνται, καὶ οἱ καταρώμενοί σε κεκατήρανται«. καὶ ἐν τοῖς ἑξῆς δέ φησιν αὐτὸς Βαλαάμ· »Δείξω αὐτοῖς, καὶ οὐχὶ νῦν· μακαρίζω,
»καὶ οὐκ ἐγγίζει. ἀνατελεῖ ἄστραν ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄν- 25
»θρωπος ἐξ Ἰσραήλ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ, καὶ προ-
»νομεύσει πάντας τοὺς υἱοὺς Σήθ. καὶ ἔσται Ἐδὼμ κληρονομία, καὶ
»ἔσται ἡ κληρονομία Ἡσαῦ ὁ ἐχθρὸς αὐτοῦ, καὶ Ἰσραὴλ ἐποίησεν
»ἐν ἰσχύϊ. καὶ ἐξεγερθήσεται ἐξ Ἰακώβ, καὶ ἀπολεῖ σωζόμενον ἐκ
158 »πόλεως«. ἐπιστήσεις δὲ εἰ καὶ ἡ τοῦ Μωσέως πρὸς Ἰούδαν εὐλογία
εἰς Χριστὸν ἀναφέρεσθαι καὶ τοῖς Σαμαρεῦσιν ἂν συνδοκοίη οὕτως 30
ἔχουσα· »Εἰσάκουσον, κύριε, φωνὴν Ἰούδα, καὶ εἰς τὸν λαὸν αὐτοῦ
»ἔλθοις ἄν· αἱ χεῖρες αὐτοῦ ἅμα κρινοῦσιν αὐτῷ, καὶ βοηθὸς ἐκ τῶν
159 »ἐχθρῶν αὐτοῦ ἔσῃ«. ἐπεὶ δὲ αὐχοῦσιν πατριάρχην Σαμαρεῖς τὸν Ἰωσήφ, ἐφίστημι μήποτε τήν τε τοῦ Ἰακὼβ εἰς τὸν Ἰωσὴφ τινες 237R

2 Joh. 14, 9; vgl. 12, 45. — **10** Gen. 49, 8. — **12** Gen. 49, 10. — **15** Num. 24, 7—9. — **23** Num. 24, 17—19. — **31** Deut. 33, 7.

4 *μεσίας* | **5** *ἡμῖν*] *ὑμῖν* | **19** *ἐκμυελεῖ* mit BA*, *ἐκμυελιεῖ* V mit A¹F | **20** *κατακλισθεὶς* | **22** *κεκατάρανται* | **27** *ἰσδραὴλ* | **32** *κρινοῦσιν* mit Arm. Die Griech. Hss. *διακρινοῦσιν*.

Digitized by Google

εὐλογίαν [αὐτῷ] καὶ τὴν τοῦ Μωσέως ἐκδέξονται λέγεσθαι εἰς τὴν Χριστοῦ παρουσίαν· τῷ δὲ βουλομένῳ ἐξέσται ἀπ' αὐτῆς τῆς γραφῆς λαβεῖν τὰ ῥητά. καὶ αὐτὸς δὲ ὁ σωτὴρ εἰδὼς Μωσέα πολλὰ ἀναγεγραφότα τῆς περὶ Χριστοῦ προφητείας φησὶ τοῖς Ἰουδαίοις· »Εἰ »ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν«. τυπικῶς μὲν οὖν καὶ αἰνιγματώδως ἀναφερόμενα εἰς τὸν χριστὸν τῶν ἀναγεγραμμένων ἐν τῷ νόμῳ πλεῖστα ὅσα ἔστιν εὑρεῖν· γυμνότερα δὲ καὶ σαφέστερα ἐγὼ οὐχ ὁρῶ ἐπὶ τοῦ παρόντος ἄλλα τινὰ παρὰ ταῦτα. Μεσσίας μέντοι γε Ἑβραϊστὶ καλεῖται, ὅπερ οἱ μὲν ἑβδομήκοντα »Χριστὸς« ἡρμήνευσαν· ὁ δὲ Ἀκύλας »Ἠλιμμένος«. 160 161

XXVII. Θεωρητέον καὶ τὸ »Ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν 162
209r »ἅπαντα·« πότερον ἀπὸ παραδόσεως τῇ Σαμαρείτιδι εἴρηται ἢ ἀπὸ τοῦ νόμου; οὐκ ἀγνοητέον μέντοι γε ὅτι ὥσπερ ἀπὸ Ἰουδαίων ἀνέστη ὁ Ἰησοῦς, Χριστὸς εἶναι οὐ μόνον λέγων ἀλλὰ καὶ ἀποδεικ-
15 νύς· οὕτως ἀπὸ Σαμαρέων Δοσίθεός τις ἀναστὰς ἔφασκεν ἑαυτὸν
220H εἶναι τὸν προεφητευμένον χριστόν, ἀφ' οὗ δεῦρο μέχρι εἰσὶν οἱ Δοσιθηνοί, φέροντες καὶ βίβλους τοῦ Δοσιθέου καὶ μύθους τινὰς περὶ αὐτοῦ διηγούμενοι ὡς μὴ γευσαμένου θανάτου ἀλλ' ἐν τῷ βίῳ που τυγχάνοντος. καὶ ταῦτα μὲν ὡς πρὸς τὴν λέξιν.

20 Ἀλλὰ καὶ ἡ ἑτερόδοξος παρὰ τῇ πηγῇ τοῦ Ἰακώβ, φρέατι ὑπ' 163
αὐτῆς εἶναι νομιζομένῳ, γνώμη ὧν ὑπολαμβάνει εἶναι τελειότερον λόγον τοῦτον Χριστὸν ὀνομάζουσά φησιν· »Ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν ἅπαντα«. παρὼν δὲ αὐτῇ ὁ προσδοκώμενος καὶ ἐλπιζόμενος φησὶ τὸ »Ἐγώ εἰμι, ὁ λαλῶν σοι«.

25 Ὅρα δὲ καὶ τὸν Ἡρακλέωνα τί φησι· λέγει γὰρ ὅτι προσε- 164
δέχετο ἡ ἐκκλησία τὸν χριστὸν καὶ ἐπέπειστο περὶ αὐτοῦ, ὅτι τὰ πάντα μόνος ἐκεῖνος ἐπίσταται.

IV, 26 f. *Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι, ὁ λαλῶν σοι. καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμαζον ὅτι μετὰ*
30 *γυναικὸς ἐλάλει; οὐδεὶς μέντοι γε εἶπεν· Τί ζητεῖς; ἢ Τί λαλεῖς μετ' αὐτῆς;*

XXVIII. Ζητητέον εἴ που χριστὸς ἑαυτὸν εὐηγγελίσατο, καὶ 165
συγκριτέον ταῦτα ἀλλήλοις ὥσπερ· »Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ

4 Joh. 5, 46. — **10** Vgl. Field zu I Sam. 2, 35. — **11** Joh. 4, 25. — **15** Vgl. C. Cels. I, 57. VI, 11. In Mt. ser. 27. in Luc. hom. 25. de princ. IV, 1 sqq. Hilgenfeld, Ketzergesch. S. 155 ff. — **18** Vgl. Matth. 16, 28. — **20** Vgl. Joh. 4, 12. — **22** Joh. 4, 25. — **24** Joh. 4, 26. — **33** Joh. 8, 18.

1 [αὐτῷ] zu str. | **9** *μεσίας* | **15** *δωσίθεος* | **16** *δωσιθεινοί*, corr. nach C. Cels. VI, 11 (II, 81, 26) | **17** *δωσιθέου* | **21** *γνώμη*] *γννὴ*, Ferrarius.

Digitized by Google

»ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ«, καὶ ἐν τῷ »Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος »ἔγραψεν«, καὶ εἴ τι τούτοις παραπλήσιον ἔν τινι τῶν εὐαγγελίων 238R
166 εἴρηται. πλὴν ὅσον ἐπὶ τῷ ῥητῷ μανθάνωμεν ἀπ' αὐτοῦ καὶ ἐντεῦθεν ὅτι πρᾶός ἐστιν καὶ ταπεινὸς τῇ καρδίᾳ, μὴ ὑπερηφανῶν περὶ τηλικούτων πραγμάτων διαλέγεσθαι ὑδροφόρῳ γυναικὶ διὰ πολλὴν
167 πενίαν ἐξιούσῃ τὴν πόλιν καὶ καμνούσῃ εἰς τὸ ὑδρεύσασθαι. θαυμάζουσίν γε καὶ οἱ μαθηταὶ ἐπελθόντες, προτεθεωρηκότες τὸ μέγεθος τῆς ἐν αὐτῷ θεότητος, καὶ θαυμάζουσιν τίνα τρόπον ὁ τηλικοῦτος μετὰ γυναικὸς ἐλάλει· ἡμεῖς δὲ ὑπὸ ἀλαζονίας καὶ ὑπὸ ὑπερηφανίας ἀγόμενοι τοὺς εὐτελεστέρους ὑπερορῶμεθά τε ἐπιλανθανόμενοι τοῦ καθ' ἕκαστον ἄνθρωπον εἶναι τὸ »Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα
168 »ἡμετέραν, καὶ καθ' ὁμοίωσιν ἡμετέραν«. καὶ μὴ μεμνημένοι τοῦ πλάσαντος ἐν κοιλίᾳ καὶ πλάσαντος κατὰ μόνας τὰς καρδίας πάντων ἀνθρώπων καὶ συνιέντος εἰς πάντα τὰ ἔργα αὐτῶν οὐ γινώσκομεν ὅτι ταπεινῶν ἐστὶ θεὸς καὶ ἐλαττόνων βοηθός, ἀντιλήπτωρ ἀσθενούντων, ἀφηλπισμένων σκεπαστὴς καὶ ἀπεγνωσμένων
169 σωτήρ. οἱονεὶ δὲ καὶ ἀποστόλῳ πρὸς τοὺς ἐν τῇ πόλει χρῆται τῇ γυναικὶ ταύτῃ. ἐπὶ τοσοῦτον ἐξάψας αὐτὴν διὰ τῶν λόγων, ἕως ἀφεῖσα τὴν ὑδρίαν | αὐτῆς ἡ γυνὴ ἀπελθοῦσα εἰς τὴν πόλιν εἶπῃ 209r
τοῖς ἀνθρώποις· »Δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέν μοι πάντα ἃ »ἐποίησα· μήτι οὗτός ἐστιν ὁ χριστός;« ὅτε »ἐξῆλθον ἐκ τῆς πόλεως, »καὶ ἤρχοντο πρὸς αὐτόν·« καὶ τῇ τοιᾷδε μὲν μὴ ὕστερον, τότε ⟨δὲ⟩ σαφέστατα ἐμφανίζῃ ἑαυτὸν ὁ λόγος, ὡς ἐλθόντας τοὺς μαθητὰς 221H
θαυμάζειν εἰ καὶ αὕτη ἠξίωται θῆλύς τις ⟨καὶ εὐ⟩εξαπάτητος οὖσα,
170 τυχεῖν τῆς ὁμιλίας πρὸς αὐτὴν τοῦ λόγου. πλὴν πειθόμενοι καλῶς ὑπὸ τοῦ λόγου πάντα γίνεσθαι οἱ μαθηταὶ οὐκ ἐπιπλήττουσιν οὐδὲ ἐπαποροῦσιν περὶ τῆς πρὸς τὴν Σαμαρεῖτιν ζητήσεως καὶ τῆς πρὸς
171 αὐτὴν κοινολογίας. τάχα δὲ καὶ καταπεπλήγασιν τὴν πολλὴν χρηστότητα τοῦ λόγου συγκαταβαίνοντος ψυχῇ ἐξουθενούσῃ Σιών, καὶ πεποιθυίᾳ ἐπὶ τὸ ὄρος Σαμαρείας· διόπερ γέγραπται· »Ἐθαύμαζον »ὅτι μετὰ γυναικὸς ἐλάλει«.

172 Καὶ ὁ Ἡρακλέων δέ φησι πρὸς τὸ »Ἐγώ εἰμι, ὁ λαλῶν »σοι«, ὅτι ἐπεὶ ἐπέπειστο ἡ Σαμαρεῖτις περὶ τοῦ χριστοῦ

2 Joh. 5, 46. — 5 Vgl. Matth. 11, 29. — 12 Gen. 1, 26. — 13 Vgl. Jer. 1, 5. — 14 Vgl. Ps. 32, 15. — 16 Judith 9, 11. — 20 Joh. 4, 28—30. — 27 Vgl. Joh. 1, 3. — 31 Joh. 4, 27. — 33 Joh. 4, 26.

1 ἐν τῷ] ἔτι τὸ? We | 4 μανθάνομεν? We | 20 ἀφεῖσαι | 21 ἃ] ὅσα in dem Lemma vor c. 29; (ἃ = BℵC Syr. cur. Pesch. Sah. Boh. Aeth., ὅσα = AC²DL rel.) vgl. 253, 17. 255, 2. | 23 ⟨δὲ⟩ + We | 25 ⟨καὶ εὐ⟩εξαπάτητος] statt ⟨καὶ εὐ⟩ Lücke von c. 3 – 4 Bchst., ergänzt von V | 26 τύχῃ | 30 ἐξουθενούσης | 34 ἐπεὶ] εἶπερ, corr. Br.

Digitized by Google

ὡς ἄρα ἐλθὼν πάντα ἀπαγγελεῖ αὐτῇ, φησί »Γίνωσκε »ὅτι ἐκεῖνος, ὃν προσδοκᾷς, ἐγώ εἰμι ὁ λαλῶν σοι«. καὶ ὅτε ὡμολόγησεν ἑαυτὸν τὸν προσδοκώμενον ἐληλυθέναι,
239R »ἦλθον, φησίν, οἱ μαθηταὶ πρὸς αὐτόν«, δι' οὓς ἐληλύθει εἰς τὴν Σαμάρειαν. πῶς δὲ διὰ τοὺς μαθητὰς ἐληλύθει εἰς τὴν Σαμάρειαν, οἵτινες καὶ πρότερον αὐτῷ συνῆσαν;

IV, 28f. Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν καὶ λέγει τοῖς ἀνθρώποις· Δεῦτε ἴδετε ἄνθρωπον, ὃς εἶπέν μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ χριστός;

XXIX. Οὐ μάτην οἶμαι ἀναγεγραφέναι τὸν εὐαγγελιστὴν καὶ 173
τὰ περὶ τῆς ἀφέσεως τῆς ὑδρίας, ἥντινα ἀφεῖσα ἡ γυνὴ ἀπῆλθεν εἰς τὴν πόλιν· κατὰ μὲν οὖν τὴν λέξιν σπουδὴν ἐμφαίνει πλείονα τῆς Σαμαρείτιδος καταλειπούσης τὴν ὑδρίαν καὶ οὐ τοσοῦτον πεφροντικυίας τοῦ σωματικοῦ καὶ ταπεινοτέρου καθήκοντος ὅσον τῆς τῶν πολλῶν ὠφελείας· φιλανθρωπότατα γὰρ κεκίνηται βουληθεῖσα τοῖς πολίταις εὐαγγελίσασθαι τὸν χριστόν, μαρτυροῦσα αὐτῷ εἰρηκότι αὐτῇ »πάντα ἃ ἐποίησεν«. καλεῖ δὲ αὐτοὺς ἐπὶ τὸ ἰδεῖν ἄνθρωπον 174
λόγον ἔχοντα μείζονα ἀνθρώπου· τὸ γὰρ ὁρατὸν ὀφθαλμοῖς αὐτοῦ ἄνθρωπος ἦν. χρὴ οὖν καὶ ἡμᾶς ἐπιλανθανομένους τῶν σωματικωτέρων καὶ ἀφιέντας αὐτὰ σπεύδειν ἐπὶ τὸ μεταδιδόναι ἧς μετειλήφαμεν ὠφελείας ἑτέροις· ἐπὶ τοῦτο γὰρ προκαλεῖται ὁ εὐαγγελιστὴς ἔπαινον τοῖς εἰδόσιν ἀναγινώσκειν ἀναγράφων τῆς γυναικός.

Πρὸς μέντοι γε τὴν ἀναγωγὴν σκοπητέον τίς ἡ ὑδρία, ἣν ἀφίησιν 175
παραδεξαμένη πως τοὺς Ἰησοῦ λόγους ἡ Σαμαρεῖτις· καὶ τάχα τὸ δοχεῖον τοῦ σεμνοποιουμένου ἐπὶ βαθύτητι ὕδατος, τῆς διδασκαλίας, ὧν ἐφρόνει πρότερον ἐξευτελίζουσα ἀποτίθεται, ἐν τῷ κρείττονι τῆς ὑδρίας λαβοῦσα ἐκ τοῦ ὕδατος τοῦ γενομένου ἤδη ἐν αὐτῇ ἀρχῆς
210r »ὕδατος | ἁλλομένου εἰς ζωὴν αἰώνιον«· πῶς γὰρ ἂν τοῦ ὕδατος τού- 176
222H του μὴ μετειληφυῖα φιλανθρώπως Χριστὸν τοῖς πολίταις ἐκήρυσσεν, θαυμάζουσα αὐτὸν ἀπαγγέλλοντα »πάντα ἃ ἐποίησεν«, εἰ μὴ μετειλήφει, δι' ⟨ὧν⟩ ἤκουεν, τοῦ σωτηρίου ὕδατος; Ῥεβέκκα μέντοι καὶ 177
αὐτὴ ὑδρίαν ἔχουσα ἐπὶ τῶν ὤμων, πρὶν συντελέσαι λαλοῦντα ἐν τῇ διανοίᾳ τὸν παῖδα τοῦ Ἀβραάμ, ἐξεπορεύετο καλὴ τῇ ὄψει παρθένος· ἥτις ἐπείπερ οὐχ ὁμοίως ἤντλει τῇ Σαμαρείτιδι, καταβαίνει ἐπὶ τὴν

17 Vgl. Joh. 4, 29. — 28 Vgl. Joh. 4, 14. — 30 Vgl. Joh. 4, 29. — 31 Vgl. Gen. 24, 15ff.

9 ὅσα s. o. z. S. 252, 21 | μήτι οὗτος] μὴ τοιουτος; sollte das die LA. d. Orig. sein? vgl. S. 255, 28 u. c. 63 | 18 ὀφθαλμοῖς] ι a. Ras. | 25 σεμνοῦ ποιουμένου | 31 δι' ⟨ὧν⟩ ἤκουε] διηκουεν M, δι' ὧν ἤκουσεν V | ρεβεκκαν.

Digitized by Google

πηγὴν καὶ πληροῖ τὴν ὑδρίαν, ἀναβάσῃ τε αὐτῇ ἐπιτρέχει εἰς συνάντησιν ὁ τοῦ Ἀβραὰμ παῖς καὶ εἶπεν· »Πότισόν με μικρὸν ὕδωρ ἐκ
178 »τῆς ὑδρίας σου«. ἐπεὶ γὰρ παῖς ἦν τοῦ Ἀβραάμ, ἠγάπα κἂν μικροῦ ὕδατος ἀπὸ τῆς ὑδρίας Ῥεβέκκας λαβεῖν· »Καὶ ἔσπευσεν ἡ Ῥεβέκκα, »καὶ καθεῖλεν τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς καὶ ἐπότισεν αὐ- 240R
τόν, ἕως ἐπαύσατο πίνων«· ἐπείπερ οὖν ἦν ἐπαινετὴ ἡ τῆς Ῥεβέκκας ὑδρία, οὐ καταλείπεται ὑπ' αὐτῆς, ἡ δὲ τῆς Σαμαρείτιδος ⟨οὐκ⟩ οὖσα ὥρᾳ ἔκτῃ ἀφίεται.

179 XXX. Ἐνθάδε μὲν δὴ τοῖς Σαμαρείταις γυνὴ εὐαγγελίζεται τὸν χριστόν, ἐπὶ τέλει δὲ τῶν εὐαγγελίων καὶ τὴν ἀνάστασιν τοῦ σωτῆ- 10
ρος τοῖς ἀποστόλοις ἡ πρὸ πάντων αὐτὸν θεασαμένη γυνὴ διηγεῖ-
180 ται. ἀλλ' οὔτε αὕτη ὡς τὸ τέλειον τῆς πίστεως εὐαγγελισαμένη εὐχαριστεῖται ὑπὸ τῶν Σαμαρειτῶν λεγόντων· »Οὐκέτι διὰ τὴν λα- »λιάν σου πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός »ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου«· ἐκείνη τε τὴν ἀπαρχὴν τῆς 15
ἁφῆς τοῦ χριστοῦ οὐ πιστεύεται λέγοντος αὐτῇ· »Μή μου ἅπτου«· ἔμελλε γὰρ Θωμᾶς ἀκούειν· »Φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε »τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν
181 »μου«. πάντα δὲ ἦν, ἃ ἐποίησεν ἡ γυνή, ἡ πρὸς τοὺς πέντε ἄνδρας κοινωνία καὶ μετ' ἐκείνους ἡ πρὸς τὸν ἕκτον οὐ γνήσιον ἄνδρα συγ- 20
κατάβασις, ὄντινα ἀρνησαμένη καὶ τὴν ὑδρίαν καταλείπουσα ⟨εἰς⟩ ἕβδομον σεμνῶς ἀναπαύεται, προξενοῦσα τὴν ὠφέλειαν καὶ τοῖς ἀπὸ τῶν προτέρων αὐτῆς δογμάτων οἰκοῦσι πόλιν τὴν οἰκοδομὴν τῶν οὐχ ὑγιῶν λόγων, τὴν αὐτὴν τῇ γυναικί· οἷς καὶ αἰτία γίνεται ἐξελθεῖν
182 τῆς πόλεως καὶ ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. πάνυ δὲ παρατετηρημένως 25
ἐν τοῖς ἑξῆς οἱ Σαμαρεῖται ἐρωτῶσιν τὸν Ἰησοῦν, οὐχ ἵνα μείνῃ ἐν τῇ πόλει, ἀλλὰ »παρ' αὐτοῖς«, τουτέστιν ἵνα γένηται ἐν τῷ ἡγεμονικῷ αὐτῶν· τάχα γὰρ οὐκ ἦν δυνατὸν μεῖναι αὐτὸν ἐν τῇ πόλει αὐτῶν, ἐπείπερ καὶ αὐτοὶ ἐξῆλθον εὖ ποιοῦντες ἐκ τῆς πόλεως καὶ ἤρχοντο πρὸς αὐτόν. 30

183 Ὅτι δὲ τοιαῦτά τινα δηλοῦται ἀκριβέστατα εἰς τὰς ἀναγωγάς, ἀφορμὰς ἡμῖν διδόντος τοῦ εὐαγγελιστοῦ, ἐκ τούτων κατακριτέον. 223H
184 πρότερον μὲν γέγραπται· »Ἐξῆλθον ἐκ τῆς πόλεως καὶ ἤρχοντο πρὸς »αὐτόν«, καὶ μετ' ὀλίγα· »Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπί-

2 Gen. 24, 17. — 4 Gen. 24, 18. — 8 Vgl. Joh. 4, 6. — 10 Vgl. Joh. 20, 18. — 18 Joh. 4, 42. — 16 Joh. 20, 17. — 17 Joh. 20, 27. — 27 Vgl. Joh. 4, 40. — 29 Vgl. Joh. 4, 30. — 33 Joh. 4, 30. — 34 Joh. 4, 39f.

5 καὶ¹ ü d. Z. | 7 ὑπ'] ἀπ' zu ὑπ corr. M | ⟨οὐκ⟩ + We, nach οὖσα ist ἐπαινετή hinzuzudenken. | 21 ⟨εἰς⟩ + V | 23 αὐτῇ, corr. We.

Digitized by Google

210v »στευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν διὰ τὸν λόγον τῆς | γυναικὸς »μαρτυρούσης ὅτι Εἶπέν μοι πάντα, ἃ ἐποίησα· ὡς οὖν ἦλθον πρὸς »αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτόν μεῖναι παρ' αὐτοῖς«. καὶ πρό- 185
τερον οὖν ἐκ τῆς πόλεως ἤρχοντο πρὸς αὐτόν, καὶ δεύτερον ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἔτι ὄντα παρὰ τῇ πηγῇ τοῦ Ἰακὼβ (οὐ γὰρ φαίνεται κεκινημένος ἐκεῖθεν), »καὶ ἠρώτων αὐτὸν μεῖναι παρ' »αὐτοῖς«· οὐ γέγραπται δὲ μετὰ τοῦτο, ὅτι εἰσῆλθεν εἰς τὴν πόλιν,
241R ἀλλ' »Ἔμεινεν ἐκεῖ δύο ἡμέρας«. ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς οὐκ εἴρηται 186
»Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκ τῆς πόλεως« ἀλλὰ »Καὶ ἐξῆλθεν »ἐκεῖθεν«· ὅσον γὰρ ἐπὶ τῷ νοητῷ πᾶσα ἡ οἰκονομία τῆς ὠφελείας τοῖς Σαμαρεῦσιν παρὰ τῇ πηγῇ γεγένηται τοῦ Ἰακώβ.

XXXI. (30) Ὁ δὲ Ἡρακλέων τὴν ὑδρίαν τὴν δεκτικὴν 187
ζωῆς ὑπολαμβάνει εἶναι διάθεσιν καὶ ἔννοιαν [καὶ] τῆς δυνάμεως τῆς παρὰ τοῦ σωτῆρος, ἥντινα καταλιποῦσα, φησί, παρ' αὐτῷ, τουτέστιν ἔχουσα παρὰ τῷ σωτῆρι τὸ τοιοῦτον σκεῦος, ἐν ᾧ ἐληλύθει λαβεῖν τὸ ζῶν ὕδωρ, ὑπέστρεψεν εἰς τὸν κόσμον εὐαγγελιζομένη τῇ κλήσει τὴν Χριστοῦ παρουσίαν· διὰ γὰρ τοῦ πνεύματος καὶ ὑπὸ τοῦ πνεύματος προσάγεται ἡ ψυχὴ τῷ σωτῆρι. κατα- 188
νόησον δὲ εἰ δύναται ἐπαινουμένη τυγχάνειν ἡ ὑδρία αὕτη πάντη ἀφιεμένη· »Ἀφῆκεν, γάρ φησι, τὴν ὑδρίαν αὐτῆς ἡ γυνή«. οὐ γὰρ πρόσκειται, ὅτι ἀφῆκεν αὐτὴν παρὰ τῷ σωτῆρι. πῶς δὲ καὶ 189
οὐκ ἀπίθανον καταλιποῦσαν αὐτὴν τὴν δεκτικὴν τῆς ζωῆς διάθεσιν καὶ τὴν ἔννοιαν τῆς δυνάμεως τῆς παρὰ τοῦ σωτῆρος καὶ τὸ σκεῦος, ἐν ᾧ ἐληλύθει λαβεῖν τὸ ζῶν ὕδωρ, ἀπεληλυθέναι εἰς τὸν κόσμον χωρὶς τούτων εὐαγγελίσασθαι τῇ κλήσει τὴν Χριστοῦ παρουσίαν; πῶς δὲ καὶ ἡ πνευματικὴ μετὰ τοσούτους 190
λόγους οὐ πέπεισται σαφῶς περὶ τοῦ χριστοῦ, ἀλλά φησι· »Μήτι »οὗτός ἐστιν ὁ χριστός«; καὶ τὸ »Ἐξῆλθον δὲ ἐκ τῆς πόλεως« 191
διηγήσατο ἀντὶ τοῦ ἐκ τῆς προτέρας αὐτῶν ἀναστροφῆς οὔσης κοσμικῆς· καὶ ἤρχοντο διὰ τῆς πίστεως, φησί, πρὸς τὸν σωτῆρα. λεκτέον δὲ πρὸς αὐτόν, πῶς μένει παρ' 192
αὐτοῖς τὰς δύο ἡμέρας; οὐ γὰρ τετήρηκεν, ὃ προπαρεθέμεθα ἡμεῖς περὶ τοῦ ⟨οὐκ⟩ ἐν τῇ πόλει αὐτὸν ἀναγεγράφθαι μεμενηκέναι τὰς δύο ἡμέρας.

1 Joh. 4, 29. — **4** Vgl. Joh, 4, 40. — **9** Joh. 4, 43. — **21** Joh. 4, 28. — **28** Joh. 4, 29f. — **33** Vgl. Z. 3ff. — **34** Vgl. Joh. 4, 40.

10 ἡ ü. d. Z. | **13** [καὶ] z. str. vgl. Z. 24f. | **14** καταλειποῦσα, corr. V vgl. Z. 23 | **16** τοιοῦτο | **27** δὴ, corr. V | **23** καταλειποῦσαν, corr. V | **27** ἡ a. Ras. | **28** πέπεισται] επ a. Ras. | μήτι οὗτος s. o. S. 253, 9 | **34** ⟨οὐκ⟩ + We, μὴ Br.

Digitized by Google

IV, 31. *Ἐν τῷ μεταξὺ ἠρώτων αὐτόν οἱ μαθηταὶ λέγοντες· Ῥαββεὶ φάγε.*

193 XXXII (31). *Μετὰ τὴν περὶ τὸ ποτὸν οἰκονομίαν καὶ τὴν διδασκαλίαν τῆς διαφορᾶς τῶν ὑδάτων ἀκόλουθον ἦν καὶ τὰ περὶ* 224 H
194 *τροφῆς ἀναγεγράφθαι. ἡ μὲν οὖν Σαμαρεῖτις αἰτουμένη πιεῖν διὰ τῶν ἐπαπορήσεων αὐτῆς οἱονεὶ * * δὲ διὰ τὸν αἰτήσαντα· οὔτε γὰρ εἶχεν δοῦναι τῷ Ἰησοῦ ἄξιον αὐτοῦ πόμα, εἰ κἀκεῖνος ἐν τῷ ἐκείνην αἰτηθεῖσαν ὀρέξαι ἐβούλετο εὐεργετῆσαι διὰ τούτου τὴν πιεῖν δεδω-*
195 *κυῖαν. ἔπρεπεν ἤδη * * * * ἀπὸ τῆς Σαμαρείτιδος. οἱ δὲ μαθηταὶ * * * ἀπεληλυθότων εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσιν, ἤτοι* 10
*εὑρηκότες ἐπιτηδείους τροφὰς παρὰ τοῖς ἑτεροδόξοις, λόγους τινὰς ἁρμόζοντας, * * * * * * αὐτῷ Φάγε· καιρὸν νομίσαντες ἐπιτήδειον* 242 R
εἶναι αὐτῷ τροφῆς | τὸν μεταξὺ τοῦ ἀπεληλυθέναι εἰς τὴν πόλιν τὴν 211 r
γυναῖκα καὶ τοῦ ἐληλυθέναι πρὸς αὐτὸν τοὺς Σαμαρείτας· ἐπ' οὐδενὸς γὰρ ξένου παρετίθεσαν αὐτῷ τὴν τροφὴν ἴσως ἐπιτριβείσης ἂν 15
τῆς Σαμαρείτιδος, εἰ ἑώρα τοὺς μαθητὰς τὰ ἀπὸ τῆς πόλεως αὐτῆς τρόφιμα ἤτοι ὄντα ἢ νομιζόμενα παρατιθέναι βουλομένους τῷ διδα-
196 *σκάλῳ. ἀλλ' οὐδὲ ἐνώπιον τῶν Σαμαρειτῶν δεόντως ἂν ἐκεῖνοι ἔλεγον· »Ῥαββὶ φάγε·« χρηζόντων καταλιπεῖν ἑαυτῶν τὴν πόλιν. διὰ τοῦτο καλῶς πρόσκειται τὸ »Ἐν τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθη-* 20
197 *»ταὶ λέγοντες· Ῥαββὶ φάγε«. διὰ τί δὲ »αὐτὸν ἠρώτων«, καὶ οὐχὶ * * * ἄξιον ἰδεῖν· * * * τερον γὰρ ⟨ἂν⟩ ἐγέγραπτο· »Ἐν δὲ τῷ με-*
198 *»ταξὺ ἔλεγον αὐτῷ οἱ μαθηταί Ῥαββὶ φάγε«. τὸ δὲ καὶ ἐρωτᾶν ἵνα φάγῃ καὶ ἱκετεύει⟨ν⟩ * * * δεῖσθαι τάχα τι δηλοῖ πρὸ τῆς ἐξετάσεως, ἐνίοτε δὲ καὶ μετὰ τὴν ἐξέτασιν. καὶ ὅρα μήποτε εὐλαβοῦνται μὴ * * * 25*
*ὁ λόγος ταῖς οἰκει * * * ἢ ἰσχυροποιούμενος τροφαῖς, ⟨καὶ⟩ ἐρωτῶσιν*

10 Vgl. Joh. 4, 8. — 13 Vgl. Joh. 4, 28. 30. — 20 Joh. 4, 31. — 22 Joh. 4, 31.

5 *τροφῆς*] *οφης* a. Ras. | 6 *δὲ διὰ*, der Text ist lückenhaft; We erg. etwa: *οἱονεὶ ⟨αὐτὴ ἐποτίσθη διὰ τὸν αἰτήσαντα* | 8 *τὴν*] *τοῦ*, corr. Pr | 9 nach *ἤδη* Lücke von c. 9—10 Bchst., nach *μαθηταὶ* eine von c. 6—7 Bchst. Etwa auszufüllen *⟨οὔτε⟩ ἔπρεπεν ἤδη ⟨τροφὴν λαβεῖν⟩ ἀπὸ τῆς Σαμαρείτιδος. οἱ δὲ μαθηταὶ ⟨ὧν μνημονεύει⟩ ἀπεληλυθότων κτλ.* | 12 Lücke von c. 25—28 + c. 16—18 Bchst. Etwa *ἁρμόζοντας ⟨τῇ οἰκονομίᾳ, φέροντες αὐτὰς παρέθηκαν καὶ ἔλεγον⟩ αὐτῷ· φάγε* | 19 *καταλειπεῖν* 22 nach *οὐχὶ* Lücke von c. 9—10 Bchst.; *⟨ἔλεγον αὐτῷ⟩* Del nach B? *⟨ἁπλῶς ἔλεγον⟩* We; nach *ἰδεῖν* Lücke von c. 8—9 Bchst. *⟨ἁπλούστερον* Del (nach B?) | *⟨ἄν⟩* + We | 23 *ἐρωτᾶ*, corr. V | 24 *ἱκετεύει*, corr. V, danach Lücke von c. 8—9 Bchst. *⟨αὐτὸν καὶ⟩* erg. V | 25 [*καὶ μετὰ τὴν ἐξ*]*έτασιν*, a. Ras. | nach *μὴ*, Lücke von c. 7 Bchst. erg. etwa *⟨πεινάσῃ⟩*; *⟨ἀρνῆται⟩* erg. We | 26 nach *λόγος* Lücke von c. 4 Bchst. erg. etwa *⟨ὡς μὴ⟩*, *⟨ἅτε⟩* We | *οἰκει* danach Lücke von etwa 9 Bchst. erg. etwa *οἰκεί⟨αις τραφείς⟩* | *⟨καὶ⟩* + We.

Digitized by Google

αὐτὸν † εὑρισκομένους ἐδέσθαι· οἷς γὰρ εὑρίσκουσιν οἱ μαθηταὶ ἀεὶ τρέφειν τὸν λόγον βούλονται, ἵνα ἰσχυροποιούμενος καὶ τονούμενος καὶ δυναμούμενος ἐπιπλεῖον παραμείνῃ τοῖς αὐτὸν τρέφουσιν, ἀντιτρέφων τοὺς παρατιθέντας αὐτῷ τὰ βρώματα. διὰ τοῦτο ἑστηκέναι 199
φησὶν ἐπὶ τὴν θύραν καὶ κρούειν, ἵν' ἐάν τις ἀνοίξῃ τὴν θύραν εἰσέλθῃ πρὸς αὐτὸν καὶ δειπνήσῃ μετ' ἐκείνου, ὥστε ὕστερον δυνηθέντα τὸν δειπνίσαντα ἀντιδειπνισθῆναι ὑπὸ τοῦ δειπνήσαντος λόγου παρὰ τῷ ἀνθρώπῳ.

(32) Ὁ δὲ Ἡρακλέων φησίν, ὅτι ἐβούλοντο κοινωνεῖν 200
αὐτῷ ἐξ ὧν ἀγοράσαντες ἀπὸ τῆς Σαμαρείας κεκομίκεισαν. ταῦτα δὲ φησὶν ἵνα τινα * * * * αἱ πέντε μωραὶ παρθένοι * * * * * * * ἀπὸ τοῦ νυμφίου. πῶς δὲ οἶμαι * * * τὰ 201
225 H αὐτὰ ἔχειν * * λέγονται * * * * ταῖς ἀποκλισθείσαις μωραῖς παρθένοις ἄξιον ἰδεῖν κατηγορίαν περιέχοντα τῶν μαθητῶν τοῖς
15 αὐτοῖς κοιμωμένων ταῖς μωραῖς παρθένοις. ἔτι δὲ καὶ τὸ ἀνό- 202
μοιον τοῦ φωτὸς πρὸς τροφήν, καὶ τοῦ ἐλαίου πρὸς τὰ βρώματα * * * * * σαντας αἰτιάσασθαι τὴν ἐκδοχήν, ἢ εἴπερ τι ἐδύνατο σαφῆ ποιῆσαι τὸν λόγον, ἐχρῆν αὐτὸν διὰ πλειόνων παραμυθήσασθαι κατασκευάζοντα τὴν ἰδίαν ἐκδοχήν.

243 R **IV, 32.** *Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε.*

XXXIII. Τὸ μὲν ἀνενδεὲς οὐ χρῄζει βρώσεως, τὸ δὲ χρῄζον βρώ- 203
σεως οὐκ ἔστιν ἀνενδεές. καὶ δῆλον ὅτι ὁ ἐσθίων οὐχὶ μὴ χρῄζων βρώσεως ἐσθίει, ἀλλὰ χρῄζων καὶ δεόμενος αὐτῆς. καὶ τὰ μὲν σώ- 204
25 ματα, ἅτε τῇ φύσει ὄντα ῥευστά, τρέφεται τῆς τροφῆς ἀναπληρούσης τὸν τόπον τῶν ἀπορρεόντων· τὰ δὲ κρείττονα σώματος τρέφεται

4 Vgl. Apok. 3, 20. — 11 Vgl. Matth. 25, 1 ff. — 24 Vgl. Clem. Al., Strom. III, 12, 86: ἀλλ' οὐδὲ ἡμεῖς ἀντιλέγομεν τῇ γραφῇ, ὅτι φθαρτὰ ἡμῖν [l. ἡμῶν] τὰ σώματα καὶ φύσει ῥευστά.

1 τὰ εὑρισκόμενα We | 7 δειπνίσαντα] δειπνήσαντα u. δειπνησθῆναι, corr. We ἀπὸ, corr. We | 12—14 Die Grösse der Lücken ist c. 4—5, 42, 8—9, 6—7 Bchst. Etwa: ταῦτα δὲ φησίν, ἵνα τι ἀνα λόγον [τρόπον? We] αἱ πέντε μωραὶ παρθένοι εἰκασθῶσι τοῖς μαθηταῖς We, αἵτινες ἀπεκλείσθησαν Pr ὑπὸ τοῦ νυμφίου. πῶς δὲ οἱ μαθηταὶ τοῦ Ἰησοῦ τὰ αὐτὰ ἔχειν (.... λέγονται ἐκείναις ταῖς ἀποκλ. μ. π. ἄξιος ἰδεῖν, κτλ. Pr πῶς δὲ οἶμαι πλανᾶσθαι τὸν) τὰ αὐτὰ ἔχειν (νοήματα) λέγοντα τοὺς μαθητάς κτλ.) We mit der Bemerkung „alles unsicher" | 14 τοῖς αὐτοῖς wohl verderbt, etwa ὡσαύτως? | 15 ἔστι δὲ καὶ αὐτὸ, corr. We | 16 ἐλαίου] ποτοῦ, corr. We | 17 Lücke von c. 17 Bchst.; von We so ausgefüllt πρέπει ἀκριβῶς παραστήσαντας Der Schreiber hat durch ein über τι geschriebenes ζητητέον selbst erklärt, dass er die Worte nicht verstand | ἢ] ἣν? We | 18 ἐδύνατο] δυνάμενον, corr. We.

Digitized by Google

τοῖς ἀσωμάτοις νοήμασιν καὶ λόγοις καὶ πράξεσιν ὑγιέσιν, οὐχὶ εἰς 211v
τὸ μὴ εἶναι διαλυθησόμενα, εἰ μὴ τρέφοιτο· οὐδὲ γὰρ σώματα μὴ
τρεφόμενα εἰς τὸ μὴ εἶναι διαλύεται· ἀπόλλυσιν δὲ τὸ εἶναι τοιάδε,
ὅτε οὐ τρέφεται τοῖς τοιοῖσδε τὰ τῆς διαφερούσης τῶν σωμάτων
205 φύσεως. ὥσπερ δὲ τὰ δεόμενα τροφῆς σώματα οὐδὲ τοῖς ἀπὸ τῶν 5
ποιοτήτων τρέφεται, οὐδὲ ποσότης τροφῶν ἡ αὐτὴ πᾶσιν ἀρκεῖ, οὕτω
νοητέον καὶ ἐπὶ τῶν κρειττόνων παρὰ τὰ σώματα. καὶ γὰρ ταῦτα
τὰ μὲν πλείονος, τὰ δὲ ἐλάττονος δεῖται τροφῆς, οὐ τῶν ἴσων ὄντα
206 χωρητικά. ἀλλ᾽ οὐδὲ ἡ ποιότης τῶν τρεφόντων λόγων καὶ νοημάτων
τῶν ἐν θεωρίᾳ πράξεών ⟨τε⟩ τῶν τούτοις ἁρμοζουσῶν, ἡ αὐτὴ ἁρ- 10
207 μόζει πάσαις ταῖς ψυχαῖς. ἀλλὰ γὰρ καὶ λάχανον καὶ στερεὰ τροφὴ
οὐχὶ κατὰ τὸν αὐτὸν καιρὸν τρέφει τοὺς δεομένους τῆς ἀπὸ τούτων
208 βελτιώσεως. τὰ μὲν γὰρ ἀρτιγέννητα βρέφη, ὥς φησιν ὁ Πέτρος,
τὸ λογικὸν ἄδολον γάλα ἐπιποθείτω, καὶ εἴ τις τὴν νηπιότητα ἔχει
Κορινθίων, πρὸς οὓς φησιν ὁ Παῦλος ·»Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα«. 15
209 ὁ δὲ ἀσθενῶν διὰ τὸ μὴ πιστεύειν λάχανα ἐσθιέτω· καὶ τοῦτο
δὲ ὁ Παῦλος διδάσκει λέγων· »Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ
210 »ἀσθενῶν λάχανα ἐσθίει«. καὶ ἔστιν γέ ποτε »κρειττων ξενισμὸς
»λαχάνων πρὸς φιλίαν καὶ χάριν, ὥσπερ καὶ μόσχοι ἀπὸ φάτνης μετὰ
»ἔχθρας«. »Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ τῶν διὰ τὴν ἕξιν τὰ 20
»αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ
»κακοῦ«. ἔστιν δέ τις καὶ δηλητήριος τροφή, ἥντινα μανθάνομεν
ἀπὸ τῆς τετάρτης τῶν Βασιλειῶν, λεγόντων πρὸς τὸν Ἐλισαῖόν
211 τινων· »Θάνατος ἐν τῷ λέβητι, ἄνθρωπε τοῦ θεοῦ«. καὶ ἡ μέν τίς
ἐστιν τῶν ἀλογωτέρων ψυχῶν πνευματικὴ ποώδης τροφὴ καὶ ἄλλη 226H
χόρτος ἢ ἄχυρον, ἅπερ σημαίνεται διὰ τοῦ· »Κύριος ποιμανεῖ με,
212 »καὶ οὐδέν με ὑστερήσει. εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν·
»ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέν με«. καὶ ὁ Ἡσαΐας δέ φησι· »Λέων
»δὲ ὡς βοῦς ἄχυρον φάγεται«. ἀλλὰ καὶ χόρτον τοῖς κτήνεσιν ἐν
213 τῷ οἴκῳ τῆς Ῥεβέκκας παρατιθέασιν τοῦ παιδὸς Ἀβράμ. ἐὰν δέ τις 244R
ᾖ λογικώτερος καὶ διὰ τοῦτο καὶ νοητὸς ἄνθρωπος, τὸν νοητὸν
ἄρτον ἐσθίει, ὡς ἐν ψαλμοῖς γέγραπται· »Ἄρτος στηρίζει καρδίαν
»ἀνθρώπου«, καὶ τῷ νοητῷ οἴνῳ εὐφραίνεται οὐκ ἄλλως ἢ ἄνθρωπος·

11 Vgl. Röm. 14, 2. — **12** Hebr. 5, 12. — **13** Vgl. I Petr. 2, 2. — **15** I Kor. 3, 2. + Röm. 14, 2. — **18** Prov. 15, 17. — **20** Hebr. 5, 14. — **22** Vgl. de or. 27, 9 (II, 369, 15 K.) — **24** II Kön. 4, 40. — **26** Ps. 22, 1f. — **28** Jes. 11, 7. — **29** Vgl. Gen. 24, 32. — **32** Ps. 103, 15.

5 οὐδὲ] οὔτε, corr. Br | **10** ⟨τε⟩ add. Pr | **18** κρείττων a. Rande mit ÷ nachgetragen | μετὰ λαχάνων ℵB, Orig. = A | **19** statt ὥσπερ — φάτνης haben BℵA ἢ παράθεσις μόσχων; ἢ μόσχος ἀπὸ φάτνης Luc., Syr. hex. | **23** ὑπὸ, corr. V | **24** τινων] πιῶν | **26** ποιμανεῖ mit ℵ*A | **33** ἄλλος, corr. Pr.

Digitized by Google

»Οἶνος γὰρ εὐφραίνει καρδίαν ἀνθρώπου«. ἀναβατέον δὲ τῷ λόγῳ 214
ἀπὸ τῶν ἀλόγων καὶ τῶν ἀνθρώπων καὶ ἐπὶ τοὺς ἀγγέλους καὶ
αὐτοὺς τρεφομένους· οὐ γάρ εἰσιν πάντη ἀνενδεεῖς. »Ἄρτον γοῦν
»ἀγγέλων ἔφαγεν ἄνθρωπος«, μακάριός γε ὁ Ἀβραὰμ δυνηθεὶς τοῖς
ἐπιφανεῖσιν αὐτῷ τρισὶν ἐγκρυφίας ἀζύμους παραθεῖναι.

212r XXXIV. Ἀλλ' ἤδη ἐπὶ τὸν προκείμενον λόγον | τὸν περὶ τῆς 215
Χριστοῦ βρώσεως ὁδευτέον, ἣν οἱ μαθηταὶ τότε οὐκ ἤδεσαν· ἀληθεύει
γὰρ λέγων ὁ Ἰησοῦς· »Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε«.
ὅπερ γὰρ καὶ ἔπραττεν ὁ Ἰησοῦς ποιῶν τὸ θέλημα τοῦ πέμψαντος 216
αὐτὸν ⟨καὶ⟩ τελειῶν αὐτοῦ τὸ ἔργον, τοῦτο οὐκ ἤδεσαν οἱ μαθηταί.
ἵνα δὲ νοηθῇ τρανότερον τὸ »Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ 217
»οἴδατε«, λεγέτω καὶ Παῦλος τοῖς χρείαν ἔχουσιν γάλακτος, καὶ οὐ
στερεᾶς τροφῆς, Κορινθίοις, καὶ γάλα ποτιζομένοις καὶ οὐ βρῶμα,
τῷ μηδέπω αὐτοὺς δύνασθαι βρώματος μεταλαμβάνειν· »Ἐγὼ βρῶσιν
»ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε«. καὶ ἀεί γε ὁ διαφέρων τοῖς ὑπο- 218
δεεστέροις καὶ μὴ δυναμένοις τὰ αὐτὰ τοῖς κρείττοσιν θεωρεῖν ἐρεῖ·
»Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε«. καὶ οὐκ ἄτοπόν 219
γε λέγειν μὴ μόνον ἀνθρώπους καὶ ἀγγέλους ἐνδεεῖς εἶναι τῶν νοητῶν
τροφῶν, ἀλλὰ καὶ τὸν χριστὸν τοῦ θεοῦ· καὶ αὐτὸς γάρ, ἵν' οὕτως
εἴπω, ἐπισκευάζεται ἀεὶ ἀπὸ τοῦ πατρὸς τοῦ μόνου ἀνενδεοῦς καὶ
αὐτάρκους αὑτῷ. λαμβάνει δὲ τὰ βρώματα ὁ μὲν πολὺς τῶν μαθη- 220
τευομένων ἀπὸ τῶν μαθητῶν Ἰησοῦ, κελευομένων παρατιθέναι τοῖς
ὄχλοις· οἱ δὲ τοῦ Ἰησοῦ μαθηταὶ ἀπ' αὐτοῦ τοῦ Ἰησοῦ, πλὴν ἔσθ'
ὅτε καὶ ἀπὸ ἁγίων ἀγγέλων· ὁ δὲ υἱὸς τοῦ θεοῦ ἀπὸ τοῦ πατρὸς
μόνου λαμβάνει τὰ βρώματα, οὐ διά τινος. οὐκ ἄτοπον δὲ καὶ τὸ 221
ἅγιον πνεῦμα τρέφεσθαι λέγειν· ζητητέον δὲ λέξιν γραφῆς ὑπο-
βάλλουσαν ἡμῖν τοῦτο. ὅλον δὲ τὸ μυστήριον τῆς κλήσεως καὶ
ἐκλογῆς τὰ ἐν τῷ μεγάλῳ δείπνῳ ἐστὶν βρώματα· »Ἄνθρωπος, γάρ
227H »φησιν, ἐποίει δεῖπνον μέγα, καὶ τῇ ὥρᾳ τοῦ δείπνου ἔπεμψεν καλέσαι
»τοὺς κεκλημένους«. καὶ ἀναλεκτέον γε ἀπὸ τῶν εὐαγγελίων τὰς 222
περὶ δείπνων παραβολάς. ἀλλὰ καὶ διὰ τοῦ Ἡσαΐου αἱ ἐπαγγελίαι
245R ⟨τοῦ⟩ φαγεῖν εἰσιν καὶ πιεῖν, λέγοντος· »Ἰδοὺ οἱ δουλεύοντές μοι
»φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται,
»ὑμεῖς δὲ διψήσετε«. ἔτι μὴν ἐν τῇ Γενέσει εἰς τὸν παράδεισον τῆς 223

3 Ps. 77, 25. — **4** Vgl. Gen. 18, 6. — **8** Joh. 4, 32. — **9** Vgl. Joh. 4, 34. — **12** Vgl. Hebr. 5, 12. — **13** Vgl. 1 Kor. 3, 2. — **14** Joh. 4, 32. — **17** Joh. 4, 32. — **22** Vgl. Luk. 9, 16. — **28** Luk. 14, 16f. (vgl. Matth. 22, 3). — **32** Jes. 65, 13. — **34** Vgl. Gen. 2, 8.

8 ἔχει | **10** αὐτὸν] αὐτοῖς, corr. V | ⟨καὶ⟩ + We | nach τοῦτο fehlt viell. etwas wie ⟨βρῶσιν ὄν⟩ vgl. 260, 11 We | **19** ἵν' a. Ras. | **26** λέξιν] λεξειν, εξ a. Ras | 29 Die Worte sind teils aus Matth., teils aus Luk. entnommen | **32** ⟨τοῦ⟩ + We.

Digitized by Google

τροφῆς τίθεται τὸν ἄνθρωπον ὁ θεὸς νόμους περὶ τοῦ ἐσθίειν τάδε τινὰ καὶ μὴ ἐσθίειν τάδε διδούς. καὶ ἀθάνατος ἂν ἔμεινεν ὁ ἄνθρωπος, εἰ ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει ἤσθιεν, ἀπὸ δὲ
224 τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν μὴ ἤσθιεν. ὅρα καὶ τὰ ἐν εἰκοστῷ πρώτῳ ψαλμῷ λεγόμενα περὶ τῶν προσκυνούντων διὰ τὸ βεβρωκέναι· »Ἔφαγον, γάρ φησιν, καὶ προσεκύνησαν πάντες οἱ »πίονες τῆς γῆς«· διόπερ· »Οὐδὲ λιμοκτονήσει κύριος ψυχὴν δικαίαν«. ἀλλ' ὅταν ἄδικοι γενώμεθα, ἐξαποστελεῖ »λιμὸν ἐπὶ τὴν γῆν, οὐ »λιμὸν ἄρτου οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον
225 »κυρίου«. ὅσον οὖν προκόπτομεν, κρείττονα καὶ πλείονα φαγόμεθα, ἕως τάχα | φθάσομεν ἐπὶ τὸ τὴν αὐτὴν βρῶσιν φαγεῖν τῷ υἱῷ τοῦ 212v θεοῦ, ἣν ἐπὶ τοῦ παρόντος οἱ μαθηταὶ οὐκ οἴδασιν. οὐδὲν δὲ εἰς τὴν λέξιν εἶπεν ὁ Ἡρακλέων.

IV, 33. *Ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους· Μή τις ἤνεγκεν αὐτῷ φαγεῖν;*

226 XXXV. *Εἰ καὶ σαρκικῶς ὑπολαμβάνει ταῦτα λέγεσθαι ὁ Ἡρακλέων ὑπὸ τῶν μαθητῶν, ὡς ἔτι ταπεινότερον διανουμένων καὶ τὴν Σαμαρεῖτιν μιμουμένων λέγουσαν· »Οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶν βαθύ«, ἄξιον ἡμᾶς ἰδεῖν, μήποτε βλέποντές τι θειότερον οἱ μαθηταί*
227 *φασιν πρὸς ἀλλήλους· »Μή τις ἤνεγκεν αὐτῷ φαγεῖν;« τάχα γὰρ ὑπενόουν ἀγγελικήν τινα δύναμιν ἐνηνοχέναι αὐτῷ φαγεῖν· καὶ εἰκὸς ὅτι διὰ τοῦτο ἐδιδάσκοντο ὅτι μεῖζόν ἐστιν ὃ εἶχεν βρῶμα φαγεῖν, ὅπερ ἦν ποιῆσαι »τὸ θέλημα τοῦ πέμψαντος« αὐτὸν »καὶ τελειῶσαι τὸ ἔργον αὐτοῦ«.*

IV, 34. *Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον.*

228 XXXVI. *Πρέπουσα βρῶσις τῷ υἱῷ τοῦ θεοῦ ὅτε ποιητὴς γίνεται τοῦ πατρικοῦ θελήματος, τοῦτο τὸ θέλειν ἐν ἑαυτῷ ποιῶν ὅπερ ἦν καὶ ἐν τῷ πατρί, ὥστε εἶναι τὸ θέλημα τοῦ θεοῦ ἐν τῷ θελήματι τοῦ υἱοῦ, καὶ γενέσθαι τὸ θέλημα τοῦ υἱοῦ ἀπαράλλακτον τοῦ θελήματος τοῦ πατρός, εἰς τὸ μηκέτι εἶναι δύο θελήματα ἀλλὰ ⟨ἓν⟩ θέλημα· ὅπερ ἓν θέλημα αἴτιον ἦν τοῦ λέγειν τὸν υἱόν· »Ἐγὼ καὶ ὁ*

3 Vgl. Gen. 2, 16f. — 6 Ps. 21, 30. — 7 Prov. 10, 3. — 9 Am. 8, 11. — 12 Vgl. Joh. 4, 32. — 20 Joh. 4, 11. — 22 Joh. 4, 33. — 25 Vgl. Joh. 4, 34. — 34 Joh. 10, 30.

2 ὁ ü. d. Z. | 8 ἐπὶ — οὐ a. Ras. | 33 ⟨ἓν⟩ add. B.

Digitized by Google

»πατὴρ ἓν ἐσμεν«, καὶ διὰ τοῦτο τὸ θέλημα ὁ ἰδὼν αὐτὸν ἑώρακε
τὸν υἱόν, ἑώρακε δὲ καὶ τὸν πέμψαντα αὐτόν. καὶ πρέπον γε μᾶλλον 229
246R οὕτω νοεῖν ἡμᾶς ποιεῖσθαι ὑπὸ τοῦ υἱοῦ τὸ θέλημα τοῦ πατρός,
22SH ἀφ' οὗ θελήματος καὶ τὰ ἔξω τοῦ θέλοντος καλῶς ἐγένετο, ἤπερ
μὴ περιεργασαμένους ἡμᾶς τὰ περὶ τοῦ θελήματος νομίζειν εἶναι τὸ
ποιεῖν τὸ θέλημα τοῦ πέμψαντος * ἐν τῷ τάδε τινὰ τὰ ἔξω ποιεῖν.
ἐκεῖνο γάρ, λέγω δὲ τὸ ἔξω τοῦ θέλοντος γινόμενον χωρὶς τοῦ 230
προειρημένου θελήματος, οὐχ ὅλον μὲν τὸ θέλημα τοῦ πατρός· πᾶν
δέ ἐστιν τὸ θέλημα τοῦ πατρὸς ὑπὸ τοῦ υἱοῦ γινόμενον ὅτε τὸ
θέλειν τοῦ θεοῦ γενόμενον ἐν τῷ υἱῷ ποιεῖ ταῦτα ἅπερ βούλεται
τὸ θέλημα τοῦ θεοῦ. μόνος δὲ ὁ υἱὸς πᾶν τὸ θέλημα ποιεῖ χωρήσας 231
τοῦ πατρός· διόπερ καὶ εἰκὼν αὐτοῦ. ἐπισκεπτέον δὲ καὶ περὶ τοῦ
ἁγίου πνεύματος· τὰ δὲ λοιπὰ ἅγια οὐδὲν μὲν ποιήσει παρὰ τὸ
θέλημα τοῦ θεοῦ, καὶ πάντα γε ἃ ποιήσει, ποιήσει κατὰ τὸ θέλημα
τοῦ θεοῦ, οὐ μέντοι γε διαρκεῖ πρὸς τὸ κατὰ τὸ πᾶν θέλημα τυπω-
θῆναι. καὶ τόδε γε τὸ ἅγιον παρὰ τόδε τὸ ἅγιον μεῖζον ἢ πλεῖον ἢ 232
ἐκτυπώτερον συγκρίσει ἑτέρου χωρήσει ἀπὸ τοῦ πατρικοῦ θελήματος.
213r καὶ πάλιν παρ' ἐκεῖνο ἔσται τι ἄλλο διαφερόντως χωροῦν· | πᾶν δὲ
καὶ ὅλον τὸ θέλημα τοῦ θεοῦ ποιήσει ὁ εἰπών· »⟨Ἐμὸν⟩ βρῶμά
»ἐστιν, ἵνα ποιήσω τὸ θέλημα τοῦ θεοῦ τοῦ πέμψαντός με«. μετὰ 233
τοῦτο γοῦν φησὶν εὐχαρίστως περὶ τοῦ θεοῦ· »Οὐ δύναται ὁ υἱὸς
»ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· ἃ
γὰρ ἐὰν ποιῇ ὁ πατήρ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. ὁ πατὴρ
»ἀγαπᾷ τὸν υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ«. καὶ 234
τάχα διὰ ταῦτα εἰκὼν ἐστιν τοῦ θεοῦ τοῦ ἀοράτου· καὶ γὰρ τὸ ἐν
αὐτῷ θέλημα εἰκὼν τοῦ πρώτου θελήματος, καὶ ἡ ἐν αὐτῷ θεότης
εἰκὼν τῆς ἀληθινῆς θεότητος· εἰκὼν δὲ καὶ τῆς ἀγαθότητος ὢν τοῦ
πατρός φησι· »Τί με λέγεις ἀγαθόν;« καὶ τοῦτό γε τὸ θέλημα βρῶμά
ἐστιν τοῦ υἱοῦ ἴδιον αὐτοῦ, δι' ὃ βρῶμα ἔστιν ὃ ἔστιν.

Ὅτι δὲ τὸ περὶ τῆς διαθέσεώς ἐστιν τὸ θέλημα, δηλοῖ ἡ ἐπι- 235
φερομένη λέξις δεύτερον λέγουσα μετὰ τὴν ποίησιν τοῦ θελήματος
τὸ τελειοῦσθαι τὸ ἔργον τοῦ θεοῦ. XXXVII. ἐπιπλέον δὲ καὶ περὶ 236
τούτου θεωρητέον, ἵν' εἰδῶμεν τί ἐστιν καὶ τὸ »Τελειώσω αὐτοῦ τὸ

1 Vgl. Joh. 12, 45. — **12** Vgl. II Kor. 4, 4. — **19** Joh. 4, 34. — **21** Joh. 5, 19f. — **25** Vgl. Kol. 1, 15. — **27** Vgl. Weish. Sal. 7, 26. — **28** Mark. 10, 18; Luk. 18, 19. Vgl. Joh. 4, 34. — **33** Joh. 4, 34.

2 ἑώρακε] ἑώρα, corr. V | **3** νοεῖν] νοσεν, corr. V | **8** Die Lücke bez. We; erg. etwa τελειοῦται | **11** χωρῆσαι, corr. V | **13** ποιῆσαι, corr. V | **14** ἃ] ο, corr. B **19** ⟨ἐμὸν⟩ + V | **21** οὐδὲν durch Dittogr., corr. Br | **23** ὁ πατὴρ mit Syr. Cur. Sin. Pesch. Boh.; ἐκεῖνος rell. | **24** ἀγαπᾷ mit D (φιλεῖ rell.) | **28** τὸ a. Ras. | **33** θεωρητέον] εω a. Ras.

Digitized by Google

ἔργον.« ὁ μὲν οὖν τις ἁπλούστερον ἐρεῖ ὅτι τὸ προστεταγμένον ἔργον, ὅπερ αὐτοῦ ἐστιν τοῦ προστάξαντος, * * ὡσεὶ ἐπὶ παραδειγμάτων ἐλέγομεν τοὺς οἰκοδομοῦντας ἢ γεωργοῦντας φάσκειν τελειοῦν τὸ ἔργον τοῦ λαβόντος αὐτοὺς ἐπὶ τὸ ἔργον, ἐν τῷ ποιεῖν δι' ὃ παρελήφθησαν· ὁ δέ τις ἐρεῖ ὅτι εἴπερ τελειοῦται τὸ ἔργον τοῦ θεοῦ ὑπὸ τοῦ χριστοῦ, δῆλον ὅτι τοῦτο πρὶν τελειωθῆναι ἀτελὲς 247R
237 ἦν· πῶς οὖν ἀτελὲς ἦν, ἔργον τυγχάνον τοῦ θεοῦ; καὶ πῶς τὸ ἔργον τοῦ θεοῦ τελειοῦται ὑπὸ τοῦ εἰπόντος· »Ὁ πατήρ ὁ πέμψας με μείζων »μου ἐστίν«; ἡ δὲ τελείωσις τοῦ ἔργου ἡ τοῦ λογικοῦ τελείωσις ἦν· 229H
τοῦτο γὰρ ἦλθεν ἀτελὲς ὂν τέλειον ποιῆσαι ὁ γενόμενος σὰρξ λόγος.
238 ἆρ' οὖν ἐκτίσθη ἀτελὲς τὸ ἔργον, καὶ πέμπεται ὁ σωτὴρ τὸ ἀτελὲς τελειῶσαι; καὶ πῶς οὐκ ἄτοπον τὸν μὲν πατέρα ἀτελοῦς ποιητὴν γεγονέναι, τὸν δὲ σωτῆρα τὸ ἀτελὲς τετελειωκέναι, κτισθὲν ἀτελές;
239 ἡγοῦμαι δὴ ἐν τοῖς τόποις βαθύτερόν τι ἐναποκεῖσθαι μυστήριον· τάχα γὰρ οὐ πάντη ἀτελὲς τὸ λογικὸν ἦν ἅμα τῷ τεθεῖσθαι ἐν τῷ
240 παραδείσῳ. πῶς γὰρ ἂν τὸ πάντη ἀτελὲς ἐτίθετο ὁ θεὸς ἐν τῷ παραδείσῳ ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν; ὁ γὰρ δυνάμενος ἐργάζεσθαι »ξύλον ζωῆς« καὶ πάντα δὲ ἃ ἐφύτευσεν ὁ θεὸς καὶ μετὰ
241 ταῦτα ἐξανέτειλεν, οὐκ ἂν εὐλόγως λέγοιτο ἀτελές. μήποτε οὖν τέλειος ὢν πως ἀτελὴς διὰ τὴν παρακοὴν [ὢν] γέγονεν καὶ ἐδεήθη τοῦ τελειώσοντος αὐτὸν ἀπὸ τῆς ἀτελείας, καὶ διὰ τοῦτο ἐπέμφθη ὁ σωτήρ, πρῶτον μὲν ἵνα ποιήσῃ τὸ θέλημα τοῦ πέμψαντος αὐτόν, ἐργάτης αὐτοῦ καὶ ἐνταῦθα γενόμενος, δεύτερον δὲ ἵνα τελειώσῃ τὸ ἔργον τοῦ θεοῦ καὶ ἕκαστος τετελειωμένος οἰκειωθῇ τῇ στερεᾷ τροφῇ καὶ τῇ σοφίᾳ συνῇ. »Τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν »διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν »καλοῦ τε καὶ κακοῦ«. | καὶ ὁ λαλῶν σοφίαν φησί· »Σοφίαν δὲ λα- 213s
242 »λοῦμεν ἐν τοῖς τελείοις«. καὶ ὅταν ἕκαστος ἡμῶν, ἔργον θεοῦ, ὑπὸ Ἰησοῦ τελειωθῇ, ἐρεῖ· »Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν »δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς
243 »δικαιοσύνης στέφανος«. οὐ μόνος δὲ ὁ ἄνθρωπος ἐξέπεσεν ἐκ τελείου ἐπὶ τὸ ἀτελές, ἀλλὰ καὶ »ἰδόντες οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγα- »τέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν καὶ λαβόντες ἑαυτοῖς ἀπὸ »πασῶν ὧν ἐξελέξαντο«, καὶ ἁπαξαπλῶς πάντες οἱ ἀπολείποντες
244 »τὸ ἴδιον οἰκητήριον« καὶ μὴ τηρήσαντες τὴν ἑαυτῶν ἀρχήν. »ἀρχὴν«

8 Joh. 14, 28. — 10 Vgl. Joh. 1, 14. — 16 Vgl. Gen. 2, 15. — 18 Vgl. Gen. 2, 9. — 22 Vgl. Joh. 4, 34. — 25 Hebr. 5, 14. — 27 I Kor. 2, 6. — 29 II Tim. 4, 7f. — 32 Gen. 6, 2. — 34 Jud. 6.

1 ὁ] εἰ, corr. Br vgl. Z. 5 | 2 ὡσεὶ]ὥση, corr. V | 6 ἀτελὲς weitläufig a. Ras. | 8 μ[ε μείζων μου ἐστὶν] a. Ras. | 12 τελειώσει, corr. V | 19 ἀτελής? We | 20 ὢν, zu str. oder zu ergänzen ὢν ⟨προσέταξεν ὁ θεός⟩ | 25 συνῇ] συν a. Ras.

Digitized by Google

δὲ λέγω οὐ τὴν παραβαλλομένην ἐξουσίᾳ ἀλλὰ τὴν ἀντιδιαστελλομένην τέλει καὶ παρακειμένην πρώτῳ. ἵν' ὥσπερ τῷ ἀνθρώπῳ ἡ ἀρχὴ μὲν τοῦ εἶναι ἐν τῷ παραδείσῳ ἦν, τὸ τέλος ⟨δὲ⟩ διὰ τὴν παράβασιν τάχα ἐν ᾅδου κάτω ἢ τινι τοιούτῳ χωρίῳ, οὕτω καὶ ἑκάστῳ τῶν ἀποπεπτωκότων οἰκεία τις ἀρχὴ τυγχάνῃ δεδομένη. τελειῶν 245
248R μέντοι γε ὁ Ἰησοῦς τὸ ἔργον τοῦ θεοῦ, λέγω δὲ πᾶν τὸ λογικὸν καὶ οὐ τὸν ἄνθρωπον μόνον, κατὰ τὸν αὐτὸν τρόπον αὐτὸ τελειοῖ· τὰ
230H μὲν γὰρ μακαριώτερα πειθόμενα λόγῳ, μὴ δεηθέντα πόνου, μόνῳ τελειοῦται τῷ λόγῳ· ἕτερα δέ, ἀπειθήσαντα τῷ λόγῳ, χρῄζει πόνων, ἵνα μετὰ τοὺς πόνους λόγοις προσαχθέντα ὕστερόν ποτε τούτοις τελειωθῇ. πλὴν ἀμφότερα ταῦτα ἓν βρῶμά ἐστιν ἴδιον Ἰησοῦ, τό τε 246
ποιῆσαι τὸ θέλημα τοῦ πέμψαντος αὐτὸν καὶ τὸ τελειῶσαι τὸ ἔργον αὐτοῦ.

XXXVIII. Ὁ δὲ Ἡρακλέων διὰ τοῦ »Ἐμὸν βρῶμά ἐστιν 247
»ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με« φησὶ διηγεῖσθαι τὸν σωτῆρα τοῖς μαθηταῖς, ὅτι τοῦτο ἦν, ὃ συνεζήτει μετὰ τῆς γυναικός, βρῶμα ἴδιον λέγων τὸ θέλημα τοῦ πατρός· τοῦτο γὰρ αὐτοῦ τροφὴ καὶ ἀνάπαυσις καὶ δύναμις ἦν. θέλημα δὲ πατρὸς ἔλεγεν εἶναι 248
τὸ γνῶναι ἀνθρώπους τὸν πατέρα καὶ σωθῆναι, ὅπερ ἦν ἔργον τοῦ σωτῆρος τοῦ ἕνεκα τούτου ἀπεσταλμένου εἰς Σαμάρειαν, τουτέστιν εἰς τὸν κόσμον. βρῶμα οὖν αὐτὸ ἐξείληφεν τοῦ Ἰησοῦ καὶ τὴν μετὰ τῆς Σαμαρείτιδος συζήτησιν, ὅπερ νομίζω σαφῶς παντὶ τῷ ὁρᾶσθαι καὶ ταπεινῶς
ἐξειλῆφθαι καὶ βεβιασμένως. πῶς δὲ τροφὴ τοῦ σωτῆρος τὸ 249
θέλημα τοῦ πατρὸς σαφῶς οὐ παρέστησεν· πῶς δὲ καὶ ἀνάπαυσις τὸ θέλημα τοῦ πατρός; λέγει γὰρ ὁ κύριος ἀλλαχοῦ, ὡς οὐ πάντως τοῦ πατρικοῦ θελήματος ἀναπαύσεως αὐτοῦ ὄντος· »Πάτερ, εἰ δυνατόν, παρελθάτω τὸ ποτήριον ἀπ' ἐμοῦ· πλὴν »οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ«. πόθεν δὲ καὶ ὅτι δύναμις τοῦ σωτῆρος τὸ θέλημα τοῦ θεοῦ;

IV, 35. *Οὐχ ὑμεῖς λέγετε, ὅτι ἔτι τετράμηνός ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν· Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη.*

XXXIX. *Πρὸς τοὺς ὑπολαμβάνοντας ἁπλούστερον καὶ σωματι- 250*
214r *κώτερον εἰρῆσθαι τὸ »Οὐχ ὑμεῖς | λέγετε ὅτι τετράμηνός ἐστιν καὶ*

14 Joh. 4, 34. — **29** Matth. 26, 39 + Mark. 14, 36. — **36** Joh. 4, 35.

1 *ἀντιδιαστελομένην* | **3** *μὲν*] *τις*, corr. Pr | ⟨*δὲ*⟩ + V (vor *τέλος*) | **8** *μακαρωτερα πειθόμενοι*, corr. V | **23** *αὐτὸν*, corr. Br | *τῆς*] *τὴν* | **25** *βεβιασμένως*] *με* a. Ras. | **30** *σοι* | **33** *ἄρχεται*, scheint durch S. 264, 5 veranlasst.

Digitized by Google

ὁ θερισμὸς ἔρχεται;« ταῦτα ἐπαπορητέον, ἵνα πεισθῶσιν νοητὰ πολ-
λάκις γυμνὰ αἰσθητῶν καὶ σωματικῶν λελαληκέναι τὸν σωτῆρα.
251 εἴπερ γὰρ ὁ καιρός, ὅτε ταῦτα ἔλεγεν Ἰησοῦς, ὁ πρὸ τετραμήνου τοῦ
θερισμοῦ ἦν, δῆλον ὅτι χειμὼν ἦν. θερισμὸς οὖν ἐν τῇ Ἰουδαίᾳ
ἄρχεται γίνεσθαι περὶ τὸν παρ' Ἑβραίοις καλούμενον Νίσαν μῆνα, ὅτε
ἄγεται τὸ πάσχα, ὡς ἐνίοτε τὰ ἄζυμα ἀπὸ νέου σίτου αὐτοὺς ποιεῖν.
252 ἀλλ' ἔστω μὴ κατ' ἐκεῖνον τὸν μῆνα εἶναι τὸν θερισμόν, ἀλλὰ κατὰ
τὸν ἐξῆς ἐκείνῳ τὸν καλούμενον παρ' αὐτοῖς Ἰάρ. καὶ οὕτως ὁ πρὸ 249R
τετραμήνου καιρὸς ἐκείνου τοῦ μηνὸς ἀκμαιός ἐστιν χειμών. ἐπὰν
οὖν δείξωμεν ὅτι ὅτε ἔλεγεν ταῦτα ὁ περὶ τὸν θερισμὸν καιρὸς ἦν
ἤτοι ἀκ⟨μάζ⟩οντα ἢ ἐγγύς που τοῦ λήγειν ὄντα, ἀποδεδειγμένον ἡμῖν
253 ἔσται τὸ προκείμενον. τηρητέον δὲ ὅτι μετὰ τὴν ἐν τῇ Κανᾷ τῆς
Γαλιλαίας περὶ τὸ μεταβεβληκὸς εἰς οἶνον ὕδωρ οἰκονομίαν κατα- 231H
βεβηκέναι λέγεται ὁ κύριος »εἰς Καφαρναοὺμ αὐτὸς καὶ ἡ μήτηρ
αὐτοῦ καὶ οἱ ἀδελφοὶ καὶ οἱ μαθηταί«, ἔνθα »ἔμεινεν οὐ πολλὰς
ἡμέρας· καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσό-
λυμα ὁ Ἰησοῦς«· ὅτε »εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα
καὶ περιστερὰς« καὶ ⟨κατὰ⟩ τὰ λοιπὰ τῶν ἀναγεγραμμένων, »ποιήσας
254 φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ«. καὶ εἰπών
τινα πρὸς τὸν Νικόδημον μετὰ ταῦτα ἦλθεν αὐτὸς »καὶ οἱ μαθηταὶ
αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβεν μετ' αὐτῶν καὶ
ἐβάπτιζεν«. πόσον δὴ θήσομεν αὐτὸν διατετριφέναι ἐν τῇ Ἰουδαίᾳ
255 χρόνον βαπτίζοντα μετὰ τὸ πάσχα; οὐ γὰρ σαφῶς γέγραπται. καὶ
φαίνεται διὰ τὸ ἐγνωκέναι τοὺς Φαρισαίους »ὅτι Ἰησοῦς πλείονας
μαθητὰς ποιεῖ καὶ βαπτίζει ⟨ἢ⟩ Ἰωάννης« ἀφιεὶς »τὴν Ἰουδαίαν« καὶ
ἀπερχόμενος »εἰς τὴν Γαλιλαίαν«, ὅτε »ἔδει αὐτὸν διέρχεσθαι διὰ τῆς
»Σαμαρείας«, καὶ γενόμενος παρὰ τῇ πηγῇ τοῦ Ἰακὼβ φησὶ τὸ »Οὐχ
256 »ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνός ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται;« ἐὰν
δέ τις ὑπονοῇ μετὰ τὸ πάσχα πλειόνων μηνῶν ⟨χρόνον⟩ διατετριφέ-
ναι ἐν τῇ Ἰουδαίᾳ τὸν Ἰησοῦν βαπτίζοντα μετὰ τῶν μαθητῶν αὐτοῦ.
ὥστε ἐνεστηκέναι ἤδη τὸν πρὸ τετραμήνου τοῦ θερισμοῦ καιρόν.
παραθετέον αὐτῷ ὅτι δύο ἡμέρας μείνας ἐκεῖ παρὰ τοῖς Σαμαρεῦσιν
μετὰ ταύτας ἐξῆλθεν εἰς τὴν Γαλιλαίαν, καὶ ἀναγέγραπται (ὡς νεωσ-

5 Vgl. Joseph., Antiq. III, 10, 5. — **12** Vgl. Joh. 2, 1ff. — **14** Joh. 2, 12—15. — **20** Vgl. Joh. 3, 1ff. — **20** Joh. 3, 22. — **24** Vgl. Joh. 4, 1. — **25** Vgl. Joh. 4, 3ff. — **28** Joh. 4, 35. — **30** Vgl. Joh. 4, 2. — **32** Vgl. Joh. 4, 40.

5 ἄρχεσθαι, corr. Ausgg. | **7** [μῆνα — θερισ]μὸν a. Ras. | **8** Ἰάρ] εἰγὰρ, corr. Hu; nach Targum zu 2 Chron. 30, 2 war אִיָּר nachexilischer Name des 2. Monates. We hält Ἰγὰρ für möglich, weil γ wie j gesprochen wurde | **11** ἀκ . . . όντα, corr. Hu | **12** δή, corr. Pr | κανανὰ | **18** ⟨κατὰ⟩ + We | **25** ⟨ἢ⟩ Rasur an d. St., von d. Ausgg. erg. | **28** ἔτι u. d. Z. | **29** ⟨χρόνον⟩ + B.

Digitized by Google

τὶ τοῦ πάσχα προγεγενημένου καὶ τῶν ἐν Ἱεροσολύμοις πεπραγμένων αὐτῷ) ὅτι· »Ὅτε ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ »Γαλιλαῖοι, πάντα ἑωρακότες ὅσα ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ »ἑορτῇ, καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν«. ἀλλ' εἰκὸς ὅτι ἐρεῖ τις 257
πρὸς ταῦτα οὐδὲν λυπεῖν πλείονα αὐτὸν διατρίψαντα ἐν τῇ Ἰουδαίᾳ
214r χρόνον ἐληλυθέναι ἐπὶ | τὴν πηγὴν τοῦ Ἰακώβ, ἀπιόντα εἰς τὴν Γαλιλαίαν ὅτε »Ἔτι τετράμηνος«, εἶπεν, »εἰς τὸν θερισμόν«· καὶ οὐδὲν ἄτοπόν ἐστιν τοὺς Γαλιλαίους διὰ τὰ πρὸ ὀκτὼ μηνῶν αὐτῷ γενό-
250R μενα ἐν Ἱεροσολύμοις παραδέχεσθαι αὐτόν. λεκτέον δὲ πρὸς αὐτοὺς 258
ὅτι παραγενόμενος εἰς τὴν Γαλιλαίαν »ἦλθεν εἰς τὴν Κανᾶ τῆς Γα»λιλαίας, ὅπου« πρότερον πεποίηκεν »τὸ ὕδωρ οἶνον«, ἔνθα καὶ τὸν τοῦ βασιλικοῦ υἱὸν νοσοῦντα ἐν τῇ Καφαρναούμ, εἰπὼν τῷ πατρὶ αὐτοῦ· »Ὁ υἱός σου ζῇ«, ἐθεράπευσεν· καὶ »Μετὰ ταῦτα ἦν ἑορτὴ »τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα«, ὅτε τὸν τριά-
κοντα ὀκτὼ ἔτη ἔχοντα ἐν τῇ ἀσθενείᾳ παραλυτικὸν ἐθεράπευσεν.
232H ἐὰν δὲ αὕτη ἡ ἑορτὴ ⟨ἡ⟩ τοῦ πάσχα ᾖ (οὐ ⟨γὰρ⟩ πρόσκειται τὸ ὄνομα 259
αὐτῆς), στενοχωρεῖται τὸ ἀκόλουθον τῆς ἱστορίας, καὶ μάλιστα ἐπεὶ μετ' ὀλίγα ἐπιφέρεται ὅτι »Ἦν ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων, ἡ σκηνοπηγία«.

XL. Τούτων δὶ ἐπιπλεῖον ἐξεταζομένων ἀκόλουθόν ἐστιν τῷ 260
βαθύτερον ἐνορῶντι τῷ νῷ τῶν γραφῶν ζητεῖν τί νοῶν τοῖς μαθηταῖς ἔλεγεν ὁ Ἰησοῦς τὸ »Οὐχ ὑμεῖς λέγετε ὅτι ⟨ἔτι⟩ τετράμηνός »ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν· Ἐπάρατε τοὺς ὀφθαλ»μοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσι πρὸς θερισμὸν »ἤδη«. ὥσπερ δὲ ἐλέγομεν ἐπὶ τῶν κατὰ τὴν Σαμαρεῖτιν τὰ περὶ τῶν ὑδάτων ἐξετάζοντες, οὕτω καὶ ἐνθάδε ποιήσωμεν. τίς γὰρ οὐκ 261
ἂν ὁμολογήσαι τὸ »Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε »τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη« πνευματικὸν εἶναι, καὶ γυμνὸν αἰσθητῶν πνευματικόν; ᾧ ἀκόλουθον ἂν εἴη καὶ τὸ τοὺς
μαθητὰς λέγειν μετὰ τετράμηνον ἔσεσθαι τὸν θερισμὸν τὸν συγκριτόν, ὅσον ἐπὶ τῇ ὑπονοίᾳ αὐτῶν, τῷ ὑπὸ τοῦ Ἰησοῦ δεικνυμένῳ θερισμῷ. νομίζομεν οὖν τοιαῦτά τινα εἶναι ἐν τῷ τοὺς μαθητὰς 262
λέγειν ὅτι »⟨Ἔτι⟩ τετράμηνός ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται«, οἱ πλεῖστοι τῶν τοῦ λόγου μαθητῶν ἐννοοῦντες δυσέφικτον εἶναι τῇ ἀνθρωπίνῃ φύσει τὴν ἀλήθειαν, ὅτε διειλήφασιν περὶ ἑτέρας παρὰ τὴν

2 Joh. 4, 45. — **7** Joh. 4, 35. — **10** Vgl. Joh. 4, 46. — **13** Joh. 4, 53. — Joh. 5, 1. — **15** Vgl. Joh. 5, 5. — **17** Joh. 7, 2. — **22** Joh. 4, 35. — **25** Vgl. o. c. 2ff. — **27** Joh. 4, 35. — **30** Joh. 4, 35. — **33** Joh. 4, 35.

2 nach ὅτε + ἦν | **7** ἐπὶ | **8** πρὸ ὀκτὼ (η')] πρόην, corr. Br | **16** ᾖ + Pr | ᾖ] ἦν, corr. Pr | γὰρ + Pr | **17** στενοχωρεῖται| στενοχωρεῖ τε, corr. We | **22. 33** ἔτι + Pr vgl. S. 266, 14 | **31** ἀπονοία | τῷ] τῶν.

Digitized by Google

ἐνεστηκυῖαν ζωὴν ζωῆς. ἀπανδήσαντες ἐπὶ τοῦ παρόντος πρὸς τὸ
περὶ τῶν ζητουμένων τέλος ὑπολαμβάνουσιν μετὰ τὴν πρὸς τὰ
τέσσαρα τῶν στοιχείων συγγένειαν ὑπερβάντες ταῦτα καταλήψεσθαι
263 τὴν ἀλήθειαν. φασὶν οὖν κατὰ τὴν τοῦ κυρίου φωνὴν οἱ μαθηταὶ
περὶ τοῦ θερισμοῦ, ὅστις ἐστὶν ἡ συντέλεια τῶν συγκομιστῶν τῆς
264 ἀληθείας ἔργων, ὅτι μετὰ τὴν ἐνεστηκυῖαν τετράδα γίνεται. τὸ δὲ
τῶν μηνῶν ὄνομα πρὸς τὸ πρέπον τῷ περὶ τοῦ θερισμοῦ λόγῳ σω-
ματικῷ εἴληπται. οὐ γὰρ ἐχρῆν φάσκειν τὸ »οὐχ ὑμεῖς λέγετε ὅτι
»Ἔτι τέσσαρες ἡμέραι καὶ ὁ θερισμὸς ἔρχεται« ἢ »ἔτι τέσσαρα ἔτη
»καὶ ὁ θερισμὸς ἔρχεται«; μάλιστα ἐπεὶ καὶ τοὺς πολλοὺς καὶ σω- 251R
265 ματικωτέρους λανθάνειν ὁ λόγος βούλεται, κρύπτων μὲν τὸ μυ- 215r
στικόν, ἐμφαίνων δὲ τὸ ἁπλούστερον εἰς τὸ σαφεῖς εἶναι νομίζεσθαι
266 τοὺς ἀπαγγελλομένους ὑπὸ τοῦ σωτῆρος λόγους. ἢ τάχα τὸ τῶν
μαθητῶν βούλημα λεγόντων· »Ἔτι τετράμηνός ἐστιν καὶ ὁ θερισμὸς
»ἔρχεται« τοιοῦτόν ἐστιν· τέσσαρές εἰσιν σφαῖραι τῶν τεσσάρων
στοιχείων αἱ ὑποκείμεναι τῇ αἰθερίῳ φύσει, ἐν μέσῳ μὲν καὶ κατω-
τάτῳ ⟨ἡ⟩ τῆς γῆς, περὶ αὐτὴν δὲ ἡ τοῦ ὕδατος, καὶ τρίτη ἡ τοῦ
ἀέρος, τετάρτη δὲ ἡ τοῦ πυρός, μεθ' ἣν ἡ τῆς σελήνης, καὶ ἐξῆς.
267 καὶ ἐπιστήσωμεν μήποτε ὑπολαμβάνουσιν οἱ μαθηταὶ πρὸς τῇ καθα- 233H
ρωτέρᾳ οὐσίᾳ γενομένους τοὺς ἐντεῦθεν παρεσκευασμένους καταλή-
ψεσθαι τὸ ἀληθές, ὅταν καὶ τὴν τοῦ πυρός τις δύνηται σφαῖραν
⟨ὑπερβαίνειν⟩, μὴ καταφθαρεὶς ὑπὸ τῆς ἁμαρτίας, ἥτις ἐστὶν ὕλη τοῦ
268 παντὸς ἐν τοῖς πρὸ τῆς * * * αἰθερίους τόπους * * χωρίοις. ταύ-
τὴν δὲ τὴν ὑπόληψιν διελέγχων ὡς οὐχ ὑγιῆ φησιν ὁ γενόμενος σὰρξ
λόγος τοῖς ταῦτα νομίζουσιν τὸ »Οὐχ ὑμεῖς λέγετε ὅτι ⟨Ἔτι⟩ τετρά-
»μηνός ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν· Ἐπάρατε τοὺς
»ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς
269 »θερισμὸν ἤδη«. καὶ γὰρ ἀδιανόητον ἡμῖν φαίνεται μὴ περὶ ἑνὸς αὐτὸν
ἐν τούτοις πᾶσιν διαλαμβάνειν θερισμοῦ, ἐπείπερ κατὰ τοὺς ἁπλού-
στερον ἐκδεχομένους ⟨τὸ⟩ ἀληθὲς [λέγουσιν] ἐπιπλήξει τοῖς μαθηταῖς
νομίζουσιν, ὡς οἴονται, μετὰ τετράμηνον ἔρχεσθαι τὸν θερισμόν,
ὅντινα ἐν τοῖς πρὸ τούτων παρεστήσαμεν μὴ πάνυ τι δύνασθαι μετὰ
270 τετράμηνον ἐνστήσεσθαι. ἄλλως τε καὶ οἱονεὶ τὴν ὑπόνοιαν τῶν
μαθητῶν διορθούμενός φησι τὸ »οὐχ ὑμεῖς μὲν τόδε λέγετε; ἐγὼ δὲ
»τόδε φημί«· πρὸς τούτοις πῶς οὐκ ἄτοπον τὸ μὲν »Ἐπάρατε τοὺς

9 Joh. 4, 35. — 14 Joh. 4, 35. — 24 Vgl. Joh. 1, 14. — 25 Joh. 4, 35. — 31 Vgl. S. 264, 8ff.

7 λέγω, corr. V | 15 ἐστιν] εἰσὶν | 19 τῇ] τὸ | 21 δύναται, corr. We | 22 ⟨ὑπερβαίνειν⟩ + Pr, We fügt nach ὕλη ein ⟨ὑπερβαίνειν καὶ ἅψασθαι⟩, διαβῆναι + V | 23 Lücke von c. 6 und c. 2—3 Buchst. Zu ergänzen etwa ἐν τοῖς πρὸ τῆς ⟨εἰς τοὺς⟩ αἰθερίους τόπους ⟨ὁδοῦ⟩ χωρίοις | 25 ⟨ἔτι⟩ + Pr | 30 ⟨τὸ⟩ + We | [λέγουσιν] str. We.

Digitized by Google

›ὀφθαλμοὺς ὑμῶν‹ κατὰ πάντα ἀλληγορῆ(σαι) σαφῶς, καὶ τὸ ›Θεά-
›σασθε τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη‹, τὸ δὲ πρὸ
τοῦ * * * * ἐρχόμενον τοῦτο ›Οὐχ ὑμεῖς λέγετε ὅτι Ἔτι τετράμη-
›νός ἐστιν, καὶ ὁ θερισμὸς ἔρχεται‹ μὴ ἀλληγορικῶς ἐκλαβεῖν;

XLI. Καὶ ὁ Ἡρακλέων μέντοι γε ὁμοίως τοῖς πολλοῖς ἐπὶ 271
τῆς λέξεως ἔμεινεν μὴ οἰόμενος αὐτὴν ἀνάγεσθαι. φησὶ γοῦν
ὅτι Τὸν τῶν γεννημάτων λέγει θερισμόν, ὡς τούτου μὲν
ἔτι διωρίαν ἔχοντος τετράμηνον, τοῦ δὲ θερισμοῦ, οὗ
252R αὐτὸς ἔλεγεν, ἤδη ἐνεστῶτος. καὶ τὸν θερισμὸν δὲ οὐκ
οἶδ' ὅπως ἐπὶ τῆς ψυχῆς ἐξείληφεν τῶν πιστευόντων, λέ-
γων ὅτι Ἤδη ἀκμαῖοι καὶ ἕτοιμοί εἰσιν πρὸς θερισμὸν
καὶ ἐπιτήδειοι πρὸς τὸ συναχθῆναι εἰς ἀποθήκην, τοῦτ'
ἔστιν διὰ πίστεως εἰς ἀνάπαυσιν, ὅσαι γε ἕτοιμοι· οὐ
γὰρ πᾶσαι· αἱ μὲν γὰρ ἤδη ἕτοιμοι ἦσαν, φησίν, αἱ δὲ
ἔμελλον, αἱ δὲ μέλλουσιν. αἱ δὲ ἐπισπείρονται ἤδη.
ταῦτα μὲν οὖν ἐκεῖνος εἶπεν. πῶς δὲ οἱ μαθηταὶ ἐπαίροντες 272
τοὺς ὀφθαλμοὺς δύνανται βλέπειν τὰς ψυχὰς ἤδη ἐπιτηδείους
215v οὔσας | πρὸς τό, ὡς οἴεται, εἰς ἀποθήκην εἰσαχθῆναι, οὐκ οἶδα
εἰ δύναται παραστῆσαι· καὶ ἔτι γε πῶς ἐπὶ τῶν ψυχῶν ἀληθὲς
τὸ ›Ἄλλος ὁ σπείρων, καὶ ἄλλος θερίζων‹ καὶ ›Ἀπέστειλα ὑμᾶς
›θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε‹. τίνα δὲ τρόπον τὸ ›Ἄλλοι
234H ›κεκοπιάκασιν καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε‹ δυ-
νατόν ἐστιν παραδέξασθαι ἐπὶ τῆς ψυχῆς; ἡμεῖς οὖν θερισμὸν 273
συναγομένου καρποῦ εἰς ζωὴν αἰώνιον ἐκλαμβάνομεν κατὰ τὴν
τελείωσιν τοῦ σπερματικῶς ἐγκειμένου κατὰ τὰς ἐννοίας ἡμῖν
λόγου ἀπὸ γεωργίας πλείονος τετελειωμένου. πῶς δὲ ὑπὸ ἄλλου
σπείρεται καὶ ὑπὸ ἄλλου θερίζεται ἐν τοῖς ἑξῆς διαληψόμεθα.

IV, 35. *Ἰδοὺ λέγω ὑμῖν· Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη.*

XLII. Πολλαχοῦ τῆς γραφῆς τὸ ›Ἐπάρατε τοὺς ὀφθαλμοὺς 274
›ὑμῶν‹ προτρεπομένου ἡμᾶς τοῦ θείου λόγου ὑψοῦν καὶ ἐπαίρειν τὰ
φρονήματα καὶ τὸ διορατικὸν κάτω που κείμενον καὶ συγκύπτον, μὴ
δυνάμενόν τε ἀνακύψαι εἰς τὸ παντελὲς μετεωρίσαι· ὥσπερ ἐν Ἡσαΐᾳ·
›Ἐπάρατε εἰς ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ ἴδετε· τίς κατέδειξε

12 Vgl. Matth. 13, 30. — **17** Vgl. Joh. 4, 35. — **20** Joh. 4, 37. — **21** Joh. 4. 38. **23** Vgl. Joh. 4, 36. — **32** Vgl. Luk. 13, 11. — **34** Jes. 40, 26.

3 Lücke von c. 8—10 Bchst. *τὸ δὲ πρὸ τού(των συνεχῶς ἐχόμενον* Br; *πρὸ τού(των ἄρτι προ)ερχόμενον* We | **7** *γεννημάτων.*

Digitized by Google

275 »ταῦτα πάντα«· καὶ ὁ σωτὴρ δὲ ὅτε μέλλει τοῖς ἐν πεδίῳ συναχθεῖσιν
λέγειν τοὺς μακαρισμούς, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ πρὸς τοὺς
μαθητὰς λέγει τὸ »μακάριοι« οἶδε καὶ οἶδε· οὐδεὶς γὰρ γνήσιος Ἰησοῦ
μαθητὴς κάτω ἐστίν, ὡς οὐδὲ ὁ ἀναπαύόμενος ἐν τοῖς τοῦ Ἀβραὰμ
276 κόλποις. ὁ γοῦν πλούσιος ὑπάρχων ἐν βασάνοις ἐπάρας τοὺς ὀφθαλ- 5
μοὺς βλέπει τὸν Ἀβραὰμ καὶ τὸν Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. πρὸς
277 τούτοις ἡ »συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελὲς«
Ἰησοῦ αὐτὴν ἀνορθώσαντος ἀποτίθεται τὸ συγκύπτειν καὶ τὸ μὴ
278 δύνασθαι ἀνακύπτειν, ἵνα ἐπάρῃ τοὺς ὀφθαλμούς. καὶ οὐδείς γε ἐν
πάθεσιν ὢν καὶ τῇ σαρκὶ προστετηκὼς ἢ τοῖς ὑλικοῖς ἐμπεφυρμένος 10
ἐτήρησεν τὴν λέγουσαν ἐντολήν· »Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν«,
διόπερ ὁ τοιοῦτος οὐδὲ θεάσεται τὰς χώρας κἂν ὦσιν »λευκαὶ πρὸς 253R
θερισμὸν ἤδη«. ἔτι δὲ οὐδεὶς ἐργαζόμενος τὰ ἔργα τῆς σαρκὸς ἐπῆρεν
τοὺς ὀφθαλμούς.

279 »Λευκαὶ« δὲ αἱ χῶραι »πρὸς θερισμὸν ἤδη« εἰσίν, ὅτε πάρεστιν 15
ὁ τοῦ θεοῦ λόγος σαφηνίζων καὶ φωτίζων πάσας τὰς χώρας τῆς
280 γραφῆς πληρουμένας ἐν τῇ ἐπιδημίᾳ αὐτοῦ. τάχα δὲ καὶ πάντα τὰ
αἰσθητὰ μέχρι γε αὐτοῦ τοῦ οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ αἱ λευκαί εἰσιν
χῶραι ἕτοιμοι πρὸς θερισμὸν τοῖς ἐπαίρουσιν τοὺς ὀφθαλμούς, σαφῶς
παριστάμενον τοῦ περὶ ἑκάστου λόγου τοῖς ἀνειλιφόσιν. ἐκ τοῦ τὴν 20
αὐτὴν εἰκόνα μεταμορφοῦσθαι ἀπὸ δόξης εἰς δόξαν, ὀφθαλμῶν
ὁμοίωμα τῶν ἑωρακότων | πῶς ἕκαστον τῶν γενομένων καλὸν ἦν· 216r
τὸ γὰρ »Εἶδεν ὁ θεὸς« καθ' ἕκαστον τῶν κτισμάτων λεγόμενον,
»ὅτι καλόν« τοιοῦτόν ἐστιν, ὅτι ἐνεῖδεν ὁ θεὸς τοῖς λόγοις ἑκάστου,
καὶ εἶδεν πῶς καθ' οὓς γέγονεν ἕκαστον τῶν κτισμάτων λόγους 25
281 ἐστὶν καλόν. εἰ δὲ μὴ οὕτως τις παραδέχεται τὸ »Εἶδεν ὁ θεὸς ὅτι
»καλόν«, διηγησάσθω πῶς ἐν τῷ »Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν
»ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ
»οὐρανοῦ« σώζεται τὸ »Εἶδεν ὁ θεὸς ὅτι καλόν«, καὶ μάλιστα ἐπεὶ
282 »Ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα«. ἀλλὰ ὁ λόγος ὁ περὶ ἑκά- 335H
στου τούτων ἐστὶν ὁραθεὶς θεῷ τὸ »καλόν«. τὰ δ' αὐτὰ καὶ περὶ
τοῦ »Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος· τετράποδα καὶ
»ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος« λεκτέον, οἷς καὶ ἐπιφέρεται τὸ
283 »Εἶδεν ὁ θεὸς ὅτι καλόν«. πῶς γὰρ καλὸν τὰ θηρία καὶ τὰ ἑρπετά.
εἰ μὴ ἄρα ὁ λόγος ὁ περὶ αὐτῶν ἐστιν τὸ καλόν; 35

2 Vgl. Luk. 6, 20. — 5 Vgl. Luk. 16, 23. — 7 Luk. 13, 11. — 11 Joh. 4, 35. — 13 Vgl. Gal. 5, 19. — 15 Joh. 4, 35. — 21 Vgl. II Kor. 3, 18. — 23 Gen. 1, 10. — 24 Vgl. in Gen. hom. I, 10. — 27 Gen. 1, 20. — 30 Vgl. Gen. 1, 21. — 32 Gen. 1, 24. — 34 Gen. 1, 25.

1 *συναχθεῖσιν*] *συν* und *ν* a. Ras. | 5 *βασάνοις*] *βασιλείοις*, corr. **B** | 6 *βλέπειν* 8 *τὸ*] *τὰ*, corr. V | 17 *πληρουμένης* Ausgg. | 32 *τετράποδα* a. Ras.

Digitized by Google

Ταῦτα δ' ἡμῖν λέγεται διὰ τὸ »Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν 284
»καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη«, προ-
τρέποντος τοῦ παρόντος τοῖς μαθηταῖς λόγου τοὺς ἀκροατὰς ἐπαί-
ρειν τοὺς ὀφθαλμοὺς ἐπί τε τὰς χώρας τῆς γραφῆς καὶ ἐπὶ τὰς
χώρας τοῦ ἐν ἑκάστῳ τῶν ὄντων λόγου, ἵνα τὴν λευκότητα καὶ τὴν
λαμπρότητα θεάσηταί τις τοῦ τῆς ἀληθείας πανταχοῦ φωτός· »Πάντα
»γὰρ ἐνώπιον τοῖς νοοῦσιν«, κατὰ τὸν Σολομῶντα, »ὀρθὰ δὲ τοῖς βου-
»λομένοις ἀπονείμασθαι αἴσθησιν«.

IV, 36. *Ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν*
εἰς ζωὴν αἰώνιον, ἵνα ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων.

XLIII. *Ποσαχῶς ὁ θερισμὸς ἐν τῇ γραφῇ λέγεται καὶ ἐφ' ὅσων* 285
τάσσεται νομίζω ἀναγκαῖον εἶναι παραθέσθαι, ἵνα κατὰ τὸ δυνατὸν
ἡμῖν καθοραθέντος τοῦ σημαινομένου δυνηθῶμεν ἐνθάδε ἰδεῖν ἐπὶ
254R *τίνος τῶν πλειόνων τέτακται ἡ λέξις. ὁρῶμεν δὴ ἐν τῷ κατὰ* 286
Ματθαῖον, ἡνίκα »Προσῆλθον οἱ μαθηταὶ τῷ κυρίῳ λέγοντες· Διασά-
»φησον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ« διδασκαλίαν
περὶ ταύτης τοῦ κυρίου μεθ' ἕτερα λέγουσαν· »Ὁ δὲ θερισμὸς συν-
»τέλεια αἰῶνός ἐστιν, οἱ δὲ θερισταὶ ἄγγελοί εἰσιν«. ἀλλὰ μὴν καὶ 287
ἐν ἑτέρῳ τόπῳ περὶ τοῦ πλήθους τῶν πιστευόντων ἀπορούντων
διδασκαλίας τρανούσης αὐτοῖς περὶ ὧν πιστεύουσιν, φησὶν ὁ σωτὴρ
ἡμῶν· »Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν
»τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν
»αὐτοῦ«. πρὸς τούτοις ὁ ἀπόστολος σπόρον μὲν ὀνομάζει τὴν ἐν 288
τῷ βίῳ τούτῳ εὐποιΐαν ἢ ἁμαρτίαν τῶν ἀνθρώπων, θερισμὸν δὲ τὰ
διὰ τὰ ἐνταῦθα κατορθώματα ἢ ἁμαρτήματα ἑκάστῳ κατὰ τὴν ἀξίαν
ἀποκείμενα, οὕτω λέγων· »Ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ
»θερίσει· ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἐκ τῆς σαρκὸς θερίσει φθοράν·
»ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον«.
216v *κατά τινος δὲ παραπλησίου τοῦ σημαινομένου νομίζω καὶ τὸν προ-* 289
236H *φήτην φερόμενον ἐν ψαλμοῖς εἰρηκέναι· »Οἱ σπείροντες ἐν δάκρυσιν*
»ἐν ἀγαλλιάσει θεριοῦσιν. πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον αἴρον-
»τες τὰ σπέρματα αὐτῶν· ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες

1 Joh. 4, 35. — **6** Prov. 8, 9. — **15** Matth. 13, 36. — **17** Matth. 13, 39. — **21** Matth. 9, 37f. — **26** Gal. 6, 7f. — **30** Ps. 125, 5f.

7 σολομῶν | **12** δ νομίζω | **13** καθαρθέντος, corr. We | **14** ἐροῦμεν, corr. Pr | **15** διασάφησον mit B, aber Comm. in Mt. X, 1 mit den andern Hss. φράσον. Vgl. Griesbach, op. acad. I, 253 | **24** εὐπορίαν, corr. Br | **26** ἐὰν mit AℵCDc 17. 47. KLP; ἂν BD*FG. 37 | **32** ἐχόμενοι, corr. V.

Digitized by Google

290 »τὰ δράγματα αὐτῶν«. κεῖται δὲ τὸ ὄνομα πολλαχοῦ καὶ ἐπὶ τῆς
συνηθείας, ὥσπερ καὶ ἐν τῇ Ῥοὺθ διὰ τούτων· »Αὗται δὲ παρε-
»γενήθησαν εἰς Βηθλεὲμ ἐν ἀρχῇ θερισμοῦ κριθῶν«. πέντε δὴ ἐπὶ
τοῦ παρόντος ἐκτεθέντων σημαινομένων φανερὸν μὲν ὅτι οὐ τὸ ἐν
τῇ συνηθείᾳ δηλούμενον ἐνταῦθα εἴρηται, ἀλλ' οὐδὲ τὸ ἐπὶ τῆς
συντελείας τεταγμένον· οὔτε γὰρ τὸ ἐν τῇ συνηθείᾳ »⟨ὁ⟩ θερίζων
»μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον«, οὔτε περὶ
τῶν θεριστῶν ἀγγέλων τὸ προτρεπτικὸν εἰς τὸ θερίζειν εὔλογον
291 ἐν τῷ τόπῳ τούτῳ νοεῖν. ἀλλ' οὐδὲ κατὰ τὸ »Ὁ σπείρων εἰς τὴν
»σάρκα ἐκ τῆς σαρκὸς θερίσει φθορὰν καὶ ὁ σπείρων εἰς τὸ πνεῦμα
»ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον« οἷόν τε ἐνθάδε λαμβάνειν
τὸ »Ὁ θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν
292 »αἰώνιον«. κατὰ μὲν γὰρ τὰ ἀποστολικὰ ῥητὰ ὁ αὐτός ἐστιν ὁ
σπείρων καὶ ὁ θερίζων, εἴτε εἰς τὴν σάρκα, εἴτε εἰς τὸ πνεῦμα, καὶ
διὰ τοῦτο συνάγων ἤτοι φθορὰν ἢ ζωὴν αἰώνιον· κατὰ δὲ τὰ
293 ἐνεστηκότα ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων. ὁμοίως δὲ
ὁ αὐτὸς μὲν σπείρει καὶ θερίζει καθ' ὃ παρεθέμεθα ἐν ψαλμοῖς
ῥητὸν διαφέρον τοῦ ἀποστολικοῦ τῷ μυστικωτέρῳ καὶ ἀπορρητο-
τέρῳ· τὸ μὲν γὰρ ἀποστολικὸν ἁπλούστερον εἴρηται οὐ διδάσκον
περὶ τῆς διαφόρου φύσεως τῶν σπερμάτων πόθεν λαμβάνεται· τὸ δὲ
ἀπὸ τῶν ψαλμῶν δοκεῖ μοι δηλοῦν περὶ τῆς καθόδου τῶν εὐγενεστέρων 255 R
ψυχῶν παραγινομένων εἰς τὸν βίον τοῦτον μετὰ τῶν σωτηρίων σπερ-
μάτων, καὶ παραγινομένων γε οἱονεὶ ἀκουσίως μετὰ στεναγμοῦ, ἐπα-
νερχομένων δὲ ἐν ἀγαλλιάσει διὰ τὸ καλῶς γεγεωργηκέναι καὶ ηὐξη-
κέναι καὶ πεπληθυνκέναι τὰ σπέρματα, μεθ' ὧν ἐληλύθασιν. »Ἄλλος
»δέ ἐστιν ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων« ἐν τῇ προκειμένῃ λέξει.

294 XLIV. Καὶ ἐρεῖ γε ὁ Ἡρακλέων, τάχα δὲ τούτῳ κατὰ τὴν
ἐκδοχὴν ταύτην συμπεριφερόμενός τις καὶ ἐκκλησιαστικός, ὅτι
τῷ κατὰ τὸ »Ὁ θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι« σημαι-
νομένῳ ὁμοίως ταῦτα εἴρηται, τῷ ἑτοίμους πρὸς θερισμὸν καὶ
ἐπιτηδείους πρὸς τὸ ἤδη συναχθῆναι εἰς τὴν ἀποθήκην διὰ τῆς
πίστεως εἰς ἀνάπαυσιν εἶναι, καὶ ἐπιτηδείους πρὸς σωτηρίαν καὶ
παραδοχὴν τοῦ λόγου· κατὰ μὲν τὸν Ἡρακλέωνα διὰ τὴν κατα-
σκευὴν αὐτῶν καὶ τὴν φύσιν, κατὰ δὲ τὸν ἐκκλησιαστικὸν διά 237 H
τινα εὐτρεπισμὸν | τοῦ ἡγεμονικοῦ ἑτοίμου πρὸς τελείωσιν, ἵνα 217 r
καὶ θερισθῇ.

2 Ruth 1, 22. — 6 Joh. 4, 36. — 9 Gal. 6, 8. — 12 Joh. 4, 36. — 13 Vgl. Gal. 6, 7. — 15 Vgl. Gal. 6, 8. — 16 Vgl. Joh. 4, 37. — 17 Vgl. Ps. 125, 5. — 18 Vgl. Gal. 6, 7f. — 25 Joh. 4, 37. — 29 Matth. 9, 37. — 31 Vgl. Matth. 13, 30.

2 *αὐτὰ εἰ*, corr. Ausgg. | 6 *τὸ ἐν*] *ἣν*, corr. Br. | *⟨ὁ⟩* + V | 11 *οιονται* | 14 *εἴτε*² a. Ras. | 31 *ἤδη*] *ηδ* a. Ras. | 35 *εὐτρεπισμὸν* verblichen.

Digitized by Google

Λεκτέον οὖν πρὸς τοὺς οὕτως ἐκδεξαμένους, εἰ βούλονται παρα- 295
δέξασθαι, μήποτε γεγονέναι πρὸ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας
θερισμὸν παραπλήσιον τῷ οὕτως ἂν ἐλπισθέντι ἀπὸ τῶν χρόνων
τοῦ εὐαγγελικοῦ κηρύγματος· εἰ γὰρ τῷ εἶναι τὸν θερισμὸν πολὺν
πολλοὶ πεπιστεύκασιν, καίτοι γε ὀλίγων ὄντων τῶν ἐργατῶν ἀπο-
στόλων ὡς πρὸς τὸ πλῆθος τῶν παραδεξαμένων τὸν λόγον, ἤτοι
διὰ τὸ »Θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη«
οὐδεὶς πρὸ τῆς σωματικῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας πεπίστευκεν,
ἀλλ᾽ οὐδὲ γέγονέν τις πιστευόντων ἐργάτης, ὅπερ ἐστὶν ἀτοπώτατον
φάσκειν· Ἀβραὰμ καὶ Μωσέα καὶ τοὺς προφήτας μήτε τὴν τῶν ἐργα-
τῶν ἐσχηκέναι χώραν, μήτε τὴν τῶν θεριζομένων, ἣ εἴπερ καὶ πρό-
τερον γεγόνασιν ἐργάται καὶ θερισμός, οὐδὲν δόξει παράδοξον ὁ σωτὴρ
ἐπαγγέλλεσθαι τοῖς ἐπαίρουσιν τοὺς ὀφθαλμούς, ἵνα θεάσωνται τὰς
χώρας »ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη«. ἐκ τούτων δὴ δύναταί
πως εἶναι σαφές, ὅτι οὐδὲν τῶν προειρημένων ἐστὶν ἐνθάδε νοούμενον
κατὰ τὸν θερισμόν· ἀλλ᾽ οὐδὲ τὸ παρὰ τῷ ἀποστόλῳ ἐν ἄλλῳ
τόπῳ νοηθὲν ἐνθάδε ἐφαρμόσει λέγοντι· »Ὁ σπείρων φειδομένως
»φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ᾽ εὐλογίαις ἐπ᾽ εὐλογίαις
»καὶ θερίσει«.

256R XLV. *Ζητῶμεν οὖν ἕβδομον σημαινόμενον κατάλληλον τοῖς* 296
προαποδεδομένοις εἰς τὸ »Οὐχ ὑμεῖς λέγετε· Ἔτι τετράμηνός ἐστιν
»καὶ ὁ θερισμὸς ἔρχεται;« καὶ εἰς τὸ »Ἰδοὺ λέγω ὑμῖν Ἐπάρατε τοὺς
»ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς
»θερισμὸν ἤδη«. ὁ δὴ περὶ τῆς σαφηνείας τῶν γραφῶν τρανὴς 297
λόγος, ἢ ὁ περὶ τοῦ πῶς πάντα, ὅσα ὁ θεὸς ἐποίησεν, καλὰ λίαν,
εἴρηται ἡμῖν ὁ θερισμός, ὄντινα ὁ θερίζων δύο καρποὺς τοῦ θερίζειν
ἔχει· ἕνα μὲν ὅτε λαμβάνει μισθόν, ἕτερον δὲ ὅτε συνάγει καρπὸν
εἰς ζωὴν αἰώνιον. καὶ νομίζω διὰ μὲν τὰς μετὰ ταῦτα ἐπαγγελίας 298
ἐσομένας κατὰ τὰ γεγραμμένα· »Ἰδοὺ κύριος ⟨ἔρχεται⟩ καὶ ὁ μισθὸς
»αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, ἀποδοῦναι ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ«
εἰρῆσθαι τὸ »Μισθὸν λαμβάνει«· διὰ δὲ τὴν ἀπ᾽ αὐτῆς τῆς θεωρίας
ὠφέλειαν, αὐτόθεν κατὰ φύσιν οὖσαν τῷ νῷ καὶ τῇ λογικῇ ἐξαίρετον
τυγχάνουσαν καὶ χωρὶς ἑτέρων παρὰ ταύτην ἐπαγγελιῶν γεγράφθαι
238H *τὸ »Συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον«, ὅπερ εὐπάθειάν τινα τοῦ*

5 Vgl. Matth. 9, 37. — **7** Joh. 4, 35. — **13** Vgl. Joh. 4, 35. — **15** Vgl. S. 269, 11 ff. — **17** II Kor. 9, 6. — **21** Joh. 4, 35. — **25** Vgl. S. 268, 23 ff. — **27** Vgl. Joh. 4, 35. — **29** Vgl. Apok. 22, 12. Vgl. Jes. 40, 10. Ps. 61, 13. — **31** Joh. 4, 36. — **34** Joh. 4, 36.

1 *ἐκδεξομένους*? „vgl. S. 270, 27 *ἐρεῖ*" We | **8** *πεπιστευκέναι*, corr. Ausgg. | **20** *ζητοῦμεν*, corr. Pr | **24** *σαφηνίας* | **27** *ὅτι — ὅτι*, corr. Pr | **29** ⟨*ἔρχεται*⟩ nach Apok. 22, 12 | **32** *αὐτόθεν*] *αὐτὴν θείαν*?

Digitized by Google

ἡγεμονικοῦ δηλοῖ, ὡς καὶ ἐν τῷ τρίτῳ τῶν Στρωματέων παρεστήσαμεν διηγούμενοι τὸ »Ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι«.

299 XLVI. Ὁ δὲ Ἡρακλέων τὸ »Ὁ θερίζων μισθὸν λαμβάνει« εἰρῆσθαι νομίζει ἐπεὶ θεριστὴν ἑαυτὸν λέγει, φησίν, ὁ σωτήρ. καὶ τὸν μισθὸν τοῦ κυρίου ἡμῶν ὑπολαμβάνει εἶναι τὴν τῶν θεριζομένων σωτηρίαν καὶ ἀποκατάστασιν τῷ ἀναπαύεσθαι αὐτὸν ἐπ᾽ αὐτοῖς. τὸ δὲ »Καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον« φησὶν εἰρῆσθαι, 217v
ἢ ὅτι τὸ συναγόμενον καρπὸς ζωῆς αἰωνίου ἐστίν, ἢ
300 καὶ αὐτὸ ζωὴ αἰώνιος. ἀλλὰ αὐτόθεν νομίζω βέλτιον εἶναι τὴν διήγησιν αὐτοῦ, φάσκοντος τὸν σωτῆρα μισθὸν λαμβάνειν καὶ συγχέοντος τὸν μισθὸν καὶ τὴν συναγωγὴν τοῦ καρποῦ εἰς ἓν ἄντικρυς τῆς γραφῆς δύο πράγματα παριστάσης, ὡς προδιηγησάμεθα.

301 Εἰ τοίνυν ἐπιτέτευκται ἡμῖν ἡ ἔπαρσις τῶν ἀποστολικῶν ὀφθαλμῶν καὶ ἡ θέα τῶν χωρῶν, λευκῶν ἤδη πρὸς θερισμὸν οὐσῶν, ἤδη ἀκολούθως τούτοις ἐξεταστέον τί τὸ »Ἵνα ὁ σπείρων ὁμοῦ χαίρῃ
302 καὶ ὁ θερίζων«. οἶμαι δὴ ὅτι ἐπὶ πάσης τῆς ἐκ πλειόνων θεωρημάτων τέχνης καὶ ἐπιστήμης σπείρει μὲν ὁ τὰς ἀρχὰς εὑρίσκων, ἄστινας ἕτεροι παραλαμβάνοντες καὶ ἐπεξεργαζόμενοι αὐτὰς ἑτέροις τὰ ὑπὸ αὐτῶν εὑρημένα παραδιδόντες, αἴτιοι ἐξ ὧν εὑρήκασιν γίνονται τοῖς μεταγενεστέροις οὐ δυνηθεῖσιν τάς τε ἀρχὰς εὑρεῖν καὶ τὰ ἐξῆς ἐπισυνάψαι καὶ τὸ τέλος τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν ἐπι- 259R
θεῖναι, τοῦ συμπληρωθεισῶν τῶν τοιούτων τεχνῶν καὶ ἐπιστημῶν
303 πλήρη τὸν καρπὸν ὡς ἐν θερισμῷ αὐτῶν ἀναλαβεῖν. εἰ δὲ τοῦτο ἐπὶ τεχνῶν ἐστιν ἀληθὲς καί τινων ἐπιστημῶν, πόσῳ πλέον ἐπὶ τῆς τέχνης τῶν τεχνῶν καὶ ἐπιστήμης τῶν ἐπιστημῶν ἔστι συνιδεῖν; τὰ γὰρ εὑρεθέντα ὑπὸ τῶν προτέρων ἐπεξεργασάμενοι οἱ μετ᾽ αὐτοὺς παραδεδώκασιν τοῖς ἑξῆς ἐξεταστικῶς προσιοῦσιν τοῖς εὑρεθεῖσιν
304 ἀφορμὰς τοῦ τὸ ἓν σῶμα τῆς ἀληθείας μετὰ σοφίας συναχθῆναι. πληρωθέντος δὴ τοῦ παντὸς ἔργου τῆς τέχνης τῶν τεχνῶν, »ὁ σπεί»ρων ὁμοῦ χαίρει καὶ ὁ θερίζων«, τοῦ ἀμειβομένου θεοῦ εἰς ἓν πάντας
305 τέλος συνάγοντος. ὅρα δὲ εἰ οἱ μὲν »σπείροντές« εἰσιν Μωσῆς καὶ προφῆται, γράψαντες τὰ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν καὶ κηρύξαντες τὴν Χριστοῦ ἐπιδημίαν· »⟨οἱ⟩ θερί-

2 Matth. 6, 4. — 4 Joh. 4, 36. — 14 Vgl. c. 45. — 17 Vgl. Joh. 4, 35. — 18 Joh. 4, 36. — 32 Vgl. Joh. 4, 36. — 35 Vgl. I Kor. 10, 11.

5 *νομίζειν* | 10 ἢ[2]] *ον*, corr. Ausgg. | 34 *εἰ οἱ*] *οἱοι* | 36 ⟨οἱ⟩ + We, vgl. Z. 34.

Digitized by Google

»σαντες« δὲ οἱ τὸν χριστὸν παραδεξάμενοι καὶ τεθεαμένοι τὴν δόξαν αὐτοῦ ἀπόστολοι, συμφωνοῦσαν τοῖς προφητικοῖς περὶ αὐτοῦ λογικοῖς σπέρμασιν θερισθεῖσιν κατὰ τὴν ἐπεξεργασίαν καὶ κατανόησιν
239H τοῦ κεκρυμμένου μυστηρίου ἀπὸ τῶν αἰώνων, φανερωθέντος δὲ ἐπ'
5 ἐσχάτου τῶν καιρῶν, ὅπερ »ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς »τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ »καὶ προφήταις«. σπέρμα δὲ ἦν ὁ πᾶς λόγος κατὰ ἀποκάλυψιν μυ- 306
στηρίου χρόνοις αἰωνίοις σεσιγημένου καὶ νῦν φανερωθέντος διά τε γραφῶν προφητικῶν καὶ τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ
10 Χριστοῦ· ὅτε τὸ φῶς τὸ ἀληθινὸν πεποίηκεν τὰς χώρας, ἐπιλάμψαν αὐταῖς, λευκὰς πρὸς θερισμὸν ἤδη.

XLVII. Κατὰ τοῦτον δὴ τὸν λόγον αἱ χῶραι, ἐν αἷς κατεβέβλητο 307
τὰ σπέρματα, αἱ νομικαὶ καὶ προφητικαί εἰσιν γραφαί, αἵτινες οὐκ ἦσαν λευκαὶ τοῖς τὴν παρουσίαν τοῦ λόγου μὴ κεχωρηκόσιν, γίνονται
218r δὲ τοιαῦται τοῖς μαθητευομένοις τῷ υἱῷ τοῦ θεοῦ καὶ πειθομένοις λέγοντι· »Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας »ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη«. ὡς γνήσιοι τοίνυν καὶ ἡμεῖς 308
Ἰησοῦ μαθηταὶ ἐπάρωμεν τοὺς ὀφθαλμοὺς καὶ τὰς χώρας τὰς ἐσπαρμένας ὑπὸ Μωϋσέως καὶ τῶν προφητῶν θεασώμεθα, ἵνα ἴδωμεν τὴν
20 λευκότητα αὐτῶν καὶ τίνα τρόπον ἤδη θερίσαι ἔστιν αὐτῶν καὶ συνάγειν καρπὸν εἰς ζωὴν αἰώνιον, μετὰ τοῦ καὶ μισθὸν ἐλπίζειν ἀπὸ τοῦ κυρίου τῶν χωρῶν καὶ χορηγοῦ τῶν σπερμάτων. τὸ μὲν 309
258R οὖν τὸν σπείροντα ὁμοῦ καὶ τὸν θερίζοντα χαίρειν, ὅτε »ἀπέδρα »ὀδύνη καὶ λύπη καὶ στεναγμός«, ἐν τῷ μέλλοντι αἰῶνι, πᾶς ὁστισοῦν
25 ὁμολογήσει τῶν ἀνεγνωκότων· »Ὅτι πολλοὶ ἀπ' ἀνατολῶν καὶ δυσμῶν »ἥξουσιν καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν »τῇ βασιλείᾳ τῶν οὐρανῶν«. τὸ δὲ καὶ ἤδη πάντα τὸν σπείροντα 310
μετὰ παντὸς τοῦ θερίζοντος χαίρειν εἴ τις διστάζει παραδέξασθαι, νοησάτω ὅτι θερισμός πως ἦν τις ἡ μεταμόρφωσις Ἰησοῦ ἐν δόξῃ
30 φαινομένου οὐ μόνον τοῖς θερισταῖς Πέτρῳ καὶ Ἰακώβῳ καὶ Ἰωάννῃ, τοῖς συναναβᾶσιν αὐτῷ, ἀλλὰ καὶ τοῖς σπείρασιν Μωσῇ καὶ Ἠλίᾳ· ἅμα γὰρ αὐτοῖς χαίρουσιν ὁρῶντες τὴν δόξαν τοῦ υἱοῦ τοῦ θεοῦ, ἥντινα ἐπὶ τοσοῦτον πεφωτισμένην ὑπὸ τοῦ πατρὸς καὶ φωτίζουσαν τοὺς ὁρῶντας πρότερον οὐχ ἑωράκει Μωσῆς καὶ Ἠλίας, ὡς νῦν θεῶνται

1 Vgl. Joh. 1, 14. — **4** Vgl. Eph. 3, 9; I Petr. 1, 20. — **5** Eph. 3, 5. — **8** Vgl. Röm. 16, 25f. — **9** Vgl. II Tim. 1, 10. — **10** Vgl. Joh. 1, 9. — **11** Vgl. Joh. 4, 35. — **16** Joh. 4, 35. — **22** Vgl. II Kor. 9, 10. — **23** Jes. 35, 10. — **24** Vgl. Röm. 9, 2. — **25** Matth. 8, 11. — **29** Vgl. Matth. 17, 1ff.

2 *λογικοὶ ὁ* M | **10** *ἐπέλαμψαν*, corr. Br | **20** *αὐτῶν*²] *αὐτὸν* M, corr. Pr, *αὐτὰς* Br; aber *καρπὸν* kann mit beiden Verben verbunden werden | **22** *χωρῶν*] *κωμῶν*, corr. Pr—*χορηγούντων*, corr. V.

Digitized by Google

311 ἅμα τοῖς ἁγίοις ἀποστόλοις. ὡς καθολικῷ δὲ ἴσον δυνάμενον λαμβάνομεν τὸ »Ὁ θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς »ζωὴν αἰώνιον, ἵνα ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων« διὰ τὸ ἐν τοῖς ἑξῆς πλείονας λέγεσθαι τοὺς θεριστὰς καὶ πλείονας τοὺς κεκο-
312 πιακότας, δῆλον ὅτι εἰς τὸ σπεῖραι. λέγεται γὰρ ὡς πρὸς πολλοὺς θεριστὰς τὸ »Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν, ὃ οὐχ ὑμεῖς κεκοπιά-»κατε«, καὶ ὡς πολλῶν ἐν τῷ σπόρῳ κεκμηκότων τὸ »Ἄλλοι κεκο- 240H
313 »πιάκασιν καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε«. ἴσον δὲ δύναται καθολικῷ τὸ »Ὁ θερίζων μισθὸν λαμβάνει« καὶ τὸ ἑξῆς τοιοῦτον· »πᾶς ὁ θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς »ζωὴν αἰώνιον«, ἵνα πᾶς »ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ πᾶς ὁ θερίζων«.

314 XLVIII. Ταῦτα δὲ οἱ μέν τινες ἑτοίμως παραδέξονται, μὴ διστάζοντες περὶ τοῦ τὰ ἀποκεκρυμμένα ταῖς πάλαι γενεαῖς καὶ αὐτῷ Μωσεῖ καὶ τοῖς προφήταις πεφανερῶσθαι τοῖς ἁγίοις ἀποστόλοις κατὰ τὴν Χριστοῦ ἐπιδημίαν, φωτίσαντος αὐτοῖς τὸ φῶς τὸ τῆς γνώσεως τῆς πάσης γραφῆς· ἕτεροι δὲ ὀκνήσουσιν προσέσθαι, μὴ τολμῶντες λέγειν τὸν τηλικοῦτον Μωσέα καὶ τοὺς προφήτας μὴ ἐφθακέναι ἔτι ὄντας ἐν τῷ τῶν ἀνθρώπων βίῳ ἐπὶ τὰ τοῖς ἀποστόλοις νενοημένα, καὶ τοῦτο ταῖς θείαις γραφαῖς ἐνεσπαρμένα ταῖς
315 ὑπ' αὐτῶν διακονηθείσαις. χρήσονται δὲ οἱ πρότεροι τῷ »Πολλοὶ »προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε καὶ οὐκ »εἶδον, καὶ ἀκοῦσαι ⟨ἃ⟩ ἀκούετε | καὶ οὐκ ἤκουσαν«, καὶ τῷ »Ἰδού, 218V »πλεῖον Σολομῶνος ὧδε«, καὶ τῷ »Ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη »τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀπο-»στόλοις αὐτοῦ καὶ προφήταις, εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ »σύνσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας ἐν Χριστῷ«, καὶ τῷ ἐν τῷ 259B
Δανιὴλ γεγραμμένῳ μετά τινα ὅρασιν, ὅτι »Ἀνέστην, καὶ οὐκ ἦν ὁ »συνιών«, καὶ τῷ ἐν τῷ Ἡσαΐᾳ »Εἰσὶν οἱ λόγοι τοῦ βιβλίου τούτου »ὡς βιβλίον ἀνθρώπου ἐσφραγισμένον, ὃ ἐὰν δῶσιν αὐτὸ ἀνθρώπῳ »μὴ ἐπισταμένῳ γράμματα λέγοντες· Ἀνάγνωθι, ἐρεῖ· Οὐκ ἐπίσταμαι »γράμματα· καὶ δώσουσιν αὐτὸ ἀνθρώπῳ ἐπισταμένῳ γράμματα, καὶ
316 »ἐρεῖ· Οὐ δύναμαι ἀναγνῶναι, ἐσφράγισται γάρ«. οἱ δὲ δεύτεροι ταῦτα πάντα διαλύσονται τῷ »Σοφὸς νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος, »ἐπὶ δὲ χείλεσιν φορεῖ ἐπιγνωμοσύνην« λέγοντες Μωσέα καὶ ἕκαστον τῶν προφητῶν τὰ διακονηθέντα ὑπ' αὐτῶν νενοηκέναι, οὐχ ὥστε

1 Joh. 4, 36. — **6** Joh. 4, 38. — **7** Joh. 4, 38. — **9** Joh. 4, 36. — **11** Joh. 4, 36. — **15** Vgl. Hos. 10, 12. — **20** Matth. 13, 17. — **23** Matth. 12, 42. — Eph. 3, 5f. — **27** Dan. 8, 27. — **28** Jes. 29, 11f. — **33** Prov. 16, 23.

3 *χαίρει* | **22** ⟨ἃ⟩ + V | *τῷ*], *τὸ* M, *τῷ* V | **29** *ἐσφραγισμένον*, corr. V | *δῶσιν*] *ι* a. Ras., urspr. viell. *ει* | **31** *δώσουσιν*] *ου* a. Ras.

Digitized by Google

καὶ ἑτέροις παραδοῦναι καὶ ἀναπτύξαι τὰ μυστήρια· τοὺς μέντοι γε ἀποστόλους, ὡς ἐν καιρῷ ἀποκαλύψεως γενομένους, εἰπεῖν ἄν· »Στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε« καὶ »Ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι«, καὶ ὅτι εἰ ἐπεθύμουν πολλοὶ προφῆται καὶ δίκαιοι ἰδεῖν, ἃ ἔβλεπον οἱ ἀπόστολοι καὶ ἃ ἤκουον λέγοντος τοῦ σωτῆρος, οὐ πάντως τὰ τῶν νομικῶν γραφῶν καὶ προφητικῶν ἐπεθύμουν, ἀλλὰ τούτων μείζονα ἀπαγγελλόμενα πρὸς τοῖς πνευματικοῖς τοῦ νόμου καὶ τοῖς ἀπορρήτοις τῶν προφητῶν ὑπὸ τοῦ σωτῆρος τοῖς ἀποστόλοις, ὁποῖα ἦν τὸ »Ἤκουσα ἄρρητα
241H »ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι« καὶ παραπλήσια τοῖς ὑπὸ τοῦ παρακλήτου λεγομένοις.

Ἔτι δὲ καὶ ⟨πρὸς⟩ τούτοις τὸ ῥητὸν θεασώμεθα, οἷαν εἶναι τὴν 317
αἰτίαν διηγεῖται τοῦ θερίζοντα μισθὸν λαμβάνειν καὶ συνάγειν καρπὸν εἰς ζωὴν αἰώνιον ὁ εὐαγγελιστὴς λέγων· »Ἵνα ὁ σπείρων ὁμοῦ »χαίρῃ καὶ ὁ θερίζων«. εἰ δέ, ἵνα ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων, 318
⟨ὁ θερίζων⟩ μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, τάχα ὁ σπείρων, κοινωνῶν τῷ μισθῷ τοῦ θερίζοντος καὶ τῇ συναγωγῇ τοῦ εἰς ζωὴν αἰώνιον συναγομένου καρποῦ, ἅμα τῷ θερίζοντι
χαρήσεται. ἄλλος δέ τις ἐρεῖ ὅλα τὰ νομικὰ καὶ τὰ προφητικὰ ἀκρι- 319
βῶς κατὰ τὴν πνευματικὴν ἐκδοχὴν νενοημένα Μωσεῖ καὶ τοῖς προφήταις καὶ ὡς ἐχρῆν κεκαλυμμένως καὶ ἐσκεπασμένως ἀναγεγραμμένα τὰ ἐσπαρμένα εἶναι· ἐπεὶ δὲ »Λόγον σοφὸν ἐὰν ἀκούσῃ ἐπιστήμων, »αἰνέσει αὐτὸν καὶ ἐπ' αὐτὸν προσθήσει«, δῆλον ὅτι οἱ ἀπόστολοι σπέρμασιν ἀπορρητοτέρων καὶ βαθυτέρων χρησάμενοι τοῖς ὑπὸ Μωσέως καὶ τῶν προφητῶν νενοημένοις, διαβεβήκασιν ἐπὶ τὸ εἰς πολ-
260R λαπλασίονα φθάσαι τῆς ἀληθείας θεάματα, Ἰησοῦ ἐπαίρον|τος αὐτῶν
219r τοὺς ὀφθαλμοὺς καὶ φωτίζοντος αὐτῶν τὰς διανοίας, καὶ ἦν τὰ πολλαπλασίονα θερισμὸς τῶν πολλῶν χωρῶν· οὐχ ὡς ὑποδεέστεροι δὲ οἱ προφῆται καὶ Μωσῆς ἀρχῆθεν ⟨οὐκ εἶδον⟩ ὅσα οἱ ἀπόστολοι κατὰ τὴν Ἰησοῦ ἐπιδημίαν, ἀλλ' ὡς περιμένοντες τὸ πλήρωμα τοῦ χρόνου, ἐν ᾧ ἐχρῆν μετὰ τοῦ ἐξαιρέτου τῆς Ἰησοῦ Χριστοῦ ἐπιδημίας καὶ ἐξαίρετα παρὰ τὰ λελαλημένα πώποτε ἐν τῷ κόσμῳ ἢ γεγραμμένα ἀπο-

2 II Thess. 2, 15. — **3** II Tim. 2, 2. — **5** Vgl. Matth. 13, 17. — **10** II Kor. 12, 4. — **15** Joh. 4, 36. — **23** Sir. 21, 15 (18). — **27** Vgl. Joh. 4, 35. — **30** Vgl. Matth. 13, 17. — **31** Vgl. Gal. 4, 4.

9 ἀπερρητοῖς (πε a. Ras.), corr. V | **13** ⟨πρὸς⟩ + Pr | *οἷαν εἶναι τὴν αἰτίαν*] *οἷον εἶναι τιναν*, corr. Pr; *ὅρον εἶναι τινα* Br (nach Mitteilung an Koetschau) | **17** ⟨ὁ θερίζων⟩ + We | *μισθὸν λαμβάνει* a. Ras. | **24** *προσθήσει*] *θη* a. Ras. | **30** ⟨οὐκ εἶδον⟩ + V.

Digitized by Google

καλυφθῆναι ὑπὸ τοῦ οὐχ ἁρπαγμὸν ἡγησαμένου »τὸ εἶναι ἴσα θεῷ«, ἀλλ' ἑαυτὸν κενώσαντος καὶ »μορφὴν δούλου« εἰληφότος.

IV, 37. *Ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ἀληθινὸς ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων.*

320 XLIX. (47) *Εἴτε κατὰ τὸ ἀπὸ τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν* 5
ληφθὲν παράδειγμα ἐκλαμβάνοιμεν τὰ κατὰ τὸν τόπον, σαφὲς πῶς
ἀληθινὸς λόγος ἐστὶν τὸ ἄλλον μὲν εἶναι τὸν σπείροντα ἄλλον δὲ
τὸν θερίζοντα· εἴτε κατὰ τὸ ἐσπαρκέναι μὲν Μωσέα καὶ τοὺς προφή-
τας, τεθεωρηκέναι δὲ λευκῶν γενομένων τῶν χωρῶν τοὺς ἐπάραντας
τοὺς ὀφθαλμοὺς κατὰ τὰς ὑποθήκας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ, ἵνα 10
θεάσωνται τὰς χώρας πῶς ἦσαν λευκαὶ πρὸς θερισμὸν ἤδη, καὶ
321 *οὕτω δῆλον πῶς ἄλλος ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων. σκόπει δὲ*
εἰ τὸ »ἄλλος« καὶ »ἄλλος« δυνατὸν νοῆσαι διὰ τὸ ἐκείνους μὲν ἐπὶ
τοιᾷδε βίου ἀγωγῇ δικαιοῦσθαι, τούτους δὲ ἐπὶ ἑτέρᾳ παρ' ἐκείνην,
ὥστε εἰπεῖν ἄλλον μὲν τὸν νομικόν, ἄλλον δὲ τὸν εὐαγγελικόν. πλὴν 242H
ἅμα χαίρουσιν ἑνὸς τέλους ἀπὸ ἑνὸς θεοῦ διὰ ἑνὸς Χριστοῦ ἐν ἑνὶ
ἁγίῳ πνεύματι ἀμφοτέροις ἀποκειμένου.

322 (48) *Ὁ δ' Ἡρακλέων τὸ »Ἵνα ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ*
»ὁ θερίζων« οὕτω διηγήσατο· χαίρει μὲν γάρ, φησίν, ὁ σπεί-
ρων ὅτι σπείρει, καὶ ὅτι ἤδη τινὰ τῶν σπερμάτων αὐτοῦ 20
συνάγεται ἐλπίδα ἔχων τὴν αὐτὴν καὶ περὶ τῶν λοιπῶν·
ὁ δὲ θερίζων ὁμοίως ὅτι καὶ θερίζει· ἀλλ' ὁ μὲν πρῶτος
323 *ἤρξατο σπείρων, ὁ ⟨δὲ⟩ ὕστερος θερίζων. οὐ γὰρ ἐν*
τῷ αὐτῷ ἐδύναντο ἀμφότεροι ἄρξασθαι· ἔδει γὰρ πρῶ-
τον σπαρῆναι, εἶθ' ὕστερον θερισθῆναι. παυσαμένου μέν- 25
τοι γε τοῦ σπείροντος σπείρειν, ἔτι θερίζει ὁ θερίζων·
ἐπὶ μέντοι τοῦ παρόντος ἀμφότεροι τὸ ἴδιον ἔργον ἐνερ-
γοῦντες ὁμοῦ χαίρουσιν κοινὴν χαρὰν τὴν τῶν σπερμά-
324 *των τελειότητα ἡγούμενοι. ἔτι δὲ καὶ εἰς τὸ »Ἐν τούτῳ*
»ἐστὶν ὁ λόγος ἀληθινὸς ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ 261R
ἄλλος ὁ θερίζων« φησίν· ὁ μὲν γὰρ ὑπὲρ τὸν τόπον υἱὸς
ἀνθρώπου σπείρει· ὁ δὲ σωτήρ, ὢν καὶ αὐτὸς υἱὸς ἀν-
θρώπου, θερίζει καὶ θεριστὰς πέμπει τοὺς διὰ τῶν
μαθητῶν νοουμένους ἀγγέλους ἕκαστον ἐπὶ τὴν ἑαυτοῦ

1 Vgl. Phil. 2, 6f. — **5** Vgl. S. 272, 19ff. — **7** Vgl. Joh. 4, 37. — **9** Vgl. Joh. 4, 35. — **11** Vgl. Joh. 4, 35. — **12** Vgl. Joh. 4, 37. — **16** Vgl. Joh. 4, 36. — **18** Joh. 4, 36. — **29** Joh. 4, 37. — **31** Vgl. Matth. 13, 37f.

1 ἀπὸ | **22** ὅτι] τι, corr. Br | θερίσει, corr. Br | **23** δὲ ὕστερος] δεύτερος, nach Z. 25 corr. We | **32** υἱὸς] υἱὸν, corr. Ferrarius.

Digitized by Google

ψυχήν. οὐ πάνυ δὲ σαφῶς ἐξέθετο τοὺς δύο υἱοὺς τοῦ ἀνθρώπου τίνες εἰσίν, ὧν ὁ εἷς σπείρει καὶ ὁ εἷς θερίζει.

IV, 38. *Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν, ὑ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασιν καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.*

L. (49) *Οὐ χαλεπὸν ἐκ τῶν προειρημένων θεωρῆσαι πῶς ἀπέ-* 325
στειλεν ὁ Ἰησοῦς τοὺς μαθητὰς θερίζειν τοῦτο, εἰς ὃ οὐκ αὐτοὶ κε-
219v *κοπιάκασιν, ἀλλ' οἱ πρὸ | αὐτῶν· καμόντος γὰρ Μωσέως καὶ τῶν*
προφητῶν, ἵνα χωρῆσαι δυνηθῶσιν νοῆσαι τὰ μυστήρια, ὧν τὰ ἴχνη
ἐν τοῖς γράμμασιν ἑαυτῶν ἡμῖν καταλελοίπασιν, εἰς τὸν Μωσέως
καὶ τῶν προφητῶν κόπον οἱ ἀπόστολοι εἰσεληλύθασιν, Ἰησοῦ μυ-
σταγωγοῦντος θερίζοντες καὶ συνάγοντες εἰς τὰς ἀποθήκας τῆς
ψυχῆς ἑαυτῶν τὸν ἐν ἐκείνοις νοῦν. καὶ ἀεὶ δὲ ὁ λόγος τοῖς μαθη- 326
τευομένοις γνησίως ποιεῖ τοὺς τῶν προτέρων καμάτους σαφεστέ-
ρους, χωρὶς τοῦ ὁμοίου τοῖς σπείρασιν κόπου. εἰς ὅλα δὲ τὰ περὶ
τῶν ὑπὸ ἄλλων ⟨σπειρομένων καὶ ὑπ' ἄλλων⟩ θεριζομένων καὶ τοῦτο
ἐπισκοπητέον, μήποτε ἀγγέλων ἐπὶ τῆς σπορᾶς τῶν ἀνθρώπων τε-
ταγμένων οἱ συνεργοὶ τῆς τελειώσεως τῶν ἐσπαρμένων ἀπόστολοι
εἰς τὸν ἑτέρων κάματον εἰσέρχονται θερίζοντες καὶ καρποὺς ἐν τοῖς
ὠφελημένοις εὑρίσκοντες, οὗστινας ἡ Ἰησοῦ ἐπιδημία ἑτοίμους πρὸς
θερισμὸν καὶ πρὸ τῆς ἐλπιζομένης τετραμήνου πεποίηκεν. ἐὰν δὲ 327
ταῦθ' οὕτως ἔχῃ, θεωρῆσαι ἄξιον εἰ καματηρά ἐστιν ἡ τῶν ἀγγέλων
243H *πρὸς τὸ ἐνσπείρεσθαι ψυχὰς σώμασιν λειτουργία, δύο τινὰ συναγόντων τῇ φύσει ἐναντία εἰς κρᾶσιν μίαν, καὶ ἐν καιρῷ τῷ τεταγμένῳ*
ἀρχομένων τε τὴν περὶ ἑκάστου ποιεῖν οἰκονομίαν καὶ εἰς τελεσφόρησιν προαγόντων τὸν προπεπλασμένον. ἀλλ' ἐρεῖ τις τούτοις ἐναν- 328
τίον εἶναι τὸ αὐτὸν λέγεσθαι πλάσσειν τὸν θεὸν ἔν τε τῷ »Αἱ χεῖρές
»σου ἐποίησάν με καὶ ἔπλασάν με« καὶ ἐν τῷ »Πρὸ τοῦ με πλάσαι
»σε ἐν κοιλίᾳ ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας
262R *»ἡγίακά σε«. πρὸς τοῦτο λεκτέον, ὅτι ὥσπερ ὁ νόμος διετάγη δι'* 329
ἀγγέλων, ⟨καὶ ὁ δι' ἀγγέλων⟩ λαληθεὶς λόγος ἐγένετο βέβαιος, δῆλον
δ' ὅτι ὑπὸ θεοῦ λαληθείς, οὕτως ἐνδέχεται καὶ διὰ τῶν τεταγμένων
ἐπὶ τῆς γενέσεως ἀγγέλων θεὸν πλάττειν ἐν κοιλίᾳ λέγειν. οὐκ οἶδα 330

12 Vgl. Matth. 13, 30. — **20** Vgl. Joh. 4, 35. — **27** Ps. 118, 73 (= $\aleph^{a}$ART). — **28** Jer. 1, 5. — **30** Vgl. Gal. 3, 19. — **31** Vgl. Hebr. 2, 2.

4 *αὐτὸν* (wie 69) | **9** *νοήσει*? We | **11** *κόπων* | **16** *τῶν*] *τοῦ*, corr. Ausgg. | ⟨*σπειρομένων καὶ ὑπ' ἄλλων*⟩ + We | **19** *θερίζοντος*, corr. V | **22** *ἔχει* | **24** *ἐναττίων*, corr. Br | **28** *με πλάσαι*] *μεταπλάσαι*. corr. V | **30** über *τοῦτο* von 1. Hd. *το* | **31** ⟨*καὶ ὁ δι' ἀγγέλων*⟩ + Br | **33** *ἐπὶ*] *εἴη*, corr. V | *λέγεσθαι*? vgl. Z. 27 We.

Digitized by Google

δὲ εἰ χώραν ἔχει εἰς τὸ ἠπορημένον καὶ τοιοῦτόν τι λέγειν, ὅτι οἱ εἰπόντες »Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με« Ἰωβ καὶ Δαβὶδ μερίδος ὄντες θεοῦ ἐπλάσθησαν, καὶ ὁ Ἱερεμίας ἀκούων »Πρὸ τοῦ »με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε«· ὡς τῆς μερίδος ἐσόμενος τοῦ θεοῦ πέπλασται ὑπ' αὐτοῦ· οἱ δὲ τῆς ἑτέρων μερίδος ὄντες ὑπὸ
331 τῶν λαχόντων αὐτοὺς πλάττονται. καὶ περιεργότερόν γε οὕτος ὁ λόγος ἐκλήψεται τὸ »Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν »ἡμετέραν« τοῦτο λέγοντος τοῦ θεοῦ περὶ πάντων ἀνθρώπων καὶ προκαταρχομένου τοῦ ἔργου, ὅπερ ἔργον ὕστερον καὶ ὑπὸ τῶν λοιπῶν, πρὸς οὓς ὁ λόγος, κατὰ τὴν οἰκείαν μερίδα γίνεται, τούτοις λέγοντος τοῦ θεοῦ »Ποιήσωμεν ἄνθρωπον«· οἷς καί φησιν ἐπὶ τῆς τῶν διαλέκτων συγχύσεως· »Δεῦτε καὶ καταβάντες συγχέωμεν ἐκεῖ
332 »αὐτῶν τὴν γλῶσσαν«. ταῦτα δὲ οὐκ ἀποφαινόμενοι λέγομεν· πολλῆς γὰρ βασάνου τὰ τηλικαῦτα χρήζει, ἵν' εὑρεθῇ πότερον οὕτως ἔχει ἢ ἑτέρως. οὐ καταφρονητέον δὲ καὶ τῆς τοιαύτης | ἐκδοχῆς· 220r
ἕκαστος τῶν ἀνθρώπων μερίς ἐστί τινος κατὰ τὸ »Ὅτε διεμέριζεν »ὁ ὕψιστος ἔθνη, καὶ ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν »κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ· καὶ ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ
333 »Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ«. εἰ δὲ μερίς ἐστιν πάντως ἕκαστός τινος, διασπείραντος τοῦ θεοῦ τοὺς Ἀδὰμ υἱούς, ἕκαστος μὲν τῶν ἀγγέλων κάμνει περὶ τὴν ἰδίαν μερίδα, οἰκονομῶν τὰ κατ' αὐτήν· ἐν δὲ τῇ τοῦ σωτῆρος ἐπιδημίᾳ λαμβάνονται αἰχμαλωτιζόμενοι εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ ἀπὸ τῆς πάντων μερίδος διὰ τῶν ὑπηρετούντων τῷ εὐαγγελίῳ ἀποστόλων καὶ εὐαγγελιστῶν καὶ διδασκάλων ὑπὸ τοῦ χριστοῦ καὶ προσάγονται εἰς τὸ γενέσθαι
334 τὰ ἔθνη κληρονομίαν τοῦ χριστοῦ. μήποτε οὖν δύναται διὰ τοῦτο 244H
λέγεσθαι τοῖς ἀποστόλοις μετ' ὀλίγον ἀκουσομένοις· »Πορεύεσθε, »μαθητεύσατε πάντα τὰ ἔθνη« τὸ »Ἄλλοι κεκοπιάκασιν καὶ ὑμεῖς 263R
335 »εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε«. εἰ δὲ ἅγιοι ἄγγελοί εἰσιν οἱ τὰς λοιπὰς μερίδας παρὰ τὴν ἐκλεκτὴν εἰληχότες καὶ ἐπὶ τῆς διασπορᾶς τῶν ψυχῶν τεταγμένοι, οὐδέν ἐστιν ἄτοπον τὸν σπείροντα ὁμοῦ χαίρειν καὶ τὸν θερίζοντα μετὰ τὸν θερισμόν.

336 Ὁ δ' Ἡρακλέων φησὶν ὅτι οὐ δι' αὐτῶν οὐδὲ ἀπ' αὐτῶν ἐσπάρη ταῦτα τὰ σπέρματα (φησὶ δὲ τῶν ἀποστόλων)· οἱ

2 Vgl. Ps. 118, 73; Hiob 12, 10. — 3 Vgl. Ps. 118, 57. — Jer. 1, 5. — 7 Gen. 1, 26. — 11 Gen. 1, 26. — 12 Gen. 11, 7. — 16 Deut. 32, 8f. — 22 Vgl. II Kor. 10, 5. — 24 Vgl. Eph. 4, 11. — 27 Matth. 28, 19. — 28 Joh. 4, 38. — 31 Vgl. Joh. 4, 36.

5 *τῆς*] *τῶν*, corr. We | *μερίδες*, corr. We | 6 *οὕτως* | 7 *ἐκλήμψεται* (*ημψετα* a. Ras.) | 17 *υἱοῖς* | 20 [*τινος — υἱ*]*ους* a. Ras. | *τοὺς*] *τοῦ* M, *τοὺς τοῦ* V | 21 *ἰδίαν*, corr. V | 33 *οὐ δι'*] *οὐδὲ*, corr. V.

Digitized by Google

δὲ κεκοπιακότες εἰσὶν οἱ τῆς οἰκονομίας ἄγγελοι, δι' ὧν ὡς μεσιτῶν ἐσπάρη καὶ ἀνετράφη. εἰς δὲ τὸ· »Ὑμεῖς »εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε« ταῦτα ἐξέθετο· οὐ γὰρ ὁ αὐτὸς κόπος σπειρόντων καὶ θεριζόντων· οἱ μὲν γὰρ ἐν κρύει καὶ κόπῳ τὴν γῆν σκάπτοντες σπείρουσιν καὶ δι' ὅλου χειμῶνος τημελοῦσιν σκάλλοντες καὶ τὰς ὕλας ἐκλέγοντες· οἱ δὲ εἰς ἕτοιμον καρπὸν εἰσελθόντες θέρους εὐφραινόμενοι θερίζουσιν. ἐξέσται δὲ συγκρίνοντι 337
τά τε ὑφ' ἡμῶν εἰρημένα τῷ ἐντυγχάνοντι καὶ τὰ ὑπὸ τοῦ Ἡρακλέωνος ὁρᾶν, ὁποία τῶν διηγήσεων ἐπιτετεῦχθαι δύναται.

IV, 39. *Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης ὅτι Εἶπέν μοι πάντα ὅσα ἐποίησα.*

LI. (50) Τῆς Σαμαρείτιδος καταλιπούσης τὴν ὑδρίαν καὶ ἀπελη- 338
λυθυίας εἰς τὴν πόλιν ὑπὲρ τοῦ εὐαγγελίσασθαι τὰ περὶ τοῦ σωτῆρος, καὶ τῶν πιστευόντων τῷ λόγῳ τῆς γυναικὸς ἐρχομένων πρὸς τὸν κύριον, ἐν τῷ μεταξὺ ὁ σωτὴρ τοῖς μαθηταῖς συντυγχάνων πεποίηται τοὺς προειρημένους λόγους, ἐρωτώντων τῶν μαθητῶν, ὅπως φάγῃ. μετὰ δὲ τὸ λεχθῆναι πρὸς τοὺς μαθητὰς τὰ κατὰ δύ- 339
ναμιν ἐξητασμένα, ἐπαναλαμβάνει ἡ γραφὴ τὰ περὶ τῶν ἐληλυθότων ἐκ τῆς πόλεως πρὸς αὐτὸν καὶ πιστευσάντων διὰ τὴν μαρτυρίαν τῆς γυναικὸς λεγούσης ὅτι »Εἶπέν μοι πάντα ὅσα ἐποίησα«. εἰ δὲ 340
κρατοῦμεν τῶν ἀνωτέρω εἰρημένων περὶ τῆς Σαμαρείας καὶ τῆς Σαμαρείτιδος καὶ τῆς τοῦ Ἰακὼβ πηγῆς, οὐ χαλεπὸν ἰδεῖν τίνα τρόπον ἐπιτυχόντες λόγου ὑγιοῦς οἱ προκατειλημμένοι ἐν ἑτεροδιδασκαλίαις
220v καταλείπουσιν τὴν οἱονεὶ τῶν δογμάτων πόλιν, καὶ ἐξελθόντες αὐτὴν ὑγιαινόντως πιστεύουσιν μιᾶς τινος παρὰ τῇ τοῦ Ἰακὼβ πηγῇ προτέρας κεχωρηκυίας τὴν σωτήριον διδασκαλίαν, καὶ καταλιπούσης τὴν προειρημένην ὑδρίαν ὑπὲρ τοῦ καὶ ἑτέρους ἐπὶ τὸ ὁμοίως ὠφεληθῆναι προκαλέσασθαι.

Ὁ δ' Ἡρακλέων τὸ μὲν »Ἐκ τῆς πόλεως« ἀντὶ τοῦ 341
245H »ἐκ τοῦ κόσμου« ἐξείληφεν· τὸ δὲ »Διὰ τὸν λόγον τῆς γυ-
264R »ναικός« τουτέστιν διὰ τῆς πνευματικῆς ἐκκλησίας· καὶ

1 Vgl. Gal. 3, 19. — **8** Vgl. Ps. 125, 5. — **14** Vgl. Joh. 4, 28. — **18** Vgl. Joh. 4, 31. — **20** Vgl. c. 33ff. — **23** Die Erörterung stand nach S. 227, 1ff. in t. XII. — **27** Vgl. Joh. 4, 39. — **28** Vgl. Joh. 4, 28.

7 *καρπὸν*] *κῆπον*? | **9** *τά τε*] *ταδε*, corr. We | **12** *εἶπέ*[*ν μοι*] a. Ras. | **14** *καταλειπούσης* | **23** *ἀνωτερων* | **26** nach *τῶν* ist wohl (*ψευδῶν*) zu erg. | **31** *τὸ*] *τοῖς*, corr. Br.

Digitized by Google

ἐπισημαίνεταί γε τὸ »Πολλοὶ« ὡς πολλῶν ὄντων ψυχικῶν· τὴν δὲ μίαν λέγει τὴν ἄφθαρτον τῆς ἐκλογῆς φύσιν καὶ μονοειδῆ καὶ ἐνικήν. ἔστημεν δὲ ἐν τοῖς ἀνωτέρω, ὡς οἷόν τε ἦν, πρὸς ταῦτα.

IV, 40f. *Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς. καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ.*

342 LII (51). Οὐκ ἀπιθάνως τις συγκρούσει τὸ »Εἰς ὁδὸν ἐθνῶν μὴ »ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε« τῷ ῥητῷ τούτῳ. ἐρωτηθεὶς γὰρ ὁ σωτὴρ μεῖναι παρὰ τοῖς Σαμαρείταις »ἔμεινεν ἐκεῖ »δύο ἡμέρας«, ὁ εἰπών· »Εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε«.
343 δῆλον οὖν ὅτι καὶ οἱ μαθηταὶ αὐτοῦ συνεισεληλύθεισαν αὐτῷ. λεκτέον δὲ πρὸς τοῦτο ὅτι τὸ μὲν εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν ἔστιν ἀναλαβεῖν τι δόγμα ἐθνικὸν ἀλλότριον τοῦ »Ἰσραὴλ τοῦ θεοῦ«, καὶ ὁδεῦσαι κατ' αὐτό· τὸ δ' εἰς πόλιν εἰσελθεῖν Σαμαρειτῶν τὸ ἔν τινι γενέσθαι ψευδωνύμῳ γνώσει τῶν λεγόντων νομικοῖς ἢ προφητικοῖς
344 ἢ εὐαγγελικοῖς ἢ ἀποστολικοῖς προσέχειν λόγοις. ἔξεστιν δὲ καταλιπόντων ⟨τῶν⟩ Σαμαρειτῶν τὴν ἰδίαν πόλιν καὶ ἐλθόντων πρὸς τὸν Ἰησοῦν παρὰ τὴν τοῦ Ἰακὼβ πηγὴν ἀποδεξάμενον τὴν προαίρεσιν τῶν πιστευσάντων τὸν Ἰησοῦν μεῖναι παρὰ τοῖς ἐρωτήσασιν.
345 οἶμαι δ' ὅτι παρατετηρημένως ὁ Ἰωάννης οὐ πεποίηκεν τὸ »ἠρώτων »αὐτὸν« οἱ Σαμαρεῖται εἰσελθεῖν εἰς τὴν Σαμάρειαν, ἢ εἰσελθεῖν εἰς τὴν πόλιν, ἀλλὰ »μεῖναι παρ' αὐτοῖς«· οὐ γὰρ ταὐτόν ἐστιν τὸ »μεῖναι παρὰ τῷ πιστεύοντι« καὶ τὸ »εἰσελθεῖν εἰς τὴν πόλιν αὐτοῦ«. καὶ τῷ ἑξῆς δὲ οὗ φησι· καὶ ἔμεινεν ἐν τῇ πόλει ἐκείνῃ δύο ἡμέρας,
346 ἢ ἔμεινεν ἐν τῇ Σαμαρείᾳ, ἀλλ' »Ἔμεινεν ἐκεῖ«, τουτέστιν παρὰ τοῖς ἐρωτήσασιν. μένει γὰρ Ἰησοῦς παρὰ τοῖς ἐρωτήσασιν καὶ μάλιστα ὅτε οἱ ἐρωτῶντες αὐτὸν ἐξέρχονται τῆς πόλεως αὐτῶν καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, οἱονεὶ μιμησάμενοι τὸν Ἀβραὰμ πεισθέντα
347 τῷ εἰπόντι θεῷ· »Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, »καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου«. δύο δὲ ἡμέρας μένει παρὰ τοῖς ἐρωτήσασιν αὐτόν· οὐδέπω γὰρ ἐχώρουν καὶ τὴν τρίτην αὐτοῦ ἡμέραν, ἐπεὶ οὐχ οἷοί τε ἦσαν χωρῆσαί τι τεράστιον, ὁποῖον οἱ ἐν Κανᾷ

8 Matth. 10, 5. — 10 Vgl. Joh. 4, 40. — 11 Matth. 10, 5. — 14 Vgl. Gal. 6, 16. — 16 Vgl. 1 Tim. 6, 20. — 18 Vgl. Joh. 4, 30. — 20 Vgl. Luk. 24, 29. — 23 Joh. 4, 40. — 26 Joh. 4, 40. — 30 Gen. 12, 1. — 31 Joh. 4, 40. — 33 Vgl. Joh. 2, 1.

4 *οιονται* | 8 *συγκροί εἰν φήσει*? We | 13 *εἴσοδος* | 18 ⟨*τῶν*⟩ + V | 25 *τῷ*] *τὸ*, corr. Pr *καὶ κατὰ*⟩ *τὸ*? We.

Digitized by Google

221r τῆς Γαλιλαίας τῇ ἡμέρᾳ τῇ τρίτῃ συνδειπνοῦντες τῷ | Ἰησοῦ ἐν τῷ
265R γάμῳ. ἡ μὲν οὖν ἀρχὴ τῶν ἀπὸ τῆς Σαμαρείας πιστευόντων πολλῶν 348
ἦν ὁ λόγος τῆς γυναικὸς μαρτυρούσης ὅτι »Εἶπέν μοι πάντα ἃ
»ἐποίησα«· ἡ δὲ αὔξησις καὶ ⟨ὁ⟩ πληθυσμὸς τῶν πολλῷ πλειόνων
246H πιστευόντων οὐκέτι διὰ τὸν λόγον τῆς γυναικὸς ἀλλὰ διὰ τὸν λόγον
αὐτόν. οὐ γὰρ ὁμοίως αὐτὸς ἀφ' ἑαυτοῦ θεωρεῖται ὁ λόγος, φωτίζων
τὸν χωροῦντα, καὶ ὅτε δι' ἑτέρου λεγόμενος μαρτυρεῖται.

Ὁ δὲ Ἡρακλέων εἰς τοὺς τόπους ταῦτά φησιν »παρ' 349
»αὐτοῖς« ἔμεινεν καὶ οὐκ »ἐν αὐτοῖς« καὶ δύο ἡμέρας,
10 ἤτοι τὸν ἐνεστῶτα αἰῶνα καὶ τὸν μέλλοντα τὸν ἐν
γάμῳ, ἢ τὸν πρὸ τοῦ πάθους αὐτοῦ χρόνον καὶ τὸν
μετὰ τὸ πάθος, ὃν παρ' αὐτοῖς ποιήσας πολλῷ πλείονας
διὰ τοῦ ἰδίου λόγου ἐπιστρέψας εἰς πίστιν ἐχωρίσθη
ἀπ' αὐτῶν. λεκτέον δὲ πρὸς τὴν δοκοῦσαν αὐτοῦ παρατήρησιν, 350
15 ὅτι »Παρ' αὐτοῖς« καὶ οὐκ »ἐν αὐτοῖς« γέγραπται, ὅτι ὅμοιον
τῷ »παρ' αὐτοῖς« ἐστὶν τὸ »Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας
»τὰς ἡμέρας« οὐ γὰρ εἶπεν· »ἐν ὑμῖν εἰμι«. ἔτι δὲ λέγων τὰς 351
δύο ἡμέρας ἤτοι τοῦτον τὸν αἰῶνα εἶναι καὶ τὸν μέλ-
λοντα, ἢ τὸν πρὸ τοῦ πάθους καὶ μετὰ τὸ πάθος, οὔτε
20 τοὺς ἐπερχομένους αἰῶνας μετὰ τὸν μέλλοντα νενόηκεν, περὶ
ὧν φησιν ὁ ἀπόστολος· »Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσιν τοῖς
»ἐπερχομένοις« οὔτε ὁρᾷ, ὅτι οὐ μόνον πρὸ τοῦ πάθους καὶ
μετὰ τὸ πάθος σύνεστιν τοῖς ἐρχομένοις πρὸς αὐτὸν ὁ Ἰησοῦς
καὶ μετὰ τοῦτο χωρίζεται· ἀεὶ γὰρ μετὰ τῶν μαθητῶν ἐστιν
25 μηδεπώποτε καταλείπων αὐτούς, ὥστε καὶ λέγειν αὐτούς· »Ζῶ
»δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός«.

IV, 42. *Τῇ δὲ γυναικὶ ἔλεγον· Οὐκέτι διὰ τὴν λαλιάν σου πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν, ὅτι ἀληθῶς οὗτός ἐστιν ὁ σωτὴρ τοῦ κόσμου·*

30 LIII. (52) Ἁρνοῦνται τὴν διὰ τὴν λαλιὰν τῆς γυναικὸς πίστιν, 352
κρεῖττον ἐκείνης εὑρόντες τὸ ἀκηκοέναι αὐτοῦ τοῦ σωτῆρος, ὥστε
καὶ εἰδέναι »ὅτι ἀληθῶς οὗτός ἐστιν ὁ σωτὴρ τοῦ κόσμου«. καὶ
βέλτιόν γέ ἐστιν αὐτόπτην γενέσθαι τοῦ λόγου καὶ χωρὶς ὀργάνων
διδάσκοντος ἀκούειν αὐτοῦ καὶ φαντασιοῦντος οὐ διὰ τῶν διδασκόν-

2 Vgl. Joh. 4, 39. — 4 Vgl. Joh. 4, 42. — 8 Joh. 4, 40. — 16 Matth. 28, 20. — 21 Eph. 2, 7. — 25 Gal. 2, 20. — 32 Joh. 4, 42. — 33 Vgl. Luk. 1, 2.

2 ἦν πολλῶν, corr. Hu | 3 ἃ s. zu S. 252, 21 | 4 ⟨ὁ⟩ + V | πολλῶν | 6 αὐτόν] αὐτοῦ, corr. We | 7 καὶ] η, corr. V | 12 ὃν] ὁ, corr. V | 20 μέλλον, corr. V.

Digitized by Google

των τὸ ἡγεμονικὸν εὑρίσκον τρανότατα τοὺς τῆς ἀληθείας τύπους,
ἅπερ μὴ ὁρῶντα αὐτὸν μηδὲ ἀπὸ τῆς δυνάμεως φωτιζόμενον αὐτοῦ
διὰ διακόνων τῶν ἑωρακότων αὐτὸν ἀκούειν τὸν περὶ αὐτοῦ λόγον.
353 *ἀμήχανον γὰρ τὸ αὐτὸ τῷ ἑωρακότι γινόμενον περὶ τὸ ἡγεμονικὸν*
πάθος παθεῖν τὸν ἀπὸ τοῦ ἑωρακότος καὶ ἀπαγγέλλοντος αὐτὸν
διδασκόμενον· καὶ κρεῖττόν γε διὰ εἴδους περιπατεῖν ἢ διὰ πίστεως. 296R
354 *διὰ τοῦτο οἱ μὲν οἰονεὶ διὰ εἴδους περιπατοῦντες ἐν τοῖς προηγου-*
μένοις λέγοιντο ἂν εἶναι χαρίσμασιν »λόγῳ σοφίας« διὰ τοῦ πνεύ-
ματος τοῦ θεοῦ καὶ »λόγῳ γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα«· οἱ δὲ
διὰ πίστεως, εἰ καὶ χάρισμά ἐστιν ἡ πίστις κατὰ τὸ »Ἄλλῳ δὲ πίστις 247H
355 *»ἐν τῷ αὐτῷ πνεύματι«, τῇ τάξει τῶν προτέρων εἰσὶν ὕστεροι.* | *ἐξε-* 221v
ταστέον δὲ πότε καὶ πῶς λέγει Παῦλος· »Διὰ πίστεως γὰρ περιπα-
»τοῦμεν, οὐ διὰ εἴδους«. πῶς γάρ, ὡς οἱ πολλοὶ νοοῦσιν, διὰ πίστεως
καὶ οὐ διὰ εἴδους περιπατεῖ ὁ ἐμβριθέστατα λέγων· »Οὐκ εἰμὶ ἐλεύ-
»θερος; οὐκ εἰμὶ ἀπόστολος; οὐχὶ Ἰησοῦν τὸν κύριον ἡμῶν ἑώρακα;
356 *»οὐ τὸ ἔργον μου ὑμεῖς ἐστὲ ἐν κυρίῳ;« ἴδωμεν οὖν τὸ ῥητὸν πῶς*
δεῖ ἐκλαβεῖν τὸ »Διὰ πίστεως γὰρ περιπατοῦμεν οὐ διὰ εἴδους« ἀνα-
λαβόντες αὐτὸ ἀπὸ τῶν ἀνωτέρω οὕτως ἐχόντων· »Ὁ δὲ κατεργασά-
»μενος ἡμᾶς εἰς αὐτὸ τοῦτο θεός, ὁ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ
357 *»πνεύματος. θαρροῦντες οὖν πάντοτε καὶ εἰδότες ὅτι ἐνδημοῦντες*
»ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου· διὰ πίστεως γὰρ περι-
»πατοῦμεν οὐ διὰ εἴδους« (δῆλον δ' ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι,
ὅτε ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου) θαρροῦντες »μᾶλλον εὐδοκοῦμεν
358 *»ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον«. τούτων*
οὕτως εἰρημένων εἰς τὸ νοῆσαι τί τὸ ἐνδημεῖν τῷ σώματι καὶ ἐκδη-
μεῖν ἀπὸ τοῦ κυρίου, τί τε τὸ ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδη-
μῆσαι πρὸς τὸν κύριον, ἑαυτῶν πυθώμεθα τί περὶ τοῦ ἀποστόλου
ἐροῦμεν· πότερον ὅτι ἐνδημῶν τῷ σώματι ἐξεδήμει ἀπὸ τοῦ κυρίου,
359 *ἢ ὅτι ἐκδημῶν τοῦ σώματος ἐνεδήμει τῷ κυρίῳ. ἀλλὰ σαφῶς, ἐπεὶ*
»οἱ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται«, οἱ δὲ ἅγιοι οὐκ εἰσὶν
ἐν σαρκὶ »ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν αὐτοῖς«,
Παῦλος οὐκ ἦν ἐν σαρκὶ οὐδὲ ἐν σώματι· ἀληθεύει γὰρ λέγων· »Δοκῶ
»δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν« οὐκ ἐνδημῶν δὴ τῇ σαρκὶ καὶ σώματι,
τοῦ ἐνδημοῦντος τῷ σώματι διὰ πίστεως περιπατοῦντος οὐ διὰ

6 Vgl. II Kor. 5, 7. — 8 Vgl. I Kor. 12, 8. — 10 I Kor. 12, 9. — 12 II Kor. 5, 7. — 14 I Kor. 9, 1. — 17 II Kor. 5, 7. — 18 II Kor. 5, 5f. — 23 II Kor. 5, 8. — 30 Vgl. Röm. 8, 8f. — 32 I Kor. 7, 40. — 34 Vgl. II Kor. 5, 6f.

1 *τρανότατα*] *τρανότητα*, corr. Pr | 13 *ὡς οἱ*] *ὡσεὶ*, corr. Pr | 18 *ἐχόντων*] *ἔχειν*, corr. We | 23 *θαρροῦντες* mit ℵ. 17. Tert. | *μᾶλλον εὐδοκοῦμεν*] Stellung singulär; sonst *εὐδοκοῦμεν μᾶλλον* | 24. 26 *ἐνδημῆσαι, ἐκδημῆσαι*, corr. V | 33 *δὴ*] *δὲ*, corr. V.

Digitized by Google

εἴδους. καὶ ὅρα εἰ δύναται τῆς ἀποστολικῆς ἀκριβείας εἶναι τὸ μὴ 360
ταὐτὸν φάσκειν »ἐν σαρκὶ εἶναι« καὶ »ἐνδημεῖν σώματι«· »οἱ μὲν γὰρ
»ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται«· οἱ δὲ ἐνδημοῦντες τῷ
σώματι »ἐκδημοῦσιν μὲν ἀπὸ τοῦ κυρίου«· πλὴν διὰ τῆς πίστεως
περιπατοῦσιν, εἰ καὶ μηδέπω χωροῦσιν διὰ εἴδους. καὶ οἶμαι ὅτι ἐν 361
σαρκὶ μέν εἰσιν οἱ κατὰ σάρκα στρατευόμενοι, ἐνδημοῦσι δὲ τῷ σώ-
267R ματι καὶ ἐκδημοῦσιν ἀπὸ τοῦ κυρίου οἱ τὰ πνευματικὰ τῆς γραφῆς
μὴ νοοῦντες, ἀλλ' ὅλοι προσκείμενοι αὐτῇ καὶ τῷ σώματι· πῶς γὰρ
οὐκ ἐκδημεῖ ἀπὸ τοῦ κυρίου, εἰ »ὁ κύριος τὸ πνεῦμά ἐστιν«, ὁ μη-
δέπω χωρῶν τὸ ζωοποιοῦν πνεῦμα καὶ πνευματικὸν τῆς γραφῆς;
248H πλὴν διὰ πίστεως ὁ τοιοῦτος περιπατεῖ, ἐκδημεῖ δὲ ἐκ τοῦ σώματος
καὶ ἐνδημεῖ πρὸς τὸν κύριον ὁ τὰ πνευματικὰ τοῖς πνευματικοῖς
συγκρίνων καὶ γινόμενος πνευματικός, ὁ πάντα ἀνακρίνων, αὐτὸς
δὲ ἀνακρινόμενος ὑπ' οὐδενός.

Ταῦτα δὲ ἡμῖν εἰ καὶ μετὰ παρεκβάσεως τῆς εἰς τὰ ἀποστολικὰ 362
ῥητὰ εἰρῆσθαι δοκεῖ, ἀλλά γε ἀναγκαιότατα πρὸς τὴν διαφορὰν τοῦ
λόγου τῶν Σαμαρειτῶν ἐστιν οὐκέτι διὰ τὴν λαλιὰν πιστευόντων
223r τῆς γυναικὸς ἀλλ' ἀκηκοότων καὶ εἰδότων ὅτι »οὗτός ἐστιν | ὁ σωτὴρ
»τοῦ κόσμου«. οὐδὲν μέντοι γε θαυμαστὸν περί τινων μὲν ⟨εἰρῆσθαι⟩
διὰ πίστεως περιπατεῖν καὶ μὴ διὰ εἴδους, περὶ ἑτέρων δὲ διὰ εἴδους
τοῦ μείζονος παρὰ τὸ διὰ πίστεως περιπατεῖν.

Ἡρακλέων δὲ ἁπλούστερον ἐκλαβὼν τὸ »Οὐκέτι διὰ τὴν 363
»σὴν λαλιὰν πιστεύομεν« φησὶ λείπειν τὸ »μόνην«. ἔτι
μὲν γὰρ πρὸς τὸ »Αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι
»οὗτός ἐστιν ὁ σωτὴρ τοῦ κόσμου« φησίν· οἱ γὰρ ἄν-
θρωποι τὸ μὲν πρῶτον ὑπὸ ἀνθρώπων ὁδηγούμενοι
πιστεύουσιν τῷ σωτῆρι, ἐπὰν δὲ ἐντύχωσιν τοῖς λόγοις
αὐτοῦ, οὗτοι οὐκέτι διὰ μόνην ἀνθρωπίνην μαρτυρίαν,
ἀλλὰ δι' αὐτὴν τὴν ἀλήθειαν πιστεύουσιν.

IV, 43f. *Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν εἰς τὴν*
Γαλιλαίαν· αὐτὸς γὰρ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ
ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.

LIV. (53) *Πάνυ ἀνακόλουθος ἡ λέξις φαίνεται· τί γὰρ κοινὸν* 364
πρὸς τὸ ἐξεληλυθέναι αὐτὸν μετὰ δύο ἡμέρας ἀπὸ τῶν Σαμαρειτῶν,

2 Vgl. Röm. 8, 8. — **3** Vgl. II Kor. 5, 6. — **4** Vgl. II Kor. 5, 7. — **6** Vgl. II Kor. 10, 3. II Kor. 5, 6. — **9** Vgl. II Kor. 3, 17. — **10** Vgl. II Kor. 3, 6. — **12** Vgl. I Kor. 2, 13. — **13** Vgl. I Kor. 2, 15. — **17** Vgl. Joh. 4, 42. — **24** Joh. 4, 42.

18 ὅτι οὗτος] ὅτι ὁ τοιοῦτος, corr. Pr, ὁ[τοι ist Dittogr. von ὅτι | **19** *κόσ[μου οὐδὲν μέν]τοι*, das Eingeklammerte nicht mehr zu lesen, weil die obere Schicht des Papieres abgerissen ist | ⟨εἰρῆσθαι⟩ + Pr, εἰρῆσθαι τὸ We | **20** [περὶ ἑτέρ]ων unleserlich.

Digitized by Google

παρ᾽ οἷς ἔμεινεν, καὶ εἰς τὴν Γαλιλαίαν ἀπέρχεσθαι τὸ »Αὐτὸς γὰρ
»Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ
365 »ἔχει«; εἰ μὲν γὰρ ἦν πατρὶς αὐτοῦ ἡ Σαμάρεια καὶ ἠτίμαστο ἐκεῖ,
ὡς διὰ τοῦτο ἐξεληλυθέναι μὴ διατρίψαντα πλεῖον ἡμερῶν δύο, ἀκο-
λούθως ἂν εἴρητο τὸ »Αὐτὸς γὰρ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης
366 »ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει«. ἀλλὰ καὶ εἰ ἐγέγραπτο· μετὰ
δέ τὰς δύο ἡμέρας ἐξῆλθεν εἰς τὴν Γαλιλαίαν, ἀλλ᾽ οὐκ ἐγένετο ἐν
τῇ ἰδίᾳ πατρίδι· »αὐτὸς γὰρ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν
»τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει«, καὶ οὕτως χώραν τὸ λεγόμενον
367 εἶχεν ἄν. καὶ τάχα τὸ μὲν βούλημα τοῦ ῥητοῦ τοῦτ᾽ ἔστιν, ὡς
ἰδιώτης δὲ τῷ λόγῳ ὁ Ἰωάννης δυσπαραστάτως ἔφρασεν ὃ νενόηκεν.
εἰς γὰρ τίνα τόπον τῆς Γαλιλαίας ἐδέξαντο αὐτὸν »ἑωρακότες πάντα, 268R
»ὅσα ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ«, οὐκ εἴρηται, ἀλλὰ καὶ
μετὰ τοῦτο ὅτι ἦλθεν »εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας« ἀνέγραψεν.
κατακούει δὲ ἑαυτοῦ ὁ εὐαγγελιστὴς καὶ οὐκ ἀπορεῖ τοῦ προκειμένου.
368 προειπὼν γοῦν τίνα τρόπον ἀφίησιν τὴν Ἰουδαίαν καὶ ἄπεισιν εἰς
τὴν Γαλιλαίαν ὁ κύριος, διηγησάμενός τε (ἐπεὶ ἔδει αὐτὸν διέρχεσθαι 240H
διὰ τῆς Σαμαρείας) τὰ λεγόμενα πλησίον τοῦ χωρίου ὃ ἔδωκεν Ἰακὼβ
τῷ Ἰωσὴφ παρὰ τῇ πηγῇ τοῦ Ἰακώβ, καὶ πῶς ἔμεινεν δύο ἡμέ-
ρας παρὰ τοῖς Σαμαρείταις, ἀποδίδωσιν τὴν εἰς Γαλιλαίαν ἄφιξιν
369 αὐτοῦ, καίτοιγε οὐκ ὀλίγων μεταξὺ εἰρημένων. ἐπεὶ δὲ ἐν τοῖς ἀνω-
τέρω προείπομεν βελτίονός τινος σύμβολον εἶναι τὴν Ἰουδαίαν, ἄνω
που κειμένην, ἐλάττονος δὲ τὴν Γαλιλαίαν, κατὰ τοῦτο ἐπισκοπῆς
δεομένων καὶ τῶν ἐλαττόνων ὁ φιλάνθρωπος θεὸς οὐ καταφρονεῖ,
διὰ τοῦτο καὶ τοὺς Σαμαρείτας τάχιον καταλιπὼν ὑπὲρ τοῦ τοῖς
προθύμως αὐτὸν ἀποδεξομένοις Γαλιλαίοις ἐπιστῆναι καὶ τὸν τοῦ
370 βασιλικοῦ υἱὸν ἰάσασθαι. ταῦτα δὲ ἐν τῇ Γαλιλαίᾳ ποιήσας, | ἐνστάσης 222r
τῆς τῶν Ἰουδαίων ἑορτῆς ἀναβαίνει εἰς Ἱεροσόλυμα, τὴν ἑορτὴν
κρείττονα καὶ ἱλαροτέραν τῇ ἑαυτοῦ ποιῶν ἐπιδημίᾳ.

371 LV. (54) Ἴδωμεν δὲ τί ἐστιν καὶ τὸ »Αὐτὸς γὰρ Ἰησοῦς ἐμαρ-
»τύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει« καὶ
ἀξίως τοῦ Ἰησοῦ μαρτυροῦντος ζητητέον τὸν τῆς λέξεως νοῦν.
372 πατρὶς δὴ τῶν προφητῶν ἐν τῇ Ἰουδαίᾳ ἦν, καὶ φανερόν ἐστιν
τιμὴν αὐτοὺς παρὰ Ἰουδαίοις μὴ ἐσχηκέναι, λιθασθέντας, πρισθέντας,
πειρασθέντας, ἐν φόνῳ μαχαίρας ἀποθανόντας, διὰ τὸ ἀτιμάζεσθαι
περιελθόντας ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερουμένους, θλι-

12 Vgl. Joh. 4, 45. — 14 Vgl. Joh. 4, 46. — 17 Vgl. Joh. 4, 4. — 18 Vgl. Joh. 4, 5. — 20 Vgl. Joh. 4, 40. — 21 Vgl. X, 23. — 26 Vgl. Joh. 4, 46. — 27 Vgl. Joh. 5, 1. — 30 Joh. 4, 44. — Vgl. in Matth. X, 16. 18. in Jes. h. I, 13. — 34 Vgl. Hebr. 11, 37.

4 διατρίψοντα, corr. Ausgg. | 11 δυσπαραστάτως, über τ^1Comp. f. ας 26 ἀποδεξαμένοις.

Digitized by Google

βομένους, κακουχουμένους. καὶ ὀνειδίζονταί γε Ἰουδαῖοι ὑπὸ τοῦ 373
λέγοντος πρὸς αὐτούς· »Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες
»ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως
»τοῦ δικαίου;« οἵτινες ἐπὶ τέλει καὶ τὸν ἐπὶ πᾶσι προφήτην, δι' οὗ
οἱ προφῆται προφῆται γεγένηνται, ἀτιμάσαντες· »Ἆρε, ἆρε, σταύρου
»αὐτόν« ἔλεγον. τετίμηνται δὲ ἐν τῇ ἐμῇ πατρίδι πάντες οἱ προφῆται 374
καὶ ὁ ἀπὸ θεοῦ ἀναστὰς κατὰ τὰ περὶ αὐτοῦ εἰρημένα ὑπὸ Μωσέως·
»Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν
269R »ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε«· οὐ πατρὶς γὰρ αὐτοῦ ἐν τοῖς
ἔθνεσιν τοῖς τῷ παραπτώματι τοῦ Ἰσραὴλ τὴν σωτηρίαν εἰληφόσιν.
καὶ ἐν ἄλλοις δὲ γέγραπται· »Οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ
»πατρίδι καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ« καὶ χρήσιμόν γε τὸ συγγενὲς τούτῳ 375
ῥητὸν συναγαγόντας ἀπὸ τῶν εὐαγγελίων ἰδεῖν πότε καὶ ἐπὶ τίνι
τῷ σωτῆρι τοῦτο εἴρηται. θαυμάσαι δὲ ἔστιν τὸ ἀληθὲς τῆς ἀπο- 376
φάσεως τοῦ σωτῆρος φθάσαν οὐ μόνον ἐπὶ τοὺς ἁγίους προφήτας
ἀτιμασθέντας παρὰ τοῖς οἰκείοις καὶ ἐπ' αὐτὸν τὸν κύριον ἡμῶν,
250H ἀλλὰ καὶ ἐπὶ τοὺς ἔν τινι σοφίᾳ διατρίψαντας καὶ καταφρονηθέντας
ὑπὸ τῶν πολιτῶν, ὥστε τινὰς αὐτῶν καὶ τὴν ἐπὶ θανάτῳ ἀπαχθῆναι.
ἔξεστιν δὲ ταῦτα ἀπὸ τῆς Ἑλληνικῆς ἱστορίας ἀναλέξασθαι περὶ τῶν 377
φιλοσοφησάντων καὶ ἀστρονομησάντων ἢ ὁποίοις δήποτε μαθήμασιν
διαπρεψάντων. ἀτιμαζόντων δὲ καὶ αὗται ⟨αἱ⟩ φωναί· »Οὐχ οὗτός
»ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ; καὶ
»οἱ ἀδελφοὶ αὐτοῦ εἰσιν πρὸς ἡμᾶς; πόθεν οὖν τούτῳ πάντα ταῦτα;«
καὶ παραδοξότατόν γε ἐπὶ τῶν προφητῶν τοῦτο συμβέβηκεν, τὸ 378
μὲν ζῶν αὐτῶν οὐ τετιμήκασιν οἱ πολῖται, τὸ δὲ νεκρὸν περιέπουσιν
οἰκοδομοῦντες αὐτῶν τὰ μνημεῖα καὶ κοσμοῦντες. οἰκοδομεῖν δέ 379
ἐστιν τὰ μνημεῖα τῶν προφητῶν καὶ κοσμεῖν αὐτὰ ὅτε τὸ ζωοποιοῦν
πνεῦμα καταλιπών τις τὸ ἐνυπάρχον τοῖς βουλήμασιν τῶν γραμμάτων
223r αὐτῶν, περιέπει καὶ περικοσμεῖ τὸ ἀποκτεῖνον γράμμα. τὸ | κάλλος
οἰόμενος τῆς προφητείας ἐν τῇ ψιλῇ εἶναι ἐκδοχῇ τοῦ γράμματος.
ἔργον δὲ τοῦτο τῶν ταλανιζομένων ὑπὸ τοῦ κυρίου γραμματέων 380
καὶ Φαρισαίων, γραμματέων μὲν ὀνομαζομένων τῶν ἐπωνύμων ψιλοῦ
τοῦ γράμματος, Φαρισαίων δὲ τῶν ἀποδιῃρημένων καὶ τὴν θείαν
ἑνότητα ἀπολωλεκότων· Φαρισαῖοι γὰρ ἑρμηνεύονται· ›οἱ διῃρημένοι‹.

2 Act. 7, 52. — **5** Joh. 19, 15. — **8** Act. 3, 22 (vgl. Deut. 18, 15f.). — **10** Vgl. Röm. 11, 11. — **11** Luk. 4, 24; vgl. Matth. 13, 57. — **21** Matth. 13, 55. 57. — **25** Vgl. Matth. 23, 29. — **27** Vgl. II Kor. 3, 6. — **31** Vgl. Matth. 23, 29. — **34** Vgl. Armen. Onom. „Pharisäer: die Getrennten". Lagarde, Onom. Sacra p. 61, 20. s. S. 132, 2.

1 ἀπὸ, corr. Pr | **5** αἶρε²] ἄρε | **9** οὐ] ἡ V | **10** ἰσδραήλ | **17** σοφίας | **21** ⟨αἱ⟩ + V | **23** Die Stelle ist verkürzt; vollständig VI, 14 (S. 123, 6) citiert; die richtige Stellung ist πρὸς ἡμᾶς εἰσίν | **31** ἀπὸ, corr. Pr | **34** ἀπολελωκότων, corr. Br.

Digitized by Google

IV, 45. *Ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν.*

381 LVI. (55) Ἄξιον ἰδεῖν τὴν αἰτίαν τῆς τῶν Γαλιλαίων παραδοχῆς, ἣν παρεδέξαντο τὸν σωτῆρα ἐλθόντα εἰς τὴν Γαλιλαίαν, εἰ τηλικαύτη ἦν ὥστε κατάπληξιν αὐτοῖς ἐμποιῆσαι καὶ θαυμασμὸν περὶ τοῦ σωτῆρος εἰς τὸ παραδέξασθαι αὐτόν· ἔτι δὲ ἐπὶ τίνα ἀναφέρεται οἰονεὶ πολλά, ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ὁ Ἰησοῦς, τὸ »Πάντα
382 »ἑωρακότες ὅσα ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ«. οὐδὲν δὲ εὑρίσκομεν προειρημένον ἢ ὅτι »Εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας 270B »βόας καὶ πρόβατα καὶ περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους· »καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ »τά τε πρόβατα καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεεν τὰ »κέρματα καὶ τὰς τραπέζας † ἀνέστρεψεν καὶ τοῖς τὰς περιστερὰς »πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν, μὴ ποιεῖτε τὸν οἶκον τοῦ
383 »πατρός μου οἶκον ἐμπορίου«. τί οὖν τηλικοῦτόν ἐστιν ἐν τούτοις, ὥστε κινηθέντας ἐπ' αὐτοῖς τοὺς Γαλιλαίους δέξασθαι τὸν κύριον, μαρτυρουμένους διὰ τοῦτο αὐτὸν δεδέχθαι, ἐπεὶ ἐλθόντες εἰς τὴν ἑορτὴν ἐν Ἱεροσολύμοις πάντα ἑωράκασιν ἃ ἐποίησεν ἐκεῖ ὁ Ἰησοῦς;
384 εἰ μεμνήμεθα τῶν εἰρημένων εἰς τὸν τόπον ἀποδεικνύντων οὐκ ἐλάττονα δύναμιν ἐμφαίνεσθαι τοῦ σωτῆρος ἐν ἐκείνοις παρὰ τὴν ἐνεργήσασαν εἰς τυφλοὺς ἀναβλέψαι καὶ κωφοὺς ἀκοῦσαι καὶ χωλοὺς 251E περιπατῆσαι, λεκτέον ὅτι μήποτε ⟨οὐ⟩ παραλογισάμενοι ἐννοήσαντες οἱ Γαλιλαῖοι καὶ καταπλαγέντες τὴν θειότητα τοῦ Ἰησοῦ, ἐλθόντα αὐτὸν εἰς τὴν Γαλιλαίαν ἐδέξαντο »πάντα ἑωρακότες ὅσα ἐποίησεν ἐν τοῖς
385 »Ἱεροσολύμοις«. τὰ δὲ »πάντα« ταῦτα ἦν, τῷ ἐκ σχοινίων φραγελλίῳ ἐκβεβλῆσθαι ἐκ τοῦ ἱεροῦ τά τε πρόβατα καὶ τοὺς βόας καὶ τῶν κολλυβιστῶν ἐκκεχύσθαι τὰ κέρματα καὶ τὰς τραπέζας ἀνατετράφθαι, μετ' ἐξουσίας δὲ εἰρῆσθαι τοῖς τὰς περιστερὰς πωλοῦσιν· »Ἄρατε »ταῦτα ἐντεῦθεν, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμ-
386 »πορίου«. οἶμαι δὲ μηδὲ ταῦτα μόνα αὐτὸν πεποιηκέναι τότε, ἀλλὰ καὶ ἄλλα σημεῖα· ἐπιφέρεται γὰρ ἐκείνοις· »Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα

8 Joh. 4, 45. — 10 Joh. 2, 14—16. — 19 Vgl. Joh. 4, 45. — 20 Vgl. X, 20ff. — 22 Vgl. Matth. 11, 5. — 25 Joh. 4, 45. — 29 Joh. 2, 16. — 32 Joh. 2, 23.

5 *τηλικαύτη ἦν*] *τηλικαύτην*, corr. Hu | 14 nach Z. 28 scheint *ἀνέτρεψεν* LA. des Orig. | 15 *μὴ εἰ ποιεῖτε* | 18 *τοῦτο*] *τὸ*, corr. Pr | 22 *εἰς*] *ὡς*? We | 23 *οὐ παραλογισάμενοι*] *ὅπερ λογισάμενοι*, corr. Pr, *οὐ* + We; *μήποτε τοῦτ' ἦν ὅπερ λογισάμενοι καὶ ἐννοήσαντες* schlägt Br vor | 32 *ἐκεῖνος*, corr. Br.

Digitized by Google

223v αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίησεν· ἐφ' οἷς καὶ ὁ | Νικόδημός φησι· »Ῥαββεί, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· »οὐδεὶς γὰρ δύναται τὰ σημεῖα ταῦτα ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ »ὁ θεὸς μετ' αὐτοῦ«. πλὴν ἔξεστιν Γαλιλαῖον ὄντα ἑορτάζειν ἐν 387
Ἱεροσολύμοις γινόμενον, ὅπου ὁ ναὸς τοῦ θεοῦ, καὶ θεωρεῖν πάντα ὅσα ἐποίει ἐκεῖ Ἰησοῦς, καὶ μάλιστα τίνα τρόπον ἐκβάλλει τῷ ἐκ σχοινίων φραγελλίῳ ὑπ' αὐτοῦ πεποιημένῳ πάντας τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς τά τε πρόβατα καὶ τοὺς βόας καὶ τὰ λοιπά. ἀρχὴ γὰρ ἡ ἐν Ἱεροσολύμοις ἑορτὴ τοῖς Γαλιλαίοις ἐστὶν 388
τοῦ καὶ δέξασθαι τὸν υἱὸν τοῦ θεοῦ ἐλθόντα πρὸς αὐτούς· μὴ γὰρ ἑωρακότες τὰ ἐν τῇ ἑορτῇ οὐκ ἂν ἐδέξαντο αὐτόν· ἢ οὐδὲ αὐτὸς μὴ προευτρεπισθεῖσιν πρὸς τὸ λαβεῖν αὐτὸν οὕτως ἂν σπουδαίως ἐπεδή-
271R μησεν καταλιπὼν τοὺς ἐρωτήσαντας αὐτὸν »μεῖναι παρ' αὐτοῖς«. οἱ μέντοι γε δεξάμενοι τὸν Ἰησοῦν ἐδέξαντο καὶ τὸν ἀποστείλαντα 389
αὐτόν· φησὶ γάρ· »Ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με«. πρῶτον οὖν ἰδεῖν δεῖ, τουτέστιν συνιέναι, τὰ ἐν Ἱεροσολύμοις ἔργα τοῦ Ἰησοῦ πάντα, τίνα τρόπον καθαίρει τὸ ἱερὸν ἀποκαθιστὰς αὐτὸ εἰς τὸ εἶναι »οἶκον τοῦ πατρὸς« καὶ μηκέτι »οἶκον ἐμπορίου«, ἵνα μετὰ τὸ θεωρῆσαι ταῦτα τὸν ἐνεργήσαντα ταῦτα λόγον δεξώμεθα.
οἶμαι δ' ὅτι ⟨ὁ⟩ μὴ πάντα τὰ ἐν Ἱεροσολύμοις θεωρήσας ἔργα τοῦ 390
Ἰησοῦ οὐ δέξεται τὸν Ἰησοῦν, ἢ οὐδὲ ἐπιδημήσει τὴν ἧς σύμβολον † ἐπιδημίας ἐπιδημίαν ταύτην τοῖς μὴ πρότερον ἀναβεβηκόσιν εἰς τὴν ἑορτὴν καὶ μὴ πάντα τεθεαμένοις ὅσα ἐποίει ἐν τοῖς Ἱεροσολύμοις.

IV, 46. *Ἦλθεν οὖν πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον.*

252H LVII. (56) Ὅσα ἐχωρήσαμεν περὶ τῆς Κανᾶ, ἐν τοῖς ἀνωτέρω 391
εἴπομεν. δύο δὲ οὐ μάτην ἐπιδημίαι ἐν Κανᾷ τῷ Ἰησοῦ γίνονται· μήποτε γὰρ σημαίνουσιν τὰς δύο τοῦ σωτῆρος εἰς τὸν κόσμον ἐπιδημίας· τὴν μὲν προτέραν, ἵν' εὐφράνῃ τοὺς συνεστιωμένους, τὴν δὲ δευτέραν, ἵνα τὸν ἐγγὺς γενόμενον τοῦ θανάτου ⟨οὐ⟩ βασιλέως υἱόν, ἀλλά τινος βασιλικοῦ ἀναστήσῃ. καὶ τάχα ὁ βασιλικὸς Ἀβραὰμ 392
ἦν ἢ Ἰακώβ, ὧν υἱὸν (ὄντα τὸν λαόν), μετὰ ⟨τὸ⟩ τὸ πλήρωμα τῶν

2 Joh. 3, 2. — **6** Vgl. Joh. 2, 15. — **13** Vgl. Joh. 4, 40. — **15** Luk. 9, 48. **18** Vgl. Joh. 2, 16. — **27** In dem verlorenen B. IX. — **28** Vgl. Joh. 2, 1ff. — **31** Vgl. Joh. 4, 46ff. — **33** Vgl. Röm. 11, 25.

1 φοῖς M | **3** ποιεῖ | **6** ἐκβάλλοι (α a. Ras.) | **20** ⟨ὁ⟩ + Pr | **22** ἐπιδημίας] ἐπιδημία ⟨ἡ εἰς Γαλιλαίους⟩ We | **31** ⟨οὐ⟩ + V (οὐ τοῦ βασιλέως) | **33** ἤ ü. d. Z. | ⟨τὸ⟩ + We.

Digitized by Google

ἐθνῶν εἰσελθεῖν, σώσει ἐπὶ τέλους. δύνανται δὲ καὶ δύο τοῦ λόγου εἶναι ἐπιδημίαι ἐν τῇ ψυχῇ, ἡ μὲν προτέρα τὸν ἐξ ὕδατος γινόμενον οἶνον χορηγοῦσα εἰς εὐφροσύνην τῶν συνεστιωμένων, ἡ δὲ δευτέρα πᾶσαν τὴν καταλειπομένην ἀσθένειαν καὶ τὸ πρὸς θάνατον κινδυ-
393 νῶδες περιαιροῦσα. οὐδὲν δὲ θαυμαστὸν εἰ ἐπείπερ τὰ πλείονα τῶν ἔργων τοῦ θεοῦ ἐστιν ἐν ἀποκρύφοις, πολλὰ ὑπὲρ σωτηρίας τῶν πολλαχοῦ ποιῶν ὁ Ἰησοῦς, ὧν τύποι τὰ λοιπὰ ἀναγεγραμμένα χωρία, δι᾽ ἧς Κανᾶ | ταύτης ἐπιδημεῖ βεβαιῶν ἑαυτῷ κτῆσιν τῶν ἀπὸ ταύτης 224r
τῆς γῆς πιστευόντων εἰς τὸν πατέρα δι᾽ αὐτοῦ.

IV, 46—53. *Καὶ ἦν τις βασιλικὸς οὗ ὁ υἱὸς ἠσθένει ἐν Καφαρναοὺμ· ἕως· Καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη.*

394 LVIII. (57) *Οὐ πάνυ εὑρίσκομεν παρὰ Ἰουδαίοις τετριμμένον τὸ τοῦ βασιλικοῦ ὄνομα, ὅθεν οὐδὲ ὅσον ἐπὶ τῇ ἱστορίᾳ ἐπιβάλλομεν*
395 *νῷ, τίς ἦν οὗτος ὁ βασιλικὸς καὶ τίνος βασιλέως ἐπώνυμος. ὁ μὲν οὖν ἀκεραιότερος οἰήσεται τοῦ βασιλέως Ἡρῴδου τινὰ ἄνθρωπον εἶναι τοῦτον τὸν βασιλικόν· ἕτερος δὲ τούτῳ ὅμοιος ἐρεῖ τῆς Καίσαρος οἰκίας γεγονέναι τοῦτον τὸν βασιλικόν, πράττοντά τι περὶ τὴν Ἰουδαίαν τότε· οὐδὲ γὰρ σαφῶς εὑρίσκεται Ἰουδαῖος ὤν, ἐπείπερ οὐκ 272l
ἀκολουθεῖ ⟨τῷ⟩ τὸν υἱὸν αὐτοῦ ἠσθενηκέναι ἐν Καφαρναοὺμ οἰκεῖον*
396 *αὐτὸν εἶναι τῶν κατὰ τοὺς τόπους. ἐμφαίνεται δὲ αὐτοῦ τὸ ἀξίωμα καὶ ἐκ τοῦ ἤδη αὐτοῦ καταβαίνοντος τοὺς δούλους αὐτῷ ἀπηντηκέναι, λέγοντας ὅτι ὁ παῖς αὐτοῦ ζῇ· πληθυντικῶς γὰρ οἱ δοῦλοι εἴρηνται. ἐχέτω τοίνυν ὅπως ποτὲ τὸ τῆς ἱστορίας καὶ ὁ υἱὸς τοῦ βασιλικοῦ κομψότερον ἐσχηκέτω κατὰ τὸν τοῦ σωτῆρος λόγον τῇ ἑβδόμῃ ὥρᾳ ἐλευθερωθεὶς ἀπὸ τοῦ πυρετοῦ καὶ ἡ οἰκία αὐτοῦ ὅλη πεπιστευκέτω.*

397 *Φέρε δὲ κατὰ τὸ δυνατὸν ἡμῖν ἐρευνήσωμεν τίνος οὗτος σύμβολον εἶναι δύναται καὶ ὁ υἱὸς αὐτοῦ. μέγαν δὴ βασιλέα, οὗ πόλις ἐστὶν τὰ ἀληθινὰ Ἱεροσόλυμα, καὶ βασιλέα τῶν βασιλευόντων, τὸν πορευθέντα εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι,* 30
καὶ ἐπανελθόντα βασιλέα οὐδένα ἄλλον ἴσμεν ἢ τὸν εἰπόντα· »Ἐγὼ 25E
»δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ ἐπὶ Σειὼν ὄρος τὸ ἅγιον αὐτοῦ.

5 Vgl. Mark. 4, 22. — 16 Vgl. Phil. 4, 22. — 21 Vgl. Joh. 4, 51. — 24 Vgl. Joh. 4, 52. — 25 Vgl. Joh. 4, 53. — 28 Vgl. Matth. 5, 35. — 29 Vgl. Apok. 19, 16. — 30 Vgl. Luk. 19, 12. — 31 Ps. 2, 6f.

5 εἶ] εἶναι, corr. Br | 11 αὐτοῦ ὅλη a. Ras. | 13 ἐπιβάλλομεν ἐνῶ; corr. Br | 19 ⟨τῷ⟩ + Br | 23 ἐχέτω] ἰκετω, corr. V | ποτὲ] τότε, corr. V | 31 ἰομεν | 32 βασιλεὺς mit ARᵇ al., om. Bκ al.

Digitized by Google

»διαγγέλλων τὸ πρόσταγμα κυρίου«. τούτου τὴν ἡμέραν οἱ ἰδόντες 398
καὶ εὐφρανθέντες πάντες εἰσὶν βασιλικοί, καὶ οἱ πιστεύοντες εἰς τὸν
πατέρα δι' αὐτοῦ ἐπώνυμοι τυγχάνουσιν τῆς βασιλείας αὐτοῦ, ὧν
ἕνα τινὰ ζητοῦμεν καὶ τὸν ἀσθενήσαντα υἱὸν αὐτοῦ, καὶ τὰ τούτοις
ἀκόλουθα. ἐλέγομεν δὲ ἐν τοῖς ἀνωτέρω τὸν πάντα λαὸν υἱὸν εἶναι 399
τοῦ Ἀβραάμ, ὡς καὶ αὐτοὶ αὐχοῦντές φασιν· »Σπέρμα Ἀβραάμ ἐσμεν
»καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε« καὶ »Μὴ σὺ μείζων εἶ τοῦ πα-
»τρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανεν;« ὡς ἐπ' αὐτῷ γὰρ καυχωμένου 400
τοῦ λαοῦ παρὰ τοὺς λοιποὺς καὶ μετ' αὐτὸν πατέρας, φησὶ καὶ ὁ
σωτήρ· »Μὴ ἄρξησθε λέγειν ὅτι Πατέρα ἔχομεν τὸν Ἀβραάμ« ἢ »Μὴ
»δόξητε λέγειν ὅτι Πατέρα ἔχομεν τὸν Ἀβραάμ· δύναται ὁ θεὸς ἐκ
»τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ«. ἀλλὰ καὶ ὁ Ἡσαΐας 401
πρὸς τὸν λαόν φησιν· »Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν,
»καὶ εἰς Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς«. καὶ τί δεῖ διὰ παραδειγμά- 402
των μηκύνειν τὸν λόγον, σαφοῦς ὄντος ὅτι αὐτὸς πρῶτος χρηματίζει
πατὴρ τοῦ λαοῦ, διὸ καὶ ἐξαιρέτως ὀνομάζεται »πατήρ«; ὑπονοοῦμεν
τοίνυν τὸν μὲν βασιλικὸν εἶναι τὸν Ἀβραάμ, τὸν δὲ ἀσθενήσαντα
224v αὐτοῦ | υἱὸν ἐν Καφαρναοὺμ καὶ μέλλοντα ἀποθνήσκειν τὸ Ἰσραηλι-
τικὸν γένος, ἀσθενῆσαν ἐν τῇ θεοσεβείᾳ καὶ τῇ τηρήσει τῶν θείων
νόμων, καὶ πρὸς τῷ ἀποθανεῖν τῷ θεῷ γενόμενον τῶν πεπυρωμέ-
νων βελῶν τοῦ ἐχθροῦ, πεπυρωμένον καὶ διὰ τοῦτο πυρέσσειν λε-
273R γόμενον. φαίνεται δὲ μέλειν τοῖς προεξεληλυθόσιν τὸν βίον τοῦτον 403
ἁγίοις περὶ τοῦ λαοῦ, ὡς ἐν τοῖς Μακκαβαϊκοῖς γέγραπται μετὰ
πλεῖστα ὅσα ἔτη τῆς Ἱερεμίου ἀναλήψεως· »Οὗτός ἐστιν Ἱερεμίας ὁ
»τοῦ θεοῦ προφήτης ὁ πολλὰ εὐχόμενος περὶ τοῦ λαοῦ«. ὅρα τοίνυν 404
εἰ δυνατὸν ἐκλαμβάνειν ἡμᾶς ὅτι ὁ Ἀβραὰμ βασιλικός τις ὤν, νοσή-
σαντος αὐτῷ τοῦ υἱοῦ καὶ ἀποθνήσκειν μέλλοντος, ἀξιοῖ βοηθηθῆναι
ὑπὸ τοῦ σωτῆρος ἡμῶν τὸν κάμνοντα γενόμενος πρὸς αὐτὸν καὶ
ἐρωτῶν, ἵνα καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἔμελλεν γὰρ ἀπο-
θνήσκειν.

LIX. (58) Τὸ δὲ »Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε« λεγόμενον 405
πρὸς αὐτὸν τὴν ἀναφορὰν ἔχει ἐπὶ τὸ πλῆθος τῶν υἱῶν αὐτοῦ, τάχα
δὲ καὶ ἐπ' αὐτόν. ὡς γὰρ Ἰωάννης προσδοκῶν τὴν Χριστοῦ ἐπιδη-

1 Vgl. Joh. 8, 56. — **5** Vgl. o. S. 287, 33. — **6** Joh. 8, 33. — **7** Joh. 8, 53. — **10** Luk. 3, 8. — Matth. 3, 9. — **13** Jes. 51, 2. — **17** Vgl. Joh. 4, 46. — **20** Vgl. Eph. 6, 10. — **24** II Makk. 15, 14. — **27** Vgl. Joh. 4, 47. — **31** Joh. 4, 48.

10 λέγειν ohne ἐν ἑαυτοῖς mit Syr. Cur. Sin. Arm. Latt.; oben VI, 27 (S. 137, 16) mit diesem Zusatz; ebenso in Luc. hom. 22 (V, 170, 26; 171, 3) h. 23 (p. 173, 15), in Jer. h. 4, 5 (S. 27, 29 Kl.); bei der folgenden Stelle Matth. 3, 9 fehlt der Zusatz hier gegen alle Zeugen u. gegen VI, 22 (S. 132, 19) 27 (S. 137, 13) | **14** ἡμᾶς | **18** ἰσδραηλιτικὸν | **22** μέλειν] ελ a. Ras. | **24** οὕτως | **29** ἐρωτὰν, corr. V.

Digitized by Google

μίαν περιέμενεν τὸ δοθὲν σημεῖον, ἵνα δι' αὐτοῦ γνῷ τὸν προφητευόμενον (τὸ δὲ σημεῖον ἦν· »Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον »καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ«), οὕτως καὶ οἱ προκεκοιμημένοι ἅγιοι προσδοκῶντες καὶ τὴν ἐν σώματι τοῦ χριστοῦ ἐπιδημίαν ἀπὸ τῶν σημείων καὶ τῶν τεράτων ἐχαρακτήριζον αὐτὸν 254H
406 διὰ τούτων τῷ ἐλπιζομένῳ πιστεύοντες. τάχιον δὲ παρακαλεῖ τὸν κύριον καταβῆναι πρὸς τὸ νοσοῦν παιδίον ἑαυτοῦ, εὐλαβούμενος μὴ προλάβῃ ὁ θάνατος κρατήσας τὸν κάμνοντα, καὶ ἀπελαύνει γε τὸν πυρετὸν λόγῳ ὁ χριστὸς ἐπαγγειλάμενος τῷ πατρὶ περὶ τῆς ζωῆς τοῦ
407 κινδυνεύοντος διὰ τοῦ »Πορεύου· ὁ υἱός σου ζῇ«. ἔχει δὲ οὗτος ὁ βασιλικὸς οὐ μόνον υἱόν, ἀλλὰ καὶ δούλους, ὧν σύμβολον ἦσαν οἱ οἰκογενεῖς καὶ ἀργυρώνητοι τοῦ Ἀβραάμ, εἴδός τι πιστευόντων ταπει-
408 νότερον καὶ ὑποβεβηκός. οὗτοι συνόντες τῷ κάμνοντι παιδίῳ θεωροῦσιν τὴν σωτηρίαν αὐτοῦ καὶ ἀπαντῶσιν τῷ πατρὶ εὐαγγελιζόμενοι τὴν ζωὴν τοῦ θεραπευθέντος διὰ τοῦ »Ὁ παῖς σου ζῇ«, †εὐφραίνοντες ὅτι οὐκ ἐφρόνουν πρότερον περὶ τοῦ παιδίου τοῦ δεσπότου ὅτι ἔζη. οὐ μάτην δὲ ὥραν ἑβδόμην ἀφίησιν αὐτὸν ὁ πυρετός· ὁ
409 γὰρ ἀριθμὸς ἀναπαύσεως ἦν. ὁ ἐν Καφαρναοὺμ μέντοι γε υἱός ἐστιν. ὁ νοσῶν καὶ θεραπευόμενος ὁ ἐν τῷ τῆς »Παρακλήσεως ἀγρῷ« γένος τι κεκμηκότων μὲν οὐ πάντη δὲ ἔξω καρπῶν γεγενημένων· καὶ τελειοτάτῃ γνόντι τῷ πατρὶ τὴν τοῦ υἱοῦ σωτηρίαν ἡ πίστις γίνεται πανοικεὶ πιστεύοντι Χριστῷ.

410 Κατελθὼν δὲ ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν πῶς τοῦτο δεύτερον σημεῖον πεποίηκεν ὁ Ἰησοῦς, κατὰ τὸ δυνατὸν ἐν τοῖς ἑξῆς 274R
γενόμενοι κατὰ τὴν λέξιν ἐρευνήσομεν. 225r

411 Εἰ δὲ καὶ δυνάμεώς τινος εἰκὼν ἐστιν ὁ βασιλικὸς τῶν ἀρχόντων τούτου τοῦ αἰῶνος, καὶ ὁ υἱὸς αὐτοῦ τοῦ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ διαφερόντως παρ' αὐτῷ λαοῦ καί, ἵν' οὕτως εἴπω, οἱονεὶ τῆς παρ' αὐτῷ ἐκλογῆς, ἥ τε ἀσθένεια αὐτοῦ ἡ παρὰ τὴν προαίρεσιν τοῦ ἄρχοντος διάθεσις μοχθηρά, καὶ ἡ Καφαρναοὺμ τοῦ χωρίου τῆς
412 μονῆς τῶν ὑπ' αὐτὸν ἡ εἰκών ἐστιν σκοπητέον. οἶμαι γὰρ καὶ τῶν ἀρχόντων τινὰς καταπεπληγότας τὴν δύναμιν αὐτοῦ καὶ τὴν θειότητα προσπεφευγέναι αὐτῷ καὶ ἠξιωκέναι περὶ τῶν ὑπ' αὐτοῖς οἰκο-

2 Joh. 1, 33f. — 10 Joh. 4, 50. — 12 Vgl. Gen. 14, 14f. — 15 Joh. 4, 51. — 17 Vgl. Joh. 4, 52. — 18 Vgl. Gen. 2, 3. — 19 Vgl. X, 8 o. S. 178, 23. — 21 Vgl. Joh. 4, 53. — 24 Vgl. Joh. 4, 3. — 25 Vgl. u. c. 62. — 26 Vgl. I Kor. 2, 8.

1 *περιέμενον*, corr. V | 10 *ἐκεῖ*, corr. V | 15 *εὐφραίνοντες* verderbt; *εὐφραινόμενοι*? We; viell. *εὐφραίνονταί τε* | 18 nach *ἦν* + *σύμβολον* V; vgl. Frg. in Jer. 39, 17 (228, 26 Kl.): *ἀλλ' ὅρα τὸν σαββατικὸν ἀριθμὸν τὸ τῆς ἀναπαύσεως σύμβολον κτλ.* | 20 *γεγενημένον*, corr. V | 27 *τοῦ*²] *τῶν*, corr. Br | 28 *διαφέροντος*, corr. Pr | 33 *προπεφευγέναι*, corr. V.

Digitized by Google

νομουμένων· ἐπεὶ τί δήποτε ἄνθρωποι μὲν μετάνοιαν ἐπιδέχονται
καὶ ἐξ ἀπιστίας εἰς πίστιν μεταβάλλουσιν, ἐπὶ δὲ τῶν δυνάμεων τὸ
παραπλήσιον λέγειν ὀκνήσομεν; ἢ λεγέτω τις ἡμῖν τί τὸ αἴτιον τοῦ 413
δύνασθαι μὲν τοὺς ἐνδεδυμένους σαρκὶ καὶ αἵματι μεταβαλόντας κα-
ταπεφευγέναι ἐπὶ τὸν θεὸν διὰ Χριστοῦ, τοὺς δὲ καθαρωτέρᾳ τῇ
φύσει χρωμένους πάντας ἀνεπιδέκτους εἶναι τῆς εἰς τὸν σωτῆρα
πίστεως καὶ τῆς ἐπὶ ταῖς τεραστείοις δυνάμεσιν ὑπ' αὐτοῦ γινομέ-
255H ναις καταπλήξεως· ἐγὼ δὲ νομίζω καὶ † περὶ τοὺς ἄρχοντάς τι
γίνεσθαι μεταβαλόντας ἐπὶ τὸ βέλτιον ἐν τῇ Χριστοῦ ἐπιδημίᾳ, ὥστε
τινὰς ὅλας πόλεις ἢ καὶ ἔθνη οἰκειότερον πολλῶν ἐσχηκέναι τὰ πρὸς
τὸν χριστόν. καὶ οὐδέν γε ἄτοπον κατὰ ταύτην τὴν ἐκδοχὴν ἔσται 414
τὸ λέγεσθαι πρὸς τὸν βασιλικόν· »Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε,
»οὐ μὴ πιστεύσητε«. δύναται δὲ περὶ τῆς δυνάμεως τοῦ θεοῦ παρα- 415
καλεῖν ὁ βασιλικὸς γενόμενος πρὸς αὐτόν, ὅπως καταβῇ εἰς τὸ χωρίον
τῆς νόσου τοῦ παιδίου καὶ ἰάσηται τὸν νενοσηκότα· ἀλλ' οὐ πάντως
καταβεβηκέναι δεῖ πρὸς τὸν υἱὸν τοῦ βασιλικοῦ πυρέττοντα· ἀρκεῖ
γὰρ τὸ »Ὁ υἱός σου ζῇ« πρὸς σωτηρίαν λεγόμενον τοῦ παιδός, δρα-
στηρίου ὄντος τοῦ λόγου καὶ ποιητικοῦ ὧν βούλεται ὁ λέγων.

LX (59). Ἔοικεν δὲ βασιλικὸν ὁ Ἡρακλέων λέγειν τὸν 416
δημιουργόν, ἐπεὶ καὶ αὐτὸς ἐβασίλευεν τῶν ὑπ' αὐτόν·
διὰ δὲ τὸ μικρὰν αὐτοῦ καὶ πρόσκαιρον εἶναι τὴν βασι-
λείαν, φησί, βασιλικὸς ὠνομάσθη, οἱονεὶ μικρός τις
βασιλεὺς ὑπὸ καθολικοῦ βασιλέως τεταγμένος ἐπὶ μι-
275R κρᾶς βασιλείας· τὸν δὲ ἐν Καφαρναοὺμ υἱὸν αὐτοῦ διη-
γεῖται τὸν ἐν τῷ ὑποβεβηκότι μέρει τῆς μεσότητος τῷ
πρὸς θάλασσαν, τουτέστιν τῷ συνημμένῳ τῇ ὕλῃ, καὶ
λέγει ὅτι ὁ ἴδιος αὐτοῦ ἄνθρωπος ἀσθενῶν, τουτέστιν
οὐ κατὰ φύσιν ἔχων, ἐν ἀγνοίᾳ καὶ ἁμαρτήμασιν ἦν.
εἶτα τὸ »Ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν« ἀντὶ τοῦ 417
»ἐκ τῆς ἄνωθεν Ἰουδαίας« * * * οὐκ οἶδα δὲ ὅπως εἰς τὸ
»Ἤμελλεν ἀποθνήσκειν« κινηθεὶς οἴεται ἀνατρέπεσθαι
225v τὰ δόγματα τῶν ὑποτιθεμένων ἀθάνατον | εἶναι τὴν
ψυχὴν εἰς τὸ αὐτὸ συμβάλλεσθαι ὑπολαμβάνων καὶ τὸ
ψυχὴν καὶ σῶμα ἀπόλλυσθαι ἐν γεέννῃ. καὶ οὐκ ἀθά- 418

12 Joh. 4, 48. — **14** Vgl. Joh. 4, 47. — **17** Joh. 4, 53. — **29** Joh. 4, 54. — **31** Joh. 4, 47. — **34** Vgl. Matth. 10, 28.

3 τοῦ] τοῦτο, corr. Hu | **4** τοῦ ἐνδεδυμένου, corr. V | **6** ἀνεπιλέκτους, corr. V | **8** (παραπλήσιόν)τι? We vgl. Z. 3 | **16** πυρέττοντα] ετ a. Ras. | **25** μέρει aus μέρους | **28** ἀγνεία, corr. V | **30** nach Ἰουδαίας sind verschiedene Worte ausgefallen | **31** κινηθεὶς korrupt? We | **34** ἀθάνατ[ον γε] a. Ras.

Digitized by Google

νατόν γε εἶναι ἡγεῖται τὴν ψυχὴν ὁ Ἡρακλέων, ἀλλ' ἐπιτηδείως ἔχουσαν πρὸς σωτηρίαν, αὐτὴν λέγων εἶναι τὸ
419 ἐνδυόμενον ἀφθαρσίαν φθαρτὸν καὶ ἀθανασίαν θνητόν, ὅταν »καταποθῇ ὁ θάνατος αὐτῆς εἰς νεῖκος«. πρὸς τούτοις καὶ τὸ »Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ »πιστεύσητε« λέγεσθαί φησιν οἰκείως πρὸς τὸ τοιοῦτον πρόσωπον δι' ἔργων φύσιν ἔχον καὶ δι' αἰσθήσεως πεί-
420 θεσθαι καὶ οὐχὶ λόγῳ πιστεύειν. τὸ δὲ »Κατάβηθι πρὶν »ἀποθανεῖν τὸ παιδίον μου« διὰ τὸ τέλος εἶναι τοῦ νόμου τὸν θάνατον εἰρῆσθαι νομίζει, ἀναιροῦντος διὰ τῶν ἁμαρτιῶν· πρὶν τελέως οὖν, φησί, θανατωθῆναι κατὰ τὰς ἁμαρτίας δεῖται ὁ πατὴρ τοῦ μόνου σωτῆρος,
421 ἵνα βοηθήσῃ τῷ υἱῷ, τουτέστιν τῇ τοιᾷδε φύσει. πρὸς τούτοις τὸ »Ὁ υἱός σου ζῇ« κατὰ ἀτυφίαν εἰρῆσθαι τῷ σωτῆρι ἐξείληφεν, ἐπεὶ οὐκ εἶπεν· »ζήτω«, οὐδὲ ἐνέφηνεν αὐτὸς παρεσχῆσθαι τὴν ζωήν. λέγει δὲ ὅτι καταβὰς πρὸς τὸν κάμνοντα καὶ ἰασάμενος αὐτὸν τῆς νόσου, τουτ- 256E
ἔστιν τῶν ἁμαρτιῶν, καὶ διὰ τῆς ἀφέσεως ζωοποιήσας
422 εἶπεν· »Ὁ υἱός σου ζῇ«. καὶ ἐπιλέγει πρὸς τὸ »Ἐπίστευσεν« ὁ ἄνθρωπος· ὅτι εὔπιστος καὶ ὁ δημιουργός ἐστιν, ὅτι
423 δύναται ὁ σωτὴρ καὶ μὴ παρὼν θεραπεύειν. δούλους δὲ τοῦ βασιλικοῦ ἐξείληφεν τοὺς ἀγγέλους τοῦ δημιουργοῦ, ἀπαγγέλλοντας ἐν τῷ »Ὁ παῖς σου ζῇ«, ὅτι οἰκείως καὶ κατὰ τρόπον ἔχει, πράσσων μηκέτι τὰ ἀνοίκεια· καὶ διὰ τοῦτο νομίζει ἀπαγγέλλειν τῷ βασιλικῷ τοὺς δού- 25
λους τὰ περὶ τῆς τοῦ υἱοῦ σωτηρίας, ἐπεὶ καὶ πρώτους οἴεται βλέπειν τὰς πράξεις τῶν ἐν τῷ κόσμῳ ἀνθρώπων τοὺς ἀγγέλους, εἰ ἐρρωμένως καὶ εἰλικρινῶς 276R
424 πολιτεύοιντο ἀπὸ τῆς τοῦ σωτῆρος ἐπιδημίας. ἔτι πρὸς τὴν ἑβδόμην ὥραν λέγει ὅτι διὰ τῆς ὥρας χαρακτηρίζεται ἡ φύσις τοῦ ἰαθέντος. ἐπὶ πᾶσιν τὸ »Ἐπίστευσεν »αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη« διηγήσατο ἐπὶ τῆς ἀγγελικῆς εἰρῆσθαι τάξεως καὶ ἀνθρώπων τῶν οἰκειο-
425 τέρων αὐτῷ. ζητεῖσθαι δέ φησι περί τινων ἀγγέλων εἰ σωθήσονται, τῶν κατελθόντων ἐπὶ τὰς τῶν ἀνθρώπων θυγατέρας. καὶ τῶν ἀνθρώπων δὲ τοῦ δημιουργοῦ τὴν

3 Vgl. 1 Kor. 15, 53f. — 4 Vgl. Jes. 25, 8. — 5 Joh. 4, 48. — 8 Joh. 4, 49. — 11 Vgl. Röm. 7, 13. — 14 Joh. 4, 50. — 19 Joh. 4, 53. — 23 Joh. 4, 51. — 31 Joh. 4, 53. — 35 Vgl. Gen. 6, 2.

4 νεῖκος mit B D Π 37 | 10 τὸν] τὸ | εἰρῆσθαι] ρη a. Ras. | 24 ἔχειν | 29 πολιτεύειν τὸ, corr. V | 35 ἀνθρώπων doppelt geschr.

Digitized by Google

ἀπώλειαν δηλοῦσθαι νομίζει ἐν τῷ »Οἱ υἱοὶ τῆς βασι-
»λείας ἐξελεύσονται εἰς τὸ σκότος τὸ ἐξώτερον«. καὶ 426
περὶ τούτων τὸν Ἡσαΐαν προφητεύειν τὸ »Υἱοὺς ἐγέν-
»νησα καὶ ὕψωσα, αὐτοὶ δὲ μὲ ἠθέτησαν«, οὕστινας
226r υἱοὺς ἀλλοτρίους, καὶ σπέρμα πονηρὸν καὶ ἄνομον | καλεῖ,
καὶ ἀμπελῶνα ἀκάνθας ποιήσαντα.

LXI. Καὶ ταῦτα μὲν τὰ Ἡρακλέωνος, ἅπερ τολμηρότερον καὶ 427
ἀσεβέστερον εἰρημένα ἐχρῆν μετὰ πολλῆς κατασκευῆς ἀποδεδεῖχθαι,
εἴπερ ἦν ἀληθῆ. οὐκ οἶδα δὲ πῶς καὶ περὶ ἀθανασίας ψυχῆς ἀπι-
στεῖ, μὴ ἐκλαβὼν πόσα σημαίνεται ἐκ τῆς »θάνατος« φωνῆς. καθο- 428
ρῶντα γὰρ ἔδει τὸ σημαινόμενον μετ' ἐπισκέψεως καὶ ἀκριβείας ἰδεῖν
εἰ κατὰ πάντα τὰ σημαινόμενα θνητή ἐστιν. εἰ μὲν γὰρ ὅτι δεκτικὴ 429
ἁμαρτίας, ψυχὴ δὲ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται, καὶ ἡμεῖς
ἐροῦμεν αὐτὴν θνητήν· εἰ δὲ τὴν παντελῆ διάλυσιν καὶ ἐξαφανισμὸν
αὐτῆς θάνατον νομίζει, ἡμεῖς οὐ προσησόμεθα οὐδὲ μέχρι ἐπινοίας
ἰδεῖν δυνάμενοι οὐσίαν θνητὴν μεταβάλλουσαν εἰς ἀθάνατον, καὶ
φύσιν φθαρτὴν ἐπὶ τὸ ἄφθαρτον· ὅμοιον γὰρ τοῦτο τῷ λέγειν
μεταβάλλειν τι ἀπὸ σώματος εἰς ἀσώματον· ὡς ὑποκειμένου τινὸς
κοινοῦ τῆς τῶν σωμάτων καὶ ἀσωμάτων φύσεως, ὅπερ μένει, ὥσπερ
μένειν φασὶ τὸ ὑλικὸν οἱ περὶ ταῦτα δεινοὶ τῶν ποιοτήτων μετα-
257H βαλλουσῶν εἰς ἀφθαρσίαν. οὐ ταὐτὸν δέ ἐστιν ⟨τὸ⟩ τὴν φθαρτὴν
φύσιν ἐνδύεσθαι ἀφθαρσίαν, καὶ τὸ τὴν φθαρτὴν φύσιν μεταβάλλειν
εἰς ἀφθαρσίαν. τὰ δ' αὐτὰ καὶ περὶ τῆς θνητῆς λεκτέον. οὐ μετα- 430
βαλλούσης μὲν εἰς ἀθανασίαν, ἐνδυομένης δὲ αὐτήν. ἔτι ἐπείπερ τὴν 431
ψυχικὴν φύσιν ᾠήθη δι' ἔργων καὶ αἰσθήσεως πείθεσθαι
οὐχὶ δὲ λόγων, πευσόμεθα αὐτοῦ περὶ Παύλου ποίας φύσεως ἦν.
εἰ μὲν γὰρ πνευματικῆς, πῶς διὰ τῆς τεραστίου ἐπιφανείας πεπί-
στευκεν; εἰ δ' οὐκ ἄλλως ἐδύνατο πιστεύειν ἢ διὰ τῆς τεραστίου
ἐπιφανείας, ἀκολουθεῖ κατ' αὐτοὺς καὶ αὐτὸν εἶναι ψυχικόν. πῶς 432
277R δὲ οὐκ ἀσεβὲς τὸ πρὸ τοῦ δημιουργοῦ τοὺς ἀγγέλους αὐτοῦ θεωρεῖν
τὸ ἐρρωμένον καὶ τὸ εἰλικρινὲς τῆς πολιτείας τῶν ὑπὸ τῆς
δυνάμεως τοῦ σωτῆρος βελτιωθέντων καὶ παρὰ τὸ ἐναργὲς τοῦ περὶ
τοῦ δημιουργοῦ λόγου, ἔτι δὲ καὶ παρὰ τὴν γραφὴν τὴν λέγουσαν·
»Εἰ κρυβήσεται ἄνθρωπος ἐν κρυφαίοις, κἀγὼ οὐκ ὄψομαι αὐτόν;«

1 Matth. 8, 12. — **3** Jes. 1, 2. — **5** Vgl. Jes. 1, 4. — **6** Vgl. Jes. 5, 1f. — **13** Vgl. Ez. 18, 4. — **16** Vgl. I Kor. 15, 53. — **21** Vgl. I Kor. 15, 53. — **27** Vgl. Act. 9, 3ff. — **34** Jer. 23, 24 (= AQ).

2 ἐξελεύσονται mit Syr. Sin. | **10** καθορῶντα] καθαρὰν τὰ, corr. Hu | **21** ⟨τὸ + We | **25** ψυχικὴν (ικ a. Ras.) M | **26** πευσώμεθα V | **27** πνευματικῆ ὅπως | **30** οὐκ⟩ καὶ, corr. Br, καὶ ⟨οὐκ⟩ V | **34** ἄνθρωπος mit AQ, τις Bx.

Digitized by Google

καὶ »Κύριος ἐτάζων νεφροὺς καὶ καρδίας« καὶ »Κύριος γινώσκων
433 »τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων κἂν ὦσιν μάταιοι;« πῶς δὲ σώσει καὶ τὸ »Ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν;« τί δὲ μᾶλλον ἡ φύσις χαρακτηρίζεται τοῦ ἰαθέντος ἀπὸ τοῦ ἀριθμοῦ τῆς ὥρας, ἢ ἡ φύσις τῆς ἰάσεως γινομένης τῷ οἰκείῳ τῇ ἀναπαύσει ἀριθμῷ; τὸ δὲ διαφθορὰς εἶναι ψυχικῶν, ἐπὶ τέλει ὧν ἐξεθέμεθα ὑπ' αὐτοῦ εἰρημένων ἀναγεγραμμένον, ὁμωνυμίᾳ χρωμένου ἐστὶν καὶ ἑτέραν φύσιν εἰσάγοντος τετάρτην, ὅπερ οὐ βούλεται.

IV, 54. *Τοῦτο δὲ πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.*

434 LXII. (60) *Τὸ ῥητὸν ἀμφίβολόν ἐστιν· σημαίνει γὰρ τὸ μέν τι* 226r
τοιοῦτον· ἐν τῇ ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν ἐπιδημίᾳ ὁ Ἰησοῦς δύο σημεῖα πεποίηκεν, ὧν τὸ περὶ τὸν υἱὸν τοῦ βασιλικοῦ δεύτερόν ἐστιν· τὸ δέ τι τοιοῦτον· δύο σημείων ὄντων, ἃ ἐποίησεν ἐν τῇ Γαλιλαίᾳ ὁ Ἰησοῦς, τὸ δεύτερον πεποίηκεν ἐλθὼν ἀπὸ τῆς
435 *Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. καὶ τοῦτό γέ ἐστιν τὸ δεκτὸν ⟨καὶ⟩ ἀληθές· οὐ γὰρ τὸ πρότερον ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν ἐλθὼν πεποίηκεν (τὸ δὲ πρότερόν ἐστιν τὸ περὶ τὴν μεταβολὴν τοῦ ὕδατος εἰς οἶνον), ὅπερ γέγονεν τῇ ἐπαύριον τοῦ Ἀνδρέαν τὸν ἀδελφὸν Σίμωνος Πέτρου, πυθόμενον ποῦ μένει, περὶ δεκάτην ὥραν*
τῆς ἡμέρας μεμενηκέναι παρὰ τῷ κυρίῳ· γέγραπται γάρ· »Τῇ ἐπαύ-
»ριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον«.
436 *ὅρα δὲ τὴν οἰκονομίαν εἰ δυνάμεθα νοῆσαι τὸ καὶ ἐπισεσημειῶσθαι τὸν εὐαγγελιστὴν περὶ τοῦ δεύτερον τοῦτο τὸ σημεῖον γεγονέναι,*
437 *κατελθόντος ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν τοῦ κυρίου. ἐλέ-* 258H
γομεν δὲ ἐν τοῖς ἀνωτέρω δύνασθαι τὰς δύο εἰς τὴν Κανᾶ τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας εἰς σύμβολον λαμβάνεσθαι τῶν δύο αὐτοῦ εἰς τὴν γῆν ἐπιδημιῶν, ἥτις παρὰ τὸ »Κτῆμα« αὐτοῦ γεγονέναι εἰληφότος πᾶσαν ἐξουσίαν ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς Κανᾶ ὠνομάσθη.
438 *τῇ μὲν οὖν προτέρᾳ ἐπιδημίᾳ μετὰ τὸ λουτρὸν ἡμᾶς εὐφραίνει συν-*
διαιτωμένους αὐτῷ, καὶ διδοὺς τοῦ ἐκ τῆς δυνάμεως αὐτοῦ οἴνου πιεῖν, ὕδατος μὲν τυγχάνοντος ὅτε ἠντλεῖτο πρότερον, οἴνου δὲ γενομένου ὅτε αὐτὸν μετεποίησεν Ἰησοῦς. καὶ γὰρ ἀληθῶς πρὸ μὲν 278R

1 Ps. 7, 10. — **2** Ps. 93, 11. — **3** Sus. 35 (LXX). — **6** Vgl. S. 292, 36. — **18** Vgl. Joh. 2, 1ff. — **19** Vgl. Joh. 1, 38ff. — **21** Joh. 1, 43. — **25** Vgl. S. 287, 28ff. — **28** Vgl. Lagarde, Onom. sacr. p. 193, 25. 203, 5 *Κανὰ κτῆσις*. vgl. 177, 59. Armen. Onom. „Kana: Geschöpf" (der Übersetzer las *κτίσμα* [oder *κτίσις*] statt *κτῆμα* [oder *κτῆσις*]. — **29** Vgl. Matth. 28, 18.

2 *κἂν ὦσιν* unbezeugt | **3** *τί*] *ἔτι*, corr. Br | **4** *ἢ ἡ*] *εἴη*, corr. Br | **11** *ση*[*μαίνει γὰρ τὸ*] doppelt geschr. | **12** *ἐπιδημίᾳ*] *ἐπιδημεῖ*, corr. V | **16** ⟨*καὶ*⟩ + V | **28** *ἐπιδημῶν* | **32** *ποιεῖν*, corr. V.

Digitized by Google

Ἰησοῦ ἡ γραφὴ ὕδωρ ἦν, ἀπὸ δὲ τοῦ Ἰησοῦ οἶνος ἡμῖν γεγένηται.
τῇ δὲ δευτέρᾳ ἐπιδημίᾳ ἀπολύει τοῦ πυρετοῦ κατὰ τὸν καιρὸν τῆς 439
κρίσεως, ἣν ἐπιστεύθη κρίνειν ἀπὸ τοῦ θεοῦ, ἀπολύων τοῦ πυρετοῦ
καὶ ἰώμενος παντελῶς τὸν τοῦ βασιλικοῦ υἱόν, εἴτε Ἀβραὰμ εἴτε
ἄρχοντός τινος ὀνομαζομένου βασιλικοῦ. καὶ ταῦτα μὲν ὡς πρός 440
τινα διήγησιν παραξύουσαν τὰς προτέρας. ἐπεὶ δὲ μεμνῆσθαι ἡμᾶς
ἑαυτῶν δεῖ, λεκτέον ὅτι δυνατὸν πάσῃ τῇ κτήσει αὐτοῦ τὴν διττὴν
ταύτην νοεῖσθαι ἐπιδημίαν. ἐπιστήσεις δὲ εἰ προηγουμένην μὲν κατὰ 441
τοῦτο τὴν πρώτην λεκτέον ἑπομένην δὲ τὴν δευτέραν, ὥστε τῇ
μὲν προηγουμένῃ εὐφραίνεσθαι τοὺς παραδεξαμένους αὐτόν, τῇ δὲ
δευτέρᾳ πάσης νόσου ἀπολύεσθαι καὶ τῶν πεπυρωμένων τοῦ ἐχθροῦ
βελῶν τοὺς μὴ βουληθέντας πρότερον τοῦ οἴνου αὐτοῦ πιεῖν. καὶ 442
τὰ μὲν τῆς πρώτης δυνάμεως ἀμέριστά ἐστιν· ἐν Κανᾷ γὰρ ὁ ποιῶν
τὸ ὕδωρ οἶνον ἦν καὶ οἱ πίνοντες· τὰ δὲ τῆς δευτέρας οἱονεὶ ἔχει
τινὰ μερισμόν· ὁ γὰρ τοῦ βασιλικοῦ υἱὸς νοσῶν οὐκ ἦν ὅπου Ἰησοῦς·
οὐ γὰρ ἦν ἐν Κανᾷ ἀλλ' ἐν Καφαρναούμ. καὶ ὁ μὲν τῆς δυνάμεως 443
λόγος ἀπὸ τῆς Κανᾶ ἐξέρχεται· τὸ γὰρ »Ὁ υἱός σου ζῇ« ἐν Κανᾷ
227r εἴρηται· τὸ δὲ τοῦ λόγου ἔργον ἐν Καφαρναοὺμ γίνεται· ἐκεῖ γὰρ
νοσῶν ὁ τοῦ βασιλικοῦ υἱὸς λόγῳ ἐθεραπεύθη τοῦ Ἰησοῦ κατὰ τὴν
ἑβδόμην ὥραν. τοῦτον δὲ λόγῳ εὑρίσκομεν θεραπευθέντα ἀπὸ μὴ 444
παρεῖναι νομιζομένου αὐτῷ τοῦ Ἰησοῦ, καὶ τὸν τοῦ ἑκατοντάρχου
δοῦλον· καὶ γὰρ ἀπ' ἐκείνου εἰς τὴν οἰκίαν τοῦ ἑκατοντάρχου οὐ
γίνεται ὁ κύριος εἰπόντος· »Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ
»τὴν στέγην εἰσέλθῃς, ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται«· διό
φησι πρὸς αὐτόν· »Ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι«.

LXIII. Τετηρήκαμεν δὲ καὶ ὅτι ἐν Καφαρναοὺμ ἀμφότεροι ἦσαν 445
νοσοῦντες, ὅ τε τοῦ ἑκατοντάρχου παῖς καὶ ὁ τοῦ βασιλικοῦ υἱός.
καὶ ἡ πενθερὰ δὲ Πέτρου βεβλημένη ἐπύρεσσεν ἐν Καφαρναούμ, ἧς
ἁψάμενος τῆς χειρὸς ἰάσατο τὴν βεβλημένην, ὡς ἐγερθεῖσαν διακο-
νεῖν αὐτῷ. καὶ οὗτοι μὲν ἡμέρας ἐθεραπεύθησαν ἐν Καφαρναούμ· 446
259H ὁ μὲν τοῦ βασιλικοῦ υἱὸς ὥραν ἑβδόμην, ὁ δὲ τοῦ ἑκατοντάρχου παῖς
καὶ ἡ τοῦ Πέτρου πενθερὰ πρὸ τῆς ὀψίας. Ὀψίας δὲ γενομένης
»(κατὰ τὸν Ματθαῖον, ἐν Καφαρναούμ) προσήνεγκαν αὐτῷ δαιμονιζο-
279R »μένους πολλοὺς καὶ ἐξέβαλεν τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς
»κακῶς ἔχοντας ἐθεράπευσεν«. βράδιον οὖν τινες ὑπὸ Ἰησοῦ θερα-

3 Vgl. Joh. 4, 46ff. — **11** Vgl. Eph. 6, 16. — **13** Vgl. Joh. 2, 1ff. — **16** Vgl. Joh. 4, 46. — **17** Joh. 4, 50. — **20** Vgl. Joh. 4, 52. — **23** Matth. 8, 8. — **25** Matth. 8, 13. — **28** Vgl. Mark. 1, 30f. — **31** Vgl. Joh. 4, 52. — **32** Matth. 8, 16.

9 ἐπιμένην, corr. V | τὴν μὲν προηγουμένην, corr. We | **20** ἄποθεν? We | **21** ἑκατοντάρχου] τοντα a. Ras. | **23** παραγίνεται V | **33** προσήνεγκαν] ην a. Ras.

Digitized by Google

πεύονται καὶ ἕτεροι τάχιον· οἱ γὰρ ὀψίας βράδιον, ὡς ἐλάττονες
ὄντες (δαιμονῶσιν γὰρ καὶ ἔχουσιν κακῶς) τῶν ἡμέρας τεθεραπευμέ-
447 νων. φιλοτιμητέον δὲ συναγαγεῖν τοὺς τόπους ἔνθα εὑρέθησαν οἱ
δεόμενοι θεραπείας, καὶ σημειωτέον ἐν ποίοις τόποις ἄλλα γέγονεν
σημεῖα, καὶ οὐ τὰ περὶ τοὺς κάμνοντας· οἷον ἐν τῇ Σαμαρείᾳ σημεῖον
ἦν τὸ »Πέντε ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ«
ἐφ' ᾧ καὶ καταπλαγεῖσα ἡ γυνή φησιν· »Θεωρῶ ὅτι προφήτης εἶ
»σύ«· τοῖς τε πολίταις λέγει· »Δεῦτε ἴδετε ἄνθρωπον, ὃς εἶπέν μοι
448 »πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ χριστός;« παρατηρητέον δὲ
καὶ τοὺς λόγους αὐτοῦ, ποῦ καὶ διὰ τί καὶ ἐπὶ τίσι πεπραγμένοις
λέγονται· ὑπὸ γὰρ μόνων τῶν τοιούτων παρατηρήσεων καὶ ἐξετά-
σεων † τὰς βασάνους εὑρήσει κατὰ βραχὺ τοὺς καρποὺς τῶν πόνων,
τὴν ἐν ψαλμοῖς εὐλογίαν λέγουσαν· »Τοὺς καρποὺς τῶν πόνων σου
φάγεσαι«.

449 64. Ἔτι πρὸς τὸ »Τοῦτο δὲ πάλιν δεύτερον σημεῖον ἐποίησεν
»ὁ Ἰησοῦς« καὶ τοῦτο λεκτέον, ὅτι οὐδαμοῦ μὲν ὠνομάσθη μόνα τὰ
τέρατα· εἴ που γὰρ λέγεται, μετὰ τῶν σημείων ἀναγέγραπται, ὥσπερ
ἐν τῷ »Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε«· πολ-
λαχοῦ δὲ τὰ σημεῖα χωρὶς τῶν τεράτων † ἴδητε, ὃν τρόπον καὶ νῦν.
450 καὶ ζητητέον γε, εἰ ἔχει τινὰ διαφορὰν πρὸς ἄλληλα τὰ τέρατα καὶ
τὰ σημεῖα. οἶμαι δὲ τὰς μὲν παραδόξους καὶ τεραστίους δυνάμεις 227r
κατ' αὐτὸ τὸ παράδοξον καὶ ἐκβεβηκὸς τὴν συνήθειαν θαυμάσιόν τε
καὶ ὑπὲρ ἄνθρωπον γινόμενον »τέρατα« ὀνομάζεσθαι· τὰ δὲ δηλω-
τικά τινων ἑτέρων παρὰ τὰ γινόμενα »σημεῖα« λέγεσθαι· διόπερ καὶ
451 ἐπὶ τῶν μὴ παραδόξων τὸ ὄνομα τοῦ σημείου εὑρίσκομεν. ἦγουν
[περὶ] τὸ σημεῖον λέγεται ὑπὸ τοῦ θεοῦ ἐν τούτοις »Περιτμηθήσεται
»ὑμῶν πᾶν ἀρσενικόν. καὶ περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυ-
»στίας ὑμῶν, καὶ ἔσται ἐν σημείῳ διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ
452 »ὑμῶν«. οὐδαμοῦ δὲ μόνα τὰ τέρατα ὠνομάσθη, ἐπείπερ οὐκ ἔστιν
τι παράδοξον γενόμενον ἐν τῇ γραφῇ, ὃ μή ἐστι σημεῖον καὶ σύμ-
βολον ἑτέρου παρὰ τὸ αἰσθητῶς γεγενημένον· ὡς εἴπερ ἦν τεράστιόν
τι γινόμενον οὐ συμβολικὸν ἑτέρου, ἐγέγραπτο ἂν αὐτὸ τὸ τέρας 260H
453 πεποιηκέναι τὸν Ἰησοῦν, ἢ φέρ' εἰπεῖν Μωσέα ἢ τινὰ τῶν ἁγίων. ὅτε
μὲν οὖν διδασκόμεθα ἀπὸ τῆς γραφῆς δεῖν ζητεῖν τὸ οὗ σημεῖόν 280R
ἐστιν τὸ γεγενημένον λέγεται· »Τοῦτο δὲ πάλιν δεύτερον σημεῖον

6 Joh. 4, 18. — 7 Joh. 4, 19. — 8 Joh. 4, 29 — 13 Ps. 127, 2. — 15 Joh. 4, 54. — 18 Joh. 4, 48. — 26 Gen. 17, 10f. — 35 Joh. 4, 54.

9 *μὴ τοιοῦτος* vgl. o. z. S. 253, 9 | 12 *ἡ βάσανος*? We, *ταῖς βασάνοις*? Pr | 19 *ἴδητε* wohl unter dem Einfluss von *ἴδητε* Z. 18 entstanden, *εὕρηται* V, *ἔστιν ἰδεῖν*? We | 26 *περὶ* str. We | 28 *σημείων* | 32 *αὐτὸ*] *τοῦτο*, corr. We.

Digitized by Google

»ἐποίησεν ὁ Ἰησοῦς«· ὅτε δὲ ὁ βασιλικὸς ὀνειδίζεται ὡς οὐκ ἂν πιστεύσων χωρὶς τῆς θέας τῶν παραδόξων, οὐκέτι λέγεται· »Ἐὰν μὴ »σημεῖα ἴδητε, οὐ μὴ πιστεύσητε« (οὐ γὰρ τὰ σημεῖα γινόμενα προκαλεῖται ἐπὶ τὸ πιστεύειν, ἢ σημειά ἐστιν, ἐὰν τύχῃ τὸ σημεῖον μὴ εἶναι καὶ τέρας) ἀλλὰ »Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πι»στεύσητε« ὑμῶν μὲν πιστευόντων διὰ τὸ παράδοξον, ἡμῶν δὲ πρὸς τούτῳ καὶ διὰ τὸ οὗ ἐστι σημεῖον ἐπιτελούντων αὐτό. ζητήσεις δὲ 454
τὸ ἐν ἑβδομηκοστῷ ἑβδόμῳ ψαλμῷ· »Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα »αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως«, πότερον τῷ ὑποκειμένῳ διαφέρει τὰ »σημεῖα καὶ τέρατα«, ἢ τὰ αὐτά, ἢ μὲν σημειά ἐστιν, γέγονεν ἐν Αἰγύπτῳ, καὶ αὐτῆς τῆς Αἰγύπτου ἀναγομένης ἐπί τινα νοητά· ἢ δὲ τέρατα »ἐν πεδίῳ Τάνεως« οὔτε τῶν τεράτων, ἢ τέρατα, οὔτε τοῦ πεδίου Τάνεως, ἢ πεδίον Τάνεως, ἀλληγορουμένων· ἀλλὰ καὶ τὰ τέρατα, ἢ σημειά ἐστιν, δεῖται ἀναγωγῆς, καὶ τὸ πεδίον Τάνεως, ἢ Αἴγυπτος.

Αὐτόθι δὲ καταπαύσωμεν καὶ τὸν τρισκαιδέκατον τόμον, περιέ- 455
χοντα διήγησιν τῶν μέχρι τῆς ἑβδόμης ἀρχῆθεν ἐπιδημίας τοῦ Ἰησοῦ· πρῶτον μὲν γὰρ ἐν Βηθαβαρᾷ παρὰ τῷ Ἰορδάνῃ βαπτιζόμενος γίνεται· δεύτερον δὲ τῇ Κανᾷ τῆς Γαλιλαίας ἐπιδημήσας τὸ ὕδωρ οἶνον ποιεῖ· τρίτον εἰς τὴν Καφαρναοὺμ καταβαίνει, καὶ ἁρμόζει γε, ὅπου καταβαίνει, εἶναι τοὺς ἀσθενοῦντας· τέταρτον εἰς Ἱεροσόλυμα ἀνέρχεται· πέμπτον εἰς τὴν Ἰουδαίαν γῆν συνδιατρίβει τοῖς μαθηταῖς· ἕκτον ἐν τῇ Σαμαρείᾳ παρὰ τῇ πηγῇ τοῦ Ἰακὼβ ἐδίδαξεν, ἃ κατὰ δύναμιν ἐξητάσαμεν. καὶ ἕβδομον ἐν Κανᾷ τῆς Γαλιλαίας δεύτερον γίνεται· ἐν δὲ τῷ ἑξῆς, θεοῦ διδόντος, διαληψόμεθα περὶ τῶν ἐν τῇ ἑορτῇ τῶν Ἰουδαίων ἐν Ἱεροσολύμοις πεπραγμένων αὐτῷ καὶ εἰρημένων.

2 Vgl. Joh. 4, 48. — 5 Joh. 4, 48. — 8 Ps. 77, 43. — 18 Vgl. Joh. 1, 28. — 19 Vgl. Joh. 2, 1ff. — 20 Vgl. Joh. 2, 12. — 21 Vgl. Joh. 2, 13. — 22 Vgl. Joh. 3, 22. — 23 Vgl. Joh. 4, 4ff. — 24 Vgl. Joh. 4, 46. — 25 Vgl. Joh. 5, 1.

7 αὐτῶ | 15 *Αἰγύπτου*? We | 18 *Βηθαρᾶ* M; vgl. o. zu S. 149, 10.

Digitized by Google

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

228r 261H 281E

ΤΟΜΟΣ ΙΘ'.

* *

VIII, 19. *Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ἤδειτε, καὶ τὸν πατέρα μου ἂν ἤδειτε.*

1 I. *Εἰ μὲν πρὸς τοὺς αὐτοὺς ὁ λόγος ἦν ὁ λέγων· »Κἀμὲ οἴδατε »πόθεν εἰμί« καὶ ὁ φάσκων· »Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου«, ἄντικρυς ἂν ἔδοξεν ἐναντίον εἶναι τὸ λεγόμενον· νυνὶ δὲ τὸ μὲν* 5 *»Κἀμὲ οἴδατε« πρός τινας τῶν Ἱεροσολυμιτῶν ἀπαγγέλλεται εἰρηκότας· »Μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ὁ χρι- »στός; ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ χριστὸς ὅταν ἔρχηται, »οὐδεὶς γινώσκει πόθεν ἐστίν«· τὸ δὲ ὅτι »Οὔτε ἐμὲ οἴδατε« καὶ τὸ ἑξῆς, πρὸς τοὺς εἰπόντας αὐτῷ Φαρισαίους· »Σὺ μαρτυρεῖς περὶ* 10
2 *»σεαυτοῦ ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής«. πλὴν καὶ τοῖς Ἱεροσολυμίταις διὰ τῶν προτέρων, καὶ τοῖς Φαρισαίοις διὰ τῶν νῦν ἐξεταζομένων φησὶν ὅτι τὸν πατέρα οὐκ οἴδατε· τοῖς μὲν Ἱεροσολυμίταις διὰ τούτων »Ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας* 15 *»με, ὃν ὑμεῖς οὐκ οἴδατε· ἐγὼ οἶδα αὐτόν, ὅτι παρ' αὐτοῦ εἰμὶ κἀ- »κεῖνός με ἀπέστειλεν«· τοῖς δὲ Φαρισαίοις διὰ τοῦ »Οὔτε ἐμὲ οἴδατε »οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ἤδειτε, καὶ τὸν πατέρα μου ἂν ἤδειτε«.*
3 *καὶ ζητήσαι ἄν τις εὐλόγως ὅπως, εἴπερ ἀληθὲς τὸ »Εἰ ἐμὲ ἤδειτε*

3 Joh. 7, 28. — **7** Joh. 7, 26f. — **9** Joh. 8, 19. — **10** Joh. 8, 13. — **14** Joh. 7, 28f. — **16** Joh. 8, 19. — **18** Joh. 8, 19.

Anfang und Schluss dieses Buches fehlen. Das Erhaltene mag etwa die Hälfte des Ursprünglichen darstellen | Überschrift in M unter einfacher roter Leiste, wie sonst; *εἰς τὸν* ebenfalls wie sonst | **1** *ὁ* vor *Ἰησοῦς* ist verdächtig als Lesart des rec. | **7** *οὗτος*] *αὐτός*, doch vgl. S. 299, 29 | **10** *τοὺς* teils in, teils über d. Z. eingeflickt; *περὶ σεαυτοῦ μαρτυρεῖς* statt *μαρτ. περὶ σεαυτοῦ* M nach c. 2 (S. 299, 32) c. 17 (S. 317, 34) u. allen Zeugen von T | **18** *εἰ* ü. d. Z.

Digitized by Google

»καὶ τὸν πατέρα μου ἂν ἤδειτε«, οἱ Ἱεροσολυμῖται, πρὸς οὓς φησι· »Κἀμὲ οἴδατε« οὐκ οἴδασι τὸν πατέρα. προσεπιτείνει δὲ τὴν εἰς τὸν τόπον ἀπορίαν καὶ ὁ Ἰωάννης ἐν τῇ καθολικῇ ἐπιστολῇ ταῦτα λέγων· »Ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν· πᾶς ὁ ἀρνούμενος τὸν »υἱόν, οὐδὲ τὸν πατέρα ἔχει«. εἰ γὰρ »Ὁ ἀρνούμενος τὸν πατέρα 4
»καὶ τὸν υἱόν«, καὶ »Ὁ ὁμολογῶν τὸν υἱὸν καὶ τὸν πατέρα ἔχει«, δῆλον ὅτι οἱ Ἱεροσολυμῖται, ὅσον ἐπὶ τῇ λέξει, τῷ μὴ γινώσκειν τὸν πατέρα ἀρνούμενοι τὸν πατέρα ἀρνοῦνται καὶ τὸν υἱόν. εἰ δὲ ἀρ- 5
282R νοῦνται τὸν υἱόν, πῶς τὸ »Κἀμὲ οἴδατε« ἀληθές; πάλιν οἱ αὐτοὶ εἰ
10 οἴδασιν τὸν υἱὸν διὰ τὸ »Καὶ ἐμὲ οἴδατε«, (ἐπεὶ »Ὁ ὁμολογῶν τὸν
262H »υἱὸν καὶ τὸν πατέρα ἔχει«) ὁμολογοῦσιν τὸν πατέρα. εἰ δὲ ὁμολογοῦσιν τὸν πατέρα, πῶς ἀληθὲς τὸ »Ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας »με, ὃν ὑμεῖς οὐκ οἴδατε«;

II. Λεκτέον δὲ πρὸς ταῦτα ὅτι ὁ σωτὴρ ὁτὲ μὲν περὶ ἑαυτοῦ 6
15 ὡς περὶ ἀνθρώπου διαλέγεται, ὁτὲ δὲ ὡς περὶ θειοτέρας φύσεως καὶ ἡνωμένης τῇ ἀγενήτῳ τοῦ πατρὸς φύσει. ἐπὰν μὲν γὰρ λέγῃ· »Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν »λελάληκα«, τοῦτό φησιν εἰδὼς τὸ ζητούμενον ἀναιρεθῆναι εἶναι οὐ θεὸν ἀλλὰ ἄνθρωπον· ἐὰν δὲ »Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν« καὶ
20 »Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή« καὶ »Ἐγώ εἰμι ἡ ἀνάστασις« καὶ τὰ τούτοις ὅμοια, οὐ περὶ τοῦ ζητουμένου ἀναιρεθῆναι ἀνθρώπου διδάσκει. οὕτως οὖν καὶ ἐπὶ τῶν κατὰ τὸ παρὸν ἡμῖν ζητουμένων ἐκ τῆς 7
συμφράσεως κατανοητέον· τὸ μὲν »Κἀμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμί« περὶ τοῦ ἀνθρώπου ἑαυτοῦ διαλέγεται, τὸ δὲ »Οὔτε ἐμὲ οἴδατε οὔτε
25 »τὸν πατέρα μου« περὶ τῆς θεότητος· τοῦ μὲν γὰρ »Κἀμὲ οἴδατε καὶ
228V »οἴδατε | πόθεν εἰμί« ταῦτα προτέτακται· »Ἔλεγον οὖν τινες ἐκ τῶν »Ἱεροσολυμιτῶν· Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; καὶ ἴδε »παρρησίᾳ λαλεῖ καὶ οὐδὲν αὐτῷ λέγουσιν. μήποτε ἀληθῶς ἔγνωσαν »οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ὁ χριστός; ἀλλὰ τοῦτον οἴδαμεν πόθεν
30 »ἐστίν· ὁ δὲ χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν«· τοῦ δὲ »Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου« ταῦτα »Εἶπαν οὖν 8
»αὐτῷ οἱ Φαρισαῖοι· Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ »ἔστιν ἀληθής. ἀπεκρίθη † ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Κἂν ἐγὼ

4 I Joh. 2, 22f. — **6** I Joh. 2, 23. — **7** Joh. 8, 19. — **10** I Joh. 2, 23. — **12** Joh. 7, 28. — **17** Joh. 8, 40. — **19** Joh. 10, 30. — **20** Joh. 14, 6. — Joh. 11, 25. — **23** Joh. 7, 28. — **24** Joh. 8, 19. — **26** Joh. 7, 25—27. — **31** Joh. 8, 19. — Joh. 8, 13—16.

16 *λέγειν* | **27** *οὕτως* | **30** *χριστὸς*] *κύριος* ($\overline{κς}$ statt $\overline{χς}$, wie κ und χ oft verwechselt worden sind; s. Einl.) | **31** *τοῦ*] *τοὺς*, corr. V | **33** Der Artikel vor *Ἰησοῦς* fehlt in den Zeugen von T.

Digitized by Google

»μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα
9 »πόθεν ἦλθον καὶ ποῦ ὑπάγω. * * * ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε,
»ἐγὼ οὐ κρίνω οὐδένα. καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀλη-
»θινή ἐστιν, ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ«.
10 δῆλον οὖν ἐκ τούτων ὅτι ὑπὸ μὲν τῶν Ἱεροσολυμιτῶν ἐλέγετο· 5
»Τοῦτον οἴδαμεν πόθεν ἐστίν«, ἀναφερόντων ἐπὶ τὸ ἐν Βηθλεὲμ
αὐτὸν γεγενῆσθαι, καὶ ἐπισταμένων ὅτι οὗτος ἦν οὗ ἡ μήτηρ ἐλέγετο
Μαρία, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης καὶ Σίμων ⟨καὶ⟩
Ἰούδας. διόπερ καὶ μαρτυρεῖ τοῖς εἰρηκόσιν· »Οἴδαμεν πόθεν ἐστίν«
διὰ τοῦ »Κἀμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμί«. τοῖς δὲ Φαρισαίοις 283R
τὸ »Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου,
»ὅτι οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω«· τῇ θειοτέρᾳ φύσει διαλεγό-
μενος ἔφασκεν ταῦτα καί, ὡς ἂν εἴποι τις, καθ' ὃ πρωτότοκος πάσης
11 κτίσεως ἦν. διόπερ τοῖς πρὸς ταῦτα πυθομένοις αὐτοῦ καὶ εἰρηκό-
σιν· »Ποῦ ἔστιν ὁ πατήρ σου;« ἀποκρίνεται (ὡς ἂν εἴποι τις, ἕτερος 15
ὢν τοῦ λέγοντος· »Κἀμὲ οἴδατε«) καί φησι· »Καὶ οὔτε ἐμὲ οἴδατε
»οὔτε τὸν πατέρα μου«. κατὰ δὲ τὸ ταπεινὸν τῶν Φαρισαίων ἦν 283B
ἤτοι μὴ νοεῖν ὅτι περὶ τοῦ θεοῦ τῶν ὅλων ἔλεγεν τὸ »Μαρτυρεῖ
»περὶ ἐμοῦ ὁ πέμψας με πατήρ«· ἢ εἰ ἐξεδέχοντο περὶ τοῦ θεοῦ ταῦτα
λέγεσθαι, νομίζειν ὅτι ἐν τόπῳ ἐστὶν ὁ θεός, καὶ διὰ τοῦτο ἀποκρί- 20
νεσθαι· »Ποῦ ἔστιν ὁ πατήρ σου«;

12 III. Χρὴ μέντοι γε εἰδέναι, ὅτι οἱ ἑτερόδοξοι νομίζουσιν σαφῶς
ἐντεῦθεν παρίστασθαι τὸ μὴ τὸν θεόν, ᾧ ἐλάτρευον Ἰουδαῖοι, πατέρα
εἶναι τοῦ χριστοῦ· εἰ γὰρ τοῖς Φαρισαίοις λατρεύουσιν τῷ δημιουργῷ,
φασίν, ἔλεγεν ὁ σωτήρ· »Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου«, 25
σαφὲς ὅτι ἕτερον ὄντα τοῦ δημιουργοῦ τὸν πατέρα Ἰησοῦ Φαρισαῖοι
οὐκ ᾔδεσαν, ἀλλ' οὐδὲ Ἱεροσολυμῖται, οἷς προειρήκει· »Ἀλλ' ἔστιν
»ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε«. ταῦτα δὲ λέγουσιν
ἅτε μὴ ἀνεγνωκότες τὰς θείας γραφάς, μηδὲ τὴν συνήθειαν τῆς ἐν
13 αὐταῖς λέξεως τετηρηκότες. κἂν γὰρ διεξοδεύειν τις δύνηται τὰ 30
περὶ θεοῦ ἐκ πατέρων μεμαθηκὼς ὅτι τούτῳ λατρεύειν μόνῳ δεῖ,
μὴ βιοῖ δὲ καλῶς, τοῦτόν φασιν οὐκ ἔχειν γνῶσιν θεοῦ. εἴ τις γοῦν

6 Joh. 7, 27. — Vgl. Matth. 2, 1. — 7 Vgl. Matth. 13, 55. — 9 Joh. 7, 27. — 10 Joh. 7, 28. — 11 Joh. 8, 14. — 13 Vgl. Kol. 1, 15. — 15 Joh. 8, 19. — 18 Joh. 8, 18. — 25 Joh. 8, 19. — 27 Joh. 7, 28.

1 οἴδατε | 2 nach ὑπάγω sind die Worte: ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι ἢ ποῦ [ὑπάγω durch ein Schreiberversehen ausgefallen | 3 ἀληθινὴ] u. S. 317, 34 ἀληθής; wie hier lesen BκDTLX 33, wie dort $\mathfrak{c}\mathcal{A}$ 1. 69. rell. | 7 γεγεννῆσθαι | ἐπισταμένων] + ἦν | 8 Orig. schrieb wohl Μαριάμ, wie er nach VI, 14 (S. 123, 4); in Mt. X, 17 (III, 45, 7 Lo) las | καὶ darf nicht fehlen. Zur Sache vgl. Zahn, Forschungen VI, 334 ff. | 19 ἢ εἰ] ἐπεί, corr. V | 32 εἰ] εἰ ἢ, corr. V.

Digitized by Google

ἄλλος ἤδει τὰ περὶ τοῦ δημιουργοῦ καὶ τῆς ἱερατικῆς αὐτοῦ θερα-
πείας, δῆλον ὅτι καὶ οἱ Ἠλεῖ τοῦ ἱερέως υἱοὶ παρὰ τῇ λατρείᾳ ἀνα-
229r τεθραμμένοι· ἀλλ' ὅμως, ἐπεὶ ἥμαρτον, γέ|γραπται ταῦτα περὶ αὐτῶν
ἐν τῇ τῶν Βασιλειῶν πρώτῃ· »Καὶ οἱ υἱοὶ Ἠλεῖ, υἱοὶ λοιμοί, οὐκ
5 »ἔγνωσαν τὸν κύριον«. πευσόμεθα γὰρ τῶν ἑτεροδόξων εἰ μὴ περὶ 14
τοῦ δημιουργοῦ γέγραπται τὸ »Οὐκ ἔγνωσαν τὸν κύριον« καὶ ἀποκρι-
νομένων ὅτι περὶ τοῦ δημιουργοῦ ἐστιν ταῦτα, ζητήσομεν διὰ τί
εἴρηται περὶ τῶν υἱῶν Ἠλεῖ· »Οὐκ ἔγνωσαν τὸν κύριον«· πότερον
διὰ τοὺς περὶ θεοῦ τοῦ δημιουργοῦ λόγους, ἢ διὰ τὴν πονηρίαν
10 αὐτῶν· σαφὲς δὲ ὅτι διὰ τὴν πονηρίαν λέγονται μὴ ἐγνωκέναι τὸν
κύριον. καὶ οὐ περὶ τῶν υἱῶν Ἠλεῖ μόνων ἔστιν τοῦτο εὑρεῖν ἀλλὰ 15
καὶ περὶ ἄλλων βασιλευσάντων ἐν Ἰσραὴλ καὶ Ἰούδα ἁμαρτωλῶν. οὕτω
τοίνυν καὶ οἱ Φαρισαῖοι τὸν πατέρα οὐκ ἤδεσαν· οὐδὲ γὰρ ἐβίουν
κατὰ τὸ τοῦ δημιουργοῦ βούλημα.

284R Ἔστιν δὲ καὶ ἄλλο σημαινόμενον τοῦ γινώσκειν τὸν θεόν, ἑτέρου 16
ὄντος τοῦ γινώσκειν τὸν θεὸν παρὰ τὸ πιστεύειν ψιλῶς εἰς τὸν
θεόν, † ὡς δῆλον ἐκ τοῦ· »Ὅσα ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ
»λαλεῖ« αὐτὸ ἢ δῆλον ὅτι καὶ τοὺς προφήτας, ὧν τὰ ῥήματα, ὡς ἐν
ἄλλοις ἀπεδείξαμεν, νόμος λέγεται. εἴρηται τοίνυν ἐν ψαλμοῖς· »Σχο-
20 »λάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός«. τίς δ' οὐκ ἂν ὁμολογήσαι 17
[πιστεῦσαι] γεγράφθαι ταῦτα λαῷ πιστεύοντι εἰς τὸν δημιουργόν;
264H ὅντινα γνῶναι οὐκ ἔστιν μὴ σχολάσαντα καὶ ἐκκαθάραντα τὸν νοῦν. τῶν
νοούντων καὶ θειοτέροις ὀφθαλμοῖς βλεπόντων τὸν θεὸν διὰ τὸ
καθαρὰν τὴν καρδίαν πεποιηκέναι τῆς χάριτος ταύτης ἀξιουμένων,
25 ὡς ὁ σωτὴρ μαρτυρεῖ λέγων· »Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι
»αὐτοὶ τὸν θεὸν ὄψονται«. ἅμα δὲ καὶ πρὸς τὸ »Οὐδεὶς ἔγνω τὸν
»πατέρα εἰ μὴ ὁ υἱός« φήσομεν ὅτι οὐ ταὐτόν ἐστιν τὸ γινώσκειν
τὸν πατέρα καὶ πιστεύειν αὐτῷ. οὐ μάχεται οὖν τὸ »Οὐδεὶς ἔγνω 18
»τὸν πατέρα εἰ μὴ ὁ υἱός« τῷ »Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ καὶ
30 ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην«. εἰ δέ τις οἴεται ἡμᾶς βιάζεσθαι
λέγοντας μὴ ταὐτὸν εἶναι τὸ πιστεύειν τῷ γινώσκειν, καὶ ἐνδέχεσθαι
πιστεύειν μὲν οὐκ ἔχειν δὲ γνῶσιν τοῦ πιστευομένου ὑπ' αὐτοῦ, τοῦ
Ἰησοῦ ἀκουσάτω λέγοντος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους·

4 I Sam. 2, 12. — **17** Röm. 3, 19. — **19** Vgl. Frg. Comm. in ep. ad Rom. IX. Philoc. p. 55, 19ff. — Ps. 45, 11. — **23** Vgl. Matth. 5, 8. — **25** Matth. 5, 8. — **26** Matth. 11, 27. — **29** Gen. 15, 6; vgl. Röm. 4, 3.

17 ὡς δῆλον — **19** λέγεται] Hier ist etwas nicht in Ordnung. Denn die Worte haben mit dem Vorhergehenden keinen Zusammenhang | **18** nach προφήτας + συμπεριλαμβάνει Br, damit allein ist aber nicht geholfen; viell. statt αὐτὸ ἢ δῆλον ὅτι z. l. αὐτοῦ δηλοῦντος? | **19** ἐπεδείξαμεν , σχολάσετε | **21** πιστεῦσαι str. We.

Digitized by Google

»Ἐὰν μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ
19 »ἀλήθεια ἐλευθερώσει ὑμᾶς«. παρατήρει γὰρ ὅτι πρὸ τοῦ »Ἐὰν
»μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, γνώσεσθε τὴν ἀλήθειαν« γέγραπται·
»Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς † πιστεύοντας αὐτῷ Ἰουδαίους«,
καὶ ἃ ἔλεγεν ἦν· »Ἐὰν μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, γνώσεσθε τὴν
20 »ἀλήθειαν«. πολὺ δὲ διαφέρει τὸ πρὸς τῷ πιστεύειν ἐγνωκέναι τοῦ
πιστεύειν μόνον· »Ὧι μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος
»σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ πίστις
»ἐν τῷ αὐτῷ πνεύματι«.

21 IV. Καὶ ταῦτα μὲν ὑπὲρ τοῦ παραστῆσαι ἕτερον εἶναι τὸ γι-
νώσκεσθαι τὸν θεὸν τοῦ πιστεύεσθαι· ὡς δὲ πρὸς τὸ ἀκριβὲς καὶ
τοῦτο τοῖς εἰρημένοις προσαποδώσομεν, ὅτι πρὸς οὓς φησιν· »Οὔτε
»ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου« | Φαρισαίους, εὐλόγως ἂν εἴπέν 229v
τις· ἀλλ᾽ οὐδὲ πιστεύετε εἰς τὸν πατέρα μου· τῷ γὰρ ἀποσταλέντι
ἀπὸ τοῦ πατρὸς οὐκ ἐπίστευσαν, ὁ δὲ ἀρνούμενος τὸν υἱὸν οὐδαμῶς τὸν
22 πατέρα ἔχει· καὶ οὐδαμῶς φημί, ὅτι οὔτε κατὰ πίστιν οὔτε κατὰ γνῶσιν.
ὅρα δὲ εἰ μὴ καὶ ἄλλως ἡ γραφὴ τοὺς ἀνακεκραμένους τινὶ καὶ ἑνωθέν-
τας γινώσκειν ἐκεῖνό φησιν, ᾧ ἀνεκράθησαν καὶ κεκοινωνήκασιν· πρὸ δὲ
τῆς τοιαύτης ἑνώσεως καὶ κοινωνίας κἂν τοὺς λόγους καταλαμβάνω-
23 σιν περί τινος, οὐ γινώσκουσιν ἐκεῖνο. ὁ γοῦν Ἀδὰμ περὶ τῆς Εὔας 285R
λέγων· »Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς
»σαρκός μου« οὐκ ᾔδει τὴν γυναῖκα· ὅτε γὰρ αὐτῇ ἐκολλήθη, τότε
εἴρηται· »Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ«. καὶ εἴ τίς γε
προσκόπτοι διὰ τὸ παρειληφέναι ἡμᾶς εἰς τὴν περὶ θεοῦ γνῶσιν παρά-
δειγμα τὸ »Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ«· πρῶτον μὲν τῷ
»Τὸ μυστήριον τοῦτο μέγα ἐστίν« ἐπιστησάτω· δεύτερον δὲ ἀντιπαρα- 295H
θέτω τὸ περὶ ἄρρενος καὶ θηλείας λεγόμενον παρὰ τῷ ἀποστόλῳ·
τῇ αὐτῇ λέξει χρῆται περὶ ἀνθρώπου καὶ κυρίου· »Ὁ κολλώμενος
»τῇ πόρνῃ ἓν σῶμά ἐστιν καὶ ὁ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά
24 »ἐστιν«. ἐγνωκέτω μὲν οὖν ὁ κολλώμενος τῇ πόρνῃ τὴν πόρνην, καὶ
ὁ κολλώμενος τῇ γυναικὶ τὴν γυναῖκα, μᾶλλον δὲ τούτου καὶ ἀγίως
ἐγνωκέτω ὁ κολλώμενος τῷ κυρίῳ τὸν κύριον. εἰ δὲ τοῦθ᾽ οὕτως
ἔχει, Φαρισαῖοι τὸν πατέρα οὐκ ἤδεσαν οὐδὲ τὸν υἱόν, καὶ ἀληθὴς

1 Joh. 8, 31f. — **4** Joh. 8, 31. — **7** I Kor. 12, 8f. — **12** Joh. 8, 19. — **14** Vgl. Joh. 5, 38. — **15** Vgl. I Joh. 2, 23. — **21** Gen. 2, 23. — **23. 25** Gen. 4, 1. — **26** Eph. 5, 32. — **28** I Kor. 6, 16f.

4 *πιστεύοντας* wohl nur durch Versehen; nach XX, 30 (vgl. u. c. 11 [S. 310, 22]) las auch Orig. *πεπιστευκότων* an der Stelle | **7** *μόνος* | **18** *φασίν*, corr. Lommatzsch | **20** *τινες* | **23** *ἔγνω δὲ Ἀδὰμ* ist ohne Zeugen in T | **29** *καὶ ὁ*] *ὁ δὲ* T; Orig. hat sich das Citat etwas zurechtgemacht.

Digitized by Google

ἦν ὁ λέγων· »Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου«. εἰ δὲ μὴ οὕτως ἐκλαμβάνοιμεν (λέγω δὲ κατὰ τὴν τελευταίαν ἐκδοχήν) τὸ γινώσκειν ἀντὶ τοῦ ἀνακεκρᾶσθαι καὶ ἡνῶσθαι, διηγείσθω τις τὸ »Νῦν δὲ γνόντες »θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ τοῦ θεοῦ« καὶ τὸ »Ἔγνω κύριος »τοὺς ὄντας αὐτοῦ«. κατὰ γὰρ ἡμᾶς ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ 25 ἀνακραθεὶς αὐτοῖς καὶ μεταδεδωκὼς αὐτοῖς τῆς ἑαυτοῦ θειότητος καὶ ἀνειληφὼς αὐτούς, ὡς ἡ τοῦ εὐαγγελίου λέξις φησίν, εἰς τὴν ἑαυτοῦ χεῖρα, ἐν τῇ χειρὶ τοῦ πατρὸς ὄντων τῶν εἰς τὸν σωτῆρα πεπιστευκότων· διὸ καὶ εἰ μὴ πέσοιεν ἀπ' αὐτῆς ἑαυτοὺς μακρύνοντες ἀπὸ τῆς χειρὸς τοῦ θεοῦ, οὐχ ἁρπαγήσονται· οὐδεὶς γὰρ ἁρπάζει ἐκ τῆς χειρὸς τοῦ πατρός.

V. Μετὰ ταῦτα ζητήσεις εἰς τὸ αὐτό, λέγω δὲ τὸ »Οὔτε ἐμὲ 26 »οἴδατε οὔτε τὸν πατέρα μου«, εἰ ἔστιν γινώσκοντά τινα τὸν θεὸν μὴ γινώσκειν τὸν πατέρα· εἰ γὰρ ἑτέρα αὐτοῦ ἐπίνοιά ἐστιν καθ' ὅ ἐστιν πατήρ, καὶ ἑτέρα καθ' ὅ ἐστιν ὁ θεός, τάχα ἔστιν τινὰ γινώσκειν μὲν τὸν θεόν, μὴ γινώσκειν δὲ τὸν πατέρα παρὰ τὸ εἰδέναι αὐτὸν θεόν, μὴ γινώσκειν δὲ τὸν πατέρα. φησὶν οὖν ὁ σωτὴρ μετὰ 27 τὴν ἀνάστασιν τῇ Μαρίᾳ· »Πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ »εἰπὲ αὐτοῖς· Πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν καὶ »θεόν μου καὶ θεὸν ὑμῶν«. καὶ ἔστιν γε τοῖς ἑτεροδόξοις λέγειν χαριζόμενον αὐτοῖς ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα Μωϋσῆς καὶ οἱ
286R 230r προφῆται· ὅπερ τάχα οὐκ ἔστιν | ἀληθές· ὅτι πάντως ὁ μὴ ἐγνωκὼς τὸν πατέρα οὐκ ἔγνω τὸν υἱόν· ὁ μὲν γὰρ υἱὸς ἔγνω τὸν πατέρα, ὁ δὲ θεράπων τὸν κύριον· καὶ ὥσπερ οὐκ ἂν ἀσεβήσαιμεν λέγοντες ὅτι ὁ υἱὸς οὐκ ἔγνω τὸν κύριον (υἱὸς γὰρ ὢν οὐ πεπείραται τοῦ πατρὸς δεσπότου), οὕτω τηροῦντες τὸν αὐτὸν θεὸν οὐδὲν ἄτοπον παραδεξόμεθα λέγοντες ὅτι τῷ μὲν υἱῷ ἔπρεπεν γινώσκειν τὸν πατέρα, τῷ δὲ θεράποντι τὸν κύριον, καὶ οὔτε ὁ θεράπων ἔγνω τὸν πατέρα οὔτε ὁ υἱὸς τὸν κύριον. μυρίων γοῦν οὐσῶν εὐχῶν ἀναγεγραμμένων ἐν 28 τοῖς ψαλμοῖς καὶ τοῖς προφήταις, ἀλλὰ καὶ τῷ νόμῳ, οὐ πάνυ τι
286H εὕρομεν εὐξάμενόν τινα καὶ λέγοντα τῷ θεῷ· »Πάτερ«, τάχα ἐπεὶ οὐκ ἔγνωσαν τὸν πατέρα· εὔχονται δὲ αὐτῷ ὡς θεῷ καὶ κυρίῳ, περιμένοντες τὸν τὸ πνεῦμα τῆς υἱοθεσίας ἐκχέοντα οὐκ ἔλαττον ἐπ' ἐκείνους ἢ ἐπὶ τοὺς μετὰ τὴν παρουσίαν εἰς θεὸν δι' αὐτοῦ πιστεύον-

1 Joh. 8, 19. — **3** Gal. 4, 9. — **4** II Tim. 2, 19; vgl. Num. 16, 5. — **7** Vgl. Joh. 10, 28f. — **18** Joh. 20, 17. — **31** Vgl. Röm. 8, 15. — **34** Vgl. I Petr. 1, 21.

4 τοῦ] mit K, die anderen Zeugen von T lassen den Art. aus. | **7** ἡ ὡς η | **16** εἰδέναι] εἶναι, corr. Br, V streicht das zweite μὴ γινώσκειν δὲ τὸν θεόν | **21** χαριζομένων, corr. Hu | **22** ὅπερ] εἴπερ Br | **31** εὐξόμενον, corr. V | vor τῷ θεῷ· πάτερ steht in M noch die Dublette τὸν θεὸν πατέρα im Text | **34** δι' αὐτοῦ], διὰ τοὺς, corr. V.

Digitized by Google

τας· εἰ μὴ ἄρα ἡ νοητὴ αὐτοῖς γεγένηται ἐπιδημία Χριστοῦ καὶ ἔσχον ποτὲ τελειωθέντες τὸ τῆς υἱοθεσίας πνεῦμα· ἐν ἀπορρήτῳ δὲ καὶ οὐ γνωστῶς πᾶσιν ἔλεγον ἢ ἔγραφον τὸν θεὸν πατέρα, ἵνα μὴ προκαταλάβωσιν τὴν διὰ τοῦ Ἰησοῦ ἐκκενουμένην παντὶ τῷ κόσμῳ χάριν, πάντας καλοῦντος ἐπὶ τὴν υἱοθεσίαν, ἵνα διηγήσηται τὸ ὄνομα τοῦ θεοῦ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ ἐν μέσῳ ἐκκλησίας ὑμνήσῃ τὸν πατέρα κατὰ τὸ γεγραμμένον· »Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου,
29 ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε«. ὅτι μέντοι γε ὁ αὐτός ἐστιν θεὸς τῶν προφητῶν καὶ τοῦ κόσμου δημιουργός, πολλαχόθεν μὲν ἔστιν θεωρῆσαι· ἀρκεῖ δὲ ἐπὶ τοῦ παρόντος θεωρῆσαι τήν τε Στεφάνου ἀπὸ τῶν Πράξεων πρὸς τὸν λαὸν δημηγορίαν οὕτω λέγοντος· »Ἄνδρες
30 »ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ »ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ πρὶν ἢ οἰκῆσαι αὐτὸν ἐν »Χαρράν, καὶ εἶπεν πρὸς αὐτόν· Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς »συγγενείας σου« καὶ τὰ ἑξῆς· δι' ὅλου γὰρ τοῦ λόγου ἀναντιρρήτως ἔστιν μαθεῖν τὸν τῶν προφητῶν θεὸν πατέρα εἶναι Χριστοῦ Ἰησοῦ·
31 καὶ ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς τοῦ ἀποστόλου ἐν τούτοις· »Παῦλος δοῦλος Χριστοῦ Ἰησοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς »εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν 287R
»γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος
»Δαβὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ »πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ κυρίου »ἡμῶν, δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν »πᾶσι τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐν οἷς ἐστὲ καὶ ὑμεῖς »κλητοὶ Ἰησοῦ Χριστοῦ, πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ ἀγαπητοῖς θεοῦ,
»κλητοῖς ἁγίοις. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ
32 »κυρίου Ἰησοῦ Χριστοῦ«. σαφῶς γὰρ ἀπὸ τούτων μεμαθήκαμεν ὅτι ὁ δημιουργὸς καὶ θεὸς τῶν προφητῶν καὶ πατὴρ τοῦ χριστοῦ θεός τε καὶ πατὴρ ἡμῶν ἐστιν.

33 VI. Φαρισαῖοι τοίνυν οὐ μόνον γνῶσιν οὐκ εἶχον, οὔτε καθ' ὃ πατὴρ οὔτε καθ' ὃ θεός, τοῦ δεδωκότος τὸν νόμον πατρὸς τοῦ χριστοῦ· ἀλλ' οὐδὲ ἐπίστευον αὐτῷ ὁμολογουμένως μὲν | καθ' ὃ πατὴρ 230V
ἦν Ἰησοῦ καὶ θεὸς αὐτοῦ, τάχα δὲ ⟨οὐδὲ⟩ καθ' ὃ ὁ θεὸς ὁ κτίσας τὰ
34 πάντα ἦν. ἀλλ' οὐδὲ τὸν χριστὸν ᾔδεισαν, καὶ καλῶς ἐλέγχει αὐτοὺς ὁ σωτὴρ λέγων· »Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου οἴδατε«. 267H

5 Vgl. Eph. 1, 5. — **7** Ps. 21, 23; vgl. Hebr. 2, 12. — **11** Act. 7, 2f. — **18** Röm. 1, 1—7. — **35** Joh. 8, 19.

4 ἐχεομένην? We | **13** οἰκῆσαι ist singulär statt κατοικῆσαι | **14** ἐκ² mit AκCE rell. gegen BD Copt. | **18** Χριστοῦ Ἰησοῦ mit B It. Arm. | **25** zu ἐν Ῥώμῃ steht in 47 die Randnote: τὸ Ἐν Ῥώμῃ οὔτε ἐν ἐξηγήσει οὔτε ἐν τῷ ῥητῷ μνημονεύει (sc. Orig.) | **33** ⟨οὐδὲ⟩ + We.

Digitized by Google

ταῦτα ζητῶ, πότερον ἴσον δύναται τῷ »Εἰ ἐμὲ ἤδειτε, καὶ τὸν πατέρα »μου ἂν ἤδειτε« τὸ »Εἰ τὸν πατέρα μου ἤδειτε, καὶ ἐμὲ ἂν ἤδειτε« ἢ οὔ; καὶ ἡγοῦμαι μὴ ἴσον ταῦτα δύνασθαι ἀλλήλοις, τῷ ἀναβαίνειν 35
ἀπὸ τῆς γνώσεως τοῦ υἱοῦ ἐπὶ τὴν γνῶσιν τοῦ πατρὸς τὸν γινώ-
σκοντα τὸν πατέρα, καὶ μὴ ἄλλως ὁρᾶσθαι τὸν πατέρα ἢ τῷ ὁρᾶσθαι τὸν υἱόν· »Ὁ γὰρ ἑωρακώς, φησίν, ἐμὲ ἑώρακε τὸν πέμψαντά με«· οὐκ ἂν δὲ εἰρήκει τὸ »Ὁ ἑωρακὼς τὸν πατέρα ἑώρακέν με«, ἐπείπερ ὁ τὸν λόγον τεθεωρηκώς τοῦ θεοῦ θεωρεῖ τὸν θεόν, ἀναβαίνων ἀπὸ τοῦ λόγου πρὸς τὸν θεόν· ἀμήχανον δέ ἐστιν μὴ ἀπὸ τοῦ λόγου
θεωρῆσαι τὸν θεόν. καὶ ὁ θεωρῶν τὴν σοφίαν, ἣν ἔκτισεν ὁ θεὸς 36
πρὸ τῶν αἰώνων εἰς ἔργα αὐτοῦ, ἀναβαίνει ἀπὸ τοῦ ἐγνωκέναι τὴν σοφίαν ἐπὶ τὸν πατέρα αὐτῆς· ἀδύνατον δὲ χωρὶς τῆς σοφίας προαγωγῆς νοηθῆναι τὸν τῆς σοφίας θεόν. ⟨τὸ⟩ δ' αὐτὸ ἐρεῖς καὶ περὶ 37
τῆς ἀληθείας· οὐ γὰρ νοεῖ τις τὸν θεὸν ἢ θεωρεῖ αὐτόν, καὶ μετὰ
ταῦτα τὴν ἀλήθειαν, ἀλλὰ πρότερον τὴν ἀλήθειαν, ἵν' οὕτως ἔλθῃ ἐπὶ τὸ ἐνιδεῖν τῇ οὐσίᾳ ἢ τῇ ὑπερέκεινα τῆς οὐσίας δυνάμει καὶ φύσει τοῦ θεοῦ. καὶ τάχα γε ὥσπερ κατὰ τὸν ναὸν ἀναβαθμοί τινες 38
ἦσαν, δι' ὧν εἰσήει τις εἰς τὰ ἅγια τῶν ἁγίων, οὕτως οἱ πάντες ἡμῶν ἀναβαθμοὶ ὁ μονογενής ἐστιν τοῦ θεοῦ· καὶ ὥσπερ τῶν ἀναβαθμῶν
288R ὁ μέν ἐστιν πρῶτος ἐπὶ τὰ κάτω, ὁ δὲ τούτου ἀνωτέρω, καὶ οὕτως ἐφεξῆς μέχρι τοῦ ἀνωτάτω, οὕτως οἱ μὲν πάντες εἰσὶν ἀναβαθμοὶ ὁ σωτήρ· ὁ δὲ οἷον πρῶτος κατωτέρω τὸ ἀνθρώπινον αὐτοῦ, ᾧ ἐπιβαίνοντες ὁδεύομεν κατὰ τὰ ἐξῆς αὐτοῦ ὄντα τὴν πᾶσαν ἐν τοῖς ἀναβαθμοῖς ὁδόν, ὥστε ἀναβῆναι δι' αὐτοῦ ὄντος καὶ ἀγγέλου καὶ τῶν
λοιπῶν δυνάμεων. καὶ κατὰ τὰς ἐπινοίας δὲ αὐτοῦ, εἴπερ ἕτερόν 39
ἐστιν ὁδὸς καὶ θύρα, προαπαντῆσαι δεῖ τῇ ὁδῷ, ἵνα μετὰ ταῦτα οὕτως φθάσῃ τις ἐπὶ τὴν θύραν, καὶ ἄρχοντι χρήσασθαι αὐτῷ καθ' ὃ ποιμήν ἐστιν, ἵνα τις δυνηθῇ αὐτοῦ ἀπολαῦσαι καὶ βασιλέως, ὄνασθαί τε αὐτοῦ πρῶτον ὡς ἀμνοῦ, ἵνα πρῶτον ἄρῃ ἡμῶν τὴν ἁμαρτίαν,
καὶ μετὰ ταῦτα κεκαθαρισμένοι φάγωμεν αὐτοῦ τῆς σαρκός, τῆς ἀληθινῆς τροφῆς· καὶ ἐπιμελέστερόν τις τὰ παρακείμενα τούτοις ἐξετάσας καὶ παραλαβὼν ἀκούσεται· »Εἰ ἐμὲ οἴδατε, καὶ τὸν πατέρα μου »οἴδατε«, καὶ »Ἐπεὶ ἐμὲ οἴδατε, καὶ τὸν πατέρα μου οἴδατε«.

6 Joh. 14, 9. 12, 44. — **10** Vgl. Prov. 8, 22. — **17** Vgl. Act. 21, 35. 40. — **25** Vgl. Joh. 10, 7. 9. — **27** Vgl. Joh. 10, 11. — **29** Vgl. Joh. 1, 29. — **30** Vgl. Joh. 6, 55. — **32** Vgl. Joh. 8, 19.

7 ὁ ἑωρακὼς] θεωρακὼς, corr. V | **8** ἀπὸ] πρὸ, corr. V | **12** προσαγωγῆς, corr. Hu | **13** ⟨τὸ⟩ + V | **18** εἰ[ς τὰ] a. Ras. | **19** ὥσπερ] εἴπερ, corr. B | **20** μέν] μονογενῆς, corr. Br | **22** zu πρῶτος ist ἀναβαθμὸς zu erg. | **23** κατὰ] καὶ, corr. We | **28** ὄνασθαι V; in M sind von dem Worte nur noch Spuren von ὀνα zu erkennen | **31** τις] τε, corr. We; V fügt τις nach τούτοις ein.

Digitized by Google

VIII, 20. *Ταῦτα τὰ ῥήματα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ· καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.*

40 VII. (2) *Εἰ μή τι χρή|σιμον ἦν μαθεῖν ἐκ τοῦ τὰ προειρημένα* 231r
ἀπηγγέλθαι ὑπὸ τοῦ σωτῆρος λελαλῆσθαι ἐν τῷ γαζοφυλακίῳ, οὐκ 268H
ἂν προσέθηκεν ὁ εὐαγγελιστὴς οἷς εἶπεν ὁ Ἰησοῦς τὸ »Ταῦτα τὰ
»ῥήματα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ«· καὶ
πανταχοῦ γε ὅπου πρόσκειται· »Ταῦτα τὰ ῥήματα † ἃ ἐλάλησεν« ἐν
41 *τῷδέ τινι τόπῳ, ἐπιστήσας εὑρήσεις τὸ τῆς προσθήκης εὔλογον. ἵν'*
οὖν νοηθῇ, τί τὸ ἐν τῷ γαζοφυλακίῳ ταῦτα τὰ ῥήματα [τὰ] ὑπὸ τοῦ 10
Ἰησοῦ εἰρῆσθαι, παραθησόμεθα ἅπερ ἀπὸ Λουκᾶ καὶ Μάρκου μεμαθήκαμεν, ὀνομασάντων τὸ γαζοφυλάκιον. ἀπὸ μὲν τοῦ Λουκᾶ ταῦτα·
»Ἀναβλέψας δὲ εἰς τοὺς βάλλοντας εἰς τὸ γαζοφυλάκιον τὰ δῶρα
»αὐτῶν πλουσίους, εἶδέν τινα χήραν πενιχρὰν βάλλουσαν λεπτὰ δύο,
»καὶ εἶπεν· Ἀληθῶς λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον 15
»πάντων ἔβαλεν· πάντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς
»ἔβαλον εἰς τὰ δῶρα τοῦ θεοῦ, αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς
»πάντα τὸν βίον ἑαυτῆς, ⟨ὃν⟩ εἶχεν, ἔβαλεν«· ἀπὸ δὲ τοῦ κατὰ Μάρ-
42 *κον· »Καὶ ἐστὼς ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου ἐθεώρει, καὶ*
»πᾶς ἔβαλλεν χαλκὸν εἰς τὸ γαζοφυλάκιον. καὶ πολλοὶ πλούσιοι 20
»ἔβαλλον πολλά· ἐλθοῦσα δὲ μία χήρα πτωχὴ ἔβαλεν λεπτὰ δύο, ὅ
»ἐστιν κοδράντης. καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν 289R
»αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων
»ἔβαλεν τῶν βαλλόντων εἰς τὸ γαζοφυλάκιον· πάντες γὰρ ἐκ τοῦ
»περισσεύοντος αὐτοῖς ἔβαλον· αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς 25
43 *»πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς«. τί δέ μοι βούλεται*
ἡ τῶν ῥητῶν παράθεσις τηρήσαντι, ὅτι τὸ γαζοφυλάκιον ἐν τῷ
ἱερῷ ἦν, ὑπὲρ τοῦ νοῆσαι τὴν προκειμένην τοῦ Ἰωάννου λέξιν ἤδη
λέξομεν· εἰ τὸ ἱερὸν ἀνάγομεν τοῦ θεοῦ καὶ ⟨τὰ⟩ κατὰ τὸν ναὸν
εἰς τὸν πνευματικὸν λόγον, τούτῳ ἀκολούθως καὶ τὸ ἐν τῷ ἱερῷ 30
γαζοφυλάκιον κατανοήσωμεν, ὅπερ ἐστὶν τόπος νομισμάτων εἰς τιμὴν
44 *θεοῦ καὶ οἰκονομίαν ἀναπαύσεως πενήτων προσφερομένων. τὰ δὲ*

13 Luk. 21, 1—4. — 19 Mark. 12, 41—44.

8 ἃ viell. als Dittogr. zu str.; vgl. S. 308, 23. 309, 14. | 10 τὰ als Dittogr. zu str. | 13 εἰς¹] mit Syr. Pesch., εἶδεν rell | 14 nach *βάλλουσαν* lässt Orig. *ἐκεῖ* aus mit D Syr. Cur. Sin. Pesch. Aeth. | 15 αὕτη nach *πτωχὴ* mit AXς rel. Syr. hcl. | 16 *πάντες* mit BLΔ | 18 ⟨ὃν⟩ + V | 19 ἑστὼς mit 1. 69. Syr hcl. mg Arm. | 20 ἔβαλλεν mit 69 corr. (ἔβαλε 69¹, *βάλλει* rell.) | 21 ἐλθοῦσα δὲ mit D lt. Vulg. Copt. | 23 αὕτη nach *πτωχὴ* mit D a. b. ff. g². i. | 29 ⟨τὰ⟩ + Br | 30 εἰς] εἴτε, corr. Br.

Digitized by Google

νομίσματα τίνα ἂν εἴη ἢ οἱ θεῖοι λόγοι τὴν εἰκόνα τοῦ μεγάλου βασιλέως ἐντετυπωμένην ἔχοντες, ὑπὸ δοκίμων τραπεζιτῶν θεωρούμενοι, τῶν χωρίζειν ἐπισταμένων ἀπὸ τῶν δοκίμων τὰ ἀδόκιμα ⟨μὲν⟩ προσποιούμενα δὲ εἶναι δόκιμα καὶ τηρούντων τὴν ἐντολὴν Ἰησοῦ λέγουσαν· »Γίνεσθε δόκιμοι τραπεζῖται«, καὶ τὴν Παύλου διδαχὴν φάσκοντος· »Πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς »εἴδους πονηροῦ ἀπέχεσθε«; ἕκαστος δὴ συνεισφερέτω εἰς οἰκοδομὴν τῆς ἐκκλησίας φέρων ἐπὶ τὸ νοητὸν γαζοφυλάκιον ἃ δύναται εἰς 269H τιμὴν τοῦ θεοῦ καὶ ὠφέλειαν τοῦ κοινοῦ.

VIII. Ἐπεὶ δὲ ἔστιν ὠφεληθῆναι τὸ κοινὸν διχῶς, ἀπό τε λό- 45
231v γων καὶ ἀπὸ πράξεων, ὧν | ὁ δίκαιος πράττει, καλῶς καὶ αὐταὶ ἀναφέρονται εἰς τὸ νοητὸν γαζοφυλάκιον. ἀλλ' ἐπεὶ οὐκ ἴση οὐδ' ὁμοία πάντων ἡ δύναμις ἐν τῷ βίῳ τούτῳ, εἴγε ἔδωκεν ὁ οἰκοδεσπότης τῷ μὲν πέντε τάλαντα, τῷ δὲ δύο, τῷ δὲ ἕν, ἑκάστῳ κατὰ 270R τὴν ἰδίαν δύναμιν, ἀποδέχεται ὁ ἔμψυχος τούτου λόγος, ἐνορῶν τῇ δυνάμει τῶν βαλλόντων εἰς ὃ διηγησάμεθα γαζοφυλάκιον, οὓς ἀποδέχεται, οὐ τῇ ποσότητι τῶν συνεισφερομένων ἐνορῶν μόνῃ. διόπερ 46 εἰ [ἔστιν] τις πλείονα δυνάμενος, ὀλιγώτερα μὲν ὡς πρὸς τὴν ἐνυπάρχουσαν αὐτῷ δύναμιν ποιεῖ, πλείονα δὲ ὡς πρὸς ἑτέρων σύγκρισιν ἐλάττονα δυναμένων, * * καὶ ἀποδέχεται τοὺς ὅλῃ δυνάμει τὰ ἐλάττονα πεποιηκότας παρὰ τοὺς πλείονα συνεισενεγκόντας ἐκ δυνάμεως πολλαπλασίονα φέρειν δυναμένης, ⟨ὡς⟩ γέγραπται ἃ παρεθέμεθα τοῦ τε Λουκᾶ καὶ τοῦ Μάρκου. ἅμα δὲ διδάσκει τὰ ῥητὰ 47 ταῦτα τὸν νοήσαντα ταῦτα πνευματικῶς μηδεπώποτε τοὺς νομιζομένους διαφέρειν ⟨δεῖν⟩ ἐπαίρεσθαι κατὰ τῶν ὡς πρὸς ἀνθρώπων κρίσιν ὑποδεεστέρων· οὐ γὰρ πεπείσθω τις τῶν ὑπολαμβανομένων πλείονα καὶ κρείττονα ποιεῖν, συγκρίνων ἑαυτὸν τοῖς ὅσον ἐπὶ ἀνθρωπίνῃ κρίσει ἐλάχιστα πράττουσιν, ὅτι πάντα ἃ δεδύνηται πεποίηκεν, ἢ ἐκεῖνος οὐ πάντα ⟨εἰ ἃ⟩ οἷός τε ἦν ἀπαιτεῖσθαι ἀπὸ τοῦ λόγου ἀποδέδωκεν. ἀνέβλεψεν οὖν εἰς τοὺς βάλλοντας εἰς τὸ γαζοφυλάκιον 48 τὰ δῶρα αὐτῶν πλουσίους ὁ Ἰησοῦς, καὶ ἰδὼν τὴν πενιχρὰν χήραν λεπτὰ βάλλουσαν δύο τάχα τῷ γνωστικῷ τόπῳ ἢ τῷ πρακτικῷ, ἁπλούστερον περὶ τῶν θείων φρονοῦσαν, καὶ ἀνάλογον τούτοις

1 Vgl. Ps. 47, 3. — **5** Preuschen, Antilegomena S. 44, 33 ff. Resch, Agrapha S. 116 ff. 233 ff. — **6** I Thess. 5, 21 f. — **13** Vgl. Matth. 25, 15. — **16** Vgl. S. 306, 31 f. — **30** Vgl. Luk. 21, 1 f.

3 ⟨μὲν⟩ + Pr | **5** γίνεσθαι, corr. V | **8** ἃ] ἅς, corr. Pr, ἅ B | **11** πράττῃ: Fehler von dem Schreiber verbessert, aber unvollständige Correctur; vgl. Einl. | **13** πάντως M, πάντων Ausgg. | **18** εἰ] ἐπεί, corr. We | [ἔστιν] str. Br | **19** ποιῶν, corr. Br | **20** Lücke; erg. etwa ἀποδοκιμάζει | **22** ⟨ὡς⟩ + Pr; vor γέγραπται wohl grössere Lücke mit Citaten We | **25** ⟨δεῖν⟩ + We | **26** πέπεισται, corr. We | τις τῶν] πιστῶν, corr. Br | **29** εἰ ἃ⟩ + We, ἃ + Br | **32** nach τάχα + ὁ | ἢ] καί, corr. Pr.

Digitized by Google

βιοῦσαν, εἶπεν· »Ἀληθῶς λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον
49 »πάντων ἔβαλεν«. καὶ τοῦτο εἶπεν καθορῶν τίνα τρόπον πολλα-
πλασίονα δυνάμενοι φέρειν εἰς τὸ κοινὸν οἱ ὅσον ἐπὶ τῇ δυνάμει
πλούσιοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ θεοῦ
50 ἐλάχιστον μόριον, ὧν οἷοί τε ἦσαν συνεισφέρειν. κατανόει δὲ καὶ 5
τὰ τῆς χήρας ὑστερήματα καὶ ὅτι βιασαμένη ἑαυτὴν πάντα ὃν εἶχεν
βίον ἤνεγκεν εἰς τὸ ἐν τῷ ἱερῷ γαζοφυλάκιον, προσφέρουσα πᾶσαν
τὴν δύναμιν ἑαυτῆς τῷ θεῷ.

51 IX. Ἀεὶ τοίνυν ὁ Ἰησοῦς, κατὰ μὲν τὸν Λουκᾶν, ἀναβλέπων
εἰς τοὺς βάλλοντας εἰς τὸ γαζοφυλάκιον πλουσίους τὰ δῶρα αὐτῶν, 10
ὁρᾷ καὶ τὴν πενιχρὰν χήραν βάλλουσαν λεπτὰ δύο· κατὰ δὲ τὸν
Μάρκον, ἑστὼς κατέναντι τοῦ γαζοφυλακίου θεωρεῖ τίνα τρόπον
πᾶς ὁ λαὸς βάλλει κατὰ δύναμιν τὸν νοητὸν χαλκὸν εἰς τὸ γαζοφυ- 270 H
λάκιον, καὶ ὡς μόνος δυνάμενος βλέπειν τοὺς πλουσίους εἶδεν εἶ 232 r
πο|τε πτωχὴ ψυχὴ καὶ ὑστερουμένη βάλλει ὅλῃ δυνάμει ⟨καὶ⟩ διὰ τοῦτο 291 E
52 δικαιουμένη παρὰ τοὺς πολλοὺς πλουσίους. ἅπερ οὐ τοῖς τυχοῦσιν
λέγει ἀλλ', ὡς φησιν ὁ Μάρκος, τοῖς μαθηταῖς αὐτοῦ· καὶ νῦν γὰρ
προσκαλούμενος τοὺς μαθητὰς αὐτοῦ λέγει αὐτοῖς διδάσκων βλέπειν
οὐχ ὡς ὄψεται ἄνθρωπος ἀλλ' ὡς ὄψεται ὁ θεός (»Ἄνθρωπος γὰρ
»ὄψεται εἰς πρόσωπον, ὁ δὲ θεὸς ὄψεται εἰς καρδίαν«) τὸ »Ἀμὴν 20
»λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν τῶν
53 »βαλλόντων εἰς τὸ γαζοφυλάκιον« καὶ τὰ ἑξῆς. τί δή μοι ταῦτα
πάντα βούλεται προκειμένου διηγήσασθαι τὸ »Ταῦτα τὰ ῥήματα † ἃ
»ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ«, ἢ παραστῆσαι,
ὅτι πάντων συνεισφερόντων ἐν τῷ γαζοφυλακίῳ τοῦ ἱεροῦ τοῦ ὑπὲρ 25
τοῦ κοινοῦ τὰ θρέψοντα τοὺς δεομένους, μᾶλλον πάντων ἐχρῆν τὸν
Ἰησοῦν φέρειν τὰ ὠφελήσοντα, ἅπερ ἦν ῥήματα ζωῆς αἰωνίου καὶ
54 διδασκαλία ἡ περὶ θεοῦ καὶ ἑαυ⟨τοῦ⟩; καὶ παντός γε νομίσματος τιμαλ-
φέστερον ἦν τὸ »Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου« ἐν τῷ γαζοφυλακίῳ
εἰρημένον, καὶ τὸ »Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἂν ᾔδειτε« 30
55 καὶ ὅλα τὰ κατὰ τὸν τύπον. καὶ ὁ πᾶς γε τῶν λοιπῶν εἰς τὸ
γαζοφυλάκιον φερόντων ἃ εἶχον χρυσὸς ψάμμος ἦν ὀλίγη ὡς πρὸς
τὰ Ἰησοῦ ῥήματα· σοφία γὰρ ἦν πᾶς ὁ λόγος αὐτοῦ· »Πᾶς δὲ χρυσὸς
»ἐν ὄψει σοφίας ψάμμος ὀλίγη, καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος
56 »ἐναντίον αὐτῆς«. καὶ ταῦτά γε σαφῶς νοηθήσεται τοῖς κατακούειν 35

1 Luk. 21, 3. — **4** Vgl. Luk. 21, 4. — **9** Vgl. Luk. 21, 1f. — **12** Vgl. Mark. 12, 41f. — **19** I Sam. 16, 7. — **20** Mark. 12, 43. — **23** Joh. 8, 20. — **27** Vgl. Joh. 6, 68. — **29** Joh. 8, 12. — **30** Joh. 8, 19. — **33** Weish. Sal. 7, 9.

1 εἰπεῖν | πλείων | **2** εἰπὼν | **5** ἐλαχίστη | **7** προσφέρουσαν. | **15** ⟨καὶ⟩ + V | **23** ἃ s. z. S. 306, 8 | **28** ἑαυ M.

Digitized by Google

μεμαθηκόσιν τῆς τοῖς τελείοις λαλουμένης σοφίας, ἐν μυστηρίῳ ἀποκεκρυμμένης, »ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς τὴν« τῶν δικαίων »αὐτοῦ δόξαν«, καὶ δυναμένοις ἐνορᾶν ὑπεροχὴν σοφίας θεοῦ παρὰ τὴν »σοφίαν τοῦ αἰῶνος τούτου« ἢ »τῶν ἀρχόντων τοῦ »αἰῶνος τούτου, τῶν καταργουμένων«, οἱονεὶ προφήταις ἰδίοις χρωμένων, τῶν ὁποιωνδήποτε λόγων ἑτέρων παρὰ τὴν ἀλήθειαν προϊσταμένοις· ψάμμος γὰρ ὀλίγη αἱ λοιπαὶ σοφίαι χρυσὸς εἶναι νομιζόμεναι ἐν ὄψει σοφίας, ἣν ἔκτισεν ὁ θεὸς ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, καὶ ἄργυρος ὁ τῶν πολλῶν λαμπρὸς καὶ πιθανὸς λόγος ὡς πηλὸς λογισθήσεται, ⟨ἐναντίον⟩ τῶν ἁγνῶν λογίων κυρίου τῶν πεπυρωμένων καὶ κεκαθαρισμένων ἑπταπλασίως καὶ δοκίμων, ἅτε προεληλυθότων ἀπὸ τοῦ ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγου.

X. Τὰ δὲ ἀπὸ τῆς ἐπιγεγραμμένης Σοφίας ἄλλως παρεθέμεθα 57
εἰς τὸ συνιδεῖν τὴν δύναμιν τοῦ »Ταῦτα τὰ ῥήματα † ἃ ἐλάλησεν ἐν
292R »τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ«. τηρείσθω γὰρ ἡ περὶ
271H τῶν πλουσίων καὶ τῆς πενιχρᾶς χήρας διήγησις ὡς ἀποδέδοται, καὶ εἴ τίς γε μιμητής ἐστιν Χριστοῦ, ἡκέτω ἐπὶ τὸ μὴ ἐν τόπῳ νοητὸν ἱερὸν τοῦ θεοῦ ὁδεύων τῷ νῷ καὶ ἀκολουθῶν τῷ πνεύματι χειραγωγῆσαι αὐτὸν ἐπ᾽ αὐτὸ δυναμένῳ, καὶ φερέτω δύκιμα νομίσματα, ῥήματα ζωῆς αἰωνίου, ἐπὶ τὸ γαζοφυλάκιον, καὶ ἔργα ἀκόλουθα τοῖς
232v τοιούτοις ῥήμασιν. ἀλλ᾽ εἴθε μήτε πενιχρά τις ἡμῶν μήτε χήρα 58
εἴη φέρειν μηδὲν πλεῖον δυναμένη δύο λεπτῶν, μήτε πλούσιος ἐκ μόνου τοῦ περισσεύματος φέρων, ἀλλὰ πάντα τὸν πλοῦτον ἀνατιθεὶς τῷ θεῷ. Ἰησοῦς δὲ οὐ πάντα ἃ εἶχεν ῥήματα ἐλάλησεν ἐν τῷ γαζο- 59
φυλακίῳ διδάσκων, ἀλλὰ τοσαῦτα ὅσα ἐχώρει τὸ γαζοφυλάκιον· οὐδὲ γὰρ αὐτόν γε οἶμαι χωρεῖν τὸν κόσμον τὸν ὅλον τοῦ θεοῦ λόγον. ὅμως δὲ τοσαῦτα ῥήματα ἐν τῷ γαζοφυλακίῳ λαλῶν καὶ διδάσκων 60
ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ ὑπ᾽ οὐδενὸς ἐκρατεῖτό πω· καὶ αὐτοῦ γὰρ οἱ λόγοι ἰσχυρότεροι ἐτύγχανον τῶν πιάσαι αὐτὸν θελόντων. καὶ ὅσον γε λέγει, οὐδεὶς αὐτὸν πιάσει τῶν ἐπιβουλευόντων αὐτῷ· ἀλλ᾽ ἐὰν σιωπήσῃ, τότε κρατεῖται. ὅθεν ἐπεὶ ἐβούλετο ὑπὲρ τοῦ κόσμου 61
παθεῖν, ἐξεταζόμενος ὑπὸ τοῦ Πιλάτου καὶ μαστιγούμενος σιωπᾷ· εἰ γὰρ λελαλήκει, οὐκέτι ἐγίνετ᾽ ⟨ἂν⟩ αὐτῷ τὸ ἐσταυρῶσθαι ἐξ

1 Vgl. I Kor. 2, 6f. — **7** Vgl. Weish. Sal. 7, 9. — **8** Vgl. Prov. 8, 22. — **9** Vgl. Weish. Sal. 7, 9. — **10** Vgl. Ps. 11, 7. — **12** Vgl. Joh. 1, 1. — **14** Vgl. Joh. 8, 20. — **16** Vgl. Luk. 21, 1ff. — Vgl. c. 9. — **20** Vgl. Joh. 6, 68. — **21** Vgl. Luk. 21, 2. Mark. 12, 42. — **26** Joh. 21, 25. — **27** Vgl. Joh. 8, 20. — **32** Vgl. Joh. 19, 1. 9.

1 vielleicht τοῖς ⟨τε⟩ τελείοις, wegen καὶ Z. 3 | **6** προισταμένων, corr. We | **10** ⟨ἐναντίον⟩ + We | **12** προσεληλυθότων, corr. We | **16** καὶ εἴ] ἐπεί, corr. V | **19** δυναμένων | **30** πιάσαι, corr. Br | **33** ἐγίνετ᾽ ἄν] ἐγίνετο, corr. We.

Digitized by Google

62 ἀσθενείας, ἐπείπερ οὐκ ἔστιν ἀσθένεια ἐν οἷς ὁ λόγος λαλεῖ. ὄντι δὲ αὐτῷ ἐν τῷ γαζοφυλακίῳ οὐδέπω ἡ ὥρα ἐνειστήκει τοῦ πιασθῆναι αὐτόν, ἀλλ᾽ οὐδὲ ὄντι ἐν τῷ ἱερῷ· χειμάρρουν δέ τινα ἐχρῆν εἶναι
63 τὸν τόπον ἔνθα ἐβούλετο πιασθῆναι ὁ Ἰησοῦς καὶ ἐδύνατο. ἀλλὰ καὶ καιρὸν τοῦ κρατεῖσθαι αὐτὸν οὐκ ἔδει εἶναι ἡμερινόν· »Ὁ γὰρ »Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων »ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων«. περὶ δὲ τοῦ »Οὔπω ἐλήλυθεν ἡ ὥρα αὐτοῦ« ἐν τοῖς ἀνωτέρω διὰ πλειόνων διειλήφαμεν, οἷς χρήσει καὶ εἰς τὰ παρόντα.

VIII, 21. *Εἶπεν οὖν πάλιν αὐτοῖς· Ἐγὼ ὑπάγω καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.*

64 XI. (3) Καὶ ταῦτα ἐν τῷ γαζοφυλακίῳ ἐν τῷ ἱερῷ, προστιθεὶς τοῖς προτέροις οὐ μόνον ταῦτα ἀλλὰ πλείονα ἕως τοῦ »Ἀμὴν λέγω »ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι ἐγὼ εἰμί«, μετὰ δὲ τοῦτον τὸν λόγον ἀράντων λίθους, ἵνα λιθάσωσιν αὐτόν, Ἰησοῦς ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ, ὅτε παράγων εἶδεν τὸν ἀπὸ γενετῆς τυφλόν, περὶ οὗ εἰσό- 293R
65 μεθα, θεοῦ διδόντος, γενόμενοι κατὰ τὸν τόπον. λέγει δὲ ταῦτα ἵνα τὸ ἐπιφερόμενον γένηται· »Ταῦτα γὰρ αὐτοῦ λαλοῦντος ἐπίστευσαν »εἰς αὐτόν«, οἱονεὶ πένητες ἐρχόμενοι ἐπὶ γαζοφυλάκιον, ἵν᾽ ἐκεῖθεν 272H
66 λάβωσιν ἃ ἐὰν δύνωνται καὶ ἃ ἐὰν μερισθῇ αὐτοῖς. πολλοὶ μὲν οὖν ἐπίστευσαν εἰς αὐτόν, οὐ πολλοὶ δὲ ἔγνωσαν αὐτόν, ἐπεὶ τῶν πεπιστευκότων εἰς αὐτὸν οἱ μένοντες ἐν τῷ λόγῳ αὐτοῦ, ἀληθῶς γινόμενοι μαθηταὶ αὐτοῦ, γνώσονται τὴν ἀλήθειαν· οὐχὶ δὲ οἱ πολλοὶ τῶν πεπιστευκότων εἰς αὐτὸν μένουσιν ἐν τῷ λόγῳ αὐτοῦ, οὐδὲ οἱ
67 πολλοὶ ἀληθῶς αὐτοῦ μαθηταὶ γίνονται. διόπερ οὐδὲ πολλοὶ γνώσονται ἀλήθειαν, καὶ εἰ ἀλήθεια ἐλευθεροῖ, ἐλεύθεροι οὐ γίνονται·
68 σφόδρα γὰρ ὀλίγοι χωροῦσι τὴν ἐλευθερίαν. τίνες δέ εἰσιν οἱ γνωσόμενοι ἢ οἱ ὑψοῦντες αὐτόν; ὡς αὐτὸς διδάσκει λέγων· | »Ὅταν ὑψώ- 233r
»σητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι.« οὐδεὶς 30
δὲ αὐτὸν ὑφοῖ γάλακτι ποτιζόμενος, παρασκευάζων ἑαυτὸν εἰς παρα-

1 Vgl. II Kor. 13, 3. — **3** Vgl. Joh. 18, 1. — **5** Joh. 18, 3. — **8** Joh. 8, 20. **9** Wahrscheinlich in t. IX zu Joh. 2, 4; oder zu 7, 30. — **14** Joh. 8, 58. — **16** Vgl. Joh. 8, 59. — **17** Joh. 9, 1. — **19** Joh. 8, 30. — **23** Vgl. Joh. 8, 31. — **26** Vgl. Joh. 8, 32. — **29** Joh. 8, 28. — **31** Vgl. I Kor. 3, 2; Hebr. 5, 12.

2 ἡ ὥρα] ηων, corr. V | **12** M schreibt hier u. i. Folgd. konstant *δύνασθαι* | **17** γε / νετῆς aus γεννετῆς | ἐσόμεθα, corr. V | **21** *δύνωνται*] ωνται weitläufig a. Ras.

Digitized by Google

δοχὴν τῆς στερεᾶς τροφῆς· διόπερ τῷ τοιούτῳ λέγει· »Ἔκρινα μηδὲν »εἰδέναι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον«, πρὸς ὃν καὶ ὁ τοῦ λόγου διάκονος ἐν ἀσθενείᾳ γίνεται, ὡς φησιν ὁ Παῦλος τοῖς τοιούτοις· »Κἀγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ »πολλῷ ἐγενόμην πρὸς ὑμᾶς«.

Φησὶ τοίνυν ὁ τοῦ θεοῦ λόγος ἀρχὴν ποιούμενος δευτέρων μαθη- 69
μάτων τῶν ἐν τῷ γαζοφυλακίῳ ἐν τῷ ἱερῷ· »Ἐγὼ ὑπάγω καὶ »ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε«. ζητῶ διὰ τὸ 70
»Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν«, μήποτε οὐ πρὸς πάντας τοὺς παρόντας λέγει τὸ »Ἐγὼ ὑπάγω καὶ ζητήσετέ »με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε«, ἀλλὰ πρὸς τούτους, οὓς ἤδει μὴ πιστεύσοντας, καὶ διὰ τοῦτο ἐν τῇ ἁμαρτίᾳ αὐτῶν ἀποθανουμένους καὶ μὴ δυναμένους ὀπίσω αὐτοῦ ἀκολουθῆσαι· μὴ δυναμένους δὲ διὰ τὸ μὴ βούλεσθαι· εἰ γὰρ βουλόμενοι οὐκ ἐδύναντο, οὐκ ἂν εὐλόγως αὐτοῖς ἐλέγετο τὸ »Ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε«.

XII. Ἐρεῖ δέ τις πρὸς τοῦτο· εἴπερ τοῖς ἐμμένουσιν τῷ μὴ 71
πιστεύειν ταῦτα ἔλεγεν, πῶς τοῖς τοιούτοις φησὶ τὸ »Ζητήσετέ με«; πολλαχοῦ γὰρ ἀγαθὸν τὸ ζητεῖν τὸν Ἰησοῦν, ταὐτόν πως τυγχάνον τῷ ζητεῖν λόγον καὶ ἀλήθειαν καὶ σοφίαν. ἀλλ' ἐρεῖς ὅτι καὶ περὶ 72
ἐπιβουλευόντων ποτὲ λέγεται τὸ ζητεῖν, ὥσπερ ἐν τῷ »Ἐξήτουν αὐ»τὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτε οὔπω »ἐληλύθει ἡ ὥρα αὐτοῦ«, καὶ ἐν τῷ »Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· »ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν«,
294R καὶ ἐν τῷ »Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν
»ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ πατρός«. διὸ καὶ λέγεται τοῖς 73
273H μὴ καλῶς ζητοῦσιν τὸ »Καὶ ζητήσετέ με« οὐκ ἐναντίον τῷ »Πᾶς ὁ »ζητῶν εὑρίσκει«. καὶ ἀεὶ δὲ διαφοραί εἰσιν τῶν ζητούντων τὸν Ἰησοῦν, οὐ πάντων γνησίως καὶ ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας καὶ τοῦ ὠφεληθῆναι ἀπ' αὐτοῦ ζητούντων αὐτόν. εἰσὶν γὰρ καὶ κατὰ μυρίας 74
ἀποπεπτωκυίας τοῦ καλοῦ προθέσεις ζητοῦντες τὸν Ἰησοῦν· διόπερ μόνοι οἱ ὀρθῶς ζητήσαντες αὐτὸν εἰρήνην εὗρον, οἳ καὶ κυρίως λέγοιντ' ἂν αὐτὸν ζητεῖν τὸν ἐν ἀρχῇ λόγον, πρὸς τὸν θεὸν λόγον, καὶ ἵνα αὐτοὺς προσαγάγῃ τῷ πατρί. παρὼν δὲ καὶ ἐμφανταζόμε-

1 I Kor. 2, 2. — **4** I Kor. 2, 3. — **7** Joh. 8, 21. — **8** Joh. 8, 30. — **20** Joh. 8, 30. — Joh. 8, 30. — **22** Joh. 8, 37. — **24** Joh. 8, 40. — **26** Joh. 8, 21. — Matth. 7, 8. — **32** Vgl. Joh. 1, 1.

1 Die Form des Citates stimmt mit C. Cels. II, 66 [I, 188, 13 K.]; Comm. in Mt. XII, 18 [III, 161, 17 Lo]: ἐγὼ δὲ ἔκρινά μηδὲν εἰδέναι; in den Hss. von T ist überliefert: οὐ γὰρ ἐκρινά τι εἰδέναι | **8. 10** ζητήσατε, corr. V | **12** πιστεύσαντας, corr. Br | **18** πολλαχῶς? We | **26** τὸ ü. d. Z. | **31** οἳ] δν, corr. V | **32** τὸν πρὸς? We.

Digitized by Google

νος ὁ λόγος, ἐπὰν μὴ παραδεχθῇ, ἀπειλεῖ τὸ ὑπάγειν καὶ λέγει· »Ἐγὼ »ὑπάγω«· καὶ ἐὰν ἀπελθόντος γε αὐτοῦ ζητῶμεν αὐτόν, οὐχ εὑρήσο-
75 μεν αὐτόν, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ ἡμῶν ἀποθανούμεθα. οἶδεν δὲ ἀπὸ τίνος ὑπάγει καὶ τίνι παραμένει μηδέπω εὑρισκόμενος, ἵν' ἐν καιρῷ
76 εὑρεθῇ ζητηθείς. καὶ τοῖς γε οὕτως ἔχουσιν αὐτὸν καὶ μὴ τεθεωρη- 5
κόσιν αὐτὸν λέγεται· »Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Τίς ἀναβήσεται »εἰς τὸν οὐρανόν; τοῦτ' ἔστιν Χριστὸν καταγαγεῖν· ἢ· Τίς καταβή-
»σεται εἰς τὴν ἄβυσσον; τοῦτ' ἔστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. 235v
77 »ἀλλὰ τί λέγει ἡ γραφή; Ἐγγύς σου τὸ ῥῆμα σφόδρα ἐν τῷ στόματί »σου καὶ ἐν τῇ καρδίᾳ σου«. τούτοις δὲ φιλανθρώπως ὁ σωτὴρ 10
ὑποδείκνυσιν καὶ τὰ περὶ τῆς τοῦ θεοῦ βασιλείας, ἵνα μὴ ζητῶσιν αὐτὴν ἔξω ἑαυτῶν μηδὲ λέγωσιν· »Ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ«· φησὶ γὰρ
78 αὐτοῖς· »Ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστίν«. καὶ ὅσον γε σώζο-
μεν τὰ ἐνσπαρέντα ἡμῶν τῇ ψυχῇ τῆς ἀληθείας σπέρματα καὶ τὰς ἀρχὰς αὐτῆς, οὐδέπω ἀπελήλυθεν ἀφ' ἡμῶν ὁ λόγος· ἐὰν δὲ ἀπὸ τῆς 15
κατὰ τὴν κακίαν χύσεως διαφθάρωμεν, τότε ἡμῖν ἐρεῖ· »Ὑπάγω«, ἵνα κἂν ζητῶμεν αὐτὸν οὐχ εὑρήσομεν, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ ἡμῶν ἀποθα-
νούμεθα, καταλαμβανόμενοι ἐν αὐτῇ καὶ παραλαμβανόμενοι ἀπὸ ταύ-
της ὑπὸ τῶν τεταγμένων ἐπὶ τῷ ἀπαιτεῖν τὴν ψυχήν, κατὰ τὸν εἰπόντα· »Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ 20
»σοῦ«.

79 XIII. Οὐ χρὴ δὲ παρελθεῖν ἀνεξέταστον οὐδὲ καὶ τὸ »Ἐν τῇ »ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε«. εἰ μὲν ⟨οὖν⟩ κοινότερον λαμβάνεται, δῆλον ὅτι οἱ μὲν ἁμαρτωλοὶ ἐν τῇ ἁμαρτίᾳ αὐτῶν ἀποθανοῦνται, οἱ δὲ δίκαιοι ἐν τῇ δικαιοσύνῃ· εἰ δὲ τὸ »Ἀποθανεῖσθε« κατὰ τὸν 25
ἐχθρὸν τοῦ χριστοῦ θάνατον λαμβάνεται, ὡς τοῦ πρὸς θάνατον ἡμαρτηκότος ἀποθνήσκοντος, δῆλον ὅτι οἷς ταῦτα ἐλέγετο οὐδέπω
80 ἀποτεθνήκεισαν. καὶ ζητήσεις πῶς οἱ μὴ πιστεύσαντες, ὅτε ἔζων, μέλλουσίν ποτε ἀποθανεῖσθαι. ἀπαντήσεται δέ τις καὶ πρὸς τοῦτο 295R
λέγων ὅτι κατ' ἐκεῖνο καιροῦ τὸ μηδέπω πιστεύειν οὐδέπω πρὸς 30
θάνατον ἁμάρτημα ἦν, καὶ πρὸς οὓς ὁ λόγος οὐδέπω τὰ πρὸς θάνα- 274H
τον ἡμαρτήκεισαν. ἀλλ' ἔζων μὲν ἐν ἀσθενείᾳ τῆς ψυχῆς αὐτῶν, ἡ
81 δὲ ἀσθένεια ἐκείνη πρὸς θάνατον ἦν. διὰ τοῦτο καὶ ὁ ἰατρὸς βλέ-

1 Joh. 8, 21. — 6 Röm. 10, 6—8. (Vgl. Deut. 30, 12ff.) — 12 Luk. 17, 21. — 20 Luk. 12, 20. — 22 Joh. 8, 21. — 26 Vgl. I Kor. 15, 26. — 26 Vgl. I Joh. 5, 16. — 33 Vgl. Joh. 11, 4.

9 ἡ γραφὴ mit D. 17. Vulg. Arm. (BκAC 37. 47.) | σφόδρα] oben I, 37 (S. 48, 3) und II, 15 (S. 72, 26) ἐστι σφόδρα; doch fehlt ἐστὶν nebst σφόδρα in Jer. h. 18, 2 [S. 153, 21 Kl.] | 18 ἀπὸ] ὑπὸ, corr. Pr | [ὑπὸ ταύτης ὑπὸ τῶν τεταγμέ]νων a. Ras. | 23 ⟨οὖν⟩ + We | 28 οἱ] εἰ, corr. V | ὅτε] ὅτι, corr. Pr | 29 μέλλουσιν] μέλλοντες, corr. V | 32 αὐτῶν] αὐτοῖς, corr. Hu.

Digitized by Google

πων ὀλεθρίως αὐτοὺς ἀσθενοῦντας, ἔλεγεν ἀπογνοὺς αὐτῶν τὴν θεραπείαν· »Ἐγὼ ὑπάγω καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν »ἀποθανεῖσθε«. εἴπομεν δὴ τὸ »ἐπεὶ ἡ ἀσθένεια ἐκείνη ἦν αὐτοῖς »πρὸς θάνατον«, ἅτε μαθόντες ἀπὸ τοῦ Ἰησοῦ διαφορὰν ἀσθενειῶν.
ἠσθένει δὲ καὶ ὁ Λάζαρος, ἀλλ' ᾔδει ὁ ἰατρὸς ὅτι ἡ ἀσθένεια αὐτοῦ 82
οὐ πρὸς θάνατον ἦν· διόπερ φησίν· »Αὕτη ἡ ἀσθένεια οὐκ ἔστιν »πρὸς θάνατον«. διὰ τοῦτο κἂν ἀντιλαμβανώμεθα τῶν ἀσθενειῶν ἑαυτῶν ἀσθενούντων, προσέχωμεν μήποτε πρὸς θάνατον ἀσθενήσωμεν, μεταβαλλούσης τῆς νόσου ἀπὸ τοῦ ἔτι ἰατὴν εἶναι δύνασθαι
ἐπὶ τὸ ἀνίατον. ἅμα δὲ σαφέστερόν πως ἔσται καὶ τὸ »Ὅπου ἐγὼ 83
»ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν« ἐπιφερόμενον τῷ »Καὶ ἐν τῇ »ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε«. ὅταν γὰρ ἀποθάνῃ τις ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ, ὅπου ὑπάγει ὁ Ἰησοῦς οὐ δύναται ἀπελθεῖν· οὐδεὶς γὰρ νεκρὸς ἀκολουθεῖν δύναται τῷ Ἰησοῦ· »Οὐδὲ γὰρ οἱ νεκροὶ αἰνέσουσίν »σε, κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. ἀλλ' ἡμεῖς οἱ »ζῶντες εὐλογήσομεν τὸν κύριον«.

XIV. Ἔτι πρὸς τὸ »Ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε« παρα- 84
234r θήσεις τὸ | ἐκ τοῦ Ἰεζεκιὴλ οὕτως ἔχον· »Ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη »ἀποθανεῖται«· θάνατος γὰρ ψυχῆς ἁμαρτία, οἶμαι δὲ ὅτι οὐ πᾶσα,
ἀλλ' ἣν φησιν Ἰωάννης πρὸς θάνατον. ἅμα δὲ καὶ διαστέλλει ὅτι 85
τις ἁμαρτία θάνατός ἐστιν ψυχῆς, καί τις ἁμαρτία ἀσθένεια αὐτῆς τάχα δὲ καὶ τρίτον τις ἁμαρτία ζημία ψυχῆς ἐστιν, ἁμαρτία δηλονότι ἐκ τοῦ »Τί ὠφεληθήσεται ἄνθρωπος ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ »τὴν δὲ ψυχὴν αὐτοῦ ἀπολέσῃ ἢ ζημιωθῇ;« καὶ ἐκ τοῦ »Εἴ τινος τὸ
»ἔργον κατακαήσεται, ζημιωθήσεται«. τοῖς μὲν οὖν ἐν τῇ ἁμαρτίᾳ 86
ἀποθανουμένοις φησίν· »Ὑπάγω καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ »ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν«· τῷ δὲ Πέτρῳ· »Ὅπου ἐγὼ ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, »ἀκολουθήσεις δὲ ὕστερον«· ἔξεστιν γὰρ μαθητευόμενον τῷ Ἰησοῦ
νῦν μὲν μὴ παρεσκευάσθαι πρὸς τὸ ἀκολουθεῖν αὐτῷ ἀπιόντι πρὸς τὸν πατέρα, ὕστερον δὲ ἐξ ἐπιμελείας κατ' ἴχνη βαίνοντα ἀκολουθεῖν
296R τῷ διδασκάλῳ καὶ ἕπεσθαι τῷ λόγῳ τοῦ θεοῦ. εἰκὸς δὲ ὅτι διὰ τὰ 87

2 Joh. 8, 21. — **6** Joh. 11, **4**. — **10** Joh. 8, 21. — **14** Ps. 113, 25f. — **18** Ez. 18, 20. — **20** Vgl. I Joh. 5, 16. — **23** Matth. 16, 26 + Luk. 9, 25. — **24** I Kor. 3, 15. — **26** Joh. 8, 21. — **28** Joh. 13, 36.

6 ἀσθένειαν | **9** ἔτι ἰατὴν] ἔτι αὐτὴν, corr. Hu | **10** σαφέστερον] εστ a. Ras. | **17** παραθήσει, corr. V | **24** ἀπολέσῃ ἢ ζημιωθῇ nach D^2 Vulg. Copt. Arm. aus Luk. 9, 25 statt ζημιωθῇ bei Matth. 16, 26. Justin liest Matth. 16, 26 statt ζημιωθῇ: ἀπολέσῃ (Apol. I, 15, Preuschen, Antilegomena, S. 28, 2), sodass bei Origenes hier eine Contaminierung beider Formen vorliegt, wie sie zu der LA des Luk. den Anlass gegeben hat | **28** ἐγὼ + mit DX 33. 69. Smarg U verss. | **29** μαθητευομένων.

Digitized by Google

περὶ τέλους ἡμῖν ὑπονοούμενα ἐπιστήσει τις τῷ »Ὅπου ἐγὼ ὑπάγω »ὑμεῖς οὐ δύνασθε ἐλθεῖν« καὶ πρὸς τοῦτο ἐρεῖ, ὅτι ἔξεστι νῦν μὲν μὴ δύνασθαι, ὕστερον δὲ δυνήσεσθαι· καὶ εἴπερ ἐστίν τις ἐνεστηκὼς αἰὼν καὶ ἄλλος μέλλων, οὗτοι πρὸς οὓς λέλεκται· »Οὐ δύνασθε 275H »ἐλθεῖν«, κατὰ τὸν ἐνεστηκότα αἰῶνα (πολὺς δὲ ὁ λείπων εἰς τὴν 5 συντέλειαν αὐτοῦ ἐστιν χρόνος) οὐ δύνανται ἐλθεῖν, ὅπου Ἰησοῦς, τοῦτ' ἔστιν, ὅπου ἡ ἀλήθεια καὶ ἡ σοφία καὶ ὁ λόγος, τοῦτο γάρ
88 ἐστιν »ὅπου Ἰησοῦς«. οἶδα δέ τινας οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι κρατουμένους ὑπὸ τῆς ἰδίας ἁμαρτίας, ὡς τούτους περὶ ὧν φησιν ὁ λόγος· »Ἐὰν βλασφημήσῃ εἰς τὸ πνεῦμα 10 »τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν οὔτε ἐν τούτῳ τῷ αἰῶνι οὔτε ἐν τῷ »μέλλοντι«· οὐ μέντοι γε εἰ μὴ ἐν τῷ μέλλοντι αἰῶνι, ἤδη οὐδὲ ἐν τοῖς αἰῶσιν τοῖς ἐπερχομένοις.

89 Ὁ μέντοι γε Ἡρακλέων ἐκθέμενος τὴν περὶ τοῦ γαζοφυλακίου λέξιν οὐδὲν εἶπεν εἰς αὐτήν. εἰς δὲ τὸ »Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς 15 »οὐ δύνασθε ἐλθεῖν« φησί· πῶς ἐν ἀγνοίᾳ καὶ ἀπιστίᾳ καὶ ἁμαρτήμασιν ὄντες ἐν ἀφθαρσίᾳ δύνανται γενέσθαι;
90 μηδὲ ἐν τούτῳ κατακούων ἑαυτοῦ· εἰ γὰρ οἱ ἐν ἀγνοίᾳ καὶ ἀπιστίᾳ καὶ ἁμαρτήμασιν ὄντες ἐν ἀφθαρσίᾳ οὐ δύνανται γενέσθαι. πῶς οἱ ἀπόστολοι ἐν ἀγνοίᾳ ποτὲ καὶ ἐν ἀπιστίᾳ καὶ ἐν ἁμαρ- 20 τήμασιν γενόμενοι ἐν ἀφθαρσίᾳ γεγόνασιν; δύνανται οὖν οἱ ἐν ἀγνοίᾳ καὶ ἐν ἀπιστίᾳ καὶ ἐν ἁμαρτήμασιν γενόμενοι γενέσθαι ἐν ἀφθαρσίᾳ εἰ μεταβάλλοιεν, δυνατὸν αὐτοὺς μεταβαλεῖν.

VIII, 22. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Μήτι ἀποκτενεῖ ἑαυτὸν ὅτι λέγει· Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; 25

91 XV. (4) Ἄξιον ζητῆσαι πόθεν κινηθέντες οἱ Ἰουδαῖοι πρὸς τὸ »Ὅπου »ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν« φασὶ τὸ »Μήτι ἀποκτενεῖ ἑαυτὸν ὅτι λέγει· Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;« ἵνα δὲ καὶ δοθῇ ἁπλούστερον αὐτοὺς εἰρηκέναι τὸ »Μήτι ἀποκτενεῖ ἑαυ-
92 »τόν;« πῶς οἱ δυνάμενοι ἀποκτεῖναι ἑαυτούς, κἂν μὴ ἀναιρῶσιν 30 ἑαυτοὺς μηδὲ γίνωνται ὅπου ὁ ἀναιρῶν ἑαυτὸν γίνεται, οὐ δύνανται|

1 Joh. 8, 21. — **3** Vgl. Gal. 1, 4. — **10** Mark. 3, 29; vgl. Matth. 12, 32; Luk. 12, 10. — **13** Vgl. Eph. 2, 7. — **11** Joh. 8, 21. — **27** Joh. 8, 21.

3 δύνησθαι, corr. V | **5** τὸν] τὸ | **11** ἐν τῷ μέλ]λοντι a. Ras. | **10** zu der Form des Citates vgl. II, 10 (o. S. 65, 13), wo von allen Hss. abweichend τὸ ἅγιον πνεῦμα und ἔχει steht. Der Schluss οὔτε ἐν τούτῳ τῷ αἰῶνι κτλ. stimmt überein; vgl. dazu Matth. 12, 32. | **14** γαζοφυλακίου] γαζο a. Ras. | **16** nach φησί + γὰρ | **29** αὐτοῦ, corr. Aussg. | **31** δύναται.

Digitized by Google

234v ἀπιέναι ὅπου ὁ ἀναιρῶν ἑαυτὸν ἀπέρχεται; λεκτέον οὖν πρὸς τὰ
ζητούμενα ταῦτα τοῖς ἐπιμελέστερον καὶ βαθύτερον ἀκούουσιν τῶν
λεγομένων ὑπὸ Ἰουδαίων ἐν τοῖς εὐαγγελίοις σαφές ἐστιν ὅτι πολλὰ
κατά τινας παραδόσεις ἀπορρήτους καὶ ἀνακεχωρηκυίας ἔλεγον, ὡς
297R ἐγνωκότες ἕτερα παρὰ ⟨τὰ⟩ κοινὰ καὶ κατημαξευμένα. ἐπὰν δὲ ἴδωμεν 93
ἐκ τῆς παραθέσεως τῶν ῥητῶν ἐκεῖνα, τότε ζητήσομεν εἰ καὶ τοῦτο
ὑπ' αὐτῶν περὶ τοῦ σωτῆρος λέγεται βαθύτερόν τι βλεπόντων. ὅτι
δὲ κατὰ ἀνακεχωρηκότας λόγους καὶ μὴ κατημαξευμένους ἔφασκον,
† τὸν ἄδηλον ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλειν
10 τὰ δαιμόνια. πάντως γὰρ περὶ δαιμόνων τι μεμαθήκεισαν καὶ τοῦ 94
ἄρχοντος αὐτῶν ᾧ ὄνομα Βεελζεβούλ· ταῦτα δὲ οὐ πάνυ τι ἐν τοῖς
φερομένοις κεῖται βιβλίοις· καὶ μαρτυρία τοῦ σωτῆρος οὐ ψεύδεται 95
276H ⟨τὸν⟩ Βεελζεβοὺλ λέγοντος »Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαι-
»μόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν;« παραδεξάμενος γὰρ τὸ εἶναί
15 τινα τὸν Βεελζεβοὺλ καὶ τὸν ἐν αὐτῷ ἐκβάλλοντα δαιμόνια οἰονεὶ
μερισμόν τινα ἐνεργεῖν τοῦ Σατανᾶ γίνεσθαι ἐφ' ἑαυτόν, ταῦτά φησιν.
ἐσφάλησαν μὲν οὖν λέγοντες ἐν Βεελζεβοὺλ ὑπὸ τοῦ σωτῆρος ἐκβάλ- 96
λεσθαι τὰ δαιμόνια, κατειλήφεισαν δὲ ὅτι εἴη τις Βεελζεβοὺλ ἄρχων
δαιμονίων. ἀλλὰ καὶ ἐὰν λέγωσιν περὶ τοῦ Ἰησοῦ ὅτι αὐτὸς Ἰωάννης 97
20 ἐστὶν ἀναστὰς ἀπὸ τῶν νεκρῶν, ἢ εἷς τις τῶν προφητῶν, πάντως
δόγμα ἔχοντες περὶ ψυχῆς, ὡς ἐξητάσαμεν ἐν τοῖς περὶ Ἰωάννου,
τοιαῦτα περὶ τοῦ σωτῆρος ὑπονοοῦσιν. εἰκὸς δὲ καὶ ἄλλα μυρία ἢ
ἐκ παραδόσεως ἢ ἐξ ἀποκρύφων αὐτοὺς εἰδέναι παρὰ τοὺς πολλούς.
ἴδωμεν οὖν καὶ εἰς τὸ »Μήτι ἀποκτενεῖ ἑαυτόν;« εἰ δύνανται μὴ κοι- 98
25 νότερόν τι καὶ ἁπλούστερον νενοηκέναι, ὡς ἑαυτὸν ἐξαγαγόντος τοῦ
βίου ἤτοι ἀγχόνῃ ἢ ξίφει ἢ ὁποιῳδήποτε ὁδῷ τῶν ἐντεῦθεν ἑαυτοὺς
ἀπαλλαττόντων, καὶ μάλιστα ἐπεὶ οἴονται αὐτὸν ⟨ἑαυτὸν⟩ ἀποκτεί-
νοντα ἀπελεύσεσθαι εἰς τόπον εἰς ὃν ἀδύνατον ἦν αὐτοὺς γενέσθαι·
καὶ εἰ μὴ δεισιδαιμονοῦντές γε περὶ τὰ ὀνόματα, ἀλλὰ βλέποντες τὰ
30 πράγματα † μὴ εὑρισκόμενα ἄλλοις ὀνόμασιν χρῆσθαι κατὰ τῶν πραγ-
μάτων, τάχα, ἵν' οὕτως εἴπω, θειότερον Ἰησοῦς αὐτὸν ἀπέκτεινεν,
ὅπερ οὕτως παρίσταμεν· πάντων μὲν αἱ ψυχαὶ τῶν ἀπαλλαττομένων
τοῦ σώματος, ἀπαιτούντων τινῶν αὐτὰς τῶν ἐπὶ τοῦτο τεταγμένων,
298R παραλαμβάνονται· εἰκὸς ⟨δὲ⟩ ὅτι κρείττους εἰσὶν τῶν ψυχῶν ἐπὶ ταύ-

9 Vgl. Luk. 11, 15; Matth. 12, 24. — **13** Matth. 12, 27; Luk. 11, 19. — **20** Vgl. Luk. 9, 7f. Mark. 6, 14f. — **21** Vgl. o. VI, 10. — **28** Vgl. Joh. 8, 21.

5 ⟨τὰ⟩ + V | **9** τὸν ⟨Ἰησοῦν⟩ ἐν *B* .... ἐκβάλλειν τὰ δαιμόνια ⟨οὐκ ἄδηλον **We** | **12** ψεύδεται] ψευδει τω, corr. We | **13** λέγοντος] λόγων ὄντων, corr. Pr ἐκβάλλων | **22** ἤ] εἰ, corr. V | **27** ⟨ἑαυτὸν⟩ + B vgl. S. 317, 30 | ἀποκτείναντα? **We** | **30** μὴ εὑρισκόμενα] μὲν εὑρίσκοιντο? We | **34** παραλαμβάνον[ται εἰ]κὸς a. Ras. | ⟨δὲ⟩ + We.

Digitized by Google

της τῆς διακονίας τεταγμένοι· τὸ γὰρ »† Ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν »ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ« τοιοῦτόν τι δηλοῖ.

99 XVI. Ἐὰν δέ τις φάσκῃ τοῦτο μὲν δύνασθαι ἐπὶ τῶν χειρόνων λέγεσθαι, οὐ μὴν καὶ ἐπὶ τῶν κρειττόνων καὶ καλῶς βεβιωκότων, ἐπιστησάτω εἰ μὴ ἐξαίρετόν τι παρὰ πάντας τοὺς ἐν σώματι γενομένους περὶ ἑαυτοῦ ἀπαγγέλλων ὁ κύριός φησιν· »Οὐδεὶς αἴρει τὴν »ψυχήν μου ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἐγὼ τίθημι αὐτὴν ἀπ᾽ ἐμαυτοῦ· ἐξουσίαν 235r
100 »ἔχω θεῖναι αὐτὴν καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν«. νοήσωμεν γάρ τινα ὅτε βούλεται καταλιπόντα τὸ σῶμα καὶ ἐξιόντα χωρὶς ὁδοῦ τῆς φερούσης ἐπὶ τὸν θάνατον, ἤτοι διὰ βιαίων ὁδῶν ἢ διὰ νόσων, καὶ πάλιν ἐπὰν θέλῃ ἐπανιόντα, καὶ χρώμενον ὀργάνῳ τῷ σώματι, ὃ καταλέλοιπεν· τὸν γὰρ τοιοῦτον ἐροῦμεν μὴ ἀπαιτεῖσθαι
101 τὴν ψυχήν. καὶ πρέπον γε ἐπὶ τῆς Ἰησοῦ ψυχῆς οὕτω λέγειν τὸν θάνατον γεγονέναι, καὶ αὐτὸν παραστῆσαι βουλόμενον τοῖς μαθηταῖς 277H
τὸ ἐξαίρετον τῆς ἐντεῦθεν αὐτοῦ ἀπαλλαγῆς εἰρηκέναι τὸ »Οὐδεὶς »αἴρει τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἐγὼ τίθημι αὐτὴν ἀπ᾽ ἐμαυτοῦ«· τοῦτο γὰρ οὔτ᾽ ἂν Μωϋσῆς, οὔτε τῶν Πατριαρχῶν τις ἢ προφητῶν, οὔτ᾽ ἂν τῶν ἀποστόλων τις εἶπεν ⟨πλὴν⟩ τοῦ Ἰησοῦ, ἐπεὶ πάντων
102 αἱ ψυχαὶ ἀνθρώπων αἴρονται ἀπ᾽ αὐτῶν. τούτου δὲ νοηθέντος δύναται σαφὲς εἶναι τὸ ἐν πζ΄ ψαλμῷ τοῦτον εἰρημένον τὸν τρόπον ἐκ προσώπου τοῦ σωτῆρος· »Ἐν νεκροῖς ἐλεύθερος«. ἐπιστήσας ἐκ τῶν εὐαγγελίων τοῖς γεγραμμένοις περὶ τῆς ἐντεῦθεν αὐτοῦ ἀπαλλαγῆς εὑρήσεις μὴ ἀπάδουσαν τὴν περὶ τῆς ἐξόδου αὐτοῦ ἐκδοχὴν τῶν ἀναγεγραμμένων· εἰ μὲν γὰρ ὡς οἱ συσταυρωθέντες αὐτῷ λῃσταί, τῶν στρατιωτῶν κατεαξάντων τὰ σκέλη τῶν πεπονθότων, ἐτεθνήκει, οὐκ ἂν ἐλέγομεν ὅτι ἔθηκεν τὴν ψυχὴν αὐτοῦ ἀφ᾽ ἑαυτοῦ.
103 ἀλλά τινι ὁδῷ τῶν ἀποθνησκόντων. νυνὶ δὲ »ὁ Ἰησοῦς κράξας »φωνῇ μεγάλῃ ἀφῆκεν τὸ πνεῦμα«, καὶ ὡς βασιλέως καταλιπόντος τὸ σῶμα καὶ ἐνεργήσαντος μετὰ δυνάμεως καὶ ἐξουσίας ἅπερ ἔκρινεν εὔλογον εἶναι ποιεῖν, εὐθέως »τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη »ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ »τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων »ἠγέρθησαν, καὶ ἐξελθόντες ἀπὸ τῶν μνημείων μετὰ τὴν ἔγερσιν »αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς«·

1 Luk. 12, 20. — **6** Joh. 10, 18. — **15** Joh. 10, 18. — **21** Ps. 87, 6. — **24** Vgl. Joh. 19, 32. — **27** Matth. 27, 50. — **30** Matth. 27, 51—54.

1 ἄφρων] lies ἄφρον nach o. S. 312, 20, in Jer. h. 16, 4 [135, 21; 136. 5 Kl.] **6** οὐδεὶς a. Ras. | **9** τινας τε, corr. Hu | καταλειπόντα | **17** οὔτε²] οὐ, corr. We | **18** ⟨πλὴν⟩ + V | **23** ἀποδούσαν, corr. Ferrarius | τὴν τῆς | **24** ὡς οἱ] ὡσει, corr. V **25** καταξάντων We | **31** ἀπ᾽ vor ἄνωθεν fehlt mit L | nach κάτω fehlt εἰς δύο wie in C² und bei Euseb. | **34** εἰσελθόντες (durch ἐξελθόντες veranlasst).

Digitized by Google

ὡς τὸν ἑκατόνταρχον καὶ τοὺς μετ' αὐτοῦ τηροῦντας τὸν Ἰησοῦν,
299R ἰδόντας τὸν σεισμὸν καὶ τὰ γενόμενα, φοβηθῆναι σφόδρα, λέγοντας· Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος.

XVII. Τάχα οὖν ἐν ταῖς περὶ Χριστοῦ παραδόσεσιν ἦν, ὥσπερ **104**
τὸ γεγεννῆσθαι αὐτὸν ἐν Βηθλεὲμ καὶ τὸ ἐκ φυλῆς Ἰούδα ἀναστήσεσθαι κατὰ τὰς ὑγιεῖς ἐκδοχὰς τῶν προφητικῶν λόγων, οὕτω καὶ περὶ τοῦ θανάτου αὐτοῦ, ὡς ἑαυτὸν ᾧ εἴπομεν τρόπῳ ἀπαλλάξοντος τοῦ βίου· καὶ εἰκὸς ὅτι ᾔδεισαν τὸν οὕτως ἐξελευσόμενον ἀπελεύσεσθαι εἰς χώραν ἔνθα οὐκ ἠδύναντο γενέσθαι οὐδ' οἱ ταῦτα νοοῦντες, ὥστε μὴ κατὰ τὸ ἁπλούστερον αὐτοὺς εἰρηκέναι ἀλλὰ κατά τινα περὶ Χριστοῦ παράδοσιν τὸ »Μήτι ἀποκτενεῖ ἑαυτόν, ὅτι λέγει· »Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;« καὶ εἰ λέγουσιν δὲ ταῦτα οἱ Ἰουδαῖοι, διστακτικῶς αὐτά φασι· τὸ γὰρ »Μήτι ἀποκτενεῖ **105**
»ἑαυτόν;« τοιοῦτόν ἐστιν. καὶ οὐ θαυμαστὸν ἀμφιβάλλειν αὐτοὺς περὶ Χριστοῦ, ὅτε γε καὶ ἐν τοῖς ἀνωτέρω οἱ ἐκ τοῦ ὄχλου ἀκού-
235v σαντες τῶν λόγων τοῦ Ἰησοῦ ἔλεγον· »Οὗτός | ἐστιν ἀληθῶς ὁ προ-
»φήτης· ἄλλοι δὲ ἔλεγον· Οὗτός ἐστιν ὁ χριστός· οἱ δὲ ἔλεγον· Μὴ
278H »γὰρ ἐκ τῆς Γαλιλαίας ὁ χριστὸς ἔρχεται; οὐχ ἡ γραφὴ εἶπεν ὅτι
»ἐκ τοῦ σπέρματος Δαβὶδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν
»Δαβίδ, ἔρχεται ὁ χριστός;« ὅτε καὶ »σχίσμα γεγένηται ἐν τῷ ὄχλῳ δι'
»αὐτόν«. ἀλλὰ καὶ μετ' ὀλίγα ἐκείνων γέγραπται ὅτι »Ἀπεκρίθησαν **106**
»οἱ ὑπηρέται· Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος«· ὡς καὶ τοὺς Φαρισαίους εἰρηκέναι τοῖς θαυμάζουσιν τὸν λόγον αὐτοῦ· »Μὴ καὶ
»ὑμεῖς πεπλάνησθε; μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ
»ἐκ τῶν Φαρισαίων; ἀλλ' ἡ ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν
»νόμον ἐπάρατοί εἰσιν;« ὅτε καὶ Νικοδήμου εἰρηκότος· »Μὴ ὁ νόμος **107**
»ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ πρῶτον παρ' αὐτοῦ καὶ
»γνῷ τί ποιεῖ; ἀπεκρίθησαν· Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύ-
»νησον καὶ ἴδε ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐξέρχεται οὐδὲ
»ἐγείρεται«. πῶς δὲ ἐδύναντο ἁπλούστερον νοεῖν αὐτὸν ἑαυτὸν **108**
ἀναιρήσειν οἱ ἀκούσαντες αὐτοῦ λέγοντος· »Ἐγώ εἰμι τὸ φῶς τοῦ
»κόσμου· ὁ ἀκολουθῶν μοι οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ ἀλλ'
»ἕξει τὸ φῶς τῆς ζωῆς«; πρὸς ὃν οἱ Φαρισαῖοι εἰρήκασιν ὅτι »Σὺ
»περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής«· οἷς

11 Joh. 8, 22. — **16** Joh. 7, 40—43. — **21** Joh. 7, 46. — **23** Joh. 7, 47f. — **26** Joh. 7, 51f. — **31** Joh. 8, 12. — **33** Joh. 8, 13—18.

3 θεοῦ υἱὸς mit ACL al. | **5** ἀναστήσεσθε | **6** vor κατὰ + καὶ M | **7** καταλλάξαντος, corr. We | **10** αὐτοῦ, corr. Hu | **13** φησί | **17** δὲ[1] mit T 1. 69 Latt. | οἱ δὲ mit BTLX 1. 33 | **20** ἔρχεται ὁ χριστὸς mit BTL 33 verss.

Digitized by Google

ἀπεκρίνατο ὁ Ἰησοῦς λέγων· »Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, † ἡ »μαρτυρία μου ἀληθής ἐστιν, ὅτι οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω.
109 »ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα. καὶ ἐὰν κρίνω »δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν, ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ »καὶ ὁ πέμψας με πατήρ. καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται 300R
»ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν· ἐγώ εἰμι ὁ μαρτυρῶν »περὶ ἐμαυτοῦ καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ«.

110 XVIII. Τί δὲ πιθανὸν πρὸς τὸ ἀποκτεινεῖν ἑαυτὸν μετὰ τοὺς μεγαλοφυέστερον εἰρημένους τοῦτον τὸν τρόπον λόγους· »Οὔτε ἐμὲ »οἴδατε οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἂν
111 »ᾔδειτε«; εἰκὸς γὰρ ὅτι τούτοις ὁμοίως ἐξεδέχοντο καὶ τὸ »Ἐγὼ »ὑπάγω καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε«· ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν«· πρὸς ὃν καὶ ἀπεκρίναντο οἱ Ἰουδαῖοι· »Μήτι ἀποκτενεῖ ἑαυτόν, ὅτι λέγει· Ὅπου ἐγὼ ὑπάγω »ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;« πάνυ δὲ καὶ ἐμφαίνεται ἡ ἐξουσία τοῦ αὐτεξουσίως αὐτὸν ἀποθνήσκειν καταλιπόντα τὸ σῶμα καὶ ἐν τῷ·
112 »Ἐγὼ ὑπάγω«. καὶ τάχα διὰ τὸ »Ἐγὼ ὑπάγω« τὸ ἐπιφερόμενον γίνεται τὸ »Καὶ ζητήσετέ με«. εἰκὸς γὰρ καὶ τοὺς παρατυχόντας οὕτως αὐτῷ ἀπαλλασσομένῳ τοῦ βίου ζητεῖν αὐτόν· διὰ δὲ τὸ ἐν ταῖς ἁμαρτίαις αὐτῶν ἀποθνήσκειν αὐτοὺς μηδὲ μετὰ πάντα ταῦτα
δυσωπηθέντας πρὸς τὸ μὴ διστακτικῶς εἰπεῖν περὶ αὐτοῦ· »Μήτι 279H
»ἀποκτενεῖ ἑαυτόν;« ὅπου ἄπεισιν μὴ δύνασθαι αὐτοὺς ἀπελθεῖν.
113 οἶμαι δ' ὅτι κακοηθέστερον ὀνομάζοντες τὸ κατὰ τὴν παράδοσιν περὶ τοῦ θανάτου τοῦ χριστοῦ εἰς αὐτοὺς ἐληλυθός. καὶ μὴ δοξάζοντες τὸν οὕτως ἀπαλλαττόμενον τοῦ βίου εἰρήκασιν τὸ »Μήτι
114 »ἀποκτενεῖ ἑαυτόν;« ἐνῆν γὰρ διστακτικῶς μὲν εἰπεῖν, μετ' ἐμφάσεως 236r
δὲ τῆς παρὰ τῷ θανάτῳ δόξης αὐτοῦ, καὶ οἱονεὶ οὕτως εἰπεῖν· μήτι ἡ ψυχὴ αὐτοῦ, ὅτε αὐτὸς βούλεται, ἐξελεύσεται καταλειφθέντος τοῦ σώματος, καὶ διὰ τοῦτό φησι τὸ »Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύ-
115 »νασθε ἐλθεῖν«. ἅμα δὲ καὶ παρατηρήσεις διὰ τὰ εἰρημένα ἡμῖν περὶ τοῦ πῶς τὸν βίον ἐξελήλυθεν τὸ »Καὶ ἀναβαίνων εἰς Ἱεροσό-
»λυμα ὁ Ἰησοῦς παρέλαβεν τοὺς δώδεκα κατ' ἰδίαν, καὶ ἐν τῇ ὁδῷ

9 Joh. 8, 19. — **11** Joh. 8, 21. — **14** Joh. 8, 22. — **29** Joh. 8, 21. — **31** Matth. 20, 17—19.

1 [περὶ ἐμαυτοῦ a. Ras. | ἡ μαρτυρία — ἐστιν] über die Stellung der Worte vgl. o. z. S. 298, 10; wie hier lesen B Copt. Arm. | **4** ἀληθής] o. S. 300, 3 ἀληθινή, = BSTDLX 33; ἀληθής = Δ. 1. 69. ς | **15** τοῦ] αὐτοῦ, corr. We | **22** αὐτοῦ | **24** ἐληλυθότος, corr. We | **28** nach ἐλεύσεται + καὶ | **31** Die Stellung ist singulär; in Mt. XVI, 1 (Lemma), 8 (unvollständig ausgeschriebenes Citat): μέλλων δὲ ὁ Ἰησοῦς ἀναβαίνειν mit 1, vgl. B, Syr. Pesch. Copt.

Digitized by Google

»εἶπεν αὐτοῖς· Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀν-
»θρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσιν καὶ γραμματεῦσιν καὶ
»κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδοθήσεται τοῖς ἔθνεσιν εἰς
»τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ
»ἐγερθήσεται«. ἐὰν δέ τις ἀνθυποφέρῃ τὸ »Ἀπὸ τότε ἤρξατο δεικ- 116
»νύειν τοῖς μαθηταῖς ἑαυτοῦ ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀνελθεῖν
»καὶ πολλὰ παθεῖν ἀπὸ τῶν ἀρχιερέων καὶ Φαρισαίων καὶ γραμμα-
301 R »τέων καὶ ἀποκταν θῆναι« καὶ τὸ »Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου
»παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ
»τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται«, ἐρεῖς ὅτι ἀπέκτειναν αὐτὸν οἱ λέγοντες
πάντες· »Σταύρου, σταύρου αὐτόν«· καὶ οἱ γενόμενοι ἔνοχοι τοῦ
θανάτου αὐτοῦ, εἰ καὶ προλαβὼν τοὺς στρατιώτας ἐρχομένους ἐπὶ
⟨τὸ⟩ πλῆξαι τὰ σκέλη, κράξας φωνῇ μεγάλῃ ἐξέπνευσεν.

XIX. *Παραθήσεις* δὲ εἰς τοῦτο τὸ »Πᾶς ὁ εὑρίσκων με ἀπο- 117
»κτενεῖ με« καὶ τὸ »Πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παρα-
»λύσει«. πῶς γὰρ »πᾶς ὁ εὑρίσκων τὸν Κάϊν ἀποκτενεῖ αὐτόν«,
ἑνὸς ἀποκτείναντος ἂν αὐτὸν τοῦ προειληφότος; ἢ πῶς »πᾶς ὁ
»ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει« οὐκ ἂν πολλῶν ἀπο-
κτεινάντων αὐτόν; ὡς γὰρ περὶ πλήθους εἴρηται τὸ »Πᾶς«. τάχα 118
δὲ καὶ ὁ μὲν Πέτρος ἀνθρωπικώτερον ἐκλαβὼν τὰ εἰρημένα ὑπὸ
τοῦ σωτῆρος φησίν· »Ἵλεώς σοι κύριε· οὐ μὴ ἔσται σοι τοῦτο«· ὁ δὲ
σωτὴρ ἐπιτιμῶν αὐτῷ ὡς μὴ καλῶς ἐξειληφότι τὸ εἰρημένον φησίν·
»Ὕπαγε ὀπίσω μου, Σατανᾶ· σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ
»τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων«. ἀλλὰ καὶ τὸ παρὰ τῷ Παύλῳ 119
λεγόμενον »Ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡμῶν θυσίαν τῷ θεῷ« ὅρα εἰ
μὴ τοιοῦτόν ἐστιν. οὕτως γοῦν μόνως δυνήσει σῶσαι τὸν εἰς τὸν 120
280 H αἰῶνα ἀρχιερέα κατὰ τὴν τάξιν Μελχισεδέκ, καὶ τὸν ἀμνὸν τοῦ θεοῦ
τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, προσφερόμενον θυσίαν τῷ
θεῷ οὐχ ὑπὸ ἀσεβῶν ἀλλ' ὑπὸ ἀρχιερέως εὐσεβοῦς. ταῦτα μὲν οὖν 121
ἡμεῖς κατὰ δύναμιν βασανίζοντες τὸ βούλημα τῶν λεγόντων τὸ
»Μήτι ἀποκτενεῖ ἑαυτόν, ὅτι λέγει· Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύ-
»νασθε ἐλθεῖν;« μετὰ τὸ ἀκηκοέναι τηλικούτων τῶν προειρημένων
ὑπὸ τοῦ Ἰησοῦ λόγων ἐκδεδώκαμεν.

5 Matth. 16, 21. — 8 Matth. 17, 22f. — 11 Luk. 23, 21. — 12 Vgl. Joh. 19, 32f. Matth. 27, 50; Mark. 15, 37. — 14 Gen. 4, 14. — 15 Gen 4, 15. — 17 Gen. 4, 15. — 21 Matth. 16, 22. — 23 Matth. 16, 23. — 25 Eph. 5, 2. — 27 Vgl. Hebr. 6, 20. — 27 Vgl. Joh 1, 29. — 31 Joh. 8, 22.

2 *παραδώσουσιν αὐτὸν* T | 5 *ἐγερθήσεται*] *ἀναστήσεται* in Mt. XVI, 1 (mit BC²DX 1. 33.) | nach *ἤρξατο* ist *ὁ Ἰησοῦς* hier ausgelassen | 11 *πάντες* ist wohl als Dittogr. z. str. | 13 ⟨*τὸ*⟩ + V | 14 *παραθήσει*, vgl. o. S. 313, 18 | 15 *Κάϊν*] *καὶ ἰν* | 16 *ἑαυτόν* | 18 *ἐκδικούμενα*] *κο* a. Ras. | 29 *εὐσεβῶς*, corr. Lommatzsch.

Digitized by Google

122 Εἰκὸς δέ τινας προσκόπτοντας ὡς βεβιασμένῃ τῇ ἑρμηνείᾳ οἴεσθαι ἁπλούστερον αὐτοὺς εἰρηκέναι τὸ »Μήτι ἀποκτενεῖ ἑαυτόν;« ὡς τοῦ μὲν Ἰησοῦ ἀποκτενοῦντος ἑαυτὸν καὶ ἐσομένου ἐν χώρᾳ τῶν ἑαυτοὺς διαχειρισαμένων καὶ κολασθησομένων | ἐπὶ τούτῳ, τῶν δὲ 236v
Ἰουδαίων παρὰ τοῦτο οὐ δυναμένων ἐκεῖ γενέσθαι, παρὰ τὸ μὴ τῷ 5
123 αὐτῷ ἐνόχους αὐτοὺς γίνεσθαι περὶ ἑαυτῶν ἁμαρτήματι. ἀλλὰ καὶ αὐτοὶ ἐπιστησάτωσαν, εἰ δύνανται οἱ Ἰουδαῖοι ὑπονενοηκέναι τὸν Ἰησοῦν ταῦτα εἰρηκέναι, ἑαυτὸν καταδικάζοντα ὡς ἀπελευσόμενον εἰς τόπον κολάσεως, ἔνθα οὐκ ἐδύναντο γενέσθαι, ὅσον ἐπὶ τῇ ἐκδοχῇ ταύτῃ, οἱονεὶ κρείττονες αὐτοῦ· ἢ ἀκόλουθον ἔσται λέγειν ὅτι 10
εἴπερ τοῦτο νοῶν ἔφασκεν ὁ Ἰησοῦς καὶ βουλόμενος ἑαυτὸν ἀποκτεῖναι, κρεῖττον ἐνόμιζεν τὸ ἑαυτὸν ἀναιρεῖν τοῦ μὴ τοῦτο ποιεῖν. 302R
124 Καὶ ὁ Ἡρακλέων μέντοι γε ὡς ἁπλούστερον εἰρημένου τοῦ »Μή τι ἀποκτενεῖ ἑαυτόν;« φησὶν ὅτι πονηρῶς διαλογιζόμενοι οἱ Ἰουδαῖοι ταῦτα ἔλεγον καὶ μείζονας ἑαυ- 15
τοὺς ἀποφαινόμενοι τοῦ σωτῆρος καὶ ὑπολαμβάνοντες ὅτι αὐτοὶ μὲν ἀπελεύσονται πρὸς τὸν θεὸν εἰς ἀνάπαυσιν αἰώνιον, ὁ δὲ σωτὴρ εἰς φθορὰν καὶ εἰς θάνατον ἑαυτὸν διαχειρισάμενος, ὅπου ἑαυτοὺς οὐκ ἐλογίζοντο
125 ἀπελθεῖν. καὶ αὐταῖς λέξεσίν φησιν ὅτι Ὤιοντο λέγειν τὸν 20
σωτῆρα οἱ Ἰουδαῖοι ὅτι ἐγὼ ἐμαυτὸν διαχειρισάμενος εἰς φθορὰν μέλλω πορεύεσθαι, ὅπου ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. οὐκ οἶδα δὲ πῶς κατὰ τὸν εἰπόντα· »Ἐγώ εἰμι τὸ φῶς »τοῦ κόσμου« καὶ τὰ ἑξῆς, ἦν λέγειν ὅτι ἐγὼ ἐμαυτὸν διαχειρι-
126 σάμενος εἰς φθορὰν μέλλω πορεύεσθαι. ἐὰν δέ τις λέγῃ μὴ τὸν 25
σωτῆρα ταῦτα εἰρηκέναι, τοὺς δὲ Ἰουδαίους αὐτὸ ὑπονενοηκέναι, δῆλον ὅτι ἐρεῖ τοὺς Ἰουδαίους πεφρονηκέναι περὶ αὐτοῦ ὅτι * * φθείρονται οἱ ἑαυτοὺς διαχειρισάμενοι καὶ οὐδὲν ἧττον ἐποίει ταῦτα πιστεύων φθαρήσεσθαι καὶ κολασθήσεσθαι· ὅπερ ἦν κατ⟨ὰ πάντα⟩ ἠλίθιον. 30

VIII, 23. *Καὶ ἔλεγεν αὐτοῖς· Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου.*

127 XX. (5) Καὶ ἐν τοῖς ἀνωτέρω ἔλεγεν τὸ »Ὁ ὢν ἐκ τῆς γῆς ἐκ »τῆς γῆς ἐστιν καὶ ἐκ τῆς γῆς λαλεῖ· ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος † 281H

8 Vgl. I Petr. 3, 19. — 23 Joh. 8, 12. — 34 Joh. 3, 31 f.

10 *κρείττονος*, corr. Ru | 26 *αὐτῶ* | 27 *ὅτι ⟨καίπερ εἰδὼς ὅτι⟩ φθείρονται* + We | 30 *κατηλιθιον*, corr. V | 32 unten S. 321, 12 *ἐκ τούτου τοῦ κόσμου*, mit ET Syr. Pesch. al.; die Stellung hier = ϛ𝔎DLX 1. 33 rell.

Digitized by Google

»† ἐπάνω πάντων ἐστίν· ὃ ἑώρακεν καὶ ἤκουσεν τοῦτο μαρτυρεῖ«. εἰ τοίνυν »ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς λαλεῖ« καὶ »ὁ ἐκ τοῦ οὐρανοῦ »ἐρχόμενος ὃ ἑώρακεν καὶ ἤκουσεν τοῦτο μαρτυρεῖ«, ζητήσεις [τοίνυν] πότερόν ποτε ταὐτόν ἐστιν τὸ »ἐκ τῆς γῆς εἶναι« τῷ »ἐκ τῶν κάτω »εἶναι« ἢ ἕτερον. ἅμα δὲ παρατηρήσεις ὅτι κἀκεῖ οὐκ εἶπεν· Ὁ ὢν 128 ἐκ τοῦ οὐρανοῦ ἐκ τοῦ οὐρανοῦ ἐστιν καὶ ἐκ τοῦ οὐρανοῦ λαλεῖ· τάχα γὰρ ὁ σωτὴρ οὐκ ἐκ τοῦ οὐρανοῦ ἦν, μάλιστα καθ' ὃ πρωτότοκος πάσης κτίσεως ἦν. † τὸ γὰρ »Ἐκ τοῦ οὐρανοῦ« ὁ δεύτερος ἄνθρωπος ἦν ἐξ οὐρανοῦ, ὡς καὶ ὁ Παῦλός πού φησιν· »Ὁ πρῶτος »ἄνθρωπος ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ«. καὶ 129 ἐνθάδε δὲ ἐπιστήσεις πότερόν ποτε ταὐτὸ λέγει ἐν τῷ »Ὑμεῖς ἐκ τῶν »κάτω ἐστέ« καὶ »Ὑμεῖς ἐκ τούτου τοῦ κόσμου ἐστέ« ἢ ἕτερόν ἐστιν τὸ εἶναι ἐκ τῆς γῆς παρὰ τὸ εἶναι ἐκ τοῦ κόσμου τούτου. τὸ δ' ὅμοιον ζητήσεις καὶ ἐν τῷ »Ἐγὼ ἐκ τῶν ἄνω εἰμί« καὶ »Ἐγὼ οὐκ
237r »εἰμὶ ἐκ τοῦ κόσμου τούτου«. | ἄξιον γὰρ ἰδεῖν τί τὸ ἐκ τῶν ἄνω εἶναι καὶ τί τὸ μὴ ἐκ τοῦ κόσμου τούτου εἶναι. ὅρα τοίνυν εἰ μὴ ὁ 130 τὴν ἀπὸ ὕλης γένεσιν καὶ σωμάτων ἀνειληφὼς τῷ καταλελοιπέναι
303R τὰ κρείττονα ἐκ τῆς γῆς ἐστιν· ὅστις ὅσον ἐστὶν ἐκ τῆς γῆς ἐκ τῆς γῆς λαλεῖ, ὑψηλότερόν τι μὴ δυνάμενος βλέπειν ἢ λέγειν· ὁ δ' αὐτὸς καὶ 131 ἐκ τῶν κάτω ἐστίν. ἄλλη μέντοι γε ἡ ἐπίνοια ἡ ἐκ τῶν κάτω καὶ τῆς γῆς. κάτω γὰρ ὥσπερ τόπῳ τινὶ νοεῖται οὕτως καὶ δόγμασιν καὶ διανοίᾳ· καὶ πᾶς γε ὁ τοιούτοις δόγμασιν καὶ διανοίᾳ χρώμενος, ἅτινά ἐστιν ἐκ τῶν κάτω, ἐκ τῶν κάτω ἐστίν. ἀλλὰ καὶ ὁ δεικνύμενος 132 κόσμος, ὑλικὸς γενόμενος, διὰ τοὺς δεηθέντας τῆς ἐνύλου ζωῆς τόπους μὲν ἔχει διαφόρους, οἵτινες πάντες ὡς μὲν πρὸς τὰ ἄϋλα καὶ τὰ ἀόρατα καὶ τὰ ἀσώματα κάτω εἰσίν, οὐ τοσοῦτον τόπῳ ὅσον τῇ πρὸς τὰ ἀόρατα συγκρίσει. ὅσον δὲ ἐπὶ τῷ κόσμου ⟨τόπους⟩ τόποις κόσμου 133 συνεξετάζεσθαι, εἶεν ἄν τινες τόποι οἱ κάτω καὶ ἄλλοι ἄνω· τὰ μὲν γὰρ περίγεια κάτω ἐστίν, τὰ δὲ οὐράνια ἄνω, ὡς κατὰ τοῦτο τὸν μὲν ἐκ τῶν κάτω πάντως εἶναι ἐκ τοῦ κόσμου τούτου, τὸν δὲ ἐκ τοῦ κόσμου τούτου μὴ πάντως εἶναι ἐκ τῶν κάτω. ὁ γὰρ πολίτης τῶν 134 οὐρανίων ὅρα εἰ ἔστιν μέν πως ἐκ τοῦ κόσμου τούτου, οὐ μὴν ἐκ τῶν τοπικῶς κάτω. πλὴν καὶ αὐτὸς ὡς πρὸς σύγκρισιν τῶν νοητῶν ἐκ τῶν κάτω· καὶ γὰρ πᾶς ὁ τῶν βλεπομένων πολίτης καὶ παρερχο-

7 Vgl. Kol. 1, 15. — 9 I Kor. 15, 47. — 18 Vgl. Joh. 3, 31. — 30 Vgl. Joh. 8, 23.

1 Die Worte *ἐπάνω πάντων ἐστίν* fehlen in D. 1 Syr. Cur. Sin. Arm. Da sie Orig. im folgenden nicht erwähnt, las er sie wohl nicht im Text | 3 [*τοίνυν*] str. We | 8 Der Satz ist in Unordnung; nach *οὐρανοῦ* sind wohl mehrere Worte ausgefallen: ⟨*οὐ κτίσμα ἐστὶν*⟩? We | 22 *τοιοῦτος*, corr. We | 27 *κόσμου* ⟨*τόπους*⟩ *κόσμῳ*, corr. We | 30 nach *εἶναι* + *καὶ* V | 32 *οὐρανίων*] *σωμάτων*, corr. We, viell. besser *ἐπουρανίων*.

Digitized by Google

μένων καὶ προσκαίρων ἐκ τῶν κάτω ἐστίν, κἂν ἐν συγκρίσει τόπων
135 ἐκ τῶν ἀνωτάτω τυγχάνῃ. ἔξεστιν μέντοι γε τὸν ἐκ τῶν κάτω καὶ
ἐκ τοῦ κόσμου τούτου καὶ ἐκ τῆς γῆς μεταβαλεῖν καὶ γενέσθαι ἐκ 282B
τῶν ἄνω καὶ μηκέτι ἐκ τοῦ κόσμου τούτου, καὶ ἄλλον ἐκ μὲν τοῦ
136 κόσμου τούτου, ἐκ τοῦ οὐρανοῦ δέ. φησὶ γοῦν τοῖς μαθηταῖς· »Ἐκ 5
τοῦ κόσμου ἦτε, κἀγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, καὶ οὐκέτι
ἐστὲ ἐκ τοῦ κόσμου·« εἴπερ γὰρ ἦλθεν ὁ σωτὴρ ζητῆσαι καὶ σῶσαι
τὸ ἀπολωλός, ἦλθεν τοὺς κάτω καὶ πολιτογραφηθέντας ἐν τοῖς κάτω
137 μεταστῆσαι ἐπὶ τὰ ἄνω. καὶ γὰρ εἰς τὰ κατώτερα μέρη τῆς γῆς ὁ
καταβὰς αὐτός ἐστιν διὰ τοὺς ἐν τοῖς κατωτάτω τῆς γῆς· ἀλλὰ καὶ 10
ἀνέβη ὑπεράνω πάντων τῶν οὐρανῶν, ὁδοποιῶν τοῖς βουλομένοις
καὶ γνησίως αὐτῷ μαθητευομένοις τὴν φέρουσαν ὁδὸν ἐπὶ τὰ ὑπεράνω
πάντων τῶν οὐρανῶν, τοῦτ' ἔστιν ἐπὶ τὰ ἔξω σωμάτων.

138 XXI. Εἰ δὲ καὶ ποθεῖς μαθεῖν ἀπὸ τῆς γαρφῆς τίς ἐστιν ὁ ἐκ
τῶν κάτω καὶ τίς ἐστιν ὁ ἐκ τῶν ἄνω, ἄκουε· ἐπεὶ ὅπου ὁ θησαυρὸς 15
ἑκάστου ἐκεῖ καὶ ἡ καρδία ἐστίν, ἐάν τις θησαυρίζῃ ἐπὶ τῆς γῆς, ἐξ
αὐτοῦ τοῦ θησαυρίζειν ἐπὶ τῆς γῆς ἐκ τῶν κάτω γίνεται, ἐὰν δέ τις
θησαυρίζῃ ἐν τοῖς οὐρανοῖς, γεννᾶται ἄνωθεν καὶ ἀναλαμβάνει »τὴν
»εἰκόνα τοῦ ἐπουρανίου·« ἀλλὰ καὶ ἄλλως διελθὼν πάντας τοὺς οὐ- 304B
139 ρανοὺς ἐν τέλει εὑρίσκεται μακαριωτάτῳ. εἴη δ' ἂν καὶ τὰ ἑκάστου 20
ἔργα † οἷον εἶπα, ὥστε εἰπεῖν ἂν τὰ ἔργα τῆς σαρκὸς ποιεῖν τὸν ἐκ
⟨τῶν⟩ κάτω, τὸν δὲ καρπὸν τοῦ πνεύματος τὸν ἐκ τῶν ἄνω, καὶ
πάλιν τὴν πρὸς τὸν κόσμον | τοῦτον ἀγάπην τὸν ἐκ τοῦ κόσμου 237v
τούτου· ἐπεί, κατὰ τὸν Ἰωάννην, ὁ ἔχων τὴν ἀγάπην τοῦ θεοῦ, * *
ἐκεῖνος δὲ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου, ὃς οὐκ ἀγαπᾷ τὸν κόσ- 25
μον οὐδὲ τὰ ἐν τῷ κόσμῳ, ἀλλὰ λέγων »Ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι,
»εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ
»κόσμος ἐσταύρωται κἀγὼ κόσμῳ«, καὶ χωρῶν τὸ ἀγαπᾶν κύριον τὸν
θεὸν αὐτοῦ ἐξ ὅλης τῆς καρδίας αὐτοῦ καὶ ἐξ ὅλης τῆς ψυχῆς αὐτοῦ

5 Vgl. Joh. 15, 19. — 7 Vgl. Luk. 19, 10. — 9 Vgl. Eph. 4, 9f. — 15 Vgl. Matth. 6, 21. — 16 Vgl. Matth. 6, 19. — 18 Vgl. Joh. 3, 3; I Kor. 15, 49. — 21 Vgl. Gal. 5, 19. — 22 Vgl. Gal. 5, 22. — 24 Vgl. I Joh. 2, 15. — 26 Gal. 6, 14. — 28 Vgl. Matth. 22, 37; Deut. 6, 5.

1 *οἷον εἶπα* verderbt; *οἱονεὶ πα ραστατικά* ? | 22 ⟨τῶν⟩ + V | 23 *τὸν κόσμον* a. Ras. | 24 nach *θεοῦ* ist etwas ausgefallen, etwa ⟨*ἐκ τῶν ἄνω ἐστίν*·⟩ | 26 *λέγων*] ein Verb. fin. folgt nicht; doch ist nicht *λέγει* zu ändern, das Satzungetüm vielmehr als Folge des Dictierens aufzufassen | 28 ob vor *κόσμῳ* mit ϛC³De 37. 47. KL Arm. ein *τῷ* zuzusetzen ist, wie C. Cels. II, 69 (wo *τῷ* über d. Z. steht), in Jer. h. 2, 4 (82, 9 Kl.) in Mt. XII, 25 (III 173, 2 Lo.) 27 (174, 12) XIII, 21 (251, 2), oder nicht (wie ABℵC*D*FG 17. P. = C. Cels. V, 74f. (II, 68, 2. 10. 15 K.), steht dahin; wahrscheinlich fehlt *τῷ* mit Recht | *χωρῶν*] vgl. z. Z. 26.

Digitized by Google

καὶ ἐξ ὅλης τῆς διανοίας αὐτοῦ, τῷ μὴ θλίβεσθαι τὴν τοιαύτην ἀγάπην ὑπὸ τῆς πρὸς τὸν κόσμον ἀγάπης καὶ τὰ ἐν τῷ κόσμῳ· ἀμήχανον γὰρ συνυπάρχειν τὴν πρὸς τὸν κόσμον ἀγάπην τῇ πρὸς τὸν θεὸν ἀγάπῃ, ὡς ἀμήχανον συνυπάρχειν ἀλλήλοις φῶς καὶ σκότος, ἢ Χριστὸν καὶ τὸν Βελίαρ, ἢ τὸ ναὸν εἶναι τοῦ θεοῦ μετὰ τοῦ ναὸν τυγχάνειν εἰδώλων. ὡς διαφορᾶς μέντοι γε οὔσης τῶν κάτω πρὸς 140
ἄλληλα, λέγεται ὑπερθετικῶς τὸ »Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ« καὶ τὸ »Εἰς τὰ κατώτατα τῆς γῆς ὁ καταβάς, οὗτός ἐστι καὶ ὁ »ἀναβάς«. διόπερ ἐνώπιον τοῦ χριστοῦ προπεσοῦνται μὲν πάντες οἱ καταβαίνοντες εἰς τὰ κατώτερα μέρη τῆς γῆς, εἰς ᾅδου, ἐπεὶ
283 H ἀληθὲς τὸ »Οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ »ᾅδῃ τίς ἐξομολογήσεταί σοι;« ἐὰν δέ τις ἀνθυποφέρῃ τὸ καταβαίνειν 141
αὐτὸν εἰς τὰ κατώτερα τῆς γῆς, ἐπιτηρήσεις ὅτι ἐπὶ τῶν καταβαινόντων εἰς γῆν εἴρηται τὸ »Προπεσοῦνται«· ὑποπιπτόντων γὰρ τῷ χριστῷ ⟨πάντων καὶ⟩ γόνυ καμπτόντων ἐν τῷ ὀνόματι Ἰησοῦ, τινὲς μὲν πρότερον τινὲς δὲ ὕστερον προπεσοῦνται αὐτῷ. καὶ τάχα οἱ ἐπὶ 142
γῆς προπεσοῦνται καὶ πρὸ ἑτέρων ὑποτάσσονται· χειρόνων γὰρ τὸ ὕστερον ὑποτάσσεσθαι, διὸ καὶ »ἔσχατος ἐχθρὸς καταργεῖται ὁ »θάνατος«.

XXII. Μετὰ ταῦτα ζητήσεις εἰ ὥσπερ ἐστὶν τῶν κάτω διαφορὰ 143
διὰ τὸ λέγεσθαί τι κατωτάτω, οὕτως καὶ τῶν ἄνω διαφορά, μάλιστα ἐπεὶ κληρονομία ἐστὶν βασιλείας οὐρανῶν, πάντων ⟨τῶν⟩ κληρονομουμένων οὐρανῶν ὄντων ἄνω, ἀλλ' οὐχ ὁμοίως ἐχόντων τὸ εἶναι ἄνω. ἀλλὰ καὶ ἐπὶ τῆς νοητῆς καταβάσεως τῆς ψυχῆς διὰ τὴν κα- 144
305 R κίαν καὶ τὰ μοχθηρὰ δόγματα καὶ νοητῆς ἀναβάσεως αὐτῆς ἐπιστήσας οὐχ ἁπλῶς εὑρήσεις διαφοράν· ἐπιπλεῖον ⟨οὖν⟩ νοητῶς † καταβαινουσῶν νοήσεις. ἅμα δὲ ὅρα εἰ μὴ μυστικώτερον καὶ οὐ τοπικῶς 145
περὶ τῆς Ἰησοῦ ψυχῆς ἀκούσει τὸ· »Ἀναβὰς ὑπεράνω πάντων τῶν »οὐρανῶν«· ἡ γὰρ νοητὴ ἀνάβασις ἐκείνης τῆς ψυχῆς ὑπερπεπήδηκεν καὶ πάντας τοὺς οὐρανοὺς καί, ὡς ἔστιν εἰπεῖν, ἤδη ἔφθασεν πρὸς αὐτὸν τὸν θεόν. πλήν ἐστίν τις καὶ ἕτερος παρὰ τὸν δεικνύμενον 146
καὶ αἰσθητὸν κόσμον τὸν συνεστῶτα ἐξ οὐρανοῦ καὶ γῆς ἢ οὐρανῶν καὶ γῆς κόσμος, ἐν ᾧ ἐστιν τὰ μὴ βλεπόμενα· καὶ ὅλον τοῦτο κόσμος ἀόρατος, κόσμος οὐ βλεπόμενος, καὶ νοητὸς κόσμος, οὗ τῇ θέᾳ

2—4 „*ἀμήχανον συνυπάρχειν — σκότος* in den Parallelen oft als philonisch citirt, s. z. B. Harris, Fragments of Philo S. 7" We. — **4** Vgl. II Kor. 6, 14ff. — **7** Ps. 87, 7. — **8** Vgl. Eph. 4, 9f. — **9** Vgl. Ps. 21, 30. — **11** Ps. 6, 6. — **15** Vgl. Phil. 2, 10. — **18** I Kor. 15, 26. — **28** Eph. 4, 10. — **33** Vgl. II Kor. 4, 18.

11 *μνημονεί[ων]* a. Ras. | **15** ⟨*πάντων*⟩ + We ⟨*καὶ*⟩ + V | **16** *πρότεροι*, corr. V | **22** ⟨*τῶν*⟩ + We **26** ⟨*οὖν*⟩ + Pr *γὰρ* V, *δὲ* Br | *καταβαινουσῶν* verdorben; *ἐπεὶ πλείον ες*⟩ *ν. κ.* ⟨*καὶ ἀναβαινουσῶν*⟩ *ν.*? We | | **27** *εἰ μὴ* a. Ras.

Digitized by Google

καὶ τῷ κάλλει ἐνόψονται οἱ καθαροὶ τῇ καρδίᾳ, προευτρεπιζόμενοι διὰ τοῦ ἐνορᾶν αὐτῷ ἐπὶ τὸ μετελθεῖν, ὥστ᾽ ἂν καὶ αὐτὸν ὁρᾶν, ὡς ὁρᾶσθαι πέφυκεν ὁ θεός, τὸν θεόν. |

147 Ζητήσεις δὲ εἰ κατά τι τῶν σημαινομένων δύναται ὁ πρωτότοκος πάσης κτίσεως εἶναι κόσμος, καὶ μάλιστα καθ᾽ ὃ »σοφία« ἐστὶν ἡ πολυποίκιλος· τῷ γὰρ εἶναι παντὸς οὑτινοσοῦν τοὺς λόγους, καθ᾽ οὓς γεγένηται πάντα τὰ ὑπὸ τοῦ θεοῦ ἐν σοφίᾳ πεποιημένα (ὡς φησιν ὁ προφήτης· »Πάντα ἐν σοφίᾳ ἐποίησας«), ἐν αὐτῷ, εἴη ἂν καὶ αὐτὸς »κόσμος«, τοσούτῳ ποικιλώτερος τοῦ αἰσθητοῦ κόσμου καὶ διαφέρων, ὅσῳ διαφέρει γυμνὸς πάσης ὕλης τοῦ ὅλου κόσμου λόγος τοῦ ἐνύλου κόσμου, οὐκ ἀπὸ τῆς ὕλης ἀλλὰ ἀπὸ τῆς μετοχῆς τοῦ λόγου καὶ τῆς σοφίας τῶν κοσμούντων τὴν ὕλην κεκοσμημένων. 238r

148 καὶ ὅρα εἰ δύναται ὁ λέγων· »Οὐκ εἰμὶ ἐγὼ ἐκ τοῦ κόσμου τούτου« ἡ ψυχὴ εἶναι τοῦ Ἰησοῦ ἐμπολιτευομένη τῷ ὅλῳ κόσμῳ ἐκείνῳ καὶ πάντα αὐτὸν ἐμπεριερχομένη καὶ χειραγωγοῦσα ἐπ᾽ αὐτὸν τοὺς 284 H

149 μαθητευομένους. οὐδὲν ἔχει ἐκεῖνος ὁ κόσμος κάτω, ὡς οὐδὲ οὗτος, ὡς πρὸς τὸ ἀκριβὲς ἐξετάζοντι, ἄνω. πῶς γὰρ δύναται ἔχειν τι ὁ κόσμος οὗτος ἄνω, οὗ ἡ κτίσις καταβολή ἐστιν; οὐ γὰρ ὡς ἔτυχεν ἀκουστέον τοῦ »Πρὸ καταβολῆς κόσμου«, ἐπίτηδες διὰ τοιαύτην ἐπίνοιαν πλασάντων ὄνομα τῶν ἁγίων τὸ τῆς καταβολῆς· καίτοι γε ἐδύναντο λέγειν »πρὸ κτίσεως κόσμου« καὶ μὴ χρήσασθαι τῷ τῆς

150 »καταβολῆς« ὀνόματι. ὅλος οὖν ὁ κόσμος καὶ τὰ ἐν αὐτῷ ἐν καταβολῇ ἐστιν· ἔξω δὲ καταβολῆς κόσμου παντὸς γίνονται οἱ τοῦ Ἰησοῦ 306 R γνήσιοι μαθηταί, οὓς ἐξελέξατο ἐκ τοῦ κόσμου, ἵνα μηκέτι ὦσιν ἐκ τοῦ κόσμου αἴροντες τὸν σταυρὸν ἑαυτῶν καὶ ἀκολουθοῦντες αὐτῷ.

VIII, 24. *Εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν.*

151 XXIII. (6) Πότε εἶπεν αὐτοῖς· »Ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις »ὑμῶν«, ἢ ὅτε ἔφασκεν· »Ζητήσετέ με, καὶ ἐν ταῖς ἁμαρτίαις ὑμῶν »ἀποθανεῖσθε«; τί δὲ τὸ αἴτιον τοῦ ἐν ταῖς ἁμαρτίαις αὐτῶν ἀποθνήσκειν ἀνθρώπους, ἢ τὸ μὴ »πιστεύειν ὅτι Ἰησοῦς ἐστιν ὁ χρι-

1 Vgl. Matth. 5, 8. — **4** Vgl. Kol. 1, 15. — **5** Vgl. Eph. 3, 10. — **7** Vgl Gen. 1. — **8** Ps. 103, 24. — **13** Joh. 8, 23. — **16** Vgl. Joh. 8, 23. — **19** Vgl. Joh. 17, 24. — **24** Vgl. Joh. 15, 19. — **25** Vgl. Mark. 8, 34. — **30** Joh. 8, 21. — **32** Vgl. I Joh. 5, 1.

12 κεκοσμημένου Br | **15** ἐμπεριερχομένη] ερχομ a. Ras. | **23** πάντες? **27** εἰμὶ ἀποθανεῖσθε a. Ras.

Digitized by Google

»στός«; αὐτὸς γάρ φησιν· »Ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀπο-
»θανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν«. εἰ δὲ ὁ μὴ πιστεύων ὅτι Ἰησοῦς 152
ὁ χριστός ἐστιν ἀποθανεῖται ἐν ταῖς ἁμαρτίαις ἑαυτοῦ, δῆλον ὅτι ὁ
μὴ ἀποθνήσκων ἐν ταῖς ἁμαρτίαις αὐτοῦ πεπίστευκεν τῷ χριστῷ.
ὁ δὲ ἀποθνήσκων ἐν ταῖς ἁμαρτίαις ἑαυτοῦ, κἂν λέγῃ πιστεύειν τῷ
χριστῷ, ὡς πρὸς τὸ ἀληθὲς οὐ πεπίστευκεν αὐτῷ· ἐὰν δὲ λέγηται
μὲν πίστις, χωρὶς δὲ ἔργων τυγχάνῃ, νεκρά ἐστιν ἡ τοιαύτη, ὡς ἐν
τῇ φερομένῃ Ἰακώβου ἐπιστολῇ ἀνέγνωμεν. τίς οὖν ἄρα ἐστὶν ὁ 153
πιστεύων ἢ ὁ πεπονθὼς ἐκ τοῦ διακεῖσθαι κατὰ τὸν λόγον καὶ
συμπεφυκέναι αὐτῷ τὸ μὴ ἐμπεσεῖσθαι ἄν, ὅσον μὲν ἐπὶ τούτοις
τοῖς ῥητοῖς, εἰς τὰ λεγόμενα πρὸς θάνατον εἶναι ἁμαρτήματα, ὅσον 154
238v δὲ ἐπὶ | τῷ »Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ὁ χριστός ἐστιν ἐκ τοῦ
»θεοῦ γεγέννηται«, οὐχ ἁμαρτάνειν καὶ πρὸς ὅ τι δηποτοῦν τῶν
παρὰ τὸν ὀρθὸν γινομένων λόγον; ἔτι δὲ μᾶλλον νοήσεις τί ἐστιν
»Ἐὰν γὰρ μὴ πιστεύητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρ-
»τίαις ὑμῶν«, ἅ ἐστιν ὁ πρωτότοκος πάσης κτίσεως ἀναλογιζόμενος.
οἷον ὁ πιστεύων τί ἐστιν ἡ δικαιοσύνη οὐκ ἂν ἀδικήσαι, καὶ ⟨ὁ⟩ διὰ 155
τὸ τεθεωρηκέναι ἥτις ἐστὶν ἡ σοφία, πεπιστευκὼς εἰς τὴν σοφίαν
2–5H οὐκ ἄν τι μωρὸν λέγοι ἢ πράττοι, ἐπεὶ ὁ πιστεύσας τῷ ἐν ἀρχῇ
πρὸς τὸν θεὸν λόγῳ ἐν τῷ κατανενοηκέναι αὐτὸν οὐδὲν ⟨ἂν⟩ ἀλό-
γως ποιήσαι. πρὸς τούτοις ὁ πιστεύων ὅτι »Λύτός ἐστιν ἡ εἰρήνη 156
»ἡμῶν«, οὐκ ἄν τι πολέμου καὶ στάσεως ἐνεργοίη. ἀλλὰ καὶ εἴπερ
Χριστός ἐστιν οὐ μόνον »θεοῦ σοφία«, ἀλλὰ καὶ »θεοῦ δύναμις«, ὁ
πιστεύων αὐτῷ καθ' ὃ δύναμίς ἐστιν οὐκ ἂν εἴη περὶ τὰ καλὰ ἀδύ-
νατος. ἀναγκαίως δὲ ὑπονοοῦντες αὐτὸν ὑπομονὴν καὶ ἰσχὺν διὰ 157
τὸ »Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ κύριος;« καὶ τὸ »Ἰσχύς
»μου«, καὶ τὸ »Ὑπόστασίς μου ὁ κύριος« φήσομεν ὅτι εἰ ἐνδίδομεν
307R πρὸς πόνους, οὐ πιστεύομεν αὐτῷ [καὶ] καθ' ὃ ἐστιν ὑπομονή, καὶ
εἰ ἀσθενοῦμεν, οὐ πεπιστεύκαμεν αὐτῷ καθ' ὃ ἐστιν ἰσχύς. ἐὰν δὲ 158
ἀναλεγώμεθα ⟨οὕτως⟩ τὰς λοιπὰς ἐπινοίας τοῦ χριστοῦ, οὐ χαλεπῶς
ἐκ τῶν εἰρημένων εὑρήσομεν τίνα τρόπον ὁ μὴ πιστεύων τῷ χριστῷ
ἀποθανεῖται ἐν ταῖς ἁμαρτίαις αὐτοῦ· γινόμενος γὰρ ἐν τοῖς ἐναν-
τίοις τῇ ἐπινοίᾳ, ὧν ἐστιν ὁ χριστός, ἐν αὐταῖς ἀποθνήσκει ταῖς
ἁμαρτίαις.

1 Joh. 8, 24. — **7** Vgl. Jak. 2, 17 — **11** Vgl. I Joh. 5, 16. — **12** I Joh. 5, 1. — **15** Joh. 8, 24. — **16** Vgl. Kol. 1, 15. — **19** Vgl. Joh. 1, 1. — **21** Eph. 2, 14. — **23** Vgl. I Kor. 1, 24. — **26** Ps. 38, 8. — Ps. 117, 14. — Ps. 38, 8. — **31** Vgl. Joh. 8, 24.

13 ἁμαρτάνει, corr. We; d. Inf. ist abhängig von τὸ Z. 10 | **17** ⟨ὁ⟩ + We | **19** ἐπεὶ] ἔτι? We | **20** ⟨ἂν⟩ + Pr | **28** [καὶ] str. We | **30** ἀναλεγώμεθα οὕτως⟩] ἀναλεγόμενος, corr. We | **31** εὑρήσεις, corr. We.

Digitized by Google

VIII, 25. *Ἔλεγον οὖν αὐτῷ· Σὺ τίς εἶ;*

159 XXIV. (7) *Ἀκόλουθον ἦν τοὺς ἀκροωμένους μετὰ πολλῆς ἐξουσίας ἀπαγγελλομένων ὑπὸ τοῦ κυρίου πυνθάνεσθαι, τίς εἴη ὁ ταῦτα λέγων· ἐνέφαινεν γὰρ τὸ εἶναι ἀνθρώπου μεῖζον καὶ θειοτέρα τις φύσις τυγχάνειν ὁ σωτὴρ φάσκων ὅτι »Ἐὰν μὴ πιστεύητε ὅτι ἐγώ*
160 *»εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν«. τὸ οὖν »Σὺ τίς εἶ;« οἱονεὶ αἰτούντων ἦν ἀπόκρισιν, ὅτι »Ἐγώ εἰμι ὁ χριστός« ἢ »Ἐγώ »εἰμι ὁ προφήτης« ἢ »Ἐγώ εἰμι Ἠλίας« ἢ τάχα »Ἐγώ εἰμι ἄγγελος »θεοῦ«. οὐκ ἂν γὰρ μὴ ἓν τι τούτων ἢ καὶ παραπλήσιον αὐτοῖς τυγχάνων προεφέρετο γνησίους λόγους τηλικούτους.* * * * * * * *
* *

5 Joh. S, 24. — 6 Vgl. Joh. 1, 19 f.

9 ἢ] ἦν, corr. Br | 10 *τηλικούτους*] Der Rest des Buches fehlt; er enthielt die Erklärung von Joh. 8, 25—36.

Digitized by Google

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

ΤΟΜΟΣ Κ'.

I. *Εἰκοστὸν ὑπαγορεύοντες εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον* 1
τόμον, φιλοθεώτατε καὶ φιλομαθέστατε ἐν κυρίῳ Ἀμβρόσιε, εὐχό-
μεθα ἐκ τοῦ πληρώματος τοῦ υἱοῦ τοῦ θεοῦ, εἰς ὃν εὐδόκησεν πᾶν
τὸ πλήρωμα κατοικῆσαι, λαβεῖν νοήματα πλήρη καί, ἵν' οὕτως εἴπω,
286H *ναστὰ καὶ μηδὲν ἔχοντα διάκενον, ⟨ἵνα⟩ τὸ εὐαγγέλιον κατὰ ⟨τὰ⟩*
ἐξεταζόμενα ἡμῖν ἀποκαλυφθῇ, [καὶ] μήτε παραλειπόντων τι ἡμῶν
239r *τῶν δεόντων ἐξετάζεσθαι καὶ ὑπομνηματικοῖς | γράμμασιν πιστεύεσθαι,*
μήτε ὡς οὐ χρὴ πλεοναζόντων, μήτε παρεκδεχομένων τὸν τοῦ σω-
τῆρος ἡμῶν Ἰησοῦ νοῦν. θεὸς οὖν ἡμῖν πέμψαι αὐτὸν τὸν λόγον,
ἑαυτὸν ἐμφανίζοντα, ἵνα τοῦ βάθους αὐτοῦ, δωρουμένου τοῦ πατρός,
θεαταὶ γενώμεθα.

308R **VIII, 37.** *Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με*
ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν.

II. *Δόξει μάχην περιέχειν τοῖς μὴ κατανοοῦσιν τὰ σημαινόμενα* 2
ἀπὸ τῆς »σπέρμα« φωνῆς καὶ τῆς »τέκνον« τὸ »Οἶδα ὅτι σπέρμα
»Ἀβραάμ ἐστε« πρὸς τὸ εὐθέως ἐπενεχθησόμενον καὶ πρὸς τοὺς
αὐτοὺς λεγόμενον· »Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ
»ποιεῖτε«. ἵν' οὖν ταῦτα θεωρηθῇ, ἴδωμεν πρῶτον σωματικῶς 3
»σπέρματος« καὶ »τέκνου« διαφοράν. καὶ σαφές γε ὅτι τὸ μὲν σπέρμα
τινὸς ἔχει τοὺς λόγους τοῦ σπείραντος ἐν ἑαυτῷ ἔτι ἡσυχάζοντας

3 Vgl. Kol. 1, 19. — **10** Vgl. Röm. 11, 33. — **17** Joh. 8, 39. — **19** Vgl. Diog. L. VIII, 30.

Überschrift wie sonst unter roter und schwarzer Leiste in schwarzer Schrift **5** ⟨ἵνα⟩ + Br | ⟨τὰ⟩ + Br | **6** [καὶ] z. str. | **10** *πατρὸς* π u. ρ a. Ras. | **18** *ποιεῖτε* mit Vulg. ff. vgl. u. S. 332, 15. 27. u. ö. | **20** *σπείροντος* M, corr. V vgl. S. 333, 1 ff.

Digitized by Google

καὶ ἀποκειμένους· τὸ δὲ τέκνον, μεταβαλόντος τοῦ σπέρματος καὶ
ἐργασαμένου τὴν περικειμένην αὐτῷ ὕλην ἀπὸ τῆς γυναικὸς καὶ τῶν
ἐπισυναγομένων τροφῶν, μορφωθὲν καὶ εἰς γένεσιν εὐτρεπισθὲν
ὑφίσταται· καὶ εἴ τι μέρος ἐστὶν κυρίως τέκνον τινός, ὡς πρὸς τὰ
σωματικά, ἐκ σπέρματος ὑπέστη, εἰ δέ τί ἐστιν σπέρμα, οὐ πάντως
4 τέκνον γίνεται. τούτων δὲ ἡμῖν προδιαληφθέντων, εἰ μὲν σωματι-
κῶς ἐχρῆν νοεῖν τὸ »Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε«, ἔδοξεν ἂν
πάντως ἀκολουθεῖν τὸ καὶ τέκνα εἶναι τοῦ Ἀβραὰμ πρὸς οὓς ὁ λό-
γος, συγχωρουμένου ὅτι ἔτι σπέρμα ἐστὶν τὸ τέκνον, καὶ οὐ κατὰ
5 τὸ ἀκριβὲς διδομένου. ἐπεὶ δὲ ἀπὸ ἤθους κρίνεται καὶ ἔργων τὰ
τέκνα τοῦ Ἀβραάμ, μήποτε ἀπό τινων σπερματικῶν λόγων, συ-
καταβαλλομένων τισὶν ὡς οἶμαι ψυχαῖς, δεῖ χαρακτηρίζειν τοὺς
ὄντας σπέρμα τοῦ Ἀβραάμ. καὶ εἴπερ, ὡς κατὰ τὸ σωματικὸν οὐ
πάντες ἄνθρωποι σπέρμα εἰσὶν τοῦ Ἀβραάμ, οὕτω ⟨καὶ⟩ κατὰ τὰ νῦν
ἀποδιδόμενα περὶ τοῦ τίνες εἰσὶν σπέρμα τοῦ Ἀβραάμ, δῆλον ὅτι οὐ
πάντες ἄνθρωποι μετὰ πάντη σπερματικῶν λόγων τῶν [αὐτῶν]
ἐγκατασπαρέντων αὐτῶν ταῖς ψυχαῖς τῷ βίῳ τῶν ἀνθρώπων ἐπι-
6 δεδημήκασιν. τὴν δὲ τούτων αἰτίαν κατὰ μεγάλας κρίσεις καὶ δυσ-
διηγήτους, θεωρουμένας ὑπὸ τῶν εἰληφότων τὸν Χριστοῦ νοῦν,
ἵνα ἴδωσιν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα αὐτοῖς, ὀλίγοις ἐστὶν δυ-
νατὸν καταλαβεῖν τοῖς ἐπιμελέστερον τὰ πρὸ γενέσεως καὶ τὰ ἐν
γενέσει περὶ ἑκάστου διειληφόσιν· καὶ ἐπεὶ ταράξαι ἄν τινα τὰ
τοιαῦτα, συνέντα μὲν ταῦτα, μὴ ἀκριβοῦντα δέ, κινδύνῳ παραβα- 300 R 287 H
λοῦμεν ἑαυτοὺς τῷ περὶ τῶν τοιούτων, ἔνθα τὸ λέγειν καὶ ἀνα-
7 πτύσσειν τὰ τοιαῦτά ἐστιν ἐπισφαλές, | κἂν ἀληθεύηται. καὶ ἐπι- 239 v
σφαλὲς ⟨δὲ⟩ διὰ τὸ δεῖν τὸν οἰκονόμον τῶν τοῦ θεοῦ μυστηρίων καὶ
τὸν καιρὸν ζητεῖν τῆς προσαγωγῆς τῶν τοιούτων δογμάτων, ⟨μὴ⟩
βλάπτοντα τὸν ἀκούοντα, καὶ τὸ μέτρον περιαθρεῖν τοῦ ἐλλείποντος
ἢ πλεονάζοντος, κἂν ὁ καιρὸς τηρῆται, παρὰ τὸν ὀρθὸν λόγον
γινομένου, καὶ ἐπιμελέστερον ἐξετάζειν πότερον σύνδουλοί εἰσιν οἷς
παραδίδοται τὰ τοιαῦτα, ἢ δοῦλοι ἄλλου τινὸς παρὰ τὸν κύριον
8 τῶν κυριευόντων. ὅτι δὲ δεῖ πάντα ταῦτα ἐξετάζειν τὸν οἰκονόμον

7 Joh. 8, 37. — 18 Vgl. Weish. Sal. 17, 1. — 19 Vgl. I Kor. 2, 16. 12. — 26 Vgl. I Kor. 4, 1. — 30 Vgl. Luk. 12, 42. — 31 Vgl. I Tim. 6, 15. — 32 Vgl. I Kor. 4, 1.

5 ὑπέστη] η a. Ras. | 14 ⟨καὶ⟩ + Pr | 20 εἴδωσιν M vgl. S. 201, 13 | 22 ἐπεὶ ταράξαι] in M ohne Accente geschrieben, ἐπιταράξαι V | 23 συνθέντα] συν verblichen, corr. We; καὶ γὰρ παραθέντα, καὶ γὰρ a. Ras. V | 25 ἀληθεύεται, corr. Pr | 26 δὲ + V | 27 ⟨μὴ⟩ + Ferrarius | 28 βλάπτοντος, corr. Ferrarius | περιαθρεῖν] nach α scheint ρ ausrad.

Digitized by Google

τῶν μυστηρίων τοῦ θεοῦ παρίστησιν ἡ φάσκουσα λέξις· »Τίς ἄρα
»ἐστὶν ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος, ὃν καταστήσει ὁ κύριος
»ἐπὶ τῆς οἰκετίας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον τοῖς
»συνδούλοις ἑαυτοῦ;« οὐ πάντες οὖν εἰσιν ἄνθρωποι σπέρμα τοῦ
Ἀβραάμ· οὐδὲ γὰρ ἔχουσιν τοὺς λόγους ἐγκατεσπαρμένους αὐτῶν
ταῖς ψυχαῖς, δυναμένους, εἰ γεωργηθείεν, ποιῆσαι τέκνα τοῦ Ἀβραάμ.

III. Καὶ ζητήσαι τις ἂν πρὸς ταῦτα φάσκων ὅτι δύναται μὲν 9
ψεκτὸς εἶναι ὁ γενόμενος σπέρμα τοῦ Ἀβραάμ, εἰ μὴ καὶ τέκνον
αὐτοῦ γένοιτο· πῶς δ' ἂν εὐλόγως μεμφθείη μὴ ποιῶν τὰ ἔργα τοῦ
Ἀβραὰμ ὁ μηδὲ τὴν ἀρχὴν ἔχων τὸ εἶναι σπέρμα τοῦ Ἀβραάμ, ἀφ'
οὗ ἔρχεται τὸ γενέσθαι τέκνα τῷ Ἀβραάμ; ἐροῦμεν δὲ πρὸς ταῦτα 10
ὡσπερεὶ ἐπιβάθρᾳ χρησάμενοι τῇ ἱστορίᾳ καὶ τὰ ἴχνη τῆς κατὰ τὸν
τόπον ἀληθείας ζητοῦντες ἐν τοῖς γράμμασιν, ὅτι εἰ μὲν μὴ ὤν τις
τέκνον τοῦ Ἀβραὰμ οὐδενὸς δικαίου σπέρμα ἦν, καὶ ἀνέγκλητος ἐτύγ-
χανεν ⟨ἂν⟩ τῶν ἁμαρτωλῶν τις, μηδεμίαν ἔχων ἀπὸ σπερμάτων ἀφορμὴν
τοῦ καλοῦ· νυνὶ δὲ ὥσπερ ἐπὶ τῶν σωμάτων ὁ μέν τίς ἐστιν πλειό-
νων δικαίων σπέρμα, ἕτερος δὲ ὀλιγωτέρων, ὡς δῆλον ἔσται ἐκ τῆς
παραθέσεως τῶν λεχθησομένων, οὕτως καὶ ἐπὶ τῶν τῆς ἀναγωγῆς
τὸ ἀνάλογον ἔσται λέγειν. Ἀβραὰμ εἰκοστὸς γεγέννηται ἀπὸ τοῦ 11
310R πρωτοπλάστου· δέκα γὰρ γενεαὶ ἀπὸ Ἀδὰμ ἐπὶ Νῶε, καὶ δέκα ἀπὸ
Νῶε ἐπὶ Ἀβραάμ· καὶ τοῦ Ἀβραὰμ γεγόνασιν ἀδελφοὶ Ναχὼρ καὶ
Ἀρράμ· οἱ γὰρ τρεῖς ἦσαν υἱοὶ Θάρα. Ναχὼρ μὲν οὖν καὶ Ἀρρὰμ
οὐκ ἦσαν σπέρμα τοῦ Ἀβραάμ· ἀλλ' οὐδ' αὐτὸς Ἀβραὰμ σπέρμα ἦν
τοῦ Ἀβραάμ. ἦσαν δὲ σπέρμα οἱ τρεῖς δικαίων μέν, ὡς ζητου- 12
μένων ἔτι τῶν κατὰ τὸν Ἀδὰμ ἐν τίσιν ἀριθμητέον αὐτόν, τοῦ
Σήθ, ὃν ἐξανέστησεν ὁ θεὸς ἀντὶ τοῦ Ἄβελ· καὶ τοῦ Ἐνώς, ὃς
»ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ«· καὶ τοῦ Ἐνώχ,
»ὃς εὐηρέστησεν τῷ θεῷ, μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα,
288H »ἔτη διακόσια«· καὶ τοῦ Νῶε, περὶ οὗ εἴρηται ὅτι »Ἄνθρωπος
240r »δίκαιος, τέλειος ἐν τῇ γενεᾷ | αὐτοῦ· τῷ θεῷ εὐηρέστησεν Νῶε«·
καὶ τοῦ Σήμ, οὗ »κύριος ὁ θεὸς« πρώτου φαίνεται ἐν τῇ Γενέσει
κεχρηματικέναι θεός, ὅπερ σαφές ἐστιν ἐκ τοῦ »Εὐλογητὸς κύριος

1 Luk. 12, 42. — **5** Vgl. Matth. 13, 19. — **10** Vgl. Joh. 8, 39. — **20** Vgl. Gen. 5, 1 ff. — **21** Vgl. Gen. 11, 10 ff. — Vgl. Gen. 11, 26. — **25** Vgl. Gen. 4, 25. — **27** Gen. 4, 26. — **28** Gen. 5, 22. — **29** Gen. 6, 9. — **32** Gen. 9, 26.

1 Die Form d. Citates ist auffallend, stimmt aber mit andern Stellen bei Orig. überein (hom. in Jer. XI, 3 [81, 13 Kl, wo Z. 15 mit Hieron. *συνδούλοις* z. l. ist]). Vgl. Syr. Sin. | **5** *συνκατεσπαρμένους*, corr. V; vgl. S. 328, 17 | **6** nach *ψυχαῖς* + *καὶ* V | **11** *τῷ*] *τοῦ*, corr. V | **15** *ἂν*) + We | **19** *λέγειν* unter d. Z. | *γεγέννηται* | **22** *Ἀρρὰμ*[1]] ρ^1 aus *ν* w. e. sch. | **28** *ηὐηρέστησεν* M, corr. V.

Digitized by Google

13 »ὁ θεὸς τοῦ Σήμ· τῶν δὲ λοιπῶν ⟨ἀδίκων⟩ παρὰ τούτους οὗτοι ἦσαν οἱ τρεῖς τοῦ Θάρα υἱοὶ σπέρμα. ὅπερ οὖν εἴπομεν περὶ τοῦ σπέρματος τοῦ Ἀβραάμ, τοῦτο νοητέον περὶ τοῦ σπέρματος τοῦ Σὴμ καὶ Νῶε καὶ τῶν ἀνωτέρω δικαίων, ὧν τὰς ἰδιότητας σπερματικῶς δοκοῦσιν κοινῇ ἀνειληφέναι εἰς γένεσιν ἐρχόμενοι Ἀβραὰμ καὶ Λαχὼρ καὶ Ἀρράμ· ἀλλ' ὁ μὲν Ἀβραὰμ γεγεωργηκέναι οὓς εἶχεν ἐν ἑαυτῷ σπερματικοὺς λόγους πάντων τῶν πρὸ αὐτοῦ δικαίων, καὶ τούτοις προστεθεικέναι ἁγίαν ἰδίαν ποιότητα, τὴν κατὰ τὸ ἴδιον αὐτοῦ σπέρμα, οὗ ἐδύναντο μετέχειν οἱ μετ' αὐτὸν καλούμενοι »σπέρμα Ἀβραάμ«· ὁ δὲ Ἀρρὰμ ἐπὶ ἐλάχιστον ἑαυτοῦ ἐπιμέλειαν πεποιῆσθαι καὶ τῶν πατρικῶν ἐν ἑαυτῷ σπερμάτων, ὅθεν δεδύνηται προβαλεῖν πνέοντα κἂν ἐπὶ ποσὸν τῆς σωτηρίας τὸν Λώτ· ὁ δὲ Λαχὼρ ἀμφοτέρων τῶν ἀδελφῶν ἐλάττων γεγονέναι.

14 Ἔξεστιν τοίνυν μὴ ὄντα σπέρμα τοῦ Ἀβραάμ, τῷ πάντως διὰ 311R
τὴν κατὰ τὸν κατακλυσμὸν ἱστορίαν ἀπὸ Νῶε τοὺς ἑξῆς γεγονέναι, εἶναι σπέρμα Νῶε· εἰ δὲ τοῦτο, καὶ σπέρμα Ἐνώχ. πάντως δὲ καὶ σπέρμα Ἐνὼς καὶ Σήθ· ἄδηλον δ' ἡμῖν ἐπὶ τῶν πολλῶν κατωτέρω τοῦ Νῶε, τίς σπέρμα τοῦ Σὴμ καὶ τίς τοῦ Χὰμ καὶ τίς τοῦ Ἰάφεθ καὶ τῶν ἔτι κατωτέρω· πλὴν οὐκ ἔστιν τις μηδαμῶς μετέχων σπέρ-
15 ματος δικαίων. ἐφίστημι δὲ μήποτε δυνατὸν ἔχοντα τὰς ἀφορμὰς
ἃς εἶχεν ὁ Ἀβραὰμ ἐκ τῶν προτέρων σπερμάτων γενέσθαι τὸν μὴ ὄντα σπέρμα τοῦ Ἀβραὰμ τοιοῦτον, ὥστε αὐτὸν οὐκ ὄντα ἀπὸ τοῦ
16 Ἀβραὰμ ἐξομοιωθῆναι τῷ Ἀβραάμ. ὡς γὰρ Ἀβραάμ, οὐκ ἐκ σπέρματος Ἀβραὰμ τυγχάνων ἀλλὰ τῶν προειρημένων, γέγονεν Ἀβραάμ, οὕτω δυνατόν τινα τὰ κρείττονα τῶν ἐν αὐτῷ ἐγκατασπαρέντων γεωργήσαντα γενέσθαι ἄλλον Ἀβραάμ, οὐ πάντως ἐκ σπέρματος Ἀβραὰμ ἀλλὰ καὶ αὐτὸν ἱκανὸν σπείρειν ὡς Ἀβραάμ.

17 IV. Ὅλων δὲ τούτων ἀκούομεν ἀναφέροντες τὰ λεγόμενα οὐκ ἐπὶ σώματα καὶ ἀνθρώπους, ἀλλ' ἐπί τινα νοητὰ καὶ λόγους πλείονας ἢ ἐλάττονας, ὧν μετέχουσι διαφόρως οἱ κατιόντες εἰς γένεσιν ἢ εἰσ-
18 ιόντες, καὶ τάχα δέ πως καὶ ἀνιόντες. ἐπιστήσεις δὲ εἰ δύναται ἐπὶ τὰ τοιαῦτα σπέρματα, ἤδη καὶ τῶν εἰς ἑαυτοὺς λαμβανόντων αὐτὰ ἴδια ὀνομαζόμενα, ἀναφέρεσθαι τὸ »Πορευόμενοι ἐπορεύοντο »καὶ ἔκλαιον, αἴροντες τὰ σπέρματα αὐτῶν«· εἴ τις γὰρ δύναται, τὴν 289H
μετὰ κλαυθμοῦ πορείαν τινῶν ψυχῶν εἰς γένεσιν ἐρχομένων κατα- 35
νοησάτω, φερουσῶν τὰ σπέρματα ἤτοι πλειόνων δικαίων ἢ ὀλιγω-

33 Ps. 125, 6.

1 ⟨ἀδίκων⟩ + Wc | 7 προστέθεικεν, corr. Pr | 12 λώθ, corr. V; vgl. u. S. 338, 19f. | 15 τοὺς] τοῦ, corr. Pr | 19 ἐπί, corr. V | 23 ἐξομοιωθῆναι, beide ο a. Ras. M | 25 συνκατασπαρέντων (σπα a. Ras.) M, corr. Pr | 28 ἀναφέροντες] τες verblieben | 30 εἰσόντες, corr. Hu; ἐλθόντες V.

Digitized by Google

240v τέρων | καὶ ἀδίκων ὁμοίως. καὶ ἐννοείτω θεωρῶν ὥσπερεὶ γεωργοὺς 19
ἀγωνιῶντας περὶ ὧν ἔχουσιν σπερμάτων, πῶς τάδε μὲν γεωργήσωσιν
(λέγω δὲ τὰ διαφέροντα), τάδε δὲ μὴ σπείρωσιν, εἴγε ἔρχονται καὶ
μετὰ χειρόνων σπερμάτων. ποῖον γὰρ εἰκὸς κλαυθμὸν κλαίειν τού- 20
5 τους περὶ ὧν φησιν ὁ λόγος· »Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον,
»αἴροντες τὰ σπέρματα αὐτῶν«; καὶ ἐλπίς γε ἀγαθή ἐστιν ἐν τοῖς 21
πορευομένοις καὶ κλαίουσιν, αἴρουσιν τὰ σπέρματα ἑαυτῶν· οὗτοι γὰρ
ὡς ἐπίπαν »ἐρχόμενοι ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα
»αὐτῶν«. τάχα δὲ ἕτεροι ἦλθον, περὶ ὧν εἴποις ἄν· »Πορευόμενοι 22
10 ἐπορεύοντο καὶ ἐγέλων, αἴροντες τὰ σπέρματα ἑαυτῶν«· οἷς ἀκολου-
312R θήσει τὸ »Ἐρχόμενοι δὲ ἥξουσιν ἐν κλαυθμῷ, αἴροντες τὰ δράγματα
ἑαυτῶν«· περὶ ὧν εἴποις ἄν· »Ἐγεννήθησαν ὡσεὶ χόρτος δωμάτων,
»ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη· οὗ οὐκ ἐπλήρωσεν τὴν χεῖρα
»αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.
15 »καὶ οὐκ εἶπαν οἱ παράγοντες· Εὐλογία κυρίου ἐφ' ὑμᾶς«. καὶ ὅρα 23
εἰ δύναται κατὰ τοῦτο βαθύτερον καὶ μυστικώτερον λέγεσθαι ὑπὸ
τοῦ σωτῆρος ἡμῶν τὸ »Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσονται«·
καὶ τὸ »Οὐαὶ οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε«. ὅσῳ 24
μέντοι γε μεταγενεστέρων τίς ἐστιν δικαίων σπέρμα, τοσούτῳ πλείο-
20 νας φέρει δικαιοσύνης λόγους, ὡς διὰ τοῦτο μὲν γεγράφθαι τὸ
»Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ«, διὰ
τοῦτο δέ πως εἶναι καὶ τὸ περὶ τοῦ Ἰωάννου εἰρημένον· »Μείζων
»ἐν γεννητοῖς γυναικῶν Ἰωάννου τοῦ βαπτιστοῦ οὐδείς ἐστιν«.

Ἐν τούτοις δὲ γενόμενος τοῖς τόποις πρόσχες εἰ μὴ λόγον ἔχει 25
25 τὸ ἀφανίζεσθαί τινα τῶν σπερμάτων ὑπὸ θεοῦ, ἵνα μὴ πλείονα τὰ
κακὰ ᾖ ἐπὶ τῆς γῆς, σπειρομένων τῶν μὴ ἐχόντων ἀφορμὰς ἀπὸ
κρειττόνων πρὸς τὸ γεωργῆσαι τὰ ἀπὸ διαφερόντων σπερμάτων·
διὰ τοῦτο γὰρ κατακλυσμὸς γίνεται, ἵνα ἐξαφανισθῇ τὸ τοῦ Κάϊν
σπέρμα, οὐκ ἂν δυνηθέντων τῶν ἀπ' αὐτοῦ γενομένων ἔχειν τί
30 γεωργήσωσιν, εἰ μὴ τὰ ἀπὸ τοῦ Ἀδὰμ μόνα. ὅτι δὲ ὁ κατακλυσμὸς 26
ὑπὲρ τοῦ ἐξαφανισθῆναι τὸ σπέρμα τοῦ Κάϊν γεγένηται, περίστησιν
ἡ ἐπιγεγραμμένη τοῦ Σολομῶντος σοφία διὰ τούτων· »Ἀποστὰς δὲ
»ἀπ' αὐτῆς ἄδικος ἐν ὀργῇ αὐτοῦ« (δῆλον δ' ὅτι τῆς σοφίας) »ἀδελ-
»φοκτόνοις συναπώλετο θυμοῖς δι' ὃν κατακλυζομένην γῆν πάλιν
290H »ἔσωσεν σοφία, δι' εὐτελοῦς ξύλου τὸν δίκαιον κυβερνήσασα«. τὸ 27

5 Ps. 125, 6. — 8 Ps. 125, 6. — 12 Ps. 128, 6—8. — 17 Luk. 6, 21. — 18 Luk. 6, 25. — 21 Ps. 104, 6. — 22 Luk. 7, 28. — 28 Vgl. Gen. 6, 13. — 32 Weish. Sal. 10, 3f.

15 ὑμᾶς] υ aus η M (ἡμᾶς AR, ἡμᾶς ℵT) | 16 ἀπὸ, corr. Pr | 17 γελάσονται mit Syr. Sin. Arm. Aeth. | 20 διὰ] δ a. Ras.

Digitized by Google

αὐτὸ δέ μοι δοκεῖ παριστάνειν καὶ ὁ Σοδόμων ἐξαφανισμὸς καὶ τῆς γῆς αὐτῶν, ὧν »ἔτι μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε
28 »χέρσος, καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτά«. καὶ ἀγαθοῦ γε θεοῦ ἔργον ἦν Σοδόμων ἐξαφανίσαι τὴν γῆν καὶ πᾶν ὅπερ ὑπελείπετο γοτίδος ξηρᾶναι ἀπ' αὐτῆς, ἵνα μηκέτι γίνηται ἄμπελος Σο- 241r
δόμων, μηδὲ κληματὶς Γομόρρας, μηδὲ σταφυλὴ χολῆς, μηδὲ βότρυς πικρίας, μηδὲ οἶνος, θυμὸς δρακόντων καὶ θυμὸς ἀσπίδων ἀνίατος.
29 τὸ δ' ὅμοιον ἐρεῖς καὶ περὶ τῶν Αἰγυπτίων, περὶ ὧν εἴρηται· »Ἀπέκτεινεν ἐν χαλάζῃ ⟨τὴν⟩ ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους
»αὐτῶν ἐν τῇ πάχνῃ«· ἀγαθοῦ γὰρ θεοῦ ἀποκτείνειν ἀμπέλους 10
30 Αἰγυπτίων καὶ συκαμίνους τῶν ἀσεβῶν. ταῦτα προκείμενα τῇ ἐξετάσει τοῦ περὶ σπερμάτων λόγου Ἀβραὰμ ἢ τινος τῶν δικαίων ἡμῖν εἴρηται, ὑπὲρ τοῦ φανῆναι πῶς καὶ τίνα τρόπον εἴρηται τοῖς αὐτοῖς 313H
ὑπὸ τοῦ σωτῆρος τὸ »Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε« καὶ τὸ »Εἰ
31 »τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«. περὶ μέν- 15
τοι γε τέκνων Ἀβραὰμ τὰ ἔργα τοῦ Ἀβραὰμ ποιούντων, θεοῦ διδόντος, εὐκαιρότερον ἐροῦμεν, φθάσαντες ἐπὶ τὴν βάσανον ἐκείνης τῆς λέξεως.

32 V. Ἔξεστι τοίνυν σπέρμα τοῦ Ἀβραὰμ τυγχάνοντα γενέσθαι αὐτοῦ δι' ἐπιμελείας καὶ τέκνον, δυνατὸν δὲ καὶ ἐξ ἀμελείας καὶ 20
ἀγεωργησίας ἀπολέσαι καὶ τὸ εἶναι αὐτοῦ σπέρμα. οὗτοι μέντοι γε ἔτι ἐλπίδων ἦσαν πρὸς οὓς ὁ λόγος, εἰδότος τοῦ Ἰησοῦ ὅτι σπέρμα ἔτι ἦσαν τοῦ Ἀβραὰμ καὶ θεωροῦντος ὅτι οὐδέπω ἀπολωλέκεισαν τὸ δύνασθαι γενέσθαι τέκνα τοῦ Ἀβραάμ· ὡς γὰρ δυνατοῦ ὄντος τοῦ αὐτοὺς γενέσθαι τέκνα τοῦ Ἀβραὰμ πρὸς τῷ εἶναι αὐτοὺς 25
σπέρμα, φησὶν αὐτοῖς· »Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ
33 Ἀβραὰμ ποιεῖτε«. ὡς δέ εἰσίν τινες σπέρμα τοῦ Ἀβραάμ, οὕτως ἄλλοι, ὡς ὁ Δανιήλ φησι, »Σπέρμα Χαναὰν καὶ οὐκ Ἰούδα«, καὶ
34 ἄλλοι, ὡς ἡ σοφία ⟨φησίν⟩ »Σπέρμα κατηραμένον ἀπ' ἀρχῆς«. καὶ εἰς ταῦτα δὲ φήσομεν ὅτι ὥσπερ κατὰ τὰ σωματικὰ ἀπὸ πολλῶν 30
σπερμάτων προκύπτει μᾶλλον ἐνεργῆσαι δυνηθὲν ἓσθ' ὅτε ἓν τῶν σπερμάτων, οὕτως ἔστιν ἰδεῖν καὶ ἐπὶ τῶν πνευματικῶν σπερμάτων.
35 ὃ δὲ λέγω ἔσται σαφὲς ἐκ τῶν λεχθησομένων· ἐπεὶ γὰρ ἔχει ἐν ἑαυτῷ προγονικούς τε καὶ συγγενικοὺς λόγους ὁ σπείρων, ὁτὲ μὲν

2 Weish. Sal. 10, 7. — 5 Vgl. Deut. 32, 32f. — 9 Ps. 77, 47. — 14 Joh. 8, 37. 39. — 17 Vgl. u. c. 10. — 26 Joh. 8, 39. — 28 Hist. Susann. 56 (Θ). — 29 Weish. Sal. 12, 11.

1 σολομῶν, corr. Hu | 5 γείνηται M | 6 μηδὲ¹] μήτε corr. We | 9 ⟨τὴν⟩ + V | 10 ἀποκτέννειν M (vgl. zur Form Blass, Gramm. d. neutest. Gr. § 17, Winer-Schmiedel § 15). Aber Orig. hat schwerlich die Form geschrieben; ἀποκτενεῖν V; corr. Ausgg. | 22 nach ἐλπίδων viell. ⟨τέκνα⟩ einzuschieben | 29 ⟨φησίν⟩ + V.

Digitized by Google

κρατεῖ ὁ αὐτοῦ λόγος, καὶ ἀποτίκτεται τὸ γεννώμενον τῷ σπείραντι ὅμοιον. ὁτὲ δὲ ὁ λόγος τοῦ ἀδελφοῦ τοῦ σπείραντος, ἢ τοῦ πατρὸς τοῦ σπείραντος, ἢ τοῦ θείου τοῦ σπείραντος, ἐνίοτε καὶ πάππου
291H τοῦ σπείραντος· παρ' ὃ γίνονται οἱ ἀποτικτόμενοι ὅμοιοι τοῖσδε ἢ τοῖσδε. ἔστιν δὲ ἰδεῖν ἐπικρατοῦντα καὶ τὸν λόγον τῆς γυναικὸς ἢ 36 τοῦ πατρὸς τῆς γυναικὸς ἢ τοῦ ἀδελφοῦ αὐτῆς ἢ τοῦ πάππου αὐτῆς, κατὰ τοὺς ἐν ταῖς μίξεσι βρασμοὺς ἅμα πάντων σειομένων, ἕως ⟨ἂν⟩ ἐπικρατήσῃ τις τῶν σπερματικῶν λόγων. ταῦτα δὴ μεταγέσθω 37 ἐπὶ τὴν πεπληρωμένην ψυχὴν νοητῶν σπερμάτων, ἐληλυθότων ἀπό
241v τινων ὀνομαζομένων πατέρων αὐτῆς, καὶ [τὸ] παρὰ τὸ πολυκίνητον ἢ εὐκίνητον τοῦ ἡγεμονικοῦ καὶ τὴν ἐπὶ τοιάσδε φαντασίας ἐπίστασιν προκυπτέτωσαν οἱονεὶ σπερματικοί τινες τῶν πατέρων λόγοι·
314R ὧν γεωργουμένων ἔσται τις τέκνον ὅδε μὲν τοῦ Ἀβραάμ, δῆλον δ' ὅτι ὁ αὐτὸς ὢν καὶ τοῦ Νῶε, ἄλλος δὲ τοῦ Νῶε, οὐχ ὥστε δὲ εἶναι καὶ τοῦ Ἀβραάμ, καὶ ἄλλος τοῦ Χαναάν, καὶ ἄλλος τινὸς τῶν δικαίων ἢ τῶν ἀδίκων. πλὴν οὐ μετὰ ὁμοίων καὶ τῶν αὐτῶν ἐληλύ- 38 θαμεν πάντες σπερμάτων, ἀλλ' οὐδὲ ἐλήλυθέν τις κενὸς σωτηρίων καὶ ἁγίων σπερμάτων· εἰ μὴ ἄρα δυσωπήσαι τις ἡμᾶς, καὶ εἰς τοῦτο ἅμα παρατιθέμενος τὴν ἀπὸ τοῦ θεοῦ βοήθειαν οὐκ ἀπογινώσκουσαν καὶ τοὺς κακίστους καὶ χωρὶς ἀρίστων σπερμάτων εἰσεληλυθότας εἰς τὸν βίον, καὶ δυσωπήσαι ἀπὸ τοῦ »Δύναται ὁ θεὸς ἐκ τῶν λίθων »τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ«.

Τὰ δὲ εἰρημένα πάντα περὶ σπέρματος Ἀβραὰμ καὶ τῶν ἀνά- 39 λογον τούτῳ ἐχόντων εὐλόγως ἂν παραδεξαίμεθα, εἴπερ παρεδεξάμεθα οὐ κατὰ τὸ σωματικὸν εἰρῆσθαι τὸ »Οὐκ ἀπεστάλην εἰ μὴ εἰς »τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ« καὶ τὸ »Οὐδὲ ἐν τῷ »Ἰσραὴλ τοσαύτην πίστιν εὗρον«, καὶ ὅσα τούτοις εἴρηται παραπλησίως.

VI. Ἐοίκασιν δὲ οὗτοι, πρὸς οὓς ὁ λόγος, μὴ χωρεῖν τὸν λόγον, 40 οὐ δυνάμενον εἰς αὐτοὺς δι' ὑπερβολὴν μεγέθους ἰδίου τοῦ ὑπὲρ αὐτοὺς χωρεῖν, ἐπείπερ ἔτι ἦσαν σπέρμα τοῦ Ἀβραὰμ μόνον. εἰ δὲ 41 πρὸς τῷ εἶναι σπέρμα τοῦ Ἀβραὰμ ἐγεώργησαν καὶ εἰς μέγεθος καὶ αὔξην τὸ σπέρμα τοῦ Ἀβραὰμ ἐπεδεδώκει, ἐν τῷ μεγέθει καὶ τῇ αὔξῃ τοῦ σπέρματος τοῦ Ἀβραὰμ κεχωρήκει ἂν ὁ τοῦ Ἰησοῦ λόγος. καὶ 42 μέχρι γε τοῦ δεῦρο φήσεις ὅτι ὁ λόγος οὐ χωρεῖ ἐν τοῖς μὴ προκόψασιν ἀπὸ τοῦ εἶναι σπέρμα τοῦ Ἀβραὰμ μηδὲ ἐληλυθόσιν εἰς τὸ γε-

21 Matth. 3, 9. — 25 Matth. 15, 24. — 26 Luk. 7, 9.

4 *σπείραντος*] *σπείροντος*, corr. V | 5 *ἰδεῖν*] *δ* a. Ras. | 7 *βρασμοὺς*] *σμ* a. Ras. | *ἅμα* verblichen | 8 *ἂν* + We | 10 [*τὸ*] str. Br | 11 *ἐπίτασιν*? We | 19 *ἀπογινώσκουσα*, corr. V | 33 *ἐπιδωδωκεῖ*, corr. V.

Digitized by Google

43 νέσθαι αὐτοῦ τέκνα. οὗτοι δὲ καὶ ἀποκτεῖναι θέλουσιν τὸν λόγον
44 καὶ ὡσπερεὶ συντρῖψαι αὐτόν, τὸ μέγεθος μὴ χωροῦντες αὐτοῦ. καὶ
ἀεί γε ἔστιν θεωρεῖν τοὺς μὴ χωροῦντας τὸν λόγον, διὰ τὸ βραχύ-
τερα αὐτοὺς εἶναι σκεύη, θέλοντας ἀποκτεῖναι τὴν ἑνότητα τοῦ με-
γέθους τοῦ λόγου, ὡς δυναμένους χωρῆσαι μετὰ τὴν ἀναίρεσιν αὐτοῦ 5
45 καὶ τὴν συντριβὴν αὐτοῦ μέλη αὐτοῦ. οἷς ἐὰν ἐγγένηται οὕτως ὁ 292H
λόγος ὡσπερεὶ ἀνελοῦσιν αὐτὸν φήσει τὸ »† Διεσκορπίσθησαν πάντα
»τὰ ὀστᾶ μου«. εἴπερ οὖν τις ἡμῶν ἐστιν σπέρμα τοῦ Ἀβραάμ, καὶ
ἔτι ὁ λόγος τοῦ θεοῦ οὐ χωρεῖ ἐν αὐτῷ, μὴ ζητείτω ἀποκτεῖναι τὸν
λόγον, ἀλλὰ μεταβαλὼν ἀπὸ τοῦ εἶναι σπέρμα τοῦ Ἀβραὰμ ἐπὶ τὸ 10
γενέσθαι τέκνον τοῦ Ἀβραάμ, δυνήσεται χωρῆσαι ὃν τέως οὐκ
ἐχώρει λόγον θεοῦ.

VIII, 38. *Ἃ ἐγὼ ἑώρακα παρὰ τῷ πατρὶ λαλῶ· καὶ ὑμεῖς* 315R
οὖν ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ποιεῖτε.

46 VII. Ὥσπερ ἀνθρώπους ἄν τινας εἴποιμεν ἀπ' ἀρχῆς αὐτόπτας 15
γεγονέναι τοῦ λόγου, περὶ ὧν | ὁ Λουκᾶς φησι· »Καθὼς παρέδοσαν 242r
»ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου«,
οὕτω τὸν σωτῆρα αὐτόπτην λέξομεν εἶναι τῶν παρὰ τῷ πατρί, καὶ
κατὰ τοῦτο εἰρῆσθαι τὸ »Οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱός«,
47 οὐκέτι αὐτοπτῶν ὄντων οἷς ἂν ὁ υἱὸς ἀποκαλύψῃ. δηλοῖ δὲ τὸ αὐ- 20
τόπτην τῶν ἐν τῷ πατρὶ τυγχάνειν τὸν σωτῆρα σαφῶς ἡ προκει-
μένη λέξις ἐν τῷ »Ἃ ἐγὼ ἑώρακα παρὰ τῷ πατρὶ λαλῶ«. ζητήσαις
δ' ἂν εἰ ἔσται ποτὲ ὅτε οἱ ἄγγελοι αὐτοὶ ὄψονται τὰ παρὰ τῷ πατρί,
οὐκέτι διὰ μεσίτου καὶ ὑπηρέτου βλέποντες αὐτά· ὅτε μὲν ⟨οὖν⟩ ὁ ἑωρα-
κὼς τὸν υἱὸν ἑώρακε τὸν πατέρα τὸν πέμψαντα αὐτόν, ἐν υἱῷ τις 25
ὁρᾷ τὸν πατέρα· ὅτε δὲ ὡς ὁ υἱὸς ὁρᾷ τὸν πατέρα καὶ τὰ παρὰ τῷ
πατρὶ ὄψεταί τις, οἱονεὶ ὁμοίως τῷ υἱῷ αὐτόπτης ἔσται τοῦ πατρὸς
καὶ τῶν τοῦ πατρός, οὐκέτι ἀπὸ τῆς εἰκόνος ἐννοῶν τὰ περὶ τούτου
48 οὗ ἡ εἰκὼν ἐστιν. καὶ νομίζω γε τοῦτο εἶναι τὸ τέλος, ὅταν παρα-
δίδωσιν τὴν βασιλείαν ὁ υἱὸς τῷ θεῷ καὶ πατρί, καὶ ὅτε γίνεται ὁ 30
49 θεὸς τὰ πάντα ἐν πᾶσιν. ὁ μὲν οὖν σωτὴρ ἑωρακὼς ⟨τὰ⟩ παρὰ τῷ
πατρὶ λαλεῖ, οἱ δὲ πεπιστευκότες αὐτῷ Ἰουδαῖοι οὐχ ἑωράκασιν μὲν ⟨τὰ⟩

7 Ps. 21, 15. — 16 Luk. 1, 2. — 19 Matth. 11, 27; vgl. Luk. 10, 22. — 24 Vgl. Gal. 3, 20. — 25 Joh. 14, 9; 12, 44. — 29 Vgl. I Kor. 15, 24. 28. — 32 Vgl. Joh. 8, 31.

1 αὐτοῦ] αὐτοὺς, corr. Hu | 3 βραχύτερα] a^2 a. Ras. | 6 καὶ vor μέλη M, corr. We | 7 διεσκορπίσθη T u. o. S. 210, 29 | 10 ἐπὶ verblichen | 20 ἂν ὁ υἱὸς] ἀνθρώπους (aus ανους = ανους falsch aufgelöst; corr. Ferrarius | 24 ⟨οὖν⟩ + We | 26 τὰ] τῶ M, corr. Ausgg. | 31. 32 ⟨τὰ⟩ + Pr.

Digitized by Google

παρὰ τῷ πατρί, ἤκουσαν δὲ παρὰ τοῦ πατρός, ἵνα ποιῶσιν ἃ ἤκουσαν· διόπερ φησὶν αὐτοῖς ὁ κύριος· »Καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε »παρὰ τοῦ πατρὸς ποιεῖτε«. ζητήσαι δ' ἄν τις πότε ἤκουσαν παρὰ 50
τοῦ πατρὸς οἱ πεπιστευκότες τῷ κυρίῳ Ἰουδαῖοι· καὶ πρὸς τοῦτο ὁ
μέν τις φήσει, ἁπλούστερον ἀκούσας τοῦ »Ἃ ἠκούσατε παρὰ τοῦ
»πατρὸς ποιεῖτε«, ὅτι ἤκουσαν παρὰ τοῦ πατρὸς τῷ τὸν πατέρα
κεχρηματικέναι διὰ Μωσέως καὶ τῶν προφητῶν τὰ ἐν νόμῳ καὶ
προφήταις ἀναγεγραμμένα ποιητέα· ὅστις τῷ ῥητῷ πρὸς τοὺς ἑτερο-
δόξους χρώμενος, σαφῶς παρίστησιν ὅτι οὐκ ἄλλος ἐστὶν τοῦ τὸν
νόμον καὶ τοὺς προφήτας δεδωκότος θεοῦ ὁ Χριστοῦ πατήρ. ἕτερος 51
293H ⟨δὲ⟩ συγχρώμενος καὶ τῷ »Πᾶς ὁ ἀκούσας παρὰ τοῦ πατρὸς καὶ μα-
»θὼν ἔρχεται πρός με· οὐχ ὅτι τὸν πατέρα ἑώρακέν τις εἰ μὴ ὁ ὢν
»παρὰ τῷ πατρί, οὗτος ἑώρακε τὸν πατέρα« ἐρεῖ ὅτι εἰσίν τινες τῶν 52
316R ἐνσωματουμένων ψυχῶν πρὶν εἰς γένεσιν ἐλθεῖν μεμαθητευμέναι παρὰ
τῷ πατρὶ καὶ ἀκούσασαι αὐτοῦ, αἵτινες καὶ ἔρχονται πρὸς τὸν σω-
τῆρα, ἐξ ὧν ἦσαν καὶ οἱ νῦν ἐξεταζόμενοι πεπιστευκότες αὐτῷ Ἰου-
δαῖοι, πρὸς οὓς ἔλεγεν· »Ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς
»ποιεῖτε«· καὶ ἐρεῖ ὅτι οὗτοί εἰσιν οἱ καὶ καλούμενοι σπέρμα Ἀβραάμ.
καὶ τούτῳ δ' ἄν τις ἀντιλέγοι φάσκων ὅτι τὸ μὲν »Πᾶς ὁ ἀκούσας 53
»παρὰ τοῦ πατρὸς καὶ μαθὼν ἔρχεται πρὸς ἐμὲ« ἐμφαίνει πάν-
τως ἔρχεσθαι πρὸς τὸν σωτῆρα τὸν ἀκούσαντα παρὰ τοῦ πα-
τρὸς καὶ μεμαθηκότα παρ' αὐτοῦ· τὸ δὲ »Καὶ ὑμεῖς οὖν ἃ ἠκού-
»σατε παρὰ τοῦ πατρὸς ποιεῖτε« ἀπαγγελλόμενον πρὸς τοὺς ζητοῦν-
τας ἀποκτεῖναι τὸν υἱὸν τοῦ θεοῦ Ἰουδαίους, οἷς καὶ ὡς μηδέπω
οὖσιν τέκνοις τοῦ Ἀβραὰμ λέγεται τὸ »Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε,
242v »τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«, παρίστησιν τὸ μηδέπω | τούτους καρ-
ποὺς ἔχειν τοῦ ἐληλυθέναι πρὸς τὸν σωτῆρα· πρὸς δὲ τὸν οὕτως
ἀντιλέγοντα ἀπαντήσεταί τις, μὴ ταὐτὸν εἶναι φάσκων τὸ »Πᾶς ὁ
»ἀκούσας παρὰ τοῦ πατρὸς καὶ μαθὼν« τῷ »Καὶ ὑμεῖς οὖν ἃ ἠκού-
»σατε παρὰ τοῦ πατρός«· ὁ μὲν γὰρ πρὸς τῷ ἀκοῦσαι παρὰ τοῦ
πατρὸς μαθὼν πάντως ἔρχεται πρὸς τὸν σωτῆρα· οἱ δὲ ἀκούσαν-
τες μὲν μὴ πάντως δὲ καὶ μεμαθηκότες οὐδέπω τέκνα εἰσὶν τοῦ
Ἀβραάμ.

VIII. (8) *Πυνθανοίμεθα δ' ἂν τῶν τὰς φύσεις εἰσαγόντων* 54
καὶ εἰς τὸ »Ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν« ἀποδιδόντων

2 Joh. 8, 38. — **5** Joh. 8, 38. — **11** Joh. 6, 45 f. — **16** Vgl. Joh. 8, 31. — **17** Joh. 8, 38. — **19** Joh. 6, 45. — **22** Joh. 8, 38. — **25** Joh. 8, 39. — **28** Joh. 6, 45. — **35** Joh. 8, 37.

1 τοῦ] τῷ, corr. V | **5** ἃ ἠκούσατε] ἀκούσατε, corr. V | **9** τοῦτον τὸν, corr. Del | **11** ⟨δὲ⟩ + V | **24** Ἰουδαίους] ιουδ a. Ras. | **26** τοῦ a. Ras. | **28** ὁ a. Ras.

Digitized by Google

κατὰ Ἡρακλέωνα ὅτι διὰ τοῦτο οὐ χωρεῖ ὅτι ἀνεπιτήδειοι ἦτοι κατ' οὐσίαν ἢ κατὰ γνώμην, πῶς οἱ ἀνεπιτήδειοι κατ'
55 οὐσίαν ἤκουσαν παρὰ τοῦ πατρός; ἀλλὰ καὶ πότερόν ποτε πρόβατα οὗτοι ἦσαν τοῦ χριστοῦ, ἢ ἀλλότριοι ὑπῆρχον αὐτοῦ; εἰ δὲ ἦσαν ἀλλότριοι, πῶς ἤκουσαν παρὰ τοῦ πατρός, σαφῶς, ὡς οἴονται, λεγομένου πρὸς τοὺς ἀλλοτρίους ὅτι »Διὰ τοῦτο ὑμεῖς
56 »οὐκ ἀκούετε, ὅτι οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν«; εἰ μὴ ἄρα θλιβόμενοι ἑτέρῳ ἀτόπῳ ἑαυτοὺς περιβάλλουσιν λέγοντες παρὰ μὲν τοῦ πατρὸς ἀκηκοέναι τοὺς ἀλλοτρίους, μὴ ἀκούειν δὲ τοὺς αὐτοὺς τούτους παρὰ τοῦ σωτῆρος. εἰ δ' οἰκεῖοι τοῦ σωτῆρος ἦσαν καὶ τῆς μακαρίας φύσεως, πῶς ἐζήτουν αὐτὸν ἀποκτεῖναι; καὶ πῶς ὁ τοῦ σωτῆρος λόγος οὐκ ἐχώρει ἐν αὐτοῖς;

VIII, 39. Ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· Ὁ πατὴρ ἡμῶν 317R
Ἀβραάμ ἐστιν.

57 IX. Δόξαιεν ἂν τὴν ἀπόκρισιν οὗτοι πεποιῆσθαι πολὺ ταπεινότερον ἐκδεξάμενοι περὶ τοῦ τίς αὐτῶν ἦν ὁ πατὴρ ἢ ὡς ὁ κύριος
58 ἔλεγεν. ὁ μὲν γὰρ Ἰησοῦς ἀναφέρων ἐπὶ τὸν θεὸν ἔφασκεν τὸ »Καὶ 294H »ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ποιεῖτε«· οἱ δὲ ταπεινότερον τὸν τοῦ ἔθνους παρομολογοῦσιν ἑαυτῶν πατέρα λέγοντες· »Ὁ
59 »πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν«. βοηθῶν δ' ἄν τις αὐτοῖς ὡς καλῶς ἀποκρινομένοις φήσειε ὅτι ὡς μέτριοι καὶ μὴ διδόντες ἑαυτοῖς τὸ εἶναι υἱοῖς θεοῦ, τοῦ Ἰησοῦ λέγοντος· »Ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς
60 »ποιεῖτε« καὶ ἀναφέροντος ἐπὶ τὸν θεόν, φασίν· »Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν«. δῆλον δὲ ὅτι καὶ τοῦτο εὐθύνει ὁ σωτὴρ ὡς ψευδῶς εἰρημένον διὰ τοῦ »Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ
61 »ποιεῖτε«. οὐκ ἀτόπως δὲ καὶ πρὸς ταῦτα ζητήσαι τις ἄν, ὅτι Πῶς κατὰ τὸν σωτῆρά ἐστιν, μὴ συγκατατιθέμενον εἶναι αὐτοὺς τέκνα τοῦ Ἀβραάμ, τὸ λέγειν αὐτοῖς· »Καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ »πατρὸς ποιεῖτε« ἀναφερομένου τοῦ »Παρὰ τοῦ πατρὸς« ἐπὶ τὸν
62 θεόν. ὁ γὰρ μὴ ὢν τέκνον τοῦ Ἀβραὰμ * * * † αν οὖν τῶν μετὰ τὸν Ἀβραὰμ ψεκτὸς ὡς οὗτοι πρὸς οὓς ὁ λόγος, πολλῷ μᾶλλον οὐκ
63 ἔσται τέκνον τοῦ θεοῦ. ὅρα δὲ εἰ καὶ πρὸς τοῦτο δυνάμεθα λέγειν ὅτι οὐκ εἴρηται· »καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ὑμῶν

3 Vgl. Joh. 10, 1ff. — 6 Joh. 10, 26. — 17 Joh. 8, 38. — 19 Joh. 8, 39. — 22 Joh. 8, 38. — 25 Joh. 8, 39.

1 ὅτι ἀνεπιτήδειοι] τι ἀν a. Ras. | 8 ἑαυτοὺς | 21 φήσει, corr. We | ἑαυτοῖς] ε ü. d. Z. M | 30 der Text durch Ausfall verstümmelt; viell. ⟨πολλῶν⟩ ἀκολουθούντων μ. τ. Ἀ. ψεκτῶς? V erg. ⟨κατὰ μίμησιν ἀρετῆς ὁποι ανοῦν τῶν κτλ. | 32 ἔσται] ἔστε M, corr. V; ἔστι Ausgg.

Digitized by Google

⟨ἢ⟩ παρὰ τοῦ πατρὸς ἡμῶν‹, ἀλλὰ ›παρὰ τοῦ πατρός‹, ὅστις κἂν ᾖ πατήρ, οὐ πάντως καὶ τῶν μὴ τέκνων τοῦ Ἀβραάμ ἐστιν πατὴρ
243r καὶ μὴ μεμορφωμένων ἀπὸ σπέρματος Ἀβραὰμ ἐπὶ τὰ τέκνα τοῦ Ἀβραάμ· ἢ ἀδιορίστως εἰρημένον τὸ ›Ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς‹
5 δύναται λαμβάνεσθαι ἀντὶ τοῦ ›ἀπὸ τοῦ πατρός μου‹, καὶ τοῦτο ἔσται σαφὲς ἐκ τοῦ ›Ἃ ἐγὼ ἑώρακα παρὰ τῷ πατρὶ λαλῶ‹ ἴσον δυναμένου τῷ ›παρὰ τῷ πατρί μου‹. καὶ ἐν τοῖς ἑξῆς δὲ διδασκόμεθα **64**
τίνων ἐστὶν ὁ θεὸς πατήρ, δι' ὧν καὶ ταῦτα λέγει ὁ σωτήρ· ›Εἰ ὁ ›θεὸς πατὴρ ὑμῶν ἦν ἠγαπᾶτε ἂν ἐμέ‹. σαφὲς δὲ ὅτι οἱ ζητοῦντες **65**
10 ἀποκτεῖναι τὸν υἱὸν οὐκ ἠγάπων αὐτόν· μὴ ἀγαπῶντες δὲ αὐτὸν οὐκ ἂν ἐχρημάτιζον [οἱ] υἱοὶ τοῦ θεοῦ. ὥστε δῆλον ὅτι τὸ ›Καὶ ὑμεῖς οὖν ›ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ποιεῖτε‹ οὐκ ἴσον δύναται τῷ ›παρὰ τοῦ πατρὸς ὑμῶν‹.

31SR **VIII, 39.** *Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε,*
15 *τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε.*

X. Οἱ ἔν τι ἐπιλεξάμενοι τῶν τοῦ Ἀβραὰμ ἔργων, τὸ ›Ἐπίστευσεν **66**
›δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην‹, καὶ τοῦτο νομίζοντες εἶναι ἐφ' ὃ ἀναφέρεται τὸ ›Τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε‹ ἵνα καὶ συγχωρηθῇ αὐτοῖς ὅτι ἔργον ἐστὶν ἡ πίστις, οὐ συγχωρηθὲν
20 ἂν ὑπὸ τῶν παραδεχομένων τὸ ›Πίστις χωρὶς ἔργων νεκρά ἐστιν‹ οὐδ' ὑπὸ τῶν ἀκουόντων ὅτι διαφέρει τὸ δικαιοῦσθαι ›ἐκ πίστεως‹
295H ἢπερ ›ἐξ ἔργων νόμου‹, ἀπολεγέτωσαν διὰ τί οὐκ εἴρηται· ›Εἰ τέκνα ›τοῦ Ἀβραάμ ἐστε, τὸ ἔργον τοῦ Ἀβραὰμ ποιεῖτε‹ ἐνικῶς, ἀλλὰ πληθυντικῶς· ›Τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε‹, ἴσον, ὡς οἶμαι, τυγχά-
25 νον τῷ ›πάντα‹ ›τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε‹. εἰ δὲ ἴσον ἐστὶν τῷ **67**
›πάντα‹ ›τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε‹ καὶ μήτε σωματικῶς παιδίσκῃ δεῖ προσελθεῖν τὸν ἔχοντα γαμετὴν μήτε μετὰ τὴν τελευτὴν τῆς γεγαμημένης ἐν γήρᾳ ἄλλην γυναῖκα λαβεῖν τὸν κατὰ τὴν τοῦ σωτῆ-
ρος ὑφήγησιν θέλοντα τέκνον ἀποδειχθῆναι τοῦ Ἀβραὰμ ἐκ τοῦ
30 ποιεῖν τὰ ἔργα τοῦ Ἀβραάμ, σαφῶς καὶ ἐντεῦθεν μανθάνομεν ὅτι δεῖ πᾶσαν τὴν κατὰ τὸν Ἀβραὰμ ἀλληγοροῦντα ἱστορίαν ἕκαστον πνευματικῶς ποιῆσαι τῶν πεπραγμένων ὑπ' αὐτοῦ, ἀρξάμενον ἀπὸ τοῦ ›Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου

6 Joh. 8, 38. — **8** Joh. 8, 42. — **9** Vgl. Joh. 8, 40. — **16** Röm. 4, 3. Jak. 2, 23; vgl. Gen. 15, 6. — **20** Jak. 2, 20. — **21** Vgl. Röm. 3, 28. — **33** Gen. 12, 1.

11 [οἱ] str. We | **20** *νεκρά*] *ἀργή* BC* It. Boh. Sah. Arm. | **21** *ἀκούτων* M | **22** *ἀπολέτωσαν* M, *ἀποκριθήτωσαν γὰρ καὶ λεγέτωσαν* V | 25 *πάντα τὰ*] über *π* e. zweites *τὰ* von M übergeschrieben, *τὰ πάντα ἔργα* Br | **31** *πνευματικὸν*, corr. We.

Digitized by Google

»τοῦ πατρός σου, εἰς τὴν γῆν ἣν ἄν σοι δείξω«, εἰρημένου οὐ μόνῳ
68 τῷ Ἀβραὰμ ἀλλὰ καὶ παντὶ τῷ ἐσομένῳ τέκνῳ αὐτοῦ. ἔστιν γάρ
τις καὶ ἑκάστου ἡμῶν γῆ, καὶ ἡ πρὸ τοῦ θείου χρηματισμοῦ οὐκ
ἀγαθὴ συγγένεια, καὶ ὁ πρὸ τοῦ φθάσαντος εἰς ἡμᾶς λόγου θεοῦ
οἶκος τοῦ πατρὸς ἡμῶν, † δι' ἅτινα ἅπαντα κατὰ λόγον θεοῦ δεήσει
ἡμᾶς ἐπεξελθεῖν, εἴπερ ἀκούομεν τοῦ σωτῆρος λέγοντος· »Εἰ τέκνα
»τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«· οὕτω γὰρ φθάσο-
μεν, ὡς καταλιπόντες τὴν ἡμετέραν γῆν, ἐφ' ἣν δείξει ἡμῖν γῆν ὁ
θεός, τὴν ἀληθῶς ἀγαθὴν καὶ ὄντως | πολλήν, ἣν ἀπὸ κυρίου τοῦ 243r
θεοῦ πρέπει δίδοσθαι τοῖς ποιήσασι τὸ προστεταγμένον ἐν τῷ »Ἔλξεθε
69 »ἐκ τῆς γῆς σου«. καὶ ὡς καταλιπόντες συγγένειαν οὐ καλὴν εἰς
ἔθνος ἐσόμεθα μέγα καὶ μεῖζον ἢ κατὰ ἀνθρώπους· καὶ ὡς καταφρο-
νήσαντες οἴκου πατρὸς οὐκ ἐπαινετοῦ, εὐλογηθησόμεθα μεγαλυνο- 319B
μένου τοῦ ὀνόματος ἡμῶν, γινόμενοι εὐλογητοὶ ἐπὶ τοσοῦτον, ὡς
τοὺς μὲν εὐλογοῦντας ἡμᾶς εὐλογεῖσθαι ὑπὸ τοῦ θεοῦ, τοὺς δὲ κατα-
ρωμένους ὑπὸ κατάραν ἔσεσθαι, πᾶσάν τε γῆς φυλὴν ἐν ἡμῖν εὐλο-
γεῖσθαι (ὅτε καὶ περὶ ἡμῶν εἶποι ἂν ὁ λόγος· »Ἐπορεύθη«, ὡς εἴρη-
ται περὶ Ἀβραάμ· »Καὶ ἐπορεύθη Ἀβραάμ, καθάπερ ἐλάλησεν αὐτῷ
»κύριος«· οἶμαι δὲ ὅτι ἐν ταῖς ἀρχαῖς καὶ ἐπὶ ποσὸν ὁ Λὼτ ἕψεται
ἡμῖν, οὐ σύμβολον ἦν τὸ »Καὶ ᾤχετο μετ' αὐτοῦ Λώτ«), καὶ ἐπανελ-
θόντες εἰς γῆν Χαναὰν διοδεύσομεν τὴν γῆν ἕως τοῦ τόπου Συχέμ,
οὕτω τῇ ἀναβάσει τῆς διανοίας προκόπτοντες ἕως ἔλθωμεν ἐπὶ τὴν
70 ὀρῦν τὴν ὑψηλήν. καὶ ὀφθήσεται ἡμῖν κύριος ὁ θεός, ὁ ὀφθεὶς τῷ
Ἀβραάμ, καὶ ἐπαγγελεῖται ⟨τὴν⟩ περὶ τὴν ὑψηλὴν ὀρῦν γῆν δοῦναι
71 τῷ νοητῷ τῆς ψυχῆς ἡμῶν σπέρματι. τοῦ δὲ νοήσαντός ἐστιν τὸ
»Τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε« καὶ τὸ οἰκοδομῆσαι θυσιαστήριον 320B
κυρίῳ τῷ ὄπου ἡ ὑψηλὴ ὀρῦς ἐπιφαινομένῳ καὶ ἡμῖν, καὶ μετὰ ταῦτα
ἀποστῆναι ἀπὸ τοῦ τόπου τῆς ὑψηλῆς ὀρυὸς ὡς ἐπὶ τὸ ὄρος, καὶ
τοῦ ὄρους κατὰ τὰς ἀνατολὰς τῆς Βαιθήλ, ὃ ἑρμηνεύεται »Οἶκος
θεοῦ«, ἔνθα στήσει ἑαυτοῦ τὴν σκηνήν, τῆς μὲν Βαιθὴλ ὡς ἐπὶ κατὰ
θάλασσαν, τῆς δὲ Ἀγγαὶ ὡς ἐπὶ κατ' ἀνατολάς· ἑρμηνεύεται δὲ Ἀγγαὶ
72 »Ἑορταί«. καὶ ὡς προκόπτων γε ὁ τοιοῦτος μετὰ ταῦτα δεύτερον

2 Vgl. Philo, de migr. Abr. § 1ff. We — **6** Joh. 8, 39. — **10** Gen. 12, 1. — **11** Vgl. Gen. 12, 2f. — **17** Vgl. Philo, de migr. Abr. 23, § 127ff. We — **18** Gen. 12, 4. — **20** Gen. 12, 4. — **21** Vgl. Gen. 12, 6. — **23** Vgl. Gen. 12, 7. — **24** Vgl. Gen. 12, 6. — **26** Joh. 8, 39. — **27** Vgl. Gen. 12, 8. — **29** Vgl. Lagarde, Onom. sacra p. 182, 93 *Βεθήλ· οἶκος θεοῦ*; vgl. 188, 59. Armen. Onom.: „Bethêl: Haus Gottes." — **31** Vgl. Lagarde, Onom. s. p. 181, 76: *Ἀγγαί· ἑορτή*; vgl. 176, 42. Armen. Onom.: „Angê: Feste."

8. 11 *καταλειπόντες* | **11** ὡς a. Ras. | **17** ὡς] *ὁς*, corr. V (doch steht d. Wort a. Ras.) | **21** *διοδεύσωμεν* M, corr. V (vgl. Z. 19 | **24** *ἐπαγγέλλεται*, corr. V | *τὴν* + Br | **31** *ἀγγει*, corr. V | *ἀγγαει*.

Digitized by Google

οἰκοδομήσει τῷ κυρίῳ θυσιαστήριον, ἤδη καὶ ἐπικαλεῖσθαι δυνάμενος ἐπὶ τῷ ὀνόματι τοῦ κυρίου. καὶ ἑξῆς ἀπαίρων κἀκεῖθεν ὁ ἐσόμενος τέκνον τοῦ Ἀβραάμ, γενόμενός πως στρατηγικώτερος καὶ συνιεὶς πρὸς ὅσους πολεμίους αὐτὸν παρασκευάσασθαι δεῖ, στρατοπεδεύσει ἐν τῇ
5 ἐρήμῳ. μετὰ ταῦτα πεῖραν λιμοῦ λήψεται τοῦ ἐπὶ τῆς γῆς καὶ εἰς 73
τὴν Αἴγυπτον καταβήσεται παροικῆσαι ἐκεῖ, ἵνα μὴ καὶ αὐτοῦ κατισχύσῃ ὁ λιμὸς ὁ ἐνισχύσας ἐπὶ τῆς γῆς. καὶ καταβήσεται εἰς Αἴγυπτον μετὰ τῆς εὐπροσώπου ἑαυτοῦ γυναικός, συνθήκας τινὰς τιθέμενος πρὸς αὐτήν, ἵν' ⟨εὖ⟩ ἑαυτῷ δι' αὐτὴν οἱ Αἰγύπτιοι χρήσωνται
10 καὶ γένωνται ἐν Αἰγύπτῳ »αὐτῷ πρόβατα καὶ μόσχοι καὶ ὄνοι καὶ »παῖδες καὶ παιδίσκαι καὶ ἡμίονοι καὶ κάμηλοι«. περὶ ὧν ἑκάστου 74
σοφοῦ τινος καὶ ἐπὶ τὰ βάθη τῆς γραφῆς ἐπισταμένως φθάνειν δυνα-
320R μένου ἔργον ἂν εἴη λέγειν καὶ ἁπαξαπλῶς γε πᾶσαν τὴν κατὰ τὸν Ἀβραὰμ ἱστορίαν βασανίζοντος καὶ ὅλα τὰ περὶ αὐτοῦ γεγραμμένα,
15 ἅτινά ἐστιν ἀλληγορούμενα· ⟨ἃ⟩ ὡς πνευματικοὶ πνευματικῶς ποιεῖν
244r πειρασόμεθα.

Ὅρα δὲ εἰ μὴ σαφῶς ἀπὸ τῆς ἐξετάσεως τῶν κατὰ τὸν τόπον 75
παρίσταται ἡμῖν, ὅτι σοφοῦ τινός ἐστιν καὶ πάσῃ ἀρετῇ κεκοσμημένου τὸ γενέσθαι τοῦ Ἀβραὰμ τέκνον. τί γὰρ δεῖ λέγειν ὅσης σοφίας 76
20 χρήζομεν εἰς τὸ νοῆσαι τὰ ἔργα τοῦ Ἀβραάμ; καὶ ὅσης δυνάμεως εἰς τὸ ποιῆσαι αὐτά; ποίας δὲ σοφίας ἢ ποίας δυνάμεως δεόμεθα, ἢ Χριστοῦ, ὅς ἐστιν »θεοῦ δύναμις καὶ θεοῦ σοφία;« τὸ μὲν οὖν γεγραμμέ- 77
νον ἐστίν· »Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«· ἀκολούθως δ' ἂν παρὰ τοῦτο εἴποις· εἰ τέκνα τοῦ Ἰσαάκ ἐστε, τὰ
25 ἔργα τοῦ Ἰσαὰκ ποιεῖτε· τὰ δὲ ὅμοια καὶ περὶ τοῦ Ἰακὼβ καὶ ἑνὸς ἑκάστου τῶν ἁγίων πατέρων. καὶ ἐκ τῶν ἐναντίων δὲ ἕκαστος τῶν 78
ἁμαρτανόντων γενικῶς μὲν τέκνον ἐστὶν τοῦ διαβόλου. ἐπεὶ πᾶς »ὁ »ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου γεγένηται«, ἤδη δὲ καὶ ἰδικώτερον ἤτοι τοῦ Κάϊν, ἢ τοῦ Χάμ, ἢ τοῦ Χαναάν, ἢ τοῦ Φαραώ, ἢ τοῦ
30 Ναβουχοδονόσορ, ἤ τινος τῶν ἀσεβῶν. τούτοις δὲ ἀκολούθως ἐρεῖς 79
ὅτι ἕκαστος ἀπαλλαττόμενος τοῦ βίου τούτου ἀπελεύσεται πρὸς τοὺς
297H ἰδίους πατέρας· νομιστέον γὰρ οὐ μόνῳ τῷ Ἀβραάμ, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις λέγεσθαι πρὸς τῇ ἐξόδῳ τὸ »Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς »πατέρας σου«· οὐκέτι δὲ πᾶσιν ἀνθρώποις, ἀλλὰ μόνοις τοῖς ἁγίοις

2 Vgl. Gen. 12, 9. — 5 Vgl. Gen. 12, 10f. — 7 Vgl. Gen. 12, 11f. — 9 Gen. 12, 16. — 15 Vgl. Gal. 4, 24. — 22 I Kor. 1, 24. — 23 Joh. 8, 39. — 27 I Joh. 3, 8. — 33 Gen. 15, 15.

9 ἵν' ⟨εὖ⟩] über ἵν ist in M etwas zugesetzt, das etwa wie ω̃ aussieht; viell. soll es das nach Gen. 12, 16 unentbehrliche εὖ sein | 14 βασανίζοντες, corr. We | 15 ⟨ἃ⟩ + We | 24 ἐστε | 25 Ἰσαάκ (ἰσὰκ M) ü. d. Z. | 30 Ναβουχοδονόσορ] β a. Ras.

Digitized by Google

τὸ »Μετὰ εἰρήνης« · τοῖς δὲ τετελειωμένοις καὶ πνευματικῶς μακροημέροις γενομένοις καὶ τὸ »Τραφεὶς ἐν γήρᾳ καλῷ«, ἐπείπερ »Πολιά »ἐστιν φρόνησις ἀνθρώποις« καὶ »Στέφανος καυχήσεως γῆρας« καὶ δόξα τοῖς ἀληθινοῖς καὶ θείοις πρεσβυτέροις αἱ κοσμοῦσαι αὐτοὺς νοηταὶ πολιαί.

VIII, 40. *Νῦν δὲ ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ θεοῦ.*

80 XI. *Οἱ ζητοῦντες ἀποκτεῖναι, ἐπεὶ θεὸς οὐκ ἀποκτίννυται, κἂν ἀποκτιννύωσιν, ἄνθρωπον ἀποκτιννύουσιν. κἂν ζητῶσιν ἀποκτεῖναι, μήπω ἀποκτιννύντες, οὐχὶ θεὸν νομίζοντες εἶναι, ᾧ ἐπιβουλεύουσιν, ὡς ἀνθρώπῳ ἐπιβουλεύουσιν· οὐδεὶς γὰρ πειθόμενος εἶναι θεὸν τοῦτον*
81 *ᾧ ἐπιβουλεύει, ἐπιβουλεύσαι ἂν αὐτῷ ἔτι. ἔστι δέ πως ἀεὶ θεωρῆσαι τοὺς τῷ λόγῳ τοῦ θεοῦ ἐπιβουλεύοντας, ὅτι ἀποκτεῖναι ζητοῦσιν καὶ ἐξαφανίσαι αὐτόν, ἄνθρωπον αὐτόν, τουτέστιν ἀνθρώπινον καὶ θνητόν, εἶναι ὑπολαμβάνοντες, ἢ καὶ τῷ ἀνθρωπινωτέρῳ αὐτοῦ καὶ* 15
βλεπομένῳ ἐπιτίθενται· ἵνα δὲ καὶ ἀποκτείνωσιν τὸ σῶμα τοῦ λόγου, 321 R
82 *σαφὲς ὅτι μετὰ ταῦτα οὐδὲν δύνανται ποιῆσαι περισσότερον. διόπερ οὐ φοβητέον ἡμῖν ἀπὸ τῶν ἀποκτιννύντων τὸ σῶμα, μετὰ δὲ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι, οὐδὲ φοβητέον ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν τοῦ λόγου ἀποκτεῖναι μὴ* 244 V
83 *δυναμένων. ἀλλ' εἰ τοιοῦτός τίς ἐστιν ⟨ὁ⟩ λόγος ὥστε καὶ τὸ σῶμα αὐτοῦ καὶ τὴν ψυχήν, τῷ ἄξια εἶναι ἀπωλείας, ἀπόλλυσθαι δύνασθαι, φοβητέον τὸν δυνάμενον θεὸν λόγον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι καὶ ἐξαφανίσαι, εἴτε ἐν γεέννῃ εἴτε ὅπως βούλεται· ὁ κύριος γὰρ* 25
Ἰησοῦς ἀναλοῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργεῖ τῇ ἐπιφανείᾳ τῆς παρουσίας ἑαυτοῦ τὸν ἀντικείμενον λόγον καὶ ἐπαιρό-
84 *μενον ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα. καὶ ζητοῦσί γε οὗτοι πρὸς οὓς ὁ λόγος ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκεν,*
85 *ἣν ἤκουσεν παρὰ τοῦ θεοῦ καὶ εἴληφεν. κἂν ἁπλούστερον μέντοι γε*

2 Gen. 15, 15. — Weish. Sal. 4, 9. — 3 Prov. 16, 31. — 4 Vgl. Prov. 20, 23. — 16. 23 Vgl. Matth. 10, 28; Luk. 12, 4. — 24 Vgl. II Thess. 2, 8 (Jes. 11, 4). — 26 Vgl. II Thess. 2, 4. — 28 Vgl. Joh. 8, 40.

1 *μακροημερῶς*, corr. V | 6 nach *ζητεῖτε* + *με* V ü. d. Z. Die Zeugen von T lesen das Wort einstimmig; nicht anders Orig., C. Cels. VII, 16 [II, 167, 20 K.] u. a. a. Stellen bei Griesbach, Symb. crit. II, 431. Dass es Orig. aber hier in seinem Texte nicht hatte, beweist die folgende Ausführung | 9 *ἀποκτιννύουσιν*] *ἀποκτεινύωσιν* | 10 *θεὸν*] *θεῷ*, corr. V | 12 *ἀεὶ πῶς ἀεὶ* M | 15 *ᾗ* We | 17 *σαφῶς* | 20 *ἀποκτενόντων* | 21 ⟨*ὁ*⟩ + V | 25 *σώματος*, corr. Ru | *τῇ*] *τὴν*.

Digitized by Google

κατὰ τὸν τόπον ἐκλαμβάνωμεν, σαφῶς ἐδίδαξεν ὁ σωτὴρ ὅτι τὸ ζητούμενον ὑπὸ Ἰουδαίων ἐπὶ τῷ ἀναιρεθῆναι αὐτὸ θεὸς οὐκ ἦν ἀλλὰ ἄνθρωπος, ὃς καὶ ἀνῃρέθη· θεὸν γὰρ οὐ θεμιτὸν ἀποθνήσκειν λέγειν· διόπερ ὁ ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγος, ὅστις καὶ θεὸς λόγος ἦν, οὐκ ἀπέθανεν. ζητήσεις δέ, ἐπεὶ γέγραπται ὅτι »Ὁ λόγος σὰρξ
298H »ἐγένετο«, πότερόν ποτε ὁ γενόμενος σὰρξ λόγος τῷ γεγονέναι σὰρξ γέγονεν καὶ ἄνθρωπος ἢ οὐ γέγονεν ἄνθρωπος. εἰ μὲν γὰρ γέγονεν 86
ἄνθρωπος, δύναται αὐτὸς ἐζητῆσθαι ἀναιρεθῆναι· εἰ δὲ μὴ γέγονεν ἄνθρωπος, καὶ ὁ γενόμενος σὰρξ λόγος οὐκ ἀναιρεθεὶς ἀποκατέστη, καὶ ἀποκαθίσταται ἕκαστος ἐπὶ τοῦτο ὅπερ ἦν πρὶν γένηται σάρξ.

VIII, 40. *Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν.*

XII. Τὸ μηδαμῶς δυνατὸν πραχθῆναι τῷ Ἀβραάμ, εἰ μὴ πε- 87
ποίηκεν Ἀβραάμ, ὡς ἔτυχεν ἀνειρῆσθαι δόξει τὸ »Τοῦτο Ἀβραὰμ »οὐκ ἐποίησεν«. εἴποιεν γὰρ ἂν πρὸς τοῦτό τινες ὅτι μάτην λέγεται τὸ »Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν«, εἴπερ οὐκ ἐποίησεν τὸ μηδαμῶς γενόμενον κατὰ τὸν χρόνον αὐτοῦ· οὐ γὰρ γεγόνει κατὰ τὸν χρόνον αὐτοῦ ὁ Ἰησοῦς. ἀλλ᾽ ἐπεὶ τὸ »Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν« οἱονεὶ 88
ἐν ἐπαίνῳ ὑπολαμβάνω εἰρῆσθαι τῷ περὶ τοῦ Ἀβραάμ, εἴποιμ᾽ ἂν ὅτι κατὰ τὸν διδάξαντα λόγον τὸ »Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιά-
322R »σατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδεν καὶ ἐχάρη« ἔστιν τὸ γεγονέναι μὲν καὶ ἐπὶ τοῦ Ἀβραὰμ ἄνθρωπον λαλοῦντα ἣν ἤκουσεν παρὰ τοῦ θεοῦ ἀλήθειαν, οὐ μὴν ἐζητῆσθαι αὐτὸν ἀνῃρῆσθαι ὑπὸ τοῦ Ἀβραάμ. καὶ ἐπίστησον ὅτι οὐκ ἔστιν ὅτε ὁ κατὰ τὸν Ἰησοῦν 89
τροπικῶς νοούμενος ἄνθρωπος οὐκ ἐπεδήμει τῷ βίῳ, καὶ μετὰ τοὺς τῆς περὶ αὐτοῦ ἱστορίας χρόνους καὶ πρότερον. κατὰ τοῦτο δὲ οἶομαι πάντα τὸν ἅπαξ φωτισθέντα καὶ γευσάμενον δωρεᾶς ἐπουρανίου μέτοχόν τε γενηθέντα πνεύματος ἁγίου, καὶ καλὸν γευσάμενον θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος καὶ παραπεσόντα πάλιν, ἀνακαινίζειν ἑαυτὸν εἰς μετάνοιαν, ἤτοι προσταυροῦντα ἢ ἀνασταυ-
245r ροῦντα τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντα, εἴτε πρὸ τῆς ἱστορουμένης σωματικῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας εἴτε καὶ ὕστερον. οὐ γὰρ ὁ μὲν νῦν μετὰ τὸν φωτισμὸν καὶ τὰς λοιπὰς εἰς 90
αὐτὸν τοῦ θεοῦ εὐεργεσίας ἁμαρτάνων ἀνασταυροῖ τὸν υἱὸν τοῦ

4 Vgl. Joh. 1, 1. — **5** Joh. 1, 14. — **19** Joh. 8, 56. — **21** Vgl. Joh. 8, 40. — **26** Vgl. Hebr. 6, 4. — **27** Vgl. Hebr. 6, 5f.

5 ἐπεὶ] ἐπὶ | **9** ἀποκατέστη] ἀπεκατέστη V; vgl. dazu Winer-Schmiedel § 12, 7; Blass, Gramm. d. neutest. Griech. § 16, 7. Ob freilich Origenes schon so schrieb, ist fraglich | **10** ἑκάστω, corr. We | **16** γενόμενον] γενέσθαι δυνάμενον We | **18** ἐπαίνῳ] π a. Ras. | **20** ἴδῃ] εἴδη, corr. V | εἶδεν] ἴδεν, corr. V | **28** παραπεσόντας. corr. Ausgg. | **29** ἑαυτῶ, corr. Ru.

Digitized by Google

τὸ »Μετὰ εἰρήνης«· τοῖς δὲ τετελειωμένοις καὶ πνευματικῶς μακροημέροις γενομένοις καὶ τὸ »Τραφεὶς ἐν γήρᾳ καλῷ«, ἐπείπερ »Πολιά »ἐστιν φρόνησις ἀνθρώποις« καὶ »Στέφανος καυχήσεως γῆρας« καὶ δόξα τοῖς ἀληθινοῖς καὶ θείοις πρεσβυτέροις αἱ κοσμοῦσαι αὐτοὺς νοηταὶ πολιαί.

VIII, 40. *Νῦν δὲ ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ θεοῦ.*

80 XI. *Οἱ ζητοῦντες ἀποκτεῖναι, ἐπεὶ θεὸς οὐκ ἀποκτίννυται, κἂν ἀποκτιννύωσιν, ἄνθρωπον ἀποκτινύουσιν. κἂν ζητῶσιν ἀποκτεῖναι, μήπω ἀποκτιννύντες, οὐχὶ θεὸν νομίζοντες εἶναι, ᾧ ἐπιβουλεύουσιν,* 10 *οἷς ἀνθρώπῳ ἐπιβουλεύουσιν· οὐδεὶς γὰρ πειθόμενος εἶναι θεὸν τοῦτον*
81 *ᾧ ἐπιβουλεύει, ἐπιβουλεύσαι ἂν αὐτῷ ἔτι. ἔστι δέ πως ἀεὶ θεωρῆσαι τοὺς τῷ λόγῳ τοῦ θεοῦ ἐπιβουλεύοντας, ὅτι ἀποκτεῖναι ζητοῦσιν καὶ ἐξαφανίσαι αὐτόν, ἄνθρωπον αὐτόν, τουτέστιν ἀνθρώπινον καὶ θνητόν, εἶναι ὑπολαμβάνοντες, ἢ καὶ τῷ ἀνθρωπινωτέρῳ αὐτοῦ καὶ* 15 *βλεπομένῳ ἐπιτίθενται· ἵνα δὲ καὶ ἀποκτείνωσιν τὸ σῶμα τοῦ λόγου,* 321 B
82 *σαφὲς ὅτι μετὰ ταῦτα οὐδὲν δύνανται ποιῆσαι περισσότερον. διόπερ οὐ φοβητέον ἡμῖν ἀπὸ τῶν ἀποκτιννύντων τὸ σῶμα, μετὰ δὲ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι, οὐδὲ φοβητέον ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν τοῦ λόγου ἀποκτεῖναι μὴ* 244 V
83 *δυναμένων. ἀλλ' εἰ τοιοῦτός τίς ἐστιν ⟨ὁ⟩ λόγος ὥστε καὶ τὸ σῶμα αὐτοῦ καὶ τὴν ψυχήν, τῷ ἄξια εἶναι ἀπωλείας, ἀπόλλυσθαι δύνασθαι, φοβητέον τὸν δυνάμενον θεὸν λόγον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι* 25 *καὶ ἐξαφανίσαι, εἴτε ἐν γεέννῃ εἴτε ὅπως βούλεται· ὁ κύριος γὰρ Ἰησοῦς ἀναλοῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργεῖ τῇ ἐπιφανείᾳ τῆς παρουσίας ἑαυτοῦ τὸν ἀντικείμενον λόγον καὶ ἐπαιρό-*
84 *μενον ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα. καὶ ζητοῦσί γε οὗτοι πρὸς οὓς ὁ λόγος ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκεν,*
85 *ἣν ἤκουσεν παρὰ τοῦ θεοῦ καὶ εἴληφεν. κἂν ἁπλούστερον μέντοι γε*

2 Gen. 15, 15. — Weish. Sal. 4, 9. — 3 Prov. 16, 31. — 4 Vgl. Prov. 20, 23. — 16. 23 Vgl. Matth. 10, 28; Luk. 12, 4. — 24 Vgl. II Thess. 2, 8 (Jes. 11, 4). — 26 Vgl. II Thess. 2, 4. — 28 Vgl. Joh. 8, 40.

1 *μακροημερῶς*, corr. V | 6 nach *ζητεῖτε* + *με* V ü. d. Z. Die Zeugen von T lesen das Wort einstimmig; nicht anders Orig., C. Cels. VII, 16 [II, 167, 20 K.] u. a. a. Stellen bei Griesbach, Symb. crit. II, 431. Dass es Orig. aber hier in seinem Texte nicht hatte, beweist die folgende Ausführung | 9 *ἀποκτιννύουσιν*] *ἀποκτειννύωσιν* | 10 *θεὸν*] *θεῶ*, corr. V | 12 *ἀεὶ πῶς ἀεὶ* M | 15 *ᾗ* We | 17 *σαφῶς* | 20 *ἀποκτενόντων* | 21 ⟨*ὁ*⟩ + V | 25 *σώματος*, corr. Ru | *τῇ*] *τὴν*.

Digitized by Google

κατὰ τὸν τόπον ἐκλαμβάνωμεν, σαφῶς ἐδίδαξεν ὁ σωτὴρ ὅτι τὸ ζητούμενον ὑπὸ Ἰουδαίων ἐπὶ τῷ ἀναιρεθῆναι αὐτὸ θεὸς οὐκ ἦν ἀλλὰ ἄνθρωπος, ὃς καὶ ἀνῃρέθη· θεὸν γὰρ οὐ θεμιτὸν ἀποθνήσκειν λέγειν· διόπερ ὁ ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγος, ὅστις καὶ θεὸς λόγος ἦν, οὐκ ἀπέθανεν. ζητήσεις δέ, ἐπεὶ γέγραπται ὅτι »Ὁ λόγος σὰρξ
298H »ἐγένετο«, πότερόν ποτε ὁ γενόμενος σὰρξ λόγος τῷ γεγονέναι σὰρξ γέγονεν καὶ ἄνθρωπος ἢ οὐ γέγονεν ἄνθρωπος. εἰ μὲν γὰρ γέγονεν 86 ἄνθρωπος, δύναται αὐτὸς ἐξητῆσθαι ἀναιρεθῆναι· εἰ δὲ μὴ γέγονεν ἄνθρωπος, καὶ ὁ γενόμενος σὰρξ λόγος οὐκ ἀναιρεθεὶς ἀποκατέστη. καὶ ἀποκαθίσταται ἕκαστος ἐπὶ τοῦτο ὅπερ ἦν πρὶν γένηται σάρξ.

VIII, 40. *Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν.*

XII. *Τὸ μηδαμῶς δυνατὸν πραχθῆναι τῷ Ἀβραάμ, εἰ μὴ πε-* 87
ποίηκεν Ἀβραάμ, ὡς ἔτυχεν ἀνειρῆσθαι δόξει τὸ »Τοῦτο Ἀβραὰμ »οὐκ ἐποίησεν«. εἴποιεν γὰρ ἂν πρὸς τοῦτό τινες ὅτι μάτην λέγεται τὸ »Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν«, εἴπερ οὐκ ἐποίησεν τὸ μηδαμῶς γενόμενον κατὰ τὸν χρόνον αὐτοῦ· οὐ γὰρ γεγόνει κατὰ τὸν χρόνον αὐτοῦ ὁ Ἰησοῦς. ἀλλ' ἐπεὶ τὸ »Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν« οἱονεὶ 88
ἐν ἐπαίνῳ ὑπολαμβάνω εἰρῆσθαι τῷ περὶ τοῦ Ἀβραάμ, εἴποιμ' ἂν ὅτι κατὰ τὸν διδάξαντα λόγον τὸ »Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιά-
322R *»σατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδεν καὶ ἐχάρη« ἔστιν τὸ γεγονέναι μὲν καὶ ἐπὶ τοῦ Ἀβραὰμ ἄνθρωπον λαλοῦντα ἣν ἤκουσεν παρὰ τοῦ θεοῦ ἀλήθειαν, οὐ μὴν ἐζητῆσθαι αὐτὸν ἀνῃρῆσθαι ὑπὸ τοῦ Ἀβραάμ. καὶ ἐπίστησον ὅτι οὐκ ἔστιν ὅτε ὁ κατὰ τὸν Ἰησοῦν* 89
τροπικῶς νοούμενος ἄνθρωπος οὐκ ἐπεδήμει τῷ βίῳ, καὶ μετὰ τοὺς τῆς περὶ αὐτοῦ ἱστορίας χρόνους καὶ πρότερον. κατὰ τοῦτο δὲ οἶομαι πάντα τὸν ἅπαξ φωτισθέντα καὶ γευσάμενον δωρεᾶς ἐπουρανίου μέτοχόν τε γενηθέντα πνεύματος ἁγίου, καὶ καλὸν γευσάμενον θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος καὶ παραπεσόντα πάλιν, ἀνακαινίζειν ἑαυτὸν εἰς μετάνοιαν, ἤτοι προσταυροῦντα ἢ ἀναστα-
245r *ροῦντα τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντα, εἴτε πρὸ τῆς ἱστορουμένης σωματικῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας εἴτε καὶ ὕστερον. οὐ γὰρ ὁ μὲν νῦν μετὰ τὸν φωτισμὸν καὶ τὰς λοιπὰς εἰς* 90
αὐτὸν τοῦ θεοῦ εὐεργεσίας ἁμαρτάνων ἀνασταυροῖ τὸν υἱὸν τοῦ

4 Vgl. Joh. 1, 1. — **5** Joh. 1, 14. — **19** Joh. 8, 56. — **21** Vgl. Joh. 8, 40. — **26** Vgl. Hebr. 6, 4. — **27** Vgl. Hebr. 6, 5f.

5 ἐπεὶ] ἐπὶ | **9** ἀποκατέστη] ἀπεκατέστη V; vgl. dazu Winer-Schmiedel § 12, 7; Blass, Gramm. d. neutest. Griech. § 16, 7. Ob freilich Origenes schon so schrieb, ist fraglich | **10** ἑκάστω, corr. We | **16** γενόμενον] γενέσθαι δυνάμενον We | **18** ἐπαίνῳ] π a. Ras. | 20 ἴδῃ] εἴδῃ, corr. V | εἶδεν] ἴδεν, corr. V | **28** παραπεσόντας. corr. Ausgg. | **29** ἑαυτῶ, corr. Ru.

Digitized by Google

θεοῦ διὰ τῶν ἰδίων ἁμαρτημάτων ἐφ' ἃ ἐπαλινδρόμησεν. οὐδὲν τῆς κοινότερον λεγομένης σωματικῆς πρὸς τὸ σταυρῶσαι τὸν υἱὸν τοῦ θεοῦ ἐνεργείας ἐπιτελῶν, οὐχὶ δὲ καὶ πρότερον τοῦτο ἐγίνετο καὶ ὁ ἁμαρτάνων μετὰ τὸ ἀκοῦσαι θείων λόγων προεσταύρου τὸν υἱὸν
91 τοῦ θεοῦ. εἰ τῳ δὲ φίλον παραδέξασθαι τὸ ἐν ταῖς Παύλου Πράξεσιν ἀναγεγραμμένον ὡς ὑπὸ τοῦ σωτῆρος εἰρημένον· »Ἄνωθεν μέλλω »σταυροῦσθαι«, οὗτος, ὡς μετὰ τὴν ἐπιδημίαν παραδέχεται τὸ »Ἄνω»θεν μέλλω σταυροῦσθαι« γινόμενον, οὕτω καὶ πρὸ τῆς ἐπιδημίας, ὅταν τὰ αὐτὰ αἴτια γίνηται τὸ λέγεσθαι ἄν· »ἤδη μέλλω σταυροῦ-
92 σθαι«. διὰ τί γὰρ οὐχὶ ὡς »ἄνωθεν« μέλλει σταυροῦσθαι, καὶ πρότερον ἐσταύρωτο; ὅρα δὲ εἰ μὴ μόνων τῶν μετὰ τὴν παρουσίαν 299 H ἐστὶν ἁγίων φωνὴ τὸ »Χριστῷ συνεσταύρωμαι«, ἀλλὰ καὶ τῶν προτέρων, ἵνα μὴ διαφέρειν λέγωμεν τοὺς μετὰ τὴν παρουσίαν ἁγίους
93 Μωσέως καὶ τῶν πατριαρχῶν. καὶ τὸ »Ζῶ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν »ἐμοὶ Χριστός« λεγέσθω μὴ μόνον ὑπὸ τῶν μετὰ τὴν παρουσίαν ἀλλὰ καὶ ὑπὸ τῶν προτέρων. ἐφίστημι δὲ καὶ τῷ »Θεὸς Ἀβραὰμ »καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ· θεὸς δὲ οὐκ ἔστι νεκρῶν ἀλλὰ »ζώντων« εἰρημένῳ ὑπὸ τοῦ σωτῆρος, μήποτε διὰ τοῦτο ζῶντές εἰσιν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐπεὶ καὶ αὐτοὶ συνταφέντες τῷ χριστῷ συνανέστησαν αὐτῷ, οὐ πάντως κατὰ τὴν σωματικὴν τοῦ Ἰησοῦ ταφὴν ἢ σωματικὴν ἀνάστασιν αὐτοῦ. ταῦτα πρὸς τὸ »Τοῦτο »Ἀβραὰμ οὐκ ἐποίησε«.
94 Τί δὲ »τοῦτο« ἢ τὸ ζητεῖν ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκεν ἣν ἤκουσε παρὰ τοῦ θεοῦ; ἀποδίδομεν γὰρ ὡς ἄρα 323 R
ἡ κατὰ τὸν Ἰησοῦν πνευματικὴ οἰκονομία οὐκ ἔστιν ὅτε τοῖς ἁγίοις
95 οὐκ ἦν. ἐὰν δὲ ἀνάγαγῃς ταῦτα, ὥσπερ ὑπονενοήκαμεν ἐν ἄλλοις, ἑτέρως παρὰ τὸ κοινότερον ἐπὶ μυστικώτερον Ἀβραάμ, ὁμοίως πάντα τὰ κατὰ τὸν τόπον ἐξομαλίσαι πειράσει, ζητῶν τὴν ἑκάστου τούτων ἀκολουθίαν.

VIII, 41. Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν.

96 XIII. Ὅσον ἐπὶ τῷ ῥητῷ τούτῳ οὐκ ἔστι σαφὲς τίνα θέλει εἰπεῖν πατέρα τῶν πεπιστευκότων αὐτῷ Ἰουδαίων καὶ μηδέπω ἐγνωκότων
97 τὴν ἀλήθειαν· πρὸς αὐτοὺς γὰρ ταῦτα πάντα φησί. καὶ εἰ μὴ ἐπε-

5 Vgl. Hilgenfeld, NT extra canon. recept. IV, 69 sq. — **12** Gal. 2, 19. — **14** Gal. 2, 20. — **16** Matth. 22, 32 (Syr. Sin.) — **19** Vgl. Röm. 6, 4. — **21** Joh. 8, 40. — **32** Vgl. Joh. 8, 31 f.

4 θείας, corr. V | τὸ] τοῦ, corr. We | **12** τὸ] τῷ M, corr. Pr, denn Gal. 2, 19 fehlt der Artikel | **16** τῷ] τὸ. corr. V | **20** συναρέστησαν, corr. V | **26** ἕτερος, corr. We.

Digitized by Google

φέρετο μετ' ὀλίγα τὸ »Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ »τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν«, κἂν σαφῶς οὐκ
245v ἐγνώκειμεν τὸ βούλημα τοῦ | εἰρημένου. οὐ θαυμαστὸν δὲ εἰ τοῖς 98
πεπιστευκόσιν αὐτῷ Ἰουδαίοις, μηδέπω μείνασιν αὐτοῦ ἐν τῷ λόγῳ,
ἵνα ἀληθῶς αὐτοῦ γένωνται μαθηταὶ καὶ γνῶσιν τὴν ἀλήθειαν ἐπὶ
τῷ ἐλευθερωθῆναι ὑπ' αὐτῆς, ἔλεγεν τὸ »Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ
»πατρὸς ὑμῶν« καί, ὡς ἐν τοῖς ἑξῆς ἐπιφέρεται, τὸ »Ὑμεῖς ἐκ τοῦ
»πατρὸς τοῦ διαβόλου ἐστέ«. κἂν γὰρ ἀπηνὲς εἶναι δοκῇ τὸ τοιοῦτο 99
λεγόμενον περὶ πεπιστευκότων μὲν αὐτῷ καὶ μαθητευθέντων πως,
οὐ μὴν ἤδη ἀληθῶς χρηματισάντων μαθητῶν τοῦ Ἰησοῦ, ὅμως κατα-
νοητέον καὶ τὸ ἐν τῇ καθολικῇ ἐπιστολῇ ὑπὸ Ἰωάννου εἰρημένον
περὶ υἱῶν θεοῦ καὶ υἱῶν διαβόλου· »Ὁ ποιῶν, γάρ φησι, τὴν ἁμαρ-
»τίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει.
»εἰς τοῦτο ἐνεφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ 100
»διαβόλου. πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι
300H »σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ
»τοῦ θεοῦ γεγέννηται. ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ θεοῦ 101
»καὶ τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ὢν δίκαιος οὐκ ἔστιν ἐκ τοῦ
»θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ«. τῶν ῥητῶν τοίνυν 102
τούτων οὕτως ἐχόντων κατανόησον εἰ μὴ σαφῶς εἴρηται ὅτι πᾶς
»ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν«. ὅσον ποιοῦμεν 103
ἁμαρτίας, οὐδέπω τὴν ἐκ τοῦ διαβόλου γένεσιν ἀπεδυσάμεθα, κἂν
πιστεύειν εἰς τὸν Ἰησοῦν νομιζώμεθα· καὶ τούτῳ ἀκόλουθόν ἐστιν
τὸ λέγεσθαι τοῖς πεπιστευκόσιν Ἰουδαίοις ὑπὸ τοῦ Ἰησοῦ· »Ὑμεῖς
»ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν« ἀναφερομένου »τοῦ πατρὸς«
ἐπὶ τὸν διάβολον διὰ τὸ »Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ«.
324R εἰ δὲ πᾶς »ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν«, πᾶς ὁ 104
μὴ ὢν ἐκ τοῦ διαβόλου οὐ ποιεῖ τὴν ἁμαρτίαν. ἀλλὰ καὶ εἴπερ »εἰς 105
»τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διά-
»βόλου«, ὅσον οὐδέπω τὰ ἐν ἡμῖν ἔλυσεν ἔργα τοῦ διαβόλου, τῷ μὴ
παρεστακέναι ἡμᾶς ἑαυτοὺς τῷ λύοντι τὰ ἔργα τοῦ διαβόλου, οὐ-
δέπω ἀπεθέμεθα τὸ εἶναι τέκνα τοῦ διαβόλου, ἀπὸ τῶν καρπῶν
ἐπιγινωσκόμενοι τίνος ἐσμὲν υἱοί. καὶ ἐκ τούτων μέντοι γε δῆλόν 106
ἐστιν ὅτι οὐ διὰ κατασκευὴν υἱός τίς ἐστιν διαβόλου, οὐδὲ διὰ τὸ
οὕτως δεδημιουργῆσθαι υἱός τις ἐν ἀνθρώποις λέγεται τοῦ θεοῦ·

1 Joh. 8, 44. — **6** Joh. 8, 41. — **12** I Joh. 3, 8—10. — **21** I Joh. 3, 8. — **24** Vgl. Joh. 8, 31. — Joh. 8, 41. — **26** Joh. 8, 44. — **28** Joh. 8, 44. — **32** Vgl. Matth. 7, 16.

15 *γεγενημένος*, corr. Ausgg. | **17** *γεγέννηται*, corr. Ausgg. | **18** *ὁ μὴ ὢν δίκαιος* mit Vulg.m, Syr. hcl mg, Sah., Cypr., Lucif., *ὁ μὴ ποιῶν δικαιοσύνην* d. Hss. | **19** *τὸν* a. Ras | **31** *παρεστηκέναι*, corr. We.

Digitized by Google

καὶ δῆλον ὅτι δύναται ὁ ποτὲ υἱὸς τοῦ διαβόλου γενέσθαι υἱὸς τοῦ θεοῦ, ὅπερ σαφὲς καὶ ὁ Ματθαῖος ποιεῖ ἀναγράφων τὸν σωτῆρα οὕτως εἰρηκέναι· »Ἠκούσατε ὅτι ἐρρέθη· Ἀγαπήσεις τὸν πλησίον »σοῦ καὶ μισήσεις τὸν ἐχθρόν σου· ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπήσατε »τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς· 5
107 »ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς«. προσέχετε γὰρ ὅτι ἐκ τοῦ »ἀγαπᾶτε τοὺς ἐχθροὺς« καὶ »προσεύχεσθε »ὑπὲρ τῶν διωκόντων« ὁ μὴ πρότερον τοῦ ἐν οὐρανοῖς πατρός, ὕστερον αὐτοῦ | γίνεται υἱός· ἔτι δὲ διὰ τὸ »Ἐν τούτῳ φανερά 246r
»ἐστιν τὰ † ἔργα τοῦ θεοῦ καὶ τὰ † ἔργα τοῦ διαβόλου« προειρη- 10
μένων περὶ μὲν τοῦ διαβόλου τέκνων ὅτι »Ὁ ποιῶν τὴν ἁμαρτίαν »ἐκ τοῦ διαβόλου ἐστίν«· περὶ δὲ τῶν τοῦ θεοῦ ὅτι »Πᾶς ὁ γεγεννη- »μένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ »μένει καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται«. σαφὲς ὅτι πᾶς ἄνθρωπος συμπεπληρωκὼς τὸν λόγον ἤτοι τέκνον 15
τοῦ θεοῦ ἐστιν ἢ τέκνον τοῦ διαβόλου· ἤτοι γὰρ ποιεῖ ἁμαρτίαν ἢ ἁμαρτίαν οὐ ποιεῖ, οὐδενὸς ὄντος μεταξὺ τοῦ ποιεῖν ἁμαρτίαν καὶ τοῦ ἁμαρτίαν μὴ ποιεῖν· καὶ εἰ μὲν ποιεῖ ἁμαρτίαν, ἐκ τοῦ διαβόλου ἐστίν· εἰ δὲ ἁμαρτίαν οὐ ποιεῖ, ἐκ τοῦ θεοῦ γεγέννηται.

108 XIV. Ἔχεται δὲ τῆς ἐν τούτοις περὶ τέκνων θεοῦ καὶ τέκνων 20
διαβόλου ἀποφάσεως τὰ ἐν τῇ αὐτῇ ἐπιστολῇ λεγόμενα περὶ τῶν 301H
ὄντων ἐν τῷ υἱῷ τοῦ θεοῦ καὶ τῶν μὴ ἑωρακότων αὐτόν· »Πᾶς »γάρ φησιν, ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων
109 »οὐχ ἑώρακεν αὐτόν«. οὐκοῦν εἰ πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει, ὁ ἁμαρτάνων οὐ μένει ἐν τῷ υἱῷ· καὶ εἰ πᾶς ὁ ἁμαρτάνων 25
110 οὐχ ἑώρακεν αὐτόν, ὁ ἑωρακὼς αὐτὸν οὐχ ἁμαρτάνει. ἅμα δὲ καὶ σημείωσαι, τί νοῶν ὁ Ἰωάννης εἶπεν τὸ »Πᾶς ὁ ἁμαρτάνων οὐχ »ἑώρακεν αὐτόν« ⟨δηλῶν⟩ διὰ τοῦ »Ἑώρακεν αὐτὸν« ὡς ἀεὶ δυνα- μένων εἶναι τῶν ὁρώντων τὸν υἱὸν τοῦ θεοῦ καὶ ἐκ τοῦ ἑωρακέναι 325R
αὐτὸν μεταλαμβανόντων δυνάμεως πρὸς τὸ μηδαμῶς ἁμαρτάνειν. 30
111 ἔτι φήσεις ὅτι τὸ »Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν« ὁτὲ

3 Matth. 5, 43–45. — 9 I Joh. 3, 10. — 11 I Joh. 3, 8. — 12 I Joh. 3, 9. — 22 I Joh. 3, 6. — 31 Joh. 8, 41.

4 ἀγαπήσατε wie u. S. 347, 7. 26 | 5 προσεἰχεσθαι | 6 προσεύχεσθαι M, corr. We; vgl. S. 345, 16 | 7 προσεἰχεσθαι, corr. Ausgg. | 8 nach μὴ + ὢν V; man könnte es nach πρότερον ausgefallen denken; aber der Zusatz ist überhaupt müssig | 9 ὅτι, corr. We | 10 statt ἔργα ist mit Ferrarius beidemale τέκνα zu l., nach I Joh. 3, 10. Das folgende (vgl. u. Z. 15f.) macht die Änderung nötig. Viell. liegt ein sehr alter Schreibfehler vor | 11 τοῦ διαβόλου] τοῦ διαβ a. Ras. | 12 γεγεννημένος] ς a. Ras. | 15. 16 τέκνων, corr. We | 22 αὐτὸν] αὐτῶν, corr. V | 27 σημειώσει, corr. Pr | 28 δηλῶν + Pr | τὸ, corr. We.

Digitized by Google

μὲν λέγοιτ᾽ ἂν πρὸς τοὺς υἱοὺς τοῦ διαβόλου, ὁτὲ δὲ πρὸς τοὺς υἱοὺς τοῦ θεοῦ. οἱ μὲν γὰρ ἁμαρτάνοντες ποιοῦσι τὰ ἔργα τοῦ πατρὸς αὐτῶν διαβόλου. οἱ δὲ κατορθοῦντες ποιοῦσι τὰ ἔργα τοῦ πατρὸς αὐτῶν θεοῦ. εἰκὸς δὲ ἐκ τούτων τινὰ κινηθήσεσθαι μὴ ἄρα 112
δύνηται ὁ αὐτός, τῷ ποιεῖν ἀγαθὰ καὶ πονηρὰ ἔργα ἀνὰ μέρος, διὰ μὲν τὰ ἀγαθὰ τέκνον εἶναι θεοῦ, διὰ δὲ τὰ ἐναντία τέκνον τοῦ διαβόλου. ἀλλὰ τοῦτο πρὸς τῷ ἀλογώτατον εἶναι οὐ δηλοῦται ἀπὸ τῶν ῥητῶν. ἀποφαίνεται γὰρ ὁ Ἰωάννης ὅτι »Πᾶς ὁ γεγεννημένος 113
»ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, »καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται«. πᾶς 114
τοίνυν ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ· οὐ μὴν γέγραπται ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ διαβόλου δικαιοσύνην οὐ ποιεῖ, ἀλλ᾽ »ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν«. πάλιν 115
οὐχὶ ὥσπερ εἴρηται· »Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου »ἐστίν«, οὕτως ἀναγέγραπται· »ὁ ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ »θεοῦ ἐστιν«. καὶ πρόσχες ταῖς διαφοραῖς τῶν προτάσεων, τίνα τρόπον μετὰ πάσης ἀκριβείας τῷ Ἰωάννῃ εἴρηνται, ὥστ᾽ ἂν θαυμάσαι τινὰ πῶς ἀλήπτως καί, ὡς ἂν εἴποιέν τινες, διαλεκτικῶς ἐξήνεγκεν αὐτάς, μὴ τὰ ὅμοια προενεγκάμενος περὶ τῶν ἐκ τοῦ διαβόλου καὶ τῶν ἐκ τοῦ θεοῦ· ὁμοίως δ᾽ ἂν ἐξήνεγκεν εἰ πεποιήκει. ὥσπερ τὸ »Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν«, οὕτως
246v »ὁ ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ θεοῦ ἐστιν« ἢ ὥσπερ ἀνέγραψεν ὅτι »Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ« πεποιήκει τὸ »πᾶς ὁ γεγεννημένος ἐκ τοῦ διαβόλου δικαιοσύνην οὐ ποιεῖ«.

XV. Μήποτε δὲ καὶ τῷ »Ἐστίν«, εἰρημένῳ ἐπὶ τοῦ ἐκ τοῦ διαβόλου, μὴ χρησάμενος ἐπὶ τῶν ἐκ τοῦ θεοῦ, ἢ τῷ »Γεγεννημένος«, 116
302H ἀναγεγραμμένῳ ἐπὶ τῶν ἐκ τοῦ θεοῦ, μὴ συγχρησάμενος ἐπὶ τῶν ἐκ τοῦ διαβόλου, πάνυ σοφώτατα ἐξέδωκεν. ἐπῆρεν γὰρ τὸν ἐκ 117
τοῦ θεοῦ, τὸ »Γεγεννημένον« τάξας ἐπ᾽ αὐτοῦ· ὅπερ εἰ καὶ ἐπὶ τοῦ ἐκ τοῦ διαβόλου εἴρητο, χεῖρον ἄν τι ἐνέφαινεν παρὰ τὸ »Ἐκ τοῦ »διαβόλου ἐστίν«. ἀλλὰ καὶ εἴπερ, ὡς ἐπὶ τοῦ ἐκ τοῦ διαβόλου 118
ἔταξεν τὸ »Ἐστίν«, πεποιήκει ἐπὶ τοῦ ἐκ τοῦ θεοῦ, ἔλαττον ἂν περὶ τὸν ἐκ τοῦ θεοῦ παρίστη, πολλῷ κρείττονος τυγχάνοντος τοῦ
326R γεγεννῆσθαι ἐκ τοῦ θεοῦ παρὰ τὸ εἶναι ἐκ τοῦ θεοῦ. φήσει δέ τις ὅτι τινὰ τῶν κτισμάτων ἐστὶν μὲν ἐκ τοῦ θεοῦ, οὐ μὴν γεγέννηται ἐκ τοῦ θεοῦ, καὶ πάντως ταῦτα ἐλάττονα ἔχει τάξιν ἐν τῷ παντὶ τῶν γεγεννῆσθαι λεγομένων ἐκ τοῦ θεοῦ. καὶ γενόμενός γε κατὰ 119

8 I Joh. 3, 9. — **13** I Joh. 3, 8. — **23** I Joh. 3, 9.

8 γεγενημένος, corr. V | **19** προσενεγκάμενος, corr. We | **22** ἀνέγραφεν, corr. Pr | **32** ἔλαττον ⟨τι⟩ παρὰ τὸ ἐκ τοῦ θεοῦ ⟨γεγενῆσθαι⟩? We | **35** κτισμάτων] τισ a. Ras. | **36** ἐλάττονα] ε a. Ras. | **37** γεγενῆσθαι, corr. V.

Digitized by Google

τὴν διαφορὰν τοῦ τε »Ἐστὶν ἐκ τοῦ διαβόλου« καὶ ⟨τοῦ⟩ »Γεγέννηται ἐκ τοῦ θεοῦ«, ζητήσεις μήποτ' ἐστίν τις ὁ καὶ γεγεννημένος ἐκ τοῦ διαβόλου, ὅστις πάντως καὶ ἔστιν ἐκ τοῦ διαβόλου, οὐ παντὸς τοῦ ὄντος ἐκ τοῦ διαβόλου γεγεννημένου· καὶ πάλιν ἔστιν τις ἐκ τοῦ θεοῦ οὐ πάντως καὶ γεγεννημένος ἐκ τοῦ θεοῦ, οὐκέτι δὴ παντὸς
120 τοῦ ὄντος ἐκ τοῦ θεοῦ γεγεννημένου ἐκ τοῦ θεοῦ. χαρακτηρίζεται μέντοι ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ τῷ ἁμαρτίαν μὴ ποιεῖν, διὰ τὸ σπέρμα τοῦ θεοῦ ἐν αὐτῷ μένειν, καὶ ἀπὸ τῆς ἐκείνου δυνάμεως ἐνυπαρχούσης αὐτῷ ἐγγινομένου τοῦ μηκέτι δύνασθαι ἁμαρτάνειν.
121 καὶ ἐν τοῖς τελευταίοις δὲ λέγεται τῆς ἐπιστολῆς· »Ὅτι πᾶς ὁ γε-
»γεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει, ἀλλὰ ὁ γεγεννημένος ἐκ
122 »τοῦ θεοῦ τηρεῖ ἑαυτὸν καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ«. εἰ δὲ ὁ γεννηθεὶς »ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτὸν καὶ ὁ πονηρὸς οὐχ ἅπτεται »αὐτοῦ«, ὁ μὴ τηρῶν ἑαυτόν, ἵν' ὁ πονηρὸς αὐτοῦ μὴ ἅπτηται, οὐ γεγέννηται ἐκ τοῦ θεοῦ, καὶ πᾶς οὗ ἅπτεται ὁ πονηρός, οὗτος οὐ γεγέννηται ἐκ τοῦ θεοῦ· ἅπτεται δὲ ὁ πονηρὸς τῶν μὴ τηρούντων
123 ἑαυτούς. ἐπεὶ δὲ τοῖς περὶ τοῦ Ἀβραὰμ οὐδενὸς γενομένου μεταξὺ διαλείμματος ἐπιφέρεται τὸ »Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς »ὑμῶν«, ζητοῦμεν μήποτε διὰ τὴν τῷ Ἀβραὰμ πρώτην δεδομένην
124 ἐντολὴν τοῦτο ἀναγέγραπται. ὁ πρῶτος δὲ χρηματισμὸς πρὸς αὐτὸν οὕτως ἔχει· »Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ »ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἄπελθε εἰς τὴν γῆν ἣν σοι
125 »δείξω«. ἐξῆλθεν οὖν Ἀβραὰμ ἐκ τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, ὅπερ οὐ πεποιήκασιν οἱ ἐλεγχόμενοι ἐπὶ τῷ μὴ ὑγιῶς εἰρηκέναι·
126 »Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν«. εἰ γὰρ τὰ τέκνα τοῦ Ἀβραὰμ ποιεῖ τὰ ἔργα τοῦ Ἀβραάμ, πρῶτον δὲ τῶν ἔργων ἐστὶν τὸ ἐξελθεῖν ἐκ τῆς γῆς ἑαυτοῦ καὶ ἐκ τῆς συγγενείας ἑαυτοῦ καὶ ἐκ τοῦ οἴκου τοῦ πατρὸς ἑαυτοῦ καὶ ἀπελθεῖν εἰς τὴν γῆν ἣν δείκνυσιν αὐτῷ ὁ 303H
θεός, | καὶ διὰ τοῦτο οὗτοι, πρὸς οὓς ὁ λόγος, ἐλέγχονται ὡς οὐκ 247r
ὄντες τέκνα τοῦ Ἀβραάμ, δῆλον ὅτι οὐκ ἐξεληλυθότες ἐκ τοῦ οἴκου τοῦ πατρὸς ἑαυτῶν ὀνειδίζονται ὡς ἔτι τοῦ πονηροῦ πατρὸς ὄντες
127 καὶ ἔτι ποιοῦντες τὰ ἐκείνου τοῦ πατρὸς ἔργα. τούτων ἡμῖν εἰς τὸ ῥητὸν εἰρημένων σαφῶς οἶμαι ἐλέγχεσθαι τοὺς νομίζοντας ἐν- 327R
τεῦθεν παρίστασθαι ὅτι εἰσίν τινες ἐκ κατασκευῆς υἱοὶ τοῦ διαβόλου.

10 I Joh. 5, 18. — 18 Joh. 8, 41. — 21 Gen. 12, 1. — 25 Joh. 8, 39. — 26 Vgl. Gen. 12, 1.

1 καὶ τοῦ] ἢ, corr. Br | γεγεννῆσθαι, corr. Br | 3 παντὸς] πάντως, corr. We 5 δὲ, corr. We | 18 διαλίμματος, corr. V | 19 ἐζητοῦμεν, corr. We | 21 συγγενείας] συ a. Ras. weit geschr. | 26 ποιεῖ — Ἀβραάμ doppelt geschr. | 27 ἑαυτοῦ²] αὐτοῦ, corr. V.

Digitized by Google

VIII, 41. *Εἶπον αὐτῷ· Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν θεόν.*

XVI. (14) *Ζητῶ μήποτε ἐλεγχθέντες ὡς οὐ τέκνα τοῦ Ἀβραὰμ* **128**
πικρότερον ἀποκρίνονται οἱ λεγόμενοι πεπιστευκέναι αὐτῷ Ἰουδαῖοι,
παρακεκαλυμμένως αἰνισσόμενοι ἐκ πορνείας γεγεννῆσθαι τὸν σωτῆρα,
ὡς εἰκὸς τοῦτο ὑπονοοῦντες τῷ μὴ παραδέχεσθαι τὴν διαβόητον καὶ
τεθρυλλημένην αὐτοῦ γένεσιν ἐκ τῆς παρθένου. καὶ γὰρ πάνυ μοι **129**
φαίνεται ἄλογον ταῦτα αὐτοὺς ἀπορρῖψαι τὰ ῥήματα πρὸς ἔπος·
οὔτε γὰρ πρὸς τὰ πρότερα οὔτε ἀκολούθως τοῖς ἑξῆς εἰρῆσθαι δύνα-
ται, εἰ ἁπλούστερον νοηθείη τὸ »Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα«
τὸ εἰρημένον ὑπ' αὐτῶν. ἀλλὰ καὶ ἐπεὶ πατέρα ἴδιον ἔλεγεν τὸν θεὸν **130**
ὁ σωτήρ, οὐδένα ἄνθρωπον πατέρα εἶναι ἑαυτοῦ ὁμολογῶν, διὰ τὸ
»Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα« εἰκὸς αὐτοὺς ἐπιφέρειν πάλιν
προσκρούοντας τὸ »Ἕνα πατέρα ἔχομεν, τὸν θεόν«· ὡσεὶ ἔλεγον·
»ἡμεῖς μᾶλλον ἕνα πατέρα ἔχομεν τὸν θεόν, ἤπερ σύ. ὁ φάσκων μὲν
ἐκ παρθένου γεγεννῆσθαι, ἐκ πορνείας δὲ γεγεννημένος, καὶ διὰ τὸ
αὐχεῖν τὸ ἐκ παρθένου γεγεννῆσθαι λέγων ἕνα πατέρα ἔχειν μόνον
τὸν θεόν«, τῶν ὁμολογούντων τὸν πατέρα θεὸν οὐκ ἀρνουμένων καὶ
ἄνθρωπον πατέρα. ἀλλ' ἐρεῖ τις ὅτι ταῦτα οὕτω νοούμενα οὐ δύ- **131**
ναται εἶναι ῥήματα τῶν πεπιστευκότων αὐτῷ Ἰουδαίων. καὶ πρὸς
τοῦτο δὲ λεκτέον ὅτι εἰρημένου ἐν τῇ ἀρχῇ τοῦ πρὸς αὐτοὺς λόγου
τοῦ· »Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου
»ἐστὲ καὶ γνώσεσθε τὴν ἀλήθειαν«, ὡς καὶ δυναμένων αὐτῶν μένειν
ἐν τῷ Ἰησοῦ λόγῳ καὶ μὴ μένειν, οὐκ ἀδύνατον ἦν τινὰς ἐκ τῶν
ἐλεγχθέντων μὴ μεμενηκέναι αὐτοῦ ἐν τῷ λόγῳ, καὶ μὴ μείναντας
πικρότερον καὶ προσκρουστικῶς εἰρηκέναι τὸ »Ἡμεῖς ἐκ πορνείας οὐ
»γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν τὸν θεόν«. δοκεῖ δέ μοι ὅτι καὶ **132**
φιλονεικότερον ἀπεκρίναντο· εἰπόντες γὰρ πρότερον τὸ »Σπέρμα
»Ἀβραάμ ἐσμεν«, καὶ οἷον τοῦτο τρανότερον ὁμολογήσαντες διὰ τοῦ
328 R *»Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν«, ἀκούσαντες πρὸς τοῦτο τὸ »Εἰ*
304 H *»τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«, μείζονα τοῦ*
Ἀβραὰμ ὁμολογοῦσιν ἑαυτῶν εἶναι τὸν πατέρα λέγοντες· »Ἕνα πα-

4 Vgl. Joh. 8, 31. — **10** Joh. 8, 41. — **11** Vgl. Joh. 5, 18. — **14** Joh. 8, 41. — **15** Vgl. C. Cels. I, 28. Rösch in den Studien u. Kritiken 1873, S. 77ff. — **22** Joh. 8, 31. — **26** Joh. 8, 41. — **28** Joh. 8, 33. — **30** Joh. 8, 39. — **32** Joh. 8, 41.

7 τεθρυλημένην, corr. V | **8** ἀπορίψαι, corr. V | **10** εἰ] ἤ, corr. Br | **11** ἐπὶ | ἔλεγον, corr. V | **12** nach τὸ + τῶ M | **15** ἡμεῖς a. Ras. | **19** ταῦτα] αὐτὰ, corr. Br | **25** ἐλέγχων, corr. Pr; ἐλεγχομένων V | **28** φιλονικώτερον.

Digitized by Google

133 »τέρα ἔχομεν τὸν θεόν«. τάχα δὲ διὰ τὸ τῶν ἀνθρώπων τινὰς μὲν εἶναι ἐκ τοῦ διαβόλου, ἑτέρους δὲ γεγεννῆσθαι ἐκ τοῦ θεοῦ, πάντας ἂν ὑγιῶς λέγοιμεν τοὺς μὴ γεγεννημένους | ἐκ τοῦ θεοῦ ἐκ πορνείας 247r
134 γεγεννῆσθαι. οὐ γὰρ ἐκ νύμφης, ἀλλ' ἐκ πόρνης, τῆς ὕλης, οὓς γεννᾷ ὁ διάβολος ἢ ποιεῖ τοὺς ἐξ αὐτοῦ, οἵτινες καὶ τοῖς σωματικοῖς προσπεπονθότες καὶ προσηλωμένοι κολλῶνται τῇ πόρνῃ ὕλῃ, γινόμενοι πρὸς αὐτὴν ἓν σῶμα, τῶν ἐκ τοῦ θεοῦ γεγεννημένων ἀφισταμένων τῆς πόρνης ὕλης, καὶ κολλωμένων τῷ κυρίῳ καὶ ἑνουμένων τῷ ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγῳ, καὶ τῇ σοφίᾳ αὐτοῦ, ἣν »ἔκτισεν ἀρχὴν »ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«, ἵνα γένωνται πρὸς αὐτὴν ἓν πνεῦμα· Ὁ μὲν γὰρ »κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν· ὁ δὲ κολλώμενος »τῷ κυρίῳ ἓν πνεῦμά ἐστιν«.

VIII, 42. *Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω.*

135 XVII. (15) Ἐπείπερ οἱ τὰς φύσεις εἰσάγοντες χρῶνται τῷ ῥήματι τούτῳ, διηγούμενοι αὐτό, ὅτι ὡς οἰκεῖον ἂν ὑμῶν καὶ ἀδελφὸν ἐπέγνωτέ με, ἀλλὰ καὶ ὡς ἴδιον ἠγαπήσατε ἂν ἐμέ, εἰ ὁ θεὸς πατὴρ
136 ὑμῶν ἦν, ἐπαπορητέον οὕτως πρὸς αὐτούς· ἦν ὅτε Παῦλος ἐμίσει τὸν Ἰησοῦν, ἐμίσει δὲ αὐτὸν ὅτε ἐπόρθει καὶ ἐδίωκε τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ ἀληθεύων γε ἔλεγεν αὐτῷ ὁ πρῶτος χρηματισμός·
137 »Σαούλ, Σαούλ, τί με διώκεις;« εἰ μὲν οὖν ἀληθὲς τὸ »Εἰ ὁ θεὸς »πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ«, δῆλον ὅτι καὶ τὸ τούτῳ ἀντίστρεφον ἐστὶν ὑγιές· »εἰ μὴ ἠγαπᾶτέ με, οὐχὶ ὁ θεὸς πατὴρ ὑμῶν »ἦν«. οὐκοῦν τῶν μὴ ἀγαπώντων τὸν Ἰησοῦν οὐκ ἔστιν ὁ θεὸς πατήρ· Παῦλος δὲ ἦν ὅτε οὐκ ἠγάπα τὸν Ἰησοῦν, ἦν ἄρα καιρὸς ὅτε
138 ὁ θεὸς Παύλου πατὴρ οὐκ ἦν. οὐ φύσει ἄρα Παῦλος θεοῦ υἱὸς ἦν. ἀλλ' ὕστερον γέγονεν θεοῦ υἱός, ὅτε καὶ ὑγιῶς ἂν προσελάβομεν τὸ ἀκόλουθον τῷ ἡγουμένῳ τοῦ συνημμένου λέγοντος ὅτι »ἀλλὰ μὴν ὁ
139 θεός, ὦ Παῦλε, πατήρ σού ἐστιν, ἀγαπᾷς ἄρα τὸν Ἰησοῦν«. ἀλλὰ καὶ πρὸ τῶν χρόνων τῆς πίστεως Παύλου ἀληθοῦς ὄντος τοῦ »Εἰ ὁ θεὸς »πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ« ὑγιῶς ἦν προσλαβεῖν οἱονεὶ λέ- 329R
γοντα τὸν Ἰησοῦν· »ἀλλὰ μὴν ἐμὲ οὐκ ἀγαπᾷς, οὐκ ἄρα ὁ θεὸς πατήρ
140 σού ἐστιν, ὦ Παῦλε«. πότε δὲ ὁ θεὸς πατὴρ γίνεταί τινος ἢ ὅταν 305H

6 Vgl. I Kor. 6, 16. — 8 Vgl. I Kor. 6, 17. — 9 Vgl. Joh. 1, 1. — Vgl. Prov. 8, 22. — 11 I Kor. 6, 16f. — 18 Vgl. Gal. 1, 13. — 21 Act. 9, 4. — Joh. 8, 42. — 30 Joh. 8, 42. — 33 Vgl. Joh 14, 15.

3 λέγομεν, corr. V | 15 ῥήματι τούτῳ] ῥῆμα τῶ, corr. V | 18 ἡμῶν, corr. V | 21 εἰ μὲν] εἶπεν, corr. Br.

Digitized by Google

τηρήσῃ τις τὰς ἐντολάς, δι' ἃς οὐ πρότερον ὤν τις υἱὸς τοῦ ἐν τοῖς
οὐρανοῖς πατρὸς γίνεται αὐτοῦ υἱός, ὅτε καὶ ὁ πατὴρ εἰς ἀναγέννη-
σιν ἄγων τοῦτον, ὃς υἱὸς αὐτοῦ γίνεται, χρηματίζει τοιούτου πατήρ.
ἔστιν δὲ προσαχθῆναι εἰς ταῦτα ἀπὸ τῶν οὕτως ἐν τῷ κατὰ Mat- 141
θαῖον εὐαγγελίῳ γεγραμμένων· »Ἠκούσατε ὅτι ἐρρέθη· Ἀγαπήσεις
»τὸν πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν σου. ἐγὼ δὲ λέγω ὑμῖν· 142
»Ἀγαπήσατε τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόν-
»των ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς«.
πρόσχες γὰρ τῷ »Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐ- 143
»ρανοῖς« ἐμφαίνοντι ὅτι οὐ πρότερόν τις ὢν υἱὸς τοῦ ἐν οὐρανοῖς
248r πατρὸς γίνεται αὐτοῦ υἱός. ἐπιμελῶς δὲ | τηρήσας καὶ περὶ τοῦ 144
προσκειμένου τῷ »Τοῦ πατρός«, ὅπερ ἐστίν, »Ὑμῶν« (γέγραπται γάρ·
»Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν«), ζητήσεις πότερον ἁπλού-
στερον εἴρηται, ἢ τῶν ἀντιγράφων ἡμαρτημένων πρόσκειται τὸ
»Ὑμῶν« (οὐδὲν γὰρ ἂν ἐζητήσαμεν, εἰ ἐγέγραπτο· »ὅπως γένησθε
»υἱοὶ τοῦ πατρὸς τοῦ ἐν οὐρανοῖς«), καὶ μάλιστα ἐπεὶ δοκεῖ μάχην
περιέχειν τὸ γίνεσθαι υἱόν τινα, οὐχ ἁπλῶς τοῦ ἐν οὐρανοῖς πατρός,
ἀλλὰ τοῦ ἰδίου πατρός. εἰ μὲν γὰρ αὐτοῦ πατήρ ἐστιν, οὐχ ὕστερον 145
γίνεται αὐτοῦ υἱός· εἰ δὲ γίνεται αὐτοῦ υἱός, οὐκ ἦν αὐτοῦ πατήρ.
ἅμα δὲ ἐπιστήσεις διὰ τὸ τινὰς μὲν τῶν πεπιστευκέναι νομιζομένων 146
λέγεσθαι δούλους τοῦ θεοῦ, ἑτέρους δὲ χρηματίζειν αὐτοῦ υἱούς,
μήποτε οὐχ ἡ τυχοῦσα ἐντολή, ἀλλά τινα κατ' ἐξαίρετον κατορθού-
μενα ποιοῦσιν γενέσθαι υἱὸν θεοῦ τὸν κατορθώσαντα. πολλῶν γοῦν 147
ἐν τῷ κατὰ Ματθαῖον εἰρημένων παρατήρει ⟨ὅτι⟩ τὸ »Ὅπως γένησθε
υἱοὶ »τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς«, ἐπιφέρεται τῷ »Ἐγὼ δὲ
»λέγω ὑμῖν· Ἀγαπήσατε τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ
»τῶν διωκόντων ὑμᾶς«. καὶ γὰρ ἐμφαίνεται ἡ πρὸς θεὸν ὁμοιότης 148
καὶ μίμησις αὐτοῦ ἀγαπῶντος τὰ ὄντα πάντα καὶ μηδὲν βδελυσσομένου
ὧν ἐποίησεν καὶ φειδομένου πάντων (ἐπείπερ αὐτοῦ τοῦ φιλοψύχου
δεσπότου ἐστὶν τὰ πάντα) ἐν τῷ ἀγαπῶντι τοὺς ἐχθροὺς ἑαυτοῦ καὶ
προσευχομένῳ ὑπὲρ τῶν διωκόντων αὐτόν. πῶς δ' ἂν ἁρμοστὸν ἦν 149
330R ἐπιφερόμενον τὸ »Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐ-
»ρανοῖς« τῷ »Ἐρρέθη· Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ
»βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ

5 Matth. 5, 43—45. — 24 Matth. 5, 45. — 25 Matth. 5, 44. — 28 Vgl. Weish. Sal. 11, 24. 26. — 32 Matth. 5, 44. — 33 Matth. 5, 27 f.

6 καὶ a. Anf. d. Z. fälschlich wiederholt | 7 προσεύχεσθαι | 16 ἐπὶ | 22 τινὰς, corr. V | 24 εἰρημένων ἐντολῶν We | ⟨ὅτι⟩ + We | τῷ] τὸ ü. d. Z., corr. Ausgg. | 26 προσεύχεσθαι | 30 ἐχθροὺς] ἐχ a. Ras. | 34 βλέπων] β a. Ras.

Digitized by Google

»καρδία αὐτοῦ«, καὶ τοῖς περὶ τῆς ἀπωλείας ἑνὸς τῶν μελῶν ὑπὲρ
150 τοῦ μὴ ὅλον εἰς γέενναν ἀπελθεῖν τὸ σῶμα; ἀλλὰ καὶ εἰ * * ἐπεφέ-
ρετο τῷ »Ἐρρέθη τοῖς ἀρχαίοις· Οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ 306H
»κυρίῳ τοὺς ὅρκους σου· ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως«· ⟨τὸ⟩
»Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς« πολ- 5
151 λὴν ἂν αὐτόθεν ἐνεποίησεν προσκοπήν. νυνὶ δὲ ὥσπερ ὁ ἐν τοῖς
οὐρανοῖς πατὴρ ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς,
οὕτως ἕκαστος τῶν υἱῶν τοῦ θεοῦ, οἱονεὶ ἥλιον ἐν ἑαυτῷ τὴν ἀγά-
πην ἔχων, ταύτην ἀνατέλλει καὶ ἐπὶ πονηρούς, ἐπὰν ἀγαπήσῃ τοὺς
ἑαυτοῦ ἐχθρούς· καὶ πάλιν ὥσπερ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, 10
οὕτως οἱονεὶ ὑετόν τινα τὴν προσευχὴν ὁ ἅγιος καταπέμπει ἐπὶ
τοὺς κάτω που τυγχάνοντας, διὰ τὸ διώκειν αὐτόν, καὶ περὶ τῶν
τοιούτων προσευχόμενος. ταῦτα μὲν εἰς τὸ ὑποπεσὸν ἡμῖν τρανω-
θῆναι τὸ »Εἴ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ«.

152 XVIII. (16) Ἴδωμεν δὲ καὶ τὸ »Ἐγὼ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ 15
»ἥκω«, | εἰς ὃ χρήσιμόν μοι φαίνεται παραθέσθαι τὸ ἐκ Μιχαίου οὕτως 248v
ἔχον· »Ἀκούσατε, λαοί, λόγους, καὶ προσεχέτω ἡ γῆ καὶ πάντες οἱ
»ἐν αὐτῇ· καὶ ἔσται κύριος ἐν ὑμῖν εἰς μαρτύριον, κύριος ἐξ οἴκου
»ἁγίου αὐτοῦ. διότι ἰδού, κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου ἑαυτοῦ
»καὶ καταβήσεται καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσε- 20
»ται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς
»ἀπὸ προσώπου πυρὸς καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει«.
153 καὶ ὅρα μήποτε ἰσοδυναμεῖ τὸ »Ἐξῆλθον παρὰ τοῦ θεοῦ« τῷ »Κύ-
»ριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ«, ἐπεὶ ὅτε ὁ υἱὸς ἐν τῷ
πατρί ἐστιν, ἐν μορφῇ θεοῦ ὑπάρχων πρὶν ἑαυτὸν κενῶσαι, οἱονεὶ 25
154 τόπος αὐτοῦ ἐστιν ὁ θεός. καὶ εἴ τίς γε νοήσαι τὸν πρὸ τοῦ κενῶ-
σαι ἑαυτὸν ἐν τῇ προηγουμένῃ ὑπάρχοντα θεοῦ μορφῇ, ὄψεται τὸν
μηδέπω ἐξελιλυθότα ἀπὸ τοῦ θεοῦ υἱὸν αὐτοῦ καὶ κύριον τὸν μη-
155 δέπω ἐκπορευόμενον ἐκ τοῦ τόπου ἑαυτοῦ. ἐπὰν δὲ ἐκείνῃ τῇ κατα-
στάσει τοῦ υἱοῦ συγκρίνῃ τὴν ἐκ τοῦ ἀνειλημφέναι τὴν τοῦ δούλου 30
μορφήν, ἑαυτὸν κενώσαντα, συνήσει πῶς ὁ υἱὸς τοῦ θεοῦ ἐξῆλθεν
καὶ ἦκεν πρὸς ἡμᾶς, καὶ οἱονεὶ ἔξω γεγένηται τοῦ πέμψαντος αὐτόν, 331R
εἰ καὶ κατ' ἄλλον τρόπον οὐκ ἀφῆκεν αὐτὸν μόνον ὁ πατήρ, ἀλλὰ
μετ' αὐτοῦ ἐστιν, καὶ ἔστιν ἐν τῷ υἱῷ ὥσπερ καὶ αὐτὸς ἐν τῷ πατρί.

1 Vgl. Matth. 5, 29f. — **3** Matth. 5, 33f. — **7** Vgl. Matth. 5, 45. — **14** Joh. 8, 42. — **15** Joh. 8, 42. — **17** Mich. 1, 2—4. — **25** Vgl. Phil. 2, 6f. — **32** Vgl. Joh. 8, 42. — **33** Vgl. Joh. 8, 29.

2 nach *εἰ* Raum für c. 3—4 Buchst. M; V hat ihn durch *ἐξῆς* nicht unpassend ausgefüllt; *πάλιν* We | **3** *ἀποδώσεις*] *α* a. Ras. | **4** nach *δὲ* Raum für c. 3—4 Buchst. M | *ὀμόσαι*] *οσ* a. Ras. | ⟨*τὸ*⟩ + Br | **11** *οἱονεὶ ὑετόν* a. Ras. | **14** *ὑμῶν*] *ὑ* a. Ras. | **15** *τὸ*] *τῶ*, corr. V | **32** *πέμψαντος*] *εμ* a. Ras.

Digitized by Google

καὶ εἰ μὴ κατ' ἄλλον γε τρόπον νοήσαις εἶναι τὸν υἱὸν ἐν τῷ πατρί, 156
ὡς ἦν πρὶν ἐξέλθῃ ἀπὸ τοῦ θεοῦ. δόξει περιέχειν μάχην τὸ καὶ
ἐξεληλυθέναι ἀπὸ τοῦ θεοῦ καὶ εἶναι τὸν ἐξεληλυθότα ἀπὸ τοῦ θεοῦ
ἔτι ἐν τῷ θεῷ. ἄλλοι δὲ τὸ »Ἐξῆλθον ἀπὸ τοῦ θεοῦ« διηγήσαντο 157
ἀντὶ τοῦ »γεγέννημαι ἀπὸ τοῦ θεοῦ«, οἷς ἀκολουθεῖ ἐκ τῆς οὐσίας
φάσκειν τοῦ πατρὸς γεγεννῆθαι τὸν υἱόν, οἱονεὶ μειουμένου καὶ λεί-
307H ποντος τῇ οὐσίᾳ ἣ πρότερον εἶχεν τοῦ θεοῦ, ἐπὰν γεννήσῃ τὸν υἱόν,
ὡσεὶ νοήσαι τις τοῦτο καὶ ἐπὶ τῶν ἐγκυμόνων. ἀκολουθεῖ δὲ αὐτοῖς 158
καὶ σῶμα λέγειν τὸν πατέρα καὶ τὸν υἱὸν καὶ διηρῆσθαι τὸν πατέρα,
ἅπερ ἐστὶν δόγματα ἀνθρώπων μηδ' ὄναρ φύσιν ἀόρατον καὶ ἀσώ-
ματον πεφαντασμένων, οὖσαν κυρίως οὐσίαν. οὗτοι δὲ δῆλον ὅτι ἐν 159
σωματικῷ τόπῳ δώσουσιν τὸν πατέρα, καὶ τὸν υἱὸν τόπον ἐκ τό-
που ἀμείψαντα σωματικῶς ἐπιδεδημηκέναι τῷ βίῳ, καὶ οὐχὶ κατά-
στασιν ἐκ καταστάσεως, ὥσπερ ἡμεῖς ἐξειλήφαμεν.

VIII, 42. *Οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν.*

XIX. (17) *Ταῦτα νομίζω λέγεσθαι ὡς τινων ἀφ' ἑαυτῶν ἐρχομέ-* 160
νων καὶ μὴ ἀπεσταλμένων ἀπὸ τοῦ πατρός. περὶ μὲν οὖν ἀνθρώ-
πων τοιούτων, διδασκαλίαν ἢ προφητείαν ὑπισχνουμένων, διδασκό-
μεθα καὶ ἀπὸ τοῦ Ἱερεμίου, ἔνθα γέγραπται· »Οὐκ ἀπέστελλον τοὺς
»προφήτας, καὶ αὐτοὶ ἔτρεχον«. εἰ δὲ καὶ δυνάμεις τινὲς μὴ ἀπο- 161
249r *στελλόμεναι ἀπὸ τοῦ πατρὸς ἔρχονται πρὸς ἀνθρώπους, | ἐπιστήσεις*
καὶ εἴ τινες ἐν αὐταῖς εἰσιν ἐκ τοῦ θεοῦ ἐξεληλυθυῖαι καὶ τούτῳ
ἡμαρτηκυῖαι τῷ μὴ ἀπεστάλθαι ἀπ' αὐτοῦ. οὐκ ἀζήτητον δὲ ἐατέον 162
τὸν τόπον καὶ εἰς τὸν περὶ ψυχῆς λόγον· τάχα γὰρ ἡ μὲν τοῦ Ἰησοῦ
ψυχὴ ἐν τῇ ἑαυτῆς τυγχάνουσα τελειότητι ἐν θεῷ καὶ τῷ πληρώματι
ἦν, καὶ ἐκεῖθεν ἐξεληλυθυῖα, τῷ ἀπεστάλθαι ἀπὸ τοῦ πατρός, ἀνέ-
λαβεν τὸ ἐκ τῆς Μαρίας σῶμα. ἄλλαι δὲ οὐχ οὕτως ἐξῆλθον ἀπὸ τοῦ
θεοῦ, τουτέστιν οὐκ ἀπεσταλμέναι οὐδὲ ὑπὸ τοῦ θείου βουλήματος
προπεμφθεῖσαι.

332R **VIII, 43.** *Διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.*

XX. (18) *Αἴτιον, φησίν, ἐστὶ τοῦ ὑμῖν μὴ γινώσκεσθαι τὴν ἐμὴν* 163
λαλιὰν τὸ μὴ δύνασθαι ὑμᾶς ἀκούειν τοῦ λόγου μου. πρότερον οὖν

20 Jer. 23, 21.

7 *θεοῦ*] *υἱοῦ*, corr. We | *γεννήσει*, corr. V | **12** *νοήσουσιν*? We | **24** *ἡμαρτηκέναι*, corr. Aussg. | **32** *δύνασθαι*.

Digitized by Google

δύναμιν περιποιητέον ἀκουστικὴν τοῦ θείου λόγου, ἵνα μετὰ τοῦτο
164 οἷοί τε γενώμεθα καὶ γινώσκειν πᾶσαν τὴν Ἰησοῦ λαλιάν· ἔξεστιν
γὰρ πρότερον οὐ δυνάμενον ἀκούειν τὸν λόγον Ἰησοῦ ὕστερον φθάνειν ἐπὶ τὸ ἀκούειν δύνασθαι αὐτόν, ἐπεὶ καὶ ὅσον μὲν οὐδέπω ἰάθη τις τὰς ἀκοὰς ἀπὸ τοῦ λόγου τοῦ λέγοντος τῷ κωφῷ· »Διανοίχθητι«, 5
165 οὐ δύναται ἀκούειν. ἐπὰν δὲ λυθῇ ὁ αἴτιος τῆς κωφότητος σύνδεσμος, τότε ἀκούειν τις οἷός ⟨τε⟩ ἔσται τοῦ Ἰησοῦ, ὅτε καὶ γινώσκειν δύναται αὐτοῦ τὴν λαλιάν· ἢ λεγέτωσαν ἡμῖν οἱ νομίζοντες καὶ διὰ τούτων συνίστασθαι τὸν περὶ φύσεως λόγον, πότερον ἐδύναντο ἔτι
166 κωφοὶ ὄντες ἀκούειν οὓς ὕστερον ἰάσατο, ἢ οὐκ ἐδύναντο; σαφοῦς 10
δὲ ὄντος τοῦ »οὐκ ἐδύναντο«, δῆλον ὅτι ἔξεστιν μεταβαλεῖν ἀπὸ τοῦ μὴ δύνασθαι ἀκούειν τῶν Ἰησοῦ λόγων ἐπὶ τὸ ἀκούειν αὐτῶν, καὶ οὐ διὰ φύσιν ἀνιάτως ἔχουσαν, ὅτε οὐ δύναταί τις ἀκούειν· καὶ μάλιστα 308H
ταῦτα προσακτέον τοῖς ἑτεροδόξοις, χαίρουσι ταῖς ἀλληγορίαις καὶ ἀνάγουσιν τὴν περὶ τῶν ἰάσεων ἱστορίαν ἐπὶ τὰς τῆς ψυχῆς θερα- 15
πείας, ἀπολυομένης ὑπὸ τοῦ Ἰησοῦ πάσης νόσου καὶ πάσης μαλακίας.
167 νομίζω δὲ τὸ μὲν ἀκούειν νῦν ἐπὶ τοῦ συνιέναι τάσσεσθαι τῶν λεγομένων, τὸ δὲ γινώσκειν ἐπὶ τοῦ καταλαμβάνοντα συγκατατίθεσθαι, τῷ φωτὶ τῆς περὶ τῶν λεγομένων γνώσεως πεφωτισμένον.

168 Ὁ μέντοι γε Ἡρακλέων ὑπολαμβάνει αἰτίαν ἀποδίδοσθαι 20
τοῦ μὴ δύνασθαι αὐτοὺς ἀκούειν τὸν Ἰησοῦ λόγον μηδὲ γινώσκειν αὐτοῦ τὴν λαλιὰν ἐν τῷ »Ὑμεῖς ἐκ τοῦ πα»τρὸς τοῦ διαβόλου ἐστέ«. αὐταῖς γοῦν λέξεσίν φησι· »Διατί »δὲ οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν, ἢ ὅτι ὑμεῖς »ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ;« ἀντὶ τοῦ »ἐκ τῆς 25
»οὐσίας τοῦ διαβόλου«, φανερῶν αὐτοῖς λοιπὸν τὴν φύσιν αὐτῶν. καὶ προσελέγξας αὐτοὺς ὅτι οὔτε τοῦ Ἀβραάμ εἰσιν τέκνα (οὐ γὰρ ἂν ἐμίσουν αὐτόν), οὔτε τοῦ
169 θεοῦ, διὸ οὐκ ἠγάπων αὐτόν. καὶ εἰ μὲν τὸ »Ὑμεῖς ἐκ τοῦ »πατρὸς τοῦ διαβόλου ἐστέ« ἐξεδέχετο ὡς ἐν τοῖς ἀνωτέρω 249r
διηγησάμεθα, καὶ ἔλεγεν· διὰ τὸ ἔτι ὑμᾶς εἶναι ἐκ τοῦ διαβόλου, οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν, κἂν παρεδεξάμεθα αὐτοῦ
170 τὴν διήγησιν. νυνὶ δὲ δῆλός ἐστιν ὁμοουσίους τινὰς τῷ δια- 333R
βόλῳ λέγων ἀνθρώπους, ἑτέρας, ὡς οἴονται οἱ ἀπ' αὐτοῦ, οὐσίας τυγχάνοντας παρ' οὓς καλοῦσι ψυχικοὺς ἢ πνευματικούς. 35

5 Vgl. Mark. 7, 34 f. — 16 Vgl. Matth. 4, 23. — 22 Joh. 8, 44. — 30 Vgl. o. c. 13.

4 αὐτῶν, corr. Br | 7 ⟨τε⟩ + Br | ἔστε, corr. V | 13 ὅτε z. str.? We | 17 τάσσεσθαι] ασ a. Ras. | 19 πεφωτισμένων, corr. Hu | 21 αὐτοὺς] αὐ a. Ras. | 27 προὲλέγξας, corr. Pr | αὐτοὺς u. über τ Compendium für οῖς | 28 οὐδὲ, corr. We | 32 παραδεξάμεθα, corr. Br | 34 οιοντε, corr. V | 35 τυγχάνοντι, corr. We.

Digitized by Google

VIII, 44. *Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν.*

XXI. (19) *Ἀμφίβολος ἡ λέξις ἐστίν· δηλοῦται γὰρ ἀπ' αὐτῆς ἓν* 171
μὲν ὡς ἄρα ἔχει ὁ διάβολος πατέρα, ἐξ οὗ πατρός, ὅσον ἐπὶ τῷ
ῥητῷ, ἐμφαίνονται εἶναι οὗτοι πρὸς οὓς ὁ λόγος· ἕτερον δέ, ὃ βέλ-
τιόν ἐστιν, ὅτι ὑμεῖς ἐκ τοῦδε τοῦ πατρός ἐστε, καθ' οὗ κατηγορεῖται
τὸ »διάβολος«. ἀμφίβολον μὲν οὖν ἦν ἂν τὸ λεγόμενον καὶ εἰ 172
περιῄρητο τὸ πρότερον ἄρθρον τὸ »τοῦ«, πλὴν μᾶλλον ἂν ἐφαίνετο
σαφέστερον τὸ βούλημα τοῦ ῥητοῦ. ⟨οὐ⟩ μέντοι γε ὁ συναγορεύων τῷ
εἶναί τινα τοῦ διαβόλου πατέρα, οὗ υἱοὺς δόξει λέγειν τοὺς πρὸς
οὓς ὁ λόγος ἐστίν, χρήσεται τῷ ἐπιφερομένῳ οὕτως ἔχοντι· »Ὅταν
»λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶν καὶ ὁ πατὴρ
»αὐτοῦ«, καὶ φήσει ψεῦδος μὲν εἶναι τὸν διάβολον, ἄλλον δὲ παρὰ
τοῦτον εἶναι τὸν τοῦ ψεύδους πατέρα. ἀλλ' οὐχ ὑγιῶς τοῦτο λεχ- 173
θήσεται· μᾶλλον γὰρ τὸ ψεῦδος ἐφαρμόσει τῷ ἐναντίῳ τοῦ εἰπόν-
τος· »Ἐγώ εἰμι ἡ ἀλήθεια«· λέγω δὲ τῷ ἀντιχρίστῳ, οὗ ψεύστης
309H *ἐστὶν ὁ πατήρ, ὁ διάβολος ὤν. ἀλλ' εἰκός τινα προσκόψειν τῷ ψεῦ-* 174
δος εἶναι τὸν ἀντίχριστον, οὐκέτι ψεκτὸν ἐσόμενον, ἐὰν τῇ ὑπο-
στάσει ἕτερον μηδὲν ψεύδους ᾖ. πρὸς ὃν παραθέμενος τὸ »Ἀπώλεια
»ἐγένου, καὶ οὐχ ὑπάρξεις εἰς τὸν αἰῶνα« εἰρημένον ἐν τῷ Ἰεζεκιὴλ
περί τινος διὰ τὴν κακίαν μεταβεβληκότος εἰς τὸ γενέσθαι αὐτὸν
ἀπώλειαν, καθ' ὁμοιότητα παραμυθήσει καὶ τὸ περὶ τοῦ ψεῦδος
εἶναί τινα ⟨οὐ⟩ τῇ ὑποστάσει ἐκ κατασκευῆς, ἀλλὰ ἐκ μεταβολῆς καὶ
ἰδίας προαιρέσεως τοιοῦτον γεγενημένον, καὶ οὕτως, ἵνα καινῶς ὀνο-
μάσω, πεφυσιωμένον. φεύγων γοῦν τις ὡς ἄτοπον τὸ φάσκειν εἶναι 175
ψεῦδος τὸν ἀντίχριστον, ἐρεῖ καὶ πᾶσιν ἐφαρμόζειν τοῖς ψευδομένοις
τὸ »Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ«· τὸ γὰρ ἐν ἑκάστῳ
τῶν ψευδομένων ψεῦδος ἐπὰν λαλῇ, »ἐκ τῶν ἰδίων« τοῦ ψεύδους
»λαλεῖ«· ἀλλὰ καὶ τὸ »Ψεύστης ἐστὶν ὁ πατὴρ αὐτοῦ« † ἀνενέγκει ἐπὶ
τὸ ἕκαστον τὸν προφερόμενον ψεῦδος ἐκ στόματος ἑαυτοῦ πατέρα
εἶναι οὗ λαλεῖ ψεύδους· καὶ οὐκ ἀπίθανός γε ἔσται ἡ τοιαύτη ἀπό-
250r *δοσις. καὶ ταῦτα μὲν*
334R *ὡς παρακείμενα τῇ ἀμφιβολίᾳ τοῦ ἐκκειμένου*
ἡμῖν ῥητοῦ εἰρήσθω.

11 Joh. 8, 44. — **16** Joh. 14, 6. — **19** Ez. 28, 19. — **27** Joh. 8, 44.

1 *ἐκ* a. Ras. | **7** *εἰ περιῄρητο*] ἔιπερ εἴρητο, corr. Br | **9** *⟨οὐ⟩* + We | **17** *ὁ*[1] a. Ras. | **19** *ψεύδος*, corr. Br | **20** *ἐζεκιὴλ* | **22** ψεῦδος, ς a. Ras. (Br berichtet falsch) | **23** *⟨οὐ⟩* + Hu (vor *εἶναι*) | **29** *ψεύστης*] *στη* a. Ras. | *ἀνενέγκει* M, *ἀνενεγκεῖ*, fut. wie *ἀνελῶ, καθελῶ* gebildet? We | **31** *γε*] *τε*, corr. Pr; *τις* We | *ἔσται*] *ται* a. Ras.

Digitized by Google

κατὰ Ἡρακλέωνα ὅτι διὰ τοῦτο οὐ χωρεῖ ὅτι ἀνεπιτήδειοι ἦτοι κατ' οὐσίαν ἢ κατὰ γνώμην, πῶς οἱ ἀνεπιτήδειοι κατ'
55 οὐσίαν ἤκουσαν παρὰ τοῦ πατρός; ἀλλὰ καὶ πότερόν ποτε πρόβατα οὗτοι ἦσαν τοῦ χριστοῦ, ἢ ἀλλότριοι ὑπῆρχον αὐτοῦ; εἰ δὲ ἦσαν ἀλλότριοι, πῶς ἤκουσαν παρὰ τοῦ πατρός, σαφῶς, ὡς οἴονται, λεγομένου πρὸς τοὺς ἀλλοτρίους ὅτι »Διὰ τοῦτο ὑμεῖς
56 »οὐκ ἀκούετε, ὅτι οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν«; εἰ μὴ ἄρα θλιβόμενοι ἑτέρῳ ἀτόπῳ ἑαυτοὺς περιβάλλουσιν λέγοντες παρὰ μὲν τοῦ πατρὸς ἀκηκοέναι τοὺς ἀλλοτρίους, μὴ ἀκούειν δὲ τοὺς αὐτοὺς τούτους παρὰ τοῦ σωτῆρος. εἰ δ' οἰκεῖοι τοῦ σωτῆρος ἦσαν καὶ τῆς μακαρίας φύσεως, πῶς ἐζήτουν αὐτὸν ἀποκτεῖναι; καὶ πῶς ὁ τοῦ σωτῆρος λόγος οὐκ ἐχώρει ἐν αὐτοῖς;

VIII, 39. Ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· Ὁ πατὴρ ἡμῶν 317R
Ἀβραάμ ἐστιν.

57 IX. Λόξαιεν ἂν τὴν ἀπόκρισιν οὗτοι πεποιῆσθαι πολὺ ταπεινότερον ἐκδεξάμενοι περὶ τοῦ τίς αὐτῶν ἦν ὁ πατὴρ ἢ ὡς ὁ κύριος
58 ἔλεγεν. ὁ μὲν γὰρ Ἰησοῦς ἀναφέρων ἐπὶ τὸν θεὸν ἔφασκεν τὸ »Καὶ 294H
»ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ποιεῖτε«· οἱ δὲ ταπεινότερον τὸν τοῦ ἔθνους παρομολογοῦσιν ἑαυτῶν πατέρα λέγοντες· »Ὁ
59 »πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν«. βοηθῶν δ' ἄν τις αὐτοῖς ὡς καλῶς ἀποκρινομένοις φήσειε ὅτι ὡς μέτριοι καὶ μὴ διδόντες ἑαυτοῖς τὸ εἶναι υἱοῖς θεοῦ, τοῦ Ἰησοῦ λέγοντος· »Ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς
»ποιεῖτε« καὶ ἀναφέροντος ἐπὶ τὸν θεόν, φασίν· »Ὁ πατὴρ ἡμῶν
60 Ἀβραάμ ἐστιν«. δῆλον δὲ ὅτι καὶ τοῦτο εὐθύνει ὁ σωτὴρ ὡς ψευδῶς εἰρημένον διὰ τοῦ »Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ
61 »ποιεῖτε«. οὐκ ἀτόπως δὲ καὶ πρὸς ταῦτα ζητήσαι τις ἄν, ὅτι Πῶς κατὰ τὸν σωτῆρά ἐστιν, μὴ συγκατατιθέμενον εἶναι αὐτοὺς τέκνα τοῦ Ἀβραάμ, τὸ λέγειν αὐτοῖς· »Καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ
»πατρὸς ποιεῖτε« ἀναφερομένου τοῦ »Παρὰ τοῦ πατρὸς« ἐπὶ τὸν
62 θεόν. ὁ γὰρ μὴ ὢν τέκνον τοῦ Ἀβραὰμ * * * † αν οὖν τῶν μετὰ τὸν Ἀβραὰμ ψεκτὸς ὡς οὗτοι πρὸς οὓς ὁ λόγος, πολλῷ μᾶλλον οὐκ
63 ἔσται τέκνον τοῦ θεοῦ. ὅρα δὲ εἰ καὶ πρὸς τοῦτο δυνάμεθα λέγειν ὅτι οὐκ εἴρηται· »καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ὑμῶν

3 Vgl. Joh. 10, 1ff. — 6 Joh. 10, 26. — 17 Joh. 8, 38. — 19 Joh. 8, 39. — 22 Joh. 8, 38. — 25 Joh. 8, 39.

1 ὅτι ἀνεπιτήδειοι] τι ἀν a. Ras. | 8 ἑαυτοὺς | 21 φήσει, corr. We | ἑαυτοῖς] ε ü. d. Z. M | 30 der Text durch Ausfall verstümmelt; viell. ⟨πολλῶν· ἀκολουθούντων μ. τ. Ἀ. ψεκτῶς? V erg. ⟨κατὰ μίμησιν ἀρετῆς ὁποί⟩ ανοῦν τῶν κτλ. | 32 ἔσται] ἔστε M, corr. V; ἔστι Ausgg.

Digitized by Google

⟨ἢ⟩ παρὰ τοῦ πατρὸς ἡμῶν‹, ἀλλὰ »παρὰ τοῦ πατρός«, ὅστις κἂν ᾖ πατήρ, οὐ πάντως καὶ τῶν μὴ τέκνων τοῦ Ἀβραάμ ἐστιν πατὴρ
243r *καὶ μὴ μεμορφωμένων ἀπὸ σπέρματος Ἀβραὰμ ἐπὶ τὰ τέκνα τοῦ Ἀβραάμ· ἢ ἀδιορίστως εἰρημένον τὸ »Ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς«*
5 *δύναται λαμβάνεσθαι ἀντὶ τοῦ ›ἀπὸ τοῦ πατρός μου‹, καὶ τοῦτο ἔσται σαφὲς ἐκ τοῦ »Ἃ ἐγὼ ἑώρακα παρὰ τῷ πατρὶ λαλῶ« ἴσον δυναμένου τῷ »παρὰ τῷ πατρί μου«. καὶ ἐν τοῖς ἑξῆς δὲ διδασκόμεθα* **64**
τίνων ἐστὶν ὁ θεὸς πατήρ, διὸ ὧν καὶ ταῦτα λέγει ὁ σωτήρ· »Εἰ ὁ »θεὸς πατὴρ ὑμῶν ἦν ἠγαπᾶτε ἂν ἐμέ«. σαφὲς δὲ ὅτι οἱ ζητοῦντες **65**
10 *ἀποκτεῖναι τὸν υἱὸν οὐκ ἠγάπων αὐτόν· μὴ ἀγαπῶντες δὲ αὐτὸν οὐκ ἂν ἐχρημάτιζον [οἱ] υἱοὶ τοῦ θεοῦ. ὥστε δῆλον ὅτι τὸ »Καὶ ὑμεῖς οὖν »ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ποιεῖτε« οὐκ ἴσον δύναται τῷ ›παρὰ τοῦ πατρὸς ὑμῶν‹.*

31SR **VIII, 39.** *Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε,*
15 *τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε.*

X. *Οἱ ἔν τι ἐπιλεξάμενοι τῶν τοῦ Ἀβραὰμ ἔργων, τὸ »Ἐπίστευσεν* **66**
»δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην«, καὶ τοῦτο νομίζοντες εἶναι ἐφ' ὃ ἀναφέρεται τὸ »Τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε« ἵνα καὶ συγχωρηθῇ αὐτοῖς ὅτι ἔργον ἐστὶν ἡ πίστις, οὐ συγχωρηθὲν
20 *ἂν ὑπὸ τῶν παραδεχομένων τὸ »Πίστις χωρὶς ἔργων νεκρά ἐστιν« οὐδ' ὑπὸ τῶν ἀκουόντων ὅτι διαφέρει τὸ δικαιοῦσθαι »ἐκ πίστεως«*
205H *ἢπερ »ἐξ ἔργων νόμου«, ἀπολεγέτωσαν διὰ τί οὐκ εἴρηται· »Εἰ τέκνα »τοῦ Ἀβραάμ ἐστε, τὸ ἔργον τοῦ Ἀβραὰμ ποιεῖτε« ἐνικῶς, ἀλλὰ πληθυντικῶς· »Τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«, ἴσον, ὡς οἶμαι, τυγχά-*
25 *νον τῷ ›πάντα‹ »τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«. εἰ δὲ ἴσον ἐστὶν τῷ* **67**
›πάντα‹ »τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε« καὶ μήτε σωματικῶς παιδίσκῃ δεῖ προσελθεῖν τὸν ἔχοντα γαμετὴν μήτε μετὰ τὴν τελευτὴν τῆς γεγαμημένης ἐν γήρᾳ ἄλλην γυναῖκα λαβεῖν τὸν κατὰ τὴν τοῦ σωτῆρος ὑφήγησιν θέλοντα τέκνον ἀποδειχθῆναι τοῦ Ἀβραὰμ ἐκ τοῦ
30 *ποιεῖν τὰ ἔργα τοῦ Ἀβραάμ, σαφῶς καὶ ἐντεῦθεν μανθάνομεν ὅτι δεῖ πᾶσαν τὴν κατὰ τὸν Ἀβραὰμ ἀλληγοροῦντα ἱστορίαν ἕκαστον πνευματικῶς ποιῆσαι τῶν πεπραγμένων ὑπ' αὐτοῦ, ἀρξάμενον ἀπὸ τοῦ »Ἐξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου*

6 Joh. 8, 38. — **8** Joh. 8, 42. — **9** Vgl. Joh. 8, 40. — **16** Röm. 4, 3. Jak. 2, 23; vgl. Gen. 15, 6. — **20** Jak. 2, 20. — **21** Vgl. Röm. 3, 28. — **33** Gen. 12, 1.

11 [οἱ] str. We | **20** *νεκρά*] *ἀργή* BC* It. Boh. Sah. Arm. | **21** *ἀκούτων* M | **22** *ἀπολέτωσαν* M, *ἀποκριθήτωσαν γὰρ καὶ λεγέτωσαν* V | 25 *πάντα τὰ*] über *π* e. zweites *τὰ* von M übergeschrieben, *τὰ πάντα ἔργα* Br | **31** *πνευματικὸν*, corr. We.

Digitized by Google

»τοῦ πατρός σου, εἰς τὴν γῆν ἣν ἄν σοι δείξω«, εἰρημένου οὐ μόνῳ
68 τῷ Ἀβραὰμ ἀλλὰ καὶ παντὶ τῷ ἐσομένῳ τέκνῳ αὐτοῦ. ἔστιν γάρ
τις καὶ ἑκάστου ἡμῶν γῆ, καὶ ἡ πρὸ τοῦ θείου χρηματισμοῦ οὐκ
ἀγαθὴ συγγένεια, καὶ ὁ πρὸ τοῦ φθάσαντος εἰς ἡμᾶς λόγου θεοῦ
οἶκος τοῦ πατρὸς ἡμῶν, † δι' ἅτινα ἅπαντα κατὰ λόγον θεοῦ δεήσει 5
ἡμᾶς ἐπεξελθεῖν, εἴπερ ἀκούομεν τοῦ σωτῆρος λέγοντος· »Εἰ τέκνα
»τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«· οὕτω γὰρ φθάσο-
μεν, ὡς καταλιπόντες τὴν ἡμετέραν γῆν, ἐφ' ἣν δείξει ἡμῖν γῆν ὁ
θεός, τὴν ἀληθῶς ἀγαθὴν καὶ ὄντως | πολλήν, ἣν ἀπὸ κυρίου τοῦ 243v
θεοῦ πρέπει δίδοσθαι τοῖς ποιήσασι τὸ προστεταγμένον ἐν τῷ »Ἔλξεθε 10
69 »ἐκ τῆς γῆς σου«. καὶ ὡς καταλιπόντες συγγένειαν οὐ καλὴν εἰς
ἔθνος ἐσόμεθα μέγα καὶ μεῖζον ἢ κατὰ ἀνθρώπους· καὶ ὡς καταφρο-
νήσαντες οἴκου πατρὸς οὐκ ἐπαινετοῦ, εὐλογηθησόμεθα μεγαλυνο- 319R
μένου τοῦ ὀνόματος ἡμῶν, γινόμενοι εὐλογητοὶ ἐπὶ τοσοῦτον, ὡς
τοὺς μὲν εὐλογοῦντας ἡμᾶς εὐλογεῖσθαι ὑπὸ τοῦ θεοῦ, τοὺς δὲ κατα- 15
ρωμένους ὑπὸ κατάραν ἔσεσθαι, πᾶσάν τε γῆς φυλὴν ἐν ἡμῖν εὐλο-
γεῖσθαι (ὅτε καὶ περὶ ἡμῶν εἴποι ἂν ὁ λόγος· »Ἐπορεύθη«, ὡς εἴρη-
ται περὶ Ἀβραάμ· »Καὶ ἐπορεύθη Ἀβραάμ, καθάπερ ἐλάλησεν αὐτῷ
»κύριος«· οἶμαι δὲ ὅτι ἐν ταῖς ἀρχαῖς καὶ ἐπὶ ποσὸν ὁ Λὼτ ἕψεται
ἡμῖν, οὗ σύμβολον ἦν τὸ »Καὶ ᾤχετο μετ' αὐτοῦ Λώτ«), καὶ ἐπανελ- 20
θόντες εἰς γῆν Χαναὰν διοδεύσομεν τὴν γῆν ἕως τοῦ τόπου Συχέμ.
οὕτω τῇ ἀναβάσει τῆς διανοίας προκόπτοντες ἕως ἐλθωμεν ἐπὶ τὴν
70 δρῦν τὴν ὑψηλήν. καὶ ὀφθήσεται ἡμῖν κύριος ὁ θεός, ὁ ὀφθεὶς τῷ
Ἀβραάμ, καὶ ἐπαγγελεῖται ⟨τὴν⟩ περὶ τὴν ὑψηλὴν δρῦν γῆν δοῦναι
71 τῷ νοητῷ τῆς ψυχῆς ἡμῶν σπέρματι. τοῦ δὲ νοήσαντός ἐστιν τὸ 25
»Τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε« καὶ τὸ οἰκοδομῆσαι θυσιαστήριον 296H
κυρίῳ τῷ ὅπου ἡ ὑψηλὴ δρῦς ἐπιφαινομένῳ καὶ ἡμῖν, καὶ μετὰ ταῦτα
ἀποστῆναι ἀπὸ τοῦ τόπου τῆς ὑψηλῆς δρυὸς ὡς ἐπὶ τὸ ὄρος, καὶ
τοῦ ὄρους κατὰ τὰς ἀνατολὰς τῆς Βαθήλ, ὃ ἑρμηνεύεται ›Οἶκος
θεοῦ‹, ἔνθα στήσει ἑαυτοῦ τὴν σκηνήν, τῆς μὲν Βαιθὴλ ὡς ἐπὶ κατὰ 30
θάλασσαν, τῆς δὲ Ἀγγαὶ ὡς ἐπὶ κατ' ἀνατολάς· ἑρμηνεύεται δὲ Ἀγγαὶ
72 ›Ἑορταί‹. καὶ ὡς προκόπτων γε ὁ τοιοῦτος μετὰ ταῦτα δεύτερον

2 Vgl. Philo, de migr. Abr. § 1ff. We — 6 Joh. 8, 39. — 10 Gen. 12, 1. — 11 Vgl. Gen. 12, 2f. — 17 Vgl. Philo, de migr. Abr. 23, § 127ff. We — 18 Gen. 12, 4. — 20 Gen. 12, 4. — 21 Vgl. Gen. 12, 6. — 23 Vgl. Gen. 12, 7. — 24 Vgl. Gen. 12, 6. — 26 Joh. 8, 39. — 27 Vgl. Gen. 12, 8. — 29 Vgl. Lagarde, Onom. sacra p. 182, 93 *Βεθήλ· οἶκος θεοῦ*; vgl. 188, 59. Armen. Onom.: „Bethêl: Haus Gottes." — 31 Vgl. Lagarde, Onom. s. p. 181, 76: *Ἀγγαί· ἑορτή*; vgl. 176, 42. Armen. Onom.: „Angê: Feste."

8. 11 *καταλειπόντες* | 11 ὡς a. Ras. | 17 ὡς] ὁς, corr. V (doch steht d. Wort a. Ras.) | 21 *διοδεύσωμεν* M, corr. V (vgl. Z. 19 | 24 *ἐπαγγέλλεται*, corr. V | ⟨*τὴν*⟩ + Br | 31 *ἀγγει*, corr. V | *ἀγγαει*.

Digitized by Google

οἰκοδομήσει τῷ κυρίῳ θυσιαστήριον, ἤδη καὶ ἐπικαλεῖσθαι δυνάμενος ἐπὶ τῷ ὀνόματι τοῦ κυρίου. καὶ ἐξῆς ἀπαίρων κἀκεῖθεν ὁ ἐσόμενος τέκνον τοῦ Ἀβραάμ, γενόμενός πως στρατηγικώτερος καὶ συνιεὶς πρὸς ὅσους πολεμίους αὐτὸν παρασκευάσασθαι δεῖ, στρατοπεδεύσει ἐν τῇ
5 ἐρήμῳ. μετὰ ταῦτα πεῖραν λιμοῦ λήψεται τοῦ ἐπὶ τῆς γῆς καὶ εἰς 73
τὴν Αἴγυπτον καταβήσεται παροικῆσαι ἐκεῖ, ἵνα μὴ καὶ αὐτοῦ κατισχύσῃ ὁ λιμὸς ὁ ἐνισχύσας ἐπὶ τῆς γῆς. καὶ καταβήσεται εἰς Αἴγυπτον μετὰ τῆς εὐπροσώπου ἑαυτοῦ γυναικός, συνθήκας τινὰς τιθέμενος πρὸς αὐτήν, ἵν' ⟨εὖ⟩ ἑαυτῷ δι' αὐτὴν οἱ Αἰγύπτιοι χρήσωνται
10 καὶ γένωνται ἐν Αἰγύπτῳ »αὐτῷ πρόβατα καὶ μόσχοι καὶ ὄνοι καὶ »παῖδες καὶ παιδίσκαι καὶ ἡμίονοι καὶ κάμηλοι«. περὶ ὧν ἑκάστου 74
σοφοῦ τινος καὶ ἐπὶ τὰ βάθη τῆς γραφῆς ἐπισταμένως φθάνειν δυνα-
320R μένου ἔργον ἂν εἴη λέγειν καὶ ἁπαξαπλῶς γε πᾶσαν τὴν κατὰ τὸν Ἀβραὰμ ἱστορίαν βασανίζοντος καὶ ὅλα τὰ περὶ αὐτοῦ γεγραμμένα,
15 ἅτινά ἐστιν ἀλληγορούμενα· ⟨ἃ⟩ ὡς πνευματικοὶ πνευματικῶς ποιεῖν
244r πειρασόμεθα.

Ὅρα δὲ εἰ μὴ σαφῶς ἀπὸ τῆς ἐξετάσεως τῶν κατὰ τὸν τόπον 75
παρίσταται ἡμῖν, ὅτι σοφοῦ τινός ἐστιν καὶ πάσῃ ἀρετῇ κεκοσμημένου τὸ γενέσθαι τοῦ Ἀβραὰμ τέκνον. τί γὰρ δεῖ λέγειν ὅσης σοφίας 76
20 χρήζομεν εἰς τὸ νοῆσαι τὰ ἔργα τοῦ Ἀβραάμ; καὶ ὅσης δυνάμεως εἰς τὸ ποιῆσαι αὐτά; ποίας δὲ σοφίας ἢ ποίας δυνάμεως δεόμεθα, ἢ Χριστοῦ, ὅς ἐστιν »θεοῦ δύναμις καὶ θεοῦ σοφία;« τὸ μὲν οὖν γεγραμμέ- 77
νον ἐστίν· »Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«· ἀκολούθως δ' ἂν παρὰ τοῦτο εἴποις· εἰ τέκνα τοῦ Ἰσαάκ ἐστε, τὰ
25 ἔργα τοῦ Ἰσαὰκ ποιεῖτε· τὰ δὲ ὅμοια καὶ περὶ τοῦ Ἰακὼβ καὶ ἑνὸς ἑκάστου τῶν ἁγίων πατέρων. καὶ ἐκ τῶν ἐναντίων δὲ ἕκαστος τῶν 78
ἁμαρτανόντων γενικῶς μὲν τέκνον ἐστὶν τοῦ διαβόλου. ἐπεὶ πᾶς »ὁ »ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου γεγένηται«, ἤδη δὲ καὶ ἰδικώτερον ἤτοι τοῦ Κάϊν, ἢ τοῦ Χάμ, ἢ τοῦ Χαναάν, ἢ τοῦ Φαραώ, ἢ τοῦ
30 Ναβουχοδονόσορ, ἤ τινος τῶν ἀσεβῶν. τούτοις δὲ ἀκολούθως ἐρεῖς 79
ὅτι ἕκαστος ἀπαλλαττόμενος τοῦ βίου τούτου ἀπελεύσεται πρὸς τοὺς
297H ἰδίους πατέρας· νομιστέον γὰρ οὐ μόνῳ τῷ Ἀβραάμ, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις λέγεσθαι πρὸς τῇ ἐξόδῳ τὸ »Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς »πατέρας σου«· οὐκέτι δὲ πᾶσιν ἀνθρώποις, ἀλλὰ μόνοις τοῖς ἁγίοις

2 Vgl. Gen. 12, 9. — **5** Vgl. Gen. 12, 10f. — **7** Vgl. Gen. 12, 11f. — **9** Gen. 12, 16. — **15** Vgl. Gal. 4, 24. — **22** I Kor. 1, 24. — **23** Joh. 8, 39. — **27** I Joh. 3, 8. — **33** Gen. 15, 15.

9 ἵν' ⟨εὖ⟩] über ἵν ist in M etwas zugesetzt, das etwa wie ω̃ aussieht; viell. soll es das nach Gen. 12, 16 unentbehrliche εὖ sein | **14** βασανίζοντες, corr. We | **15** ⟨ἃ⟩ + We | **24** ἐστε | **25** Ἰσαάκ (ἰσὰκ M) ü. d. Z. | **30** Ναβουχοδονόσορ] β a. Ras.

Digitized by Google

τὸ »Μετὰ εἰρήνης«· τοῖς δὲ τετελειωμένοις καὶ πνευματικῶς μακροημέροις γενομένοις καὶ τὸ »Τραφεὶς ἐν γήρᾳ καλῷ«, ἐπείπερ »Πολιά »ἐστιν φρόνησις ἀνθρώποις« καὶ »Στέφανος καυχήσεως γῆρας« καὶ δόξα τοῖς ἀληθινοῖς καὶ θείοις πρεσβυτέροις αἱ κοσμοῦσαι αὐτοὺς νοηταὶ πολιαί.

VIII, 40. *Νῦν δὲ ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ θεοῦ.*

XI. *Οἱ ζητοῦντες ἀποκτεῖναι, ἐπεὶ θεὸς οὐκ ἀποκτίννυται, κἂν ἀποκτιννύωσιν, ἄνθρωπον ἀποκτιννύουσιν. κἂν ζητῶσιν ἀποκτεῖναι, μήπω ἀποκτινύντες, οὐχὶ θεὸν νομίζοντες εἶναι, ᾧ ἐπιβουλεύουσιν, ὡς ἀνθρώπῳ ἐπιβουλεύουσιν· οὐδεὶς γὰρ πειθόμενος εἶναι θεὸν τοῦτον*
81 *ᾧ ἐπιβουλεύει, ἐπιβουλεύσαι ἂν αὐτῷ ἔτι. ἔστι δέ πως ἀεὶ θεωρῆσαι τοὺς τῷ λόγῳ τοῦ θεοῦ ἐπιβουλεύοντας, ὅτι ἀποκτεῖναι ζητοῦσιν καὶ ἐξαφανίσαι αὐτόν, ἄνθρωπον αὐτόν, τουτέστιν ἀνθρώπινον καὶ θνητόν, εἶναι ὑπολαμβάνοντες, ἢ καὶ τῷ ἀνθρωπινωτέρῳ αὐτοῦ καὶ βλεπομένῳ ἐπιτίθενται· ἵνα δὲ καὶ ἀποκτείνωσιν τὸ σῶμα τοῦ λόγου,* 321 R
82 *σαφὲς ὅτι μετὰ ταῦτα οὐδὲν δύνανται ποιῆσαι περισσότερον. διόπερ οὐ φοβητέον ἡμῖν ἀπὸ τῶν ἀποκτιννύντων τὸ σῶμα, μετὰ δὲ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι, οὐδὲ φοβητέον ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν τοῦ λόγου ἀποκτεῖναι μὴ* 244 v
83 *δυναμένων. ἀλλ' εἰ τοιοῦτός τίς ἐστιν ⟨ὁ⟩ λόγος ὥστε καὶ τὸ σῶμα αὐτοῦ καὶ τὴν ψυχήν, τῷ ἄξια εἶναι ἀπωλείας, ἀπόλλυσθαι δύνασθαι, φοβητέον τὸν δυνάμενον θεὸν λόγον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι καὶ ἐξαφανίσαι, εἴτε ἐν γεέννῃ εἴτε ὅπως βούλεται· ὁ κύριος γὰρ Ἰησοῦς ἀναλοῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργεῖ τῇ*
84 *ἐπιφανείᾳ τῆς παρουσίας ἑαυτοῦ τὸν ἀντικείμενον λόγον καὶ ἐπαιρόμενον ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα. καὶ ζητοῦσί γε οὗτοι*
85 *πρὸς οὓς ὁ λόγος ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκεν, ἣν ἤκουσεν παρὰ τοῦ θεοῦ καὶ εἴληφεν. κἂν ἁπλούστερον μέντοι γε*

2 Gen. 15, 15. — Weish. Sal. 4, 9. — 3 Prov. 16, 31. — 4 Vgl. Prov. 20, 23. — 16. 23 Vgl. Matth. 10, 28; Luk. 12, 4. — 24 Vgl. II Thess. 2, 8 (Jes. 11, 4). — 26 Vgl. II Thess. 2, 4. — 28 Vgl. Joh. 8, 40.

1 *μακροημερῶς*, corr. V | 6 nach *ζητεῖτε* + *με* V ü. d. Z. Die Zeugen von T lesen das Wort einstimmig; nicht anders Orig., C. Cels. VII, 16 [II, 167, 20 K.] u. a. a. Stellen bei Griesbach, Symb. crit. II, 431. Dass es Orig. aber hier in seinem Texte nicht hatte, beweist die folgende Ausführung | 9 *ἀποκτιννύουσιν*] *ἀποκτεινύωσιν* | 10 *θεὸν*] *θεῷ*, corr. V | 12 *ἀεὶ πῶς ἀεὶ* M | 15 *ἢ* We | 17 *σαφῶς* | 20 *ἀποκτενόντων* | 21 ⟨*ὁ*⟩ + V | 25 *σώματος*, corr. Ru | *τῇ*] *τὴν*.

Digitized by Google

κατὰ τὸν τόπον ἐκλαμβάνωμεν, σαφῶς ἐδίδαξεν ὁ σωτὴρ ὅτι τὸ ζητούμενον ὑπὸ Ἰουδαίων ἐπὶ τῷ ἀναιρεθῆναι αὐτὸ θεὸς οὐκ ἦν ἀλλὰ ἄνθρωπος, ὃς καὶ ἀνῃρέθη· θεὸν γὰρ οὐ θεμιτὸν ἀποθνήσκειν λέγειν· διόπερ ὁ ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγος, ὅστις καὶ θεὸς λόγος ἦν, οὐκ ἀπέθανεν. ζητήσεις δέ, ἐπεὶ γέγραπται ὅτι »Ὁ λόγος σὰρξ 298H »ἐγένετο«, πότερόν ποτε ὁ γενόμενος σὰρξ λόγος τῷ γεγονέναι σὰρξ γέγονεν καὶ ἄνθρωπος ἢ οὐ γέγονεν ἄνθρωπος. εἰ μὲν γὰρ γέγονεν 86 ἄνθρωπος, δύναται αὐτὸς ἐζητῆσθαι ἀναιρεθῆναι· εἰ δὲ μὴ γέγονεν ἄνθρωπος, καὶ ὁ γενόμενος σὰρξ λόγος οὐκ ἀναιρεθεὶς ἀποκατέστη, καὶ ἀποκαθίσταται ἕκαστος ἐπὶ τοῦτο ὅπερ ἦν πρὶν γένηται σάρξ.

VIII, 40. *Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν.*

XII. Τὸ μηδαμῶς δυνατὸν πραχθῆναι τῷ Ἀβραάμ, εἰ μὴ πε- 87
ποίηκεν Ἀβραάμ, ὡς ἔτυχεν ἀνειρῆσθαι δόξει τὸ »Τοῦτο Ἀβραὰμ »οὐκ ἐποίησεν«. εἴποιεν γὰρ ἂν πρὸς τοῦτό τινες ὅτι μάτην λέγεται τὸ »Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν«, εἴπερ οὐκ ἐποίησεν τὸ μηδαμῶς γενόμενον κατὰ τὸν χρόνον αὐτοῦ· οὐ γὰρ γεγόνει κατὰ τὸν χρόνον αὐτοῦ ὁ Ἰησοῦς. ἀλλ' ἐπεὶ τὸ »Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν« οἰονεὶ 88
ἐν ἐπαίνῳ ὑπολαμβάνω εἰρῆσθαι τῷ περὶ τοῦ Ἀβραάμ, εἴποιμ' ἂν ὅτι κατὰ τὸν διδάξαντα λόγον τὸ »Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιά- 322R »σατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδεν καὶ ἐχάρη« ἔστιν τὸ γεγονέναι μὲν καὶ ἐπὶ τοῦ Ἀβραὰμ ἄνθρωπον λαλοῦντα ἣν ἤκουσεν παρὰ τοῦ θεοῦ ἀλήθειαν, οὐ μὴν ἐζητῆσθαι αὐτὸν ἀνῃρῆσθαι ὑπὸ τοῦ Ἀβραάμ. καὶ ἐπίστησον ὅτι οὐκ ἔστιν ὅτε ὁ κατὰ τὸν Ἰησοῦν 89
τροπικῶς νοούμενος ἄνθρωπος οὐκ ἐπεδήμει τῷ βίῳ, καὶ μετὰ τοὺς τῆς περὶ αὐτοῦ ἱστορίας χρόνους καὶ πρότερον. κατὰ τοῦτο δὲ οἶομαι πάντα τὸν ἅπαξ φωτισθέντα καὶ γευσάμενον δωρεᾶς ἐπουρανίου μέτοχόν τε γενηθέντα πνεύματος ἁγίου, καὶ καλὸν γευσάμενον θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος καὶ παραπεσόντα πάλιν, ἀνακαινίζειν ἑαυτὸν εἰς μετάνοιαν, ἤτοι προσταυροῦντα ἢ ἀναστα- ροῦντα τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντα, εἴτε πρὸ τῆς 245r ἱστορουμένης σωματικῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας εἴτε καὶ ὕστερον. οὐ γὰρ ὁ μὲν νῦν μετὰ τὸν φωτισμὸν καὶ τὰς λοιπὰς εἰς 90
αὐτὸν τοῦ θεοῦ εὐεργεσίας ἁμαρτάνων ἀναστανροῖ τὸν υἱὸν τοῦ

4 Vgl. Joh. 1, 1. — **5** Joh. 1, 14. — **19** Joh. 8, 56. — **21** Vgl. Joh. 8, 40. — **26** Vgl. Hebr. 6, 4. — **27** Vgl. Hebr. 6, 5f.

5 ἐπεὶ] ἐπὶ | **9** ἀποκατέστη] ἀπεκατέστη V; vgl. dazu Winer-Schmiedel § 12, 7; Blass, Gramm. d. neutest. Griech. § 16, 7. Ob freilich Origenes schon so schrieb, ist fraglich | **10** ἑκάστω, corr. We | **16** γενόμενον] γενέσθαι δυνάμενον We | **18** ἐπαίνῳ] π a. Ras. | 20 ἴδῃ] εἴδῃ, corr. V | εἶδεν] ἴδεν, corr. V | **28** παραπεσόντας, corr. Ausgg. | **29** ἑαυτῶ, corr. Ru.

Digitized by Google

θεοῦ διὰ τῶν ἰδίων ἁμαρτημάτων ἐφ' ἃ ἐπαλινδρόμησεν. οὐδὲν τῆς
κοινότερον λεγομένης σωματικῆς πρὸς τὸ σταυρῶσαι τὸν υἱὸν τοῦ
θεοῦ ἐνεργείας ἐπιτελῶν, οὐχὶ δὲ καὶ πρότερον τοῦτο ἐγίνετο καὶ ὁ
ἁμαρτάνων μετὰ τὸ ἀκοῦσαι θείων λόγων προεσταύρου τὸν υἱὸν
91 τοῦ θεοῦ. εἰ τῷ δὲ φίλον παραδέξασθαι τὸ ἐν ταῖς Παύλου Πράξεσιν 5
ἀναγεγραμμένον ὡς ὑπὸ τοῦ σωτῆρος εἰρημένον· »Ἄνωθεν μέλλω
»σταυροῦσθαι«, οὗτος, ὡς μετὰ τὴν ἐπιδημίαν παραδέχεται τὸ »Ἄνω-
»θεν μέλλω σταυροῦσθαι« γινόμενον, οὕτω καὶ πρὸ τῆς ἐπιδημίας,
ὅταν τὰ αὐτὰ αἴτια γίνηται τὸ λέγεσθαι ἄν· »ἤδη μέλλω σταυροῦ-
92 σθαι«. διὰ τί γὰρ οὐχὶ ὡς »ἄνωθεν« μέλλει σταυροῦσθαι, καὶ πρό- 10
τερον ἐσταύρωτο; ὅρα δὲ εἰ μὴ μόνων τῶν μετὰ τὴν παρουσίαν 299H
ἐστὶν ἁγίων φωνὴ τὸ »Χριστῷ συνεσταύρωμαι«, ἀλλὰ καὶ τῶν προ-
τέρων, ἵνα μὴ διαφέρειν λέγωμεν τοὺς μετὰ τὴν παρουσίαν ἁγίους
93 Μωσέως καὶ τῶν πατριαρχῶν. καὶ τὸ »Ζῶ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν
»ἐμοὶ Χριστός« λεγέσθω μὴ μόνον ὑπὸ τῶν μετὰ τὴν παρουσίαν 15
ἀλλὰ καὶ ὑπὸ τῶν προτέρων. ἐφίστημι δὲ καὶ τῷ »Θεὸς Ἀβραὰμ
»καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ· θεὸς δὲ οὐκ ἔστι νεκρῶν ἀλλὰ
»ζώντων« εἰρημένῳ ὑπὸ τοῦ σωτῆρος, μήποτε διὰ τοῦτο ζῶντές
εἰσιν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐπεὶ καὶ αὐτοὶ συνταφέντες τῷ
χριστῷ συνανέστησαν αὐτῷ, οὐ πάντως κατὰ τὴν σωματικὴν τοῦ 20
Ἰησοῦ ταφὴν ἢ σωματικὴν ἀνάστασιν αὐτοῦ. ταῦτα πρὸς τὸ »Τοῦτο
»Ἀβραὰμ οὐκ ἐποίησε«.

94 Τί δὲ »τοῦτο« ἢ τὸ ζητεῖν ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλή- 323R
θειαν λελάληκεν ἣν ἤκουσε παρὰ τοῦ θεοῦ; ἀποδίδομεν γὰρ ὡς ἄρα
ἡ κατὰ τὸν Ἰησοῦν πνευματικὴ οἰκονομία οὐκ ἔστιν ὅτε τοῖς ἁγίοις 25
95 οὐκ ἦν. ἐὰν δὲ ἀνάγαγῃς ταῦτα, ὥσπερ ὑπονενοήκαμεν ἐν ἄλλοις,
ἑτέρως παρὰ τὸ κοινότερον ἐπὶ μυστικώτερον Ἀβραάμ, ὁμοίως πάντα
τὰ κατὰ τὸν τόπον ἐξομαλίσαι πειράσει, ζητῶν τὴν ἑκάστου τού-
των ἀκολουθίαν.

VIII, 41. Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. 30

96 XIII. Ὅσον ἐπὶ τῷ ῥητῷ τούτῳ οὐκ ἔστι σαφὲς τίνα θέλει εἰπεῖν
πατέρα τῶν πεπιστευκότων αὐτῷ Ἰουδαίων καὶ μηδέπω ἐγνωκότων
97 τὴν ἀλήθειαν· πρὸς αὐτοὺς γὰρ ταῦτα πάντα φησί. καὶ εἰ μὴ ἐπε-

5 Vgl. Hilgenfeld, NT extra canon. recept. IV, 69 sq. — **12** Gal. 2, 19. — **14** Gal. 2, 20. — **16** Matth. 22, 32 (Syr. Sin.) — **19** Vgl. Röm. 6, 4. — **21** Joh. 8, 40. — **32** Vgl. Joh. 8, 31 f.

4 θείας, corr. V | τὸ] τοῦ, corr. We | **12** τὸ] τῷ M, corr. Pr, denn Gal. 2, 19 fehlt der Artikel **16** τῷ] τὸ. corr. V | **20** συναρέστησαν, corr. V | **26** ἕτερος, corr. We.

Digitized by Google

φέρετο μετ' ὀλίγα τὸ »Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ
»τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν«, κἂν σαφῶς οὐκ
245v ἐγνώκειμεν τὸ βούλημα τοῦ | εἰρημένου. οὐ θαυμαστὸν δὲ εἰ τοῖς 98
πεπιστευκόσιν αὐτῷ Ἰουδαίοις, μηδέπω μείνασιν αὐτοῦ ἐν τῷ λόγῳ,
ἵνα ἀληθῶς αὐτοῦ γένωνται μαθηταὶ καὶ γνῶσιν τὴν ἀλήθειαν ἐπὶ
τῷ ἐλευθερωθῆναι ὑπ' αὐτῆς, ἔλεγεν τὸ »Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ
»πατρὸς ὑμῶν« καί, ὡς ἐν τοῖς ἑξῆς ἐπιφέρεται, τὸ »Ὑμεῖς ἐκ τοῦ
»πατρὸς τοῦ διαβόλου ἐστέ«. κἂν γὰρ ἀπηνὲς εἶναι δοκῇ τὸ τοιοῦτο 99
λεγόμενον περὶ πεπιστευκότων μὲν αὐτῷ καὶ μαθητευθέντων πως,
οὐ μὴν ἤδη ἀληθῶς χρηματισάντων μαθητῶν τοῦ Ἰησοῦ, ὅμως κατα-
νοητέον καὶ τὸ ἐν τῇ καθολικῇ ἐπιστολῇ ὑπὸ Ἰωάννου εἰρημένον
περὶ υἱῶν θεοῦ καὶ υἱῶν διαβόλου· »Ὁ ποιῶν, γάρ φησι, τὴν ἁμαρ-
»τίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει.
»εἰς τοῦτο ἐνεφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ 100
»διαβόλου. πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι
300H »σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ
»τοῦ θεοῦ γεγέννηται. ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ θεοῦ 101
»καὶ τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ὢν δίκαιος οὐκ ἔστιν ἐκ τοῦ
»θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ«. τῶν ῥητῶν τοίνυν 102
τούτων οὕτως ἐχόντων κατανόησον εἰ μὴ σαφῶς εἴρηται ὅτι πᾶς
»ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν«. ὅσον ποιοῦμεν 103
ἁμαρτίας, οὐδέπω τὴν ἐκ τοῦ διαβόλου γένεσιν ἀπεδυσάμεθα, κἂν
πιστεύειν εἰς τὸν Ἰησοῦν νομιζώμεθα· καὶ τούτῳ ἀκόλουθόν ἐστιν
τὸ λέγεσθαι τοῖς πεπιστευκόσιν Ἰουδαίοις ὑπὸ τοῦ Ἰησοῦ· »Ὑμεῖς
»ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν« ἀναφερομένου »τοῦ πατρὸς«
ἐπὶ τὸν διάβολον διὰ τὸ »Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ«.
324R εἰ δὲ πᾶς »ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν«, πᾶς ὁ 104
μὴ ὢν ἐκ τοῦ διαβόλου οὐ ποιεῖ τὴν ἁμαρτίαν. ἀλλὰ καὶ εἴπερ »εἰς 105
»τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ δια-
»βόλου«, ὅσον οὐδέπω τὰ ἐν ἡμῖν ἔλυσεν ἔργα τοῦ διαβόλου, τῷ μὴ
παρεστακέναι ἡμᾶς ἑαυτοὺς τῷ λύοντι τὰ ἔργα τοῦ διαβόλου, οὐ-
δέπω ἀπεθέμεθα τὸ εἶναι τέκνα τοῦ διαβόλου, ἀπὸ τῶν καρπῶν
ἐπιγινωσκόμενοι τίνος ἐσμὲν υἱοί. καὶ ἐκ τούτων μέντοι γε δῆλόν 106
ἐστιν ὅτι οὐ διὰ κατασκευὴν υἱός τίς ἐστιν διαβόλου, οὐδὲ διὰ τὸ
οὕτως δεδημιουργῆσθαι υἱός τις ἐν ἀνθρώποις λέγεται τοῦ θεοῦ·

1 Joh. 8, 44. — **6** Joh. 8, 41. — **12** I Joh. 3, 8—10. — **21** I Joh. 3, 8. — **24** Vgl. Joh. 8, 31. — Joh. 8, 41. — **26** Joh. 8, 44. — **28** Joh. 8, 44. — **32** Vgl. Matth. 7, 16.

15 *γεγενημένος*. corr. Ausgg. | **17** *γεγένηται*, corr. Ausgg. | **18** *ὁ μὴ ὢν δίκαιος* mit Vulg.m, Syr. hcl mg, Sah., Cypr., Lucif., *ὁ μὴ ποιῶν δικαιοσύνην* d. Hss. | **19** *τὸν* a. Ras | **31** *παρεστηκέναι*, corr. We.

Digitized by Google

καὶ δῆλον ὅτι δύναται ὁ ποτὲ υἱὸς τοῦ διαβόλου γενέσθαι υἱὸς τοῦ θεοῦ, ὅπερ σαφὲς καὶ ὁ Ματθαῖος ποιεῖ ἀναγράφων τὸν σωτῆρα οὕτως εἰρηκέναι· »Ἠκούσατε ὅτι ἐρρέθη· Ἀγαπήσεις τὸν πλησίον »σοῦ καὶ μισήσεις τὸν ἐχθρόν σου· ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπήσατε »τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς· 5
107 »ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς«. προσέχετε γὰρ ὅτι ἐκ τοῦ »ἀγαπᾶτε τοὺς ἐχθροὺς« καὶ »προσεύχεσθε »ὑπὲρ τῶν διωκόντων« ὁ μὴ πρότερον τοῦ ἐν οὐρανοῖς πατρός, ὕστερον αὐτοῦ | γίνεται υἱός· ἔτι δὲ διὰ τὸ »Ἐν τούτῳ φανερά 246r
»ἐστιν τὰ † ἔργα τοῦ θεοῦ καὶ τὰ † ἔργα τοῦ διαβόλου« προειρη- 10
μένων περὶ μὲν τοῦ διαβόλου τέκνων ὅτι »Ὁ ποιῶν τὴν ἁμαρτίαν »ἐκ τοῦ διαβόλου ἐστίν«· περὶ δὲ τῶν τοῦ θεοῦ ὅτι »Πᾶς ὁ γεγεννη»μένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ »μένει καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται«. σαφὲς ὅτι πᾶς ἄνθρωπος συμπεπληρωκὼς τὸν λόγον ἤτοι τέκνον 15
τοῦ θεοῦ ἐστιν ἢ τέκνον τοῦ διαβόλου· ἤτοι γὰρ ποιεῖ ἁμαρτίαν ἢ ἁμαρτίαν οὐ ποιεῖ, οὐδενὸς ὄντος μεταξὺ τοῦ ποιεῖν ἁμαρτίαν καὶ τοῦ ἁμαρτίαν μὴ ποιεῖν· καὶ εἰ μὲν ποιεῖ ἁμαρτίαν, ἐκ τοῦ διαβόλου ἐστίν· εἰ δὲ ἁμαρτίαν οὐ ποιεῖ, ἐκ τοῦ θεοῦ γεγέννηται.

108 XIV. Ἔχεται δὲ τῆς ἐν τούτοις περὶ τέκνων θεοῦ καὶ τέκνων 20
διαβόλου ἀποφάσεως τὰ ἐν τῇ αὐτῇ ἐπιστολῇ λεγόμενα περὶ τῶν 301H
ὄντων ἐν τῷ υἱῷ τοῦ θεοῦ καὶ τῶν μὴ ἑωρακότων αὐτόν· »Πᾶς »γάρ φησιν, ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων
109 »οὐχ ἑώρακεν αὐτόν«. οὐκοῦν εἰ πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει, ὁ ἁμαρτάνων οὐ μένει ἐν τῷ υἱῷ· καὶ εἰ πᾶς ὁ ἁμαρτάνων 25
110 οὐχ ἑώρακεν αὐτόν, ὁ ἑωρακὼς αὐτὸν οὐχ ἁμαρτάνει. ἅμα δὲ καὶ σημείωσαι, τί νοῶν ὁ Ἰωάννης εἶπεν τὸ »Πᾶς ὁ ἁμαρτάνων οὐχ »ἑώρακεν αὐτόν« ⟨δηλῶν⟩ διὰ τοῦ »Ἑώρακεν αὐτὸν« ὡς ἀεὶ δυνα- 325R
μένων εἶναι τῶν ὁρώντων τὸν υἱὸν τοῦ θεοῦ καὶ ἐκ τοῦ ἑωρακέναι αὐτὸν μεταλαμβανόντων δυνάμεως πρὸς τὸ μηδαμῶς ἁμαρτάνειν. 30
111 ἔτι φήσεις ὅτι τὸ »Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν« ὁτὲ

3 Matth. 5, 43–45. — 9 I Joh. 3, 10. — 11 I Joh. 3, 8. — 12 I Joh. 3, 9. — 22 I Joh. 3, 6. — 31 Joh. 8, 41.

4 ἀγαπήσατε wie u. S. 347, 7. 26 | 5 προσεύχεσθαι | 6 προσεύχεσθαι M, corr. We; vgl. S. 345, 16 | 7 προσεύχεσθαι. corr. Ausgg. | 8 nach μὴ + ὢν V; man könnte es nach πρότερον ausgefallen denken; aber der Zusatz ist überhaupt müssig | 9 ὅτι, corr. We | 10 statt ἔργα ist mit Ferrarius beidemale τέκνα zu l., nach I Joh. 3, 10. Das folgende (vgl. u. Z. 15f.) macht die Änderung nötig. Viell. liegt ein sehr alter Schreibfehler vor | 11 τοῦ διαβόλου] τοῦ διαβ a. Ras. | 12 γεγεννημένος] ς a. Ras. | 15. 16 τέκνων, corr. We | 22 αὐτὸν] αὐτῶν, corr. V | 27 σημειώσει, corr. Pr | 28 ⟨δηλῶν⟩ + Pr | τὸ, corr. We.

Digitized by Google

μὲν λέγοιτ᾽ ἂν πρὸς τοὺς υἱοὺς τοῦ διαβόλου, ὁτὲ δὲ πρὸς τοὺς
υἱοὺς τοῦ θεοῦ. οἱ μὲν γὰρ ἁμαρτάνοντες ποιοῦσι τὰ ἔργα τοῦ
πατρὸς αὐτῶν διαβόλου, οἱ δὲ κατορθοῦντες ποιοῦσι τὰ ἔργα τοῦ
πατρὸς αὐτῶν θεοῦ. εἰκὸς δὲ ἐκ τούτων τινὰ κινηθήσεσθαι μὴ ἄρα 112
δύνηται ὁ αὐτός, τῷ ποιεῖν ἀγαθὰ καὶ πονηρὰ ἔργα ἀνὰ μέρος, διὰ
μὲν τὰ ἀγαθὰ τέκνον εἶναι θεοῦ, διὰ δὲ τὰ ἐναντία τέκνον τοῦ δια-
βόλου. ἀλλὰ τοῦτο πρὸς τῷ ἀλογώτατον εἶναι οὐ δηλοῦται ἀπὸ
τῶν ῥητῶν. ἀποφαίνεται γὰρ ὁ Ἰωάννης ὅτι »Πᾶς ὁ γεγεννημένος 113
»ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει,
»καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται«. πᾶς 114
τοίνυν ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ· οὐ μὴν γέ-
γραπται ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ διαβόλου δικαιοσύνην οὐ
ποιεῖ, ἀλλ᾽ »ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν«. πάλιν 115
οὐχὶ ὥσπερ εἴρηται· »Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου
»ἐστίν«, οὕτως ἀναγέγραπται· »ὁ ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ
»θεοῦ ἐστιν«. καὶ πρόσχες ταῖς διαφοραῖς τῶν προτάσεων, τίνα
τρόπον μετὰ πάσης ἀκριβείας τῷ Ἰωάννῃ εἴρηνται, ὥστ᾽ ἂν θαυ-
μάσαι τινὰ πῶς ἀλήπτως καί, ὡς ἂν εἴποιέν τινες, διαλεκτικῶς
ἐξήνεγκεν αὐτάς, μὴ τὰ ὅμοια προενεγκάμενος περὶ τῶν ἐκ τοῦ
διαβόλου καὶ τῶν ἐκ τοῦ θεοῦ· ὁμοίως δ᾽ ἂν ἐξήνεγκεν εἰ πεποιήκει.
ὥσπερ τὸ »Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν«, οὕτως
246v »ὁ ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ θεοῦ ἐστιν« ἢ ὥσπερ ἀνέγραψεν
ὅτι »Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ« πεποιήκει
τὸ »πᾶς ὁ γεγεννημένος ἐκ τοῦ διαβόλου δικαιοσύνην οὐ ποιεῖ«.

XV. Μήποτε δὲ καὶ τῷ »Ἐστίν«, εἰρημένῳ ἐπὶ τοῦ ἐκ τοῦ δια- 116
βόλου, μὴ χρησάμενος ἐπὶ τῶν ἐκ τοῦ θεοῦ, ἢ τῷ »Γεγεννημένος«,
302H ἀναγεγραμμένῳ ἐπὶ τῶν ἐκ τοῦ θεοῦ, μὴ συγχρησάμενος ἐπὶ τῶν
ἐκ τοῦ διαβόλου, πάνυ σοφώτατα ἐξέδωκεν. ἐπῆρεν γὰρ τὸν ἐκ 117
τοῦ θεοῦ, τὸ »Γεγεννημένον« τάξας ἐπ᾽ αὐτοῦ· ὅπερ εἰ καὶ ἐπὶ τοῦ
ἐκ τοῦ διαβόλου εἴρητο, χεῖρον ἄν τι ἐνέφαινεν παρὰ τὸ »Ἐκ τοῦ
»διαβόλου ἐστίν«. ἀλλὰ καὶ εἴπερ, ὡς ἐπὶ τοῦ ἐκ τοῦ διαβόλου 118
ἔταξεν τὸ »Ἐστίν«, πεποιήκει ἐπὶ τοῦ ἐκ τοῦ θεοῦ, ἔλαττον ἂν περὶ
τὸν ἐκ τοῦ θεοῦ παρίστη, πολλῷ κρείττονος τυγχάνοντος τοῦ
326R γεγεννῆσθαι ἐκ τοῦ θεοῦ παρὰ τὸ εἶναι ἐκ τοῦ θεοῦ. φήσει δέ τις
ὅτι τινὰ τῶν κτισμάτων ἐστὶν μὲν ἐκ τοῦ θεοῦ, οὐ μὴν γεγέννηται
ἐκ τοῦ θεοῦ, καὶ πάντως ταῦτα ἐλάττονα ἔχει τάξιν ἐν τῷ παντὶ
τῶν γεγεννῆσθαι λεγομένων ἐκ τοῦ θεοῦ. καὶ γενόμενός γε κατὰ 119

8 I Joh. 3, 9. — **13** I Joh. 3, 8. — **23** I Joh. 3, 9.

8 γεγενημένος, corr. V | **19** προσενεγκάμενος, corr. We | **22** ἀνέγραφεν, corr. Pr | **32** ἔλαττον ⟨τι⟩ παρὰ τὸ ἐκ τοῦ θεοῦ γεγενῆσθαι? We | **35** κτισμάτων] τισ **a. Ras.** | **36** ἐλάττονα] ε **a. Ras.** | **37** γεγενῆσθαι, corr. V.

Digitized by Google

τὴν διαφορὰν τοῦ τε »Ἐστὶν ἐκ τοῦ διαβόλου« καὶ ⟨τοῦ⟩ »Γεγέννηται ἐκ τοῦ θεοῦ«, ζητήσεις μήποτ' ἐστίν τις ὁ καὶ γεγεννημένος ἐκ τοῦ διαβόλου, ὅστις πάντως καὶ ἔστιν ἐκ τοῦ διαβόλου, οὐ παντὸς τοῦ ὄντος ἐκ τοῦ διαβόλου γεγεννημένου· καὶ πάλιν ἔστιν τις ἐκ τοῦ θεοῦ οὐ πάντως καὶ γεγεννημένος ἐκ τοῦ θεοῦ, οὐκέτι δὴ παντὸς
120 τοῦ ὄντος ἐκ τοῦ θεοῦ γεγεννημένου ἐκ τοῦ θεοῦ. χαρακτηρίζεται μέντοι ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ τῷ ἁμαρτίαν μὴ ποιεῖν, διὰ τὸ σπέρμα τοῦ θεοῦ ἐν αὐτῷ μένειν, καὶ ἀπὸ τῆς ἐκείνου δυνάμεως ἐνυπαρχούσης αὐτῷ ἐγγινομένου τοῦ μηκέτι δύνασθαι ἁμαρτάνειν.
121 καὶ ἐν τοῖς τελευταίοις δὲ λέγεται τῆς ἐπιστολῆς· »Ὅτι πᾶς ὁ γε-
»γεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει, ἀλλὰ ὁ γεγεννημένος ἐκ
122 »τοῦ θεοῦ τηρεῖ ἑαυτὸν καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ«. εἰ δὲ ὁ γεννηθεὶς »ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτὸν καὶ ὁ πονηρὸς οὐχ ἅπτεται »αὐτοῦ«, ὁ μὴ τηρῶν ἑαυτόν, ἵν' ὁ πονηρὸς αὐτοῦ μὴ ἅπτηται, οὐ γεγέννηται ἐκ τοῦ θεοῦ, καὶ πᾶς οὗ ἅπτεται ὁ πονηρός, οὗτος οὐ γεγέννηται ἐκ τοῦ θεοῦ· ἅπτεται δὲ ὁ πονηρὸς τῶν μὴ τηρούντων
123 ἑαυτούς. ἐπεὶ δὲ τοῖς περὶ τοῦ Ἀβραὰμ οὐδενὸς γενομένου μεταξὺ διαλείμματος ἐπιφέρεται τὸ »Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς »ὑμῶν«, ζητοῦμεν μήποτε διὰ τὴν τῷ Ἀβραὰμ πρώτην δεδομένην
124 ἐντολὴν τοῦτο ἀναγέγραπται. ὁ πρῶτος δὲ χρηματισμὸς πρὸς αὐτὸν οὕτως ἔχει· »Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ »ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἄπελθε εἰς τὴν γῆν ἣν σοι
125 »δείξω«. ἐξῆλθεν οὖν Ἀβραὰμ ἐκ τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ. ὅπερ οὐ πεποιήκασιν οἱ ἐλεγχόμενοι ἐπὶ τῷ μὴ ὑγιῶς εἰρηκέναι·
126 »Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν«. εἰ γὰρ τὰ τέκνα τοῦ Ἀβραὰμ ποιεῖ τὰ ἔργα τοῦ Ἀβραάμ, πρῶτον δὲ τῶν ἔργων ἐστὶν τὸ ἐξελθεῖν ἐκ τῆς γῆς ἑαυτοῦ καὶ ἐκ τῆς συγγενείας ἑαυτοῦ καὶ ἐκ τοῦ οἴκου τοῦ πατρὸς ἑαυτοῦ καὶ ἀπελθεῖν εἰς τὴν γῆν ἣν δείκνυσιν αὐτῷ ὁ 303H
θεός, | καὶ διὰ τοῦτο οὗτοι, πρὸς οὓς ὁ λόγος, ἐλέγχονται ὡς οὐκ 247r
ὄντες τέκνα τοῦ Ἀβραάμ, δῆλον ὅτι οὐκ ἐξεληλυθότες ἐκ τοῦ οἴκου τοῦ πατρὸς ἑαυτῶν ὀνειδίζονται ὡς ἔτι τοῦ πονηροῦ πατρὸς ὄντες
127 καὶ ἔτι ποιοῦντες τὰ ἐκείνου τοῦ πατρὸς ἔργα. τούτων ἡμῖν εἰς τὸ ῥητὸν εἰρημένων σαφῶς οἶμαι ἐλέγχεσθαι τοὺς νομίζοντας ἐν- 327R
τεῦθεν παρίστασθαι ὅτι εἰσίν τινες ἐκ κατασκευῆς υἱοὶ τοῦ διαβόλου.

10 I Joh. 5, 18. — 18 Joh. 8, 41. — 21 Gen. 12, 1. — 25 Joh. 8, 39. — 26 Vgl. Gen. 12, 1.

1 καὶ τοῦ] ἢ, corr. Br | γεγεννῆσθαι, corr. Br | 3 παντὸς] πάντως, corr. We 5 δὲ, corr. We | 18 διαλίμματος, corr. V | 19 ζητοῦμεν, corr. We | 21 συγγενείας] συ a. Ras. weit geschr. | 26 ποιεῖ — Ἀβραάμ doppelt geschr. | 27 ἑαυτοῦ²] αὐτοῦ, corr. V.

Digitized by Google

VIII, 41. *Εἶπον αὐτῷ· Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν θεόν.*

XVI. (14) *Ζητῶ μήποτε ἐλεγχθέντες ὡς οὐ τέκνα τοῦ Ἀβραὰμ* 128
πικρότερον ἀποκρίνονται οἱ λεγόμενοι πεπιστευκέναι αὐτῷ Ἰουδαῖοι,
παρακεκαλυμμένως αἰνισσόμενοι ἐκ πορνείας γεγεννῆσθαι τὸν σωτῆρα,
ὡς εἰκὸς τοῦτο ὑπονοοῦντες τῷ μὴ παραδέχεσθαι τὴν διαβόητον καὶ
τεθρυλλημένην αὐτοῦ γένεσιν ἐκ τῆς παρθένου. καὶ γὰρ πάνυ μοι 129
φαίνεται ἄλογον ταῦτα αὐτοὺς ἀπορρῖψαι τὰ ῥήματα πρὸς ἔπος·
οὔτε γὰρ πρὸς τὰ πρότερα οὔτε ἀκολούθως τοῖς ἑξῆς εἰρῆσθαι δύνα-
ται, εἰ ἁπλούστερον νοηθείη τὸ »Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα«
τὸ εἰρημένον ὑπ' αὐτῶν. ἀλλὰ καὶ ἐπεὶ πατέρα ἴδιον ἔλεγεν τὸν θεὸν 130
ὁ σωτήρ, οὐδένα ἄνθρωπον πατέρα εἶναι ἑαυτοῦ ὁμολογῶν, διὰ τὸ
»Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα« εἰκὸς αὐτοὺς ἐπιφέρειν πάλιν
προσκρούοντας τὸ »Ἕνα πατέρα ἔχομεν, τὸν θεόν«· ὡσεὶ ἔλεγον·
»ἡμεῖς μᾶλλον ἕνα πατέρα ἔχομεν τὸν θεόν, ἥπερ σύ, ὁ φάσκων μὲν
ἐκ παρθένου γεγεννῆσθαι, ἐκ πορνείας δὲ γεγεννημένος, καὶ διὰ τὸ
αὐχεῖν τὸ ἐκ παρθένου γεγεννῆσθαι λέγων ἕνα πατέρα ἔχειν μόνον
τὸν θεόν«, τῶν ὁμολογούντων τὸν πατέρα θεὸν οὐκ ἀρνουμένων καὶ
ἄνθρωπον πατέρα. ἀλλ' ἐρεῖ τις ὅτι ταῦτα οὕτω νοούμενα οὐ δύ- 131
ναται εἶναι ῥήματα τῶν πεπιστευκότων αὐτῷ Ἰουδαίων. καὶ πρὸς
τοῦτο δὲ λεκτέον ὅτι εἰρημένου ἐν τῇ ἀρχῇ τοῦ πρὸς αὐτοὺς λόγου
τοῦ· »Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου
»ἐστὲ καὶ γνώσεσθε τὴν ἀλήθειαν«, ὡς καὶ δυναμένων αὐτῶν μένειν
ἐν τῷ Ἰησοῦ λόγῳ καὶ μὴ μένειν, οὐκ ἀδύνατον ἦν τινὰς ἐκ τῶν
ἐλεγχθέντων μὴ μεμενηκέναι αὐτοῦ ἐν τῷ λόγῳ, καὶ μὴ μείναντας
πικρότερον καὶ προσκρουστικῶς εἰρηκέναι τὸ »Ἡμεῖς ἐκ πορνείας οὐ
»γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν τὸν θεόν«. δοκεῖ δέ μοι ὅτι καὶ 132
φιλονεικότερον ἀπεκρίναντο· εἰπόντες γὰρ πρότερον τὸ »Σπέρμα
»Ἀβραάμ ἐσμεν«, καὶ οἷον τοῦτο τρανότερον ὁμολογήσαντες διὰ τοῦ
328R *»Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν«, ἀκούσαντες πρὸς τοῦτο τὸ »Εἰ*
304H *»τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε«, μείζονα τοῦ*
Ἀβραὰμ ὁμολογοῦσιν ἑαυτῶν εἶναι τὸν πατέρα λέγοντες· »Ἕνα πα-

4 Vgl. Joh. 8, 31. — **10** Joh. 8, 41. — **11** Vgl. Joh. 5, 18. — **14** Joh. 8, 41. — **15** Vgl. C. Cels. I, 28. Rösch in den Studien u. Kritiken 1873, S. 77ff. — **22** Joh. 8, 31. — **26** Joh. 8, 41. — **28** Joh. 8, 33. — **30** Joh. 8, 39. — **32** Joh. 8, 41.

7 *τεθρυλημένην*, corr. V | **8** *ἀπορίψαι*, corr. V | **10** *εἰ*] *ἤ*, corr. Br | **11** *ἐπὶ* | *ἔλεγον*, corr. V | **12** nach *τὸ* + *τῶ* M | **15** *ἡμεῖς* a. Ras. | **19** *ταῦτα*] *αὐτὰ*, corr. Br | **25** *ἐλέγχων*, corr. Pr; *ἐλεγχομένων* V | **28** *φιλονικώτερον*.

Digitized by Google

133 »τέρα ἔχομεν τὸν θεόν«. τάχα δὲ διὰ τὸ τῶν ἀνθρώπων τινὰς μὲν εἶναι ἐκ τοῦ διαβόλου, ἑτέρους δὲ γεγεννῆσθαι ἐκ τοῦ θεοῦ, πάντας ἂν ὑγιῶς λέγοιμεν τοὺς μὴ γεγεννημένους | ἐκ τοῦ θεοῦ ἐκ πορνείας 247r
134 γεγεννῆσθαι. οὐ γὰρ ἐκ νύμφης, ἀλλ' ἐκ πόρνης, τῆς ὕλης, οὗς γεννᾷ ὁ διάβολος ἢ ποιεῖ τοὺς ἐξ αὐτοῦ, οἵτινες καὶ τοῖς σωματικοῖς προσπεπονθότες καὶ προσηλωμένοι κολλῶνται τῇ πόρνῃ ὕλῃ. γινόμενοι πρὸς αὐτὴν ἓν σῶμα, τῶν ἐκ τοῦ θεοῦ γεγεννημένων ἀφισταμένων τῆς πόρνης ὕλης, καὶ κολλωμένων τῷ κυρίῳ καὶ ἑνουμένων τῷ ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγῳ, καὶ τῇ σοφίᾳ αὐτοῦ, ἣν »ἔκτισεν ἀρχὴν »ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«, ἵνα γένωνται πρὸς αὐτὴν ἓν πνεῦμα· Ὁ μὲν γὰρ »κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν· ὁ δὲ κολλώμενος »τῷ κυρίῳ ἓν πνεῦμά ἐστιν«.

VIII, 42. *Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω.*

135 XVII. (15) Ἐπείπερ οἱ τὰς φύσεις εἰσάγοντες χρῶνται τῷ ῥήματι τούτῳ, διηγούμενοι αὐτό, ὅτι ὡς οἰκεῖον ἂν ὑμῶν καὶ ἀδελφὸν ἐπέγνωτέ με, ἀλλὰ καὶ ὡς ἴδιον ἠγαπήσατε ἂν ἐμέ, εἰ ὁ θεὸς πατὴρ
136 ὑμῶν ἦν, ἐπαπορητέον οὕτως πρὸς αὐτούς· ἦν ὅτε Παῦλος ἐμίσει τὸν Ἰησοῦν, ἐμίσει δὲ αὐτὸν ὅτε ἐπόρθει καὶ ἐδίωκε τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ ἀληθεύων γε ἔλεγεν αὐτῷ ὁ πρῶτος χρηματισμός·
137 »Σαούλ, Σαούλ, τί με διώκεις;« εἰ μὲν οὖν ἀληθὲς τὸ »Εἰ ὁ θεὸς »πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ«, δῆλον ὅτι καὶ τὸ τούτῳ ἀντίστρεφον ἐστὶν ὑγιές· »εἰ μὴ ἠγαπᾶτέ με, οὐχὶ ὁ θεὸς πατὴρ ὑμῶν »ἦν«. οὐκοῦν τῶν μὴ ἀγαπώντων τὸν Ἰησοῦν οὐκ ἔστιν ὁ θεὸς πατήρ· Παῦλος δὲ ἦν ὅτε οὐκ ἠγάπα τὸν Ἰησοῦν, ἦν ἄρα καιρὸς ὅτε
138 ὁ θεὸς Παύλου πατὴρ οὐκ ἦν. οὐ φύσει ἄρα Παῦλος θεοῦ υἱὸς ἦν. ἀλλ' ὕστερον γέγονεν θεοῦ υἱός, ὅτε καὶ ὑγιῶς ἂν προσελάβομεν τὸ ἀκόλουθον τῷ ἡγουμένῳ τοῦ συνημμένου λέγοντος ὅτι »ἀλλὰ μὴν ὁ
139 θεός, ὦ Παῦλε, πατήρ σού ἐστιν, ἀγαπᾷς ἄρα τὸν Ἰησοῦν«. ἀλλὰ καὶ πρὸ τῶν χρόνων τῆς πίστεως Παύλου ἀληθοῦς ὄντος τοῦ »Εἰ ὁ θεὸς »πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ« ὑγιῶς ἦν προσλαβεῖν οἱονεὶ λέ- 329R
γοντα τὸν Ἰησοῦν· »ἀλλὰ μὴν ἐμὲ οὐκ ἀγαπᾷς, οὐκ ἄρα ὁ θεὸς πατήρ
140 σού ἐστιν, ὦ Παῦλε«. πότε δὲ ὁ θεὸς πατὴρ γίνεταί τινος ἢ ὅταν 305H

6 Vgl. I Kor. 6, 16. — **8** Vgl. I Kor. 6, 17. — **9** Vgl. Joh. 1, 1. — Vgl. Prov. 8, 22. — **11** I Kor. 6, 16f. — **18** Vgl. Gal. 1, 13. — **21** Act. 9, 4. — Joh. 8, 42. — **30** Joh. 8, 42. — **33** Vgl. Joh. 14, 15.

3 λέγομεν, corr. V | **15** ῥήματι τούτῳ] ῥῆμα τῶ, corr. V | **18** ἡμῶν, corr. V | **21** εἰ μὲν] εἶπεν, corr. Br.

Digitized by Google

τηρήσῃ τις τὰς ἐντολάς, δι' ἃς οὐ πρότερον ὄν τις υἱὸς τοῦ ἐν τοῖς
οὐρανοῖς πατρὸς γίνεται αὐτοῦ υἱός, ὅτε καὶ ὁ πατὴρ εἰς ἀναγέννη-
σιν ἄγων τοῦτον, ὃς υἱὸς αὐτοῦ γίνεται, χρηματίζει τοιούτου πατήρ.
ἔστιν δὲ προσαχθῆναι εἰς ταῦτα ἀπὸ τῶν οὕτως ἐν τῷ κατὰ Mατ- 141
θαῖον εὐαγγελίῳ γεγραμμένων· »Ἠκούσατε ὅτι ἐρρέθη· Ἀγαπήσεις
»τὸν πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν σου. ἐγὼ δὲ λέγω ὑμῖν· 142
»Ἀγαπήσατε τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόν-
»των ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς«.
πρόσχες γὰρ τῷ »Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐ- 143
»ρανοῖς« ἐμφαίνοντι ὅτι οὐ πρότερόν τις ὢν υἱὸς τοῦ ἐν οὐρανοῖς
248r πατρὸς γίνεται αὐτοῦ υἱός. ἐπιμελῶς δὲ | τηρήσας καὶ περὶ τοῦ 144
προσκειμένου τῷ »Τοῦ πατρός«, ὅπερ ἐστίν, »Ὑμῶν« (γέγραπται γάρ·
»Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν«), ζητήσεις πότερον ἁπλού-
στερον εἴρηται, ἢ τῶν ἀντιγράφων ἡμαρτημένων πρόσκειται τὸ
»Ὑμῶν« (οὐδὲν γὰρ ἂν ἐζητήσαμεν, εἰ ἐγέγραπτο· »ὅπως γένησθε
»υἱοὶ τοῦ πατρὸς τοῦ ἐν οὐρανοῖς«), καὶ μάλιστα ἐπεὶ δοκεῖ μάχην
περιέχειν τὸ γίνεσθαι υἱόν τινα, οὐχ ἁπλῶς τοῦ ἐν οὐρανοῖς πατρός,
ἀλλὰ τοῦ ἰδίου πατρός. εἰ μὲν γὰρ αὐτοῦ πατήρ ἐστιν, οὐχ ὕστερον 145
γίνεται αὐτοῦ υἱός· εἰ δὲ γίνεται αὐτοῦ υἱός, οὐκ ἦν αὐτοῦ πατήρ.
ἅμα δὲ ἐπιστήσεις διὰ τὸ τινὰς μὲν τῶν πεπιστευκέναι νομιζομένων 146
λέγεσθαι δούλους τοῦ θεοῦ, ἑτέρους δὲ χρηματίζειν αὐτοῦ υἱούς,
μήποτε οὐχ ἡ τυχοῦσα ἐντολή, ἀλλά τινα κατ' ἐξαίρετον κατορθού-
μενα ποιοῦσιν γενέσθαι υἱὸν θεοῦ τὸν κατορθώσαντα. πολλῶν γοῦν 147
ἐν τῷ κατὰ Ματθαῖον εἰρημένων παρατήρει ⟨ὅτι⟩ τὸ »Ὅπως γένησθε
υἱοὶ »τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς«, ἐπιφέρεται τῷ »Ἐγὼ δὲ
»λέγω ὑμῖν· Ἀγαπήσατε τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ
»τῶν διωκόντων ὑμᾶς«. καὶ γὰρ ἐμφαίνεται ἡ πρὸς θεὸν ὁμοιότης 148
καὶ μίμησις αὐτοῦ ἀγαπῶντος τὰ ὄντα πάντα καὶ μηδὲν βδελυσσομένου
ὧν ἐποίησεν καὶ φειδομένου πάντων (ἐπείπερ αὐτοῦ τοῦ φιλοψύχου
δεσπότου ἐστὶν τὰ πάντα) ἐν τῷ ἀγαπῶντι τοὺς ἐχθροὺς ἑαυτοῦ καὶ
προσευχομένῳ ὑπὲρ τῶν διωκόντων αὐτόν. πῶς δ' ἂν ἁρμοστὸν ἦν 149
330R ἐπιφερόμενον τὸ »Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐ-
»ρανοῖς« τῷ »Ἐρρέθη· Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ
»βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ

5 Matth. 5, 43—45. — 24 Matth. 5, 45. — 25 Matth. 5, 44. — 28 Vgl. Weish. Sal. 11, 24. 26. — 32 Matth. 5, 44. — 33 Matth. 5, 27f.

6 καὶ a. Anf. d. Z. fälschlich wiederholt | 7 προσεύχεσθαι | 16 ἐπὶ | 22 τινὰς, corr. V | 24 εἰρημένων ἐντολῶν We | ὅτι + We | τῷ] τὸ ü. d. Z., corr. Ausgg. | 26 προσεύχεσθαι | 30 ἐχθροὺς] ἐχ a. Ras. | 34 βλέπων] β a. Ras.

Digitized by Google

»καρδίᾳ αὐτοῦ«, καὶ τοῖς περὶ τῆς ἀπωλείας ἑνὸς τῶν μελῶν ὑπὲρ
150 τοῦ μὴ ὅλον εἰς γέενναν ἀπελθεῖν τὸ σῶμα; ἀλλὰ καὶ εἰ * * ἐπεφέ-
ρετο τῷ »Ἐρρέθη τοῖς ἀρχαίοις· Οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ 306H
»κυρίῳ τοὺς ὅρκους σου· ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως«· ⟨τὸ⟩
»Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς« πολ- 5
151 λὴν ἂν αὐτόθεν ἐνεποίησεν προσκοπήν. νυνὶ δὲ ὥσπερ ὁ ἐν τοῖς
οὐρανοῖς πατὴρ ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς,
οὕτως ἕκαστος τῶν υἱῶν τοῦ θεοῦ, οἱονεὶ ἥλιον ἐν ἑαυτῷ τὴν ἀγά-
πην ἔχων, ταύτην ἀνατέλλει καὶ ἐπὶ πονηρούς, ἐπὰν ἀγαπήσῃ τοὺς
ἑαυτοῦ ἐχθρούς· καὶ πάλιν ὥσπερ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, 10
οὕτως οἱονεὶ ὑετόν τινα τὴν προσευχὴν ὁ ἅγιος καταπέμπει ἐπὶ
τοὺς κάτω που τυγχάνοντας, διὰ τὸ διώκειν αὐτόν, καὶ περὶ τῶν
τοιούτων προσευχόμενος. ταῦτα μὲν εἰς τὸ ὑποπεσὸν ἡμῖν τρανω-
θῆναι τὸ »Εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ«.

152 XVIII. (16) Ἴδωμεν δὲ καὶ τὸ »Ἐγὼ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ 15
»ἥκω«, | εἰς ὃ χρήσιμόν μοι φαίνεται παραθέσθαι τὸ ἐκ Μιχαίου οὕτως 248V
ἔχον· »Ἀκούσατε, λαοί, λόγους, καὶ προσεχέτω ἡ γῆ καὶ πάντες οἱ
»ἐν αὐτῇ· καὶ ἔσται κύριος ἐν ὑμῖν εἰς μαρτύριον, κύριος ἐξ οἴκου
»ἁγίου αὐτοῦ. διότι ἰδού, κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου ἑαυτοῦ
»καὶ καταβήσεται καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσε- 20
»ται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς
»ἀπὸ προσώπου πυρὸς καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει«.
153 καὶ ὅρα μήποτε ἰσοδυναμεῖ τὸ »Ἐξῆλθον παρὰ τοῦ θεοῦ« τῷ »Κύ-
»ριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ«, ἐπεὶ ὅτε ὁ υἱὸς ἐν τῷ
πατρί ἐστιν, ἐν μορφῇ θεοῦ ὑπάρχων πρὶν ἑαυτὸν κενῶσαι, οἱονεὶ 25
154 τόπος αὐτοῦ ἐστιν ὁ θεός. καὶ εἴ τίς γε νοήσαι τὸν πρὸ τοῦ κενῶ-
σαι ἑαυτὸν ἐν τῇ προηγουμένῃ ὑπάρχοντα θεοῦ μορφῇ, ὄψεται τὸν
μηδέπω ἐξεληλυθότα ἀπὸ τοῦ θεοῦ υἱὸν αὐτοῦ καὶ κύριον τὸν μη-
155 δέπω ἐκπορευόμενον ἐκ τοῦ τόπου ἑαυτοῦ. ἐπὰν δὲ ἐκείνῃ τῇ κατα-
στάσει τοῦ υἱοῦ συγκρίνῃ τὴν ἐκ τοῦ ἀνειληφέναι τὴν τοῦ δούλου 30
μορφήν, ἑαυτὸν κενώσαντα, συνήσει πῶς ὁ υἱὸς τοῦ θεοῦ ἐξῆλθεν
καὶ ἧκεν πρὸς ἡμᾶς, καὶ οἱονεὶ ἔξω γεγένηται τοῦ πέμψαντος αὐτόν, 331R
εἰ καὶ κατ' ἄλλον τρόπον οὐκ ἀφῆκεν αὐτὸν μόνον ὁ πατήρ, ἀλλὰ
μετ' αὐτοῦ ἐστιν, καὶ ἔστιν ἐν τῷ υἱῷ ὥσπερ καὶ αὐτὸς ἐν τῷ πατρί.

1 Vgl. Matth. 5, 29f. — **3** Matth. 5, 33f. — **7** Vgl. Matth. 5, 45. — **14** Joh. 8, 42. — **15** Joh. 8, 42. — **17** Mich. 1, 2—4. — **25** Vgl. Phil. 2, 6f. — **32** Vgl. Joh. 8, 42. — **33** Vgl. Joh. 8, 29.

2 nach *εἰ* Raum für c. 3—4 Buchst. M; V hat ihn durch *ἐξῆς* nicht unpassend ausgefüllt; *πάλιν* We | **3** *ἀποδώσεις*] *α* a. Ras. | **4** nach *δὲ* Raum für c. 3—4 Buchst. M | *ὀμόσαι*] *οσ* a. Ras. | ⟨*τὸ*⟩ + Br | **11** *οἱονεὶ ὑετόν* a. Ras. | **14** *ὑμῶν*] *ὑ* a. Ras. | **15** *τὸ*] *τῶ*, corr. V | **32** *πέμψαντος*] *εμ* a. Ras.

Digitized by Google

καὶ εἰ μὴ κατ' ἄλλον γε τρόπον νοήσαις εἶναι τὸν υἱὸν ἐν τῷ πατρί, 156
ὡς ἦν πρὶν ἐξέλθῃ ἀπὸ τοῦ θεοῦ, δόξει περιέχειν μάχην τὸ καὶ
ἐξεληλυθέναι ἀπὸ τοῦ θεοῦ καὶ εἶναι τὸν ἐξεληλυθότα ἀπὸ τοῦ θεοῦ
ἔτι ἐν τῷ θεῷ. ἄλλοι δὲ τὸ »Ἐξῆλθον ἀπὸ τοῦ θεοῦ« διηγήσαντο 157
ἀντὶ τοῦ »γεγέννημαι ἀπὸ τοῦ θεοῦ«, οἷς ἀκολουθεῖ ἐκ τῆς οὐσίας
φάσκειν τοῦ πατρὸς γεγεννῆθαι τὸν υἱόν, οἱονεὶ μειουμένου καὶ λεί-
307H ποντος τῇ οὐσίᾳ ἣ πρότερον εἶχεν τοῦ θεοῦ, ἐπὰν γεννήσῃ τὸν υἱόν,
ὡσεὶ νοήσαι τις τοῦτο καὶ ἐπὶ τῶν ἐγκυμόνων. ἀκολουθεῖ δὲ αὐτοῖς 158
καὶ σῶμα λέγειν τὸν πατέρα καὶ τὸν υἱὸν καὶ διῃρῆσθαι τὸν πατέρα,
ἅπερ ἐστὶν δόγματα ἀνθρώπων μηδ' ὄναρ φύσιν ἀόρατον καὶ ἀσώ-
ματον πεφαντασμένων, οὖσαν κυρίως οὐσίαν. οὗτοι δὲ δῆλον ὅτι ἐν 159
σωματικῷ τόπῳ δώσουσιν τὸν πατέρα, καὶ τὸν υἱὸν τόπον ἐκ τό-
που ἀμείψαντα σωματικῶς ἐπιδεδημηκέναι τῷ βίῳ, καὶ οὐχὶ κατά-
στασιν ἐκ καταστάσεως, ὥσπερ ἡμεῖς ἐξειλήφαμεν.

VIII, 42. *Οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν.*

XIX. (17) *Ταῦτα νομίζω λέγεσθαι ὡς τινων ἀφ' ἑαυτῶν ἐρχομέ-* 160
νων καὶ μὴ ἀπεσταλμένων ἀπὸ τοῦ πατρός. περὶ μὲν οὖν ἀνθρώ-
πων τοιούτων, διδασκαλίαν ἢ προφητείαν ὑπισχνουμένων, διδασκό-
μεθα καὶ ἀπὸ τοῦ Ἱερεμίου, ἔνθα γέγραπται· »Οὐκ ἀπέστελλον τοὺς
»προφήτας, καὶ αὐτοὶ ἔτρεχον«. εἰ δὲ καὶ δυνάμεις τινὲς μὴ ἀπο- 161
249r *στελλόμεναι ἀπὸ τοῦ πατρὸς ἔρχονται πρὸς ἀνθρώπους, | ἐπιστήσεις*
καὶ εἴ τινες ἐν αὐταῖς εἰσιν ἐκ τοῦ θεοῦ ἐξεληλυθυῖαι καὶ τούτῳ
ἡμαρτηκυῖαι τῷ μὴ ἀπεστάλθαι ἀπ' αὐτοῦ. οὐκ ἀζήτητον δὲ ἐατέον 162
τὸν τόπον καὶ εἰς τὸν περὶ ψυχῆς λόγον· τάχα γὰρ ἡ μὲν τοῦ Ἰησοῦ
ψυχὴ ἐν τῇ ἑαυτῆς τυγχάνουσα τελειότητι ἐν θεῷ καὶ τῷ πληρώματι
ἦν, καὶ ἐκεῖθεν ἐξεληλυθυῖα, τῷ ἀπεστάλθαι ἀπὸ τοῦ πατρός, ἀνέ-
λαβεν τὸ ἐκ τῆς Μαρίας σῶμα. ἄλλαι δὲ οὐχ οὕτως ἐξῆλθον ἀπὸ τοῦ
θεοῦ, τουτέστιν οὐκ ἀπεσταλμέναι οὐδὲ ὑπὸ τοῦ θείου βουλήματος
προπεμφθεῖσαι.

332R **VIII, 43.** *Διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.*

XX. (18) *Αἴτιον, φησίν, ἐστὶ τοῦ ὑμῖν μὴ γινώσκεσθαι τὴν ἐμὴν* 163
λαλιὰν τὸ μὴ δύνασθαι ὑμᾶς ἀκούειν τοῦ λόγου μου. πρότερον οὖν

20 Jer. 23, 21.

7 θεοῦ] υἱοῦ, corr. We | γεννήσει, corr. V | **12** νοήσουσιν? We | **24** ἡμαρτηκέναι, corr. Aussg. | **32** δύνασθαι.

Digitized by Google

δύναμιν περιποιητέον ἀκουστικὴν τοῦ θείου λόγου, ἵνα μετὰ τοῦτο
164 οἷοί τε γενώμεθα καὶ γινώσκειν πᾶσαν τὴν Ἰησοῦ λαλιάν· ἔξεστιν
γὰρ πρότερον οὐ δυνάμενον ἀκούειν τὸν λόγον Ἰησοῦ ὕστερον φθά-
νειν ἐπὶ τὸ ἀκούειν δύνασθαι αὐτόν, ἐπεὶ καὶ ὅσον μὲν οὐδέπω ἰάθη
τις τὰς ἀκοὰς ἀπὸ τοῦ λόγου τοῦ λέγοντος τῷ κωφῷ· »Διανοίχθητι«,
165 οὐ δύναται ἀκούειν. ἐπὰν δὲ λυθῇ ὁ αἴτιος τῆς κωφότητος σύνδεσ-
μος, τότε ἀκούειν τις οἷός ⟨τε⟩ ἔσται τοῦ Ἰησοῦ, ὅτε καὶ γινώσκειν
δύναται αὐτοῦ τὴν λαλιάν· ἣ λεγέτωσαν ἡμῖν οἱ νομίζοντες καὶ διὰ
τούτων συνίστασθαι τὸν περὶ φύσεως λόγον, πότερον ἐδύναντο ἔτι
166 κωφοὶ ὄντες ἀκούειν οὓς ὕστερον ἰάσατο, ἢ οὐκ ἐδύναντο; σαφοῦς
δὲ ὄντος τοῦ »οὐκ ἐδύναντο«, δῆλον ὅτι ἔξεστιν μεταβαλεῖν ἀπὸ τοῦ
μὴ δύνασθαι ἀκούειν τῶν Ἰησοῦ λόγων ἐπὶ τὸ ἀκούειν αὐτῶν, καὶ οὐ
διὰ φύσιν ἀνιάτως ἔχουσαν, ὅτε οὐ δύναταί τις ἀκούειν· καὶ μάλιστα 308B
ταῦτα προσακτέον τοῖς ἑτεροδόξοις, χαίρουσι ταῖς ἀλληγορίαις καὶ
ἀνάγουσιν τὴν περὶ τῶν ἰάσεων ἱστορίαν ἐπὶ τὰς τῆς ψυχῆς θερα-
πείας, ἀπολυομένης ὑπὸ τοῦ Ἰησοῦ πάσης νόσου καὶ πάσης μαλακίας.
167 νομίζω δὲ τὸ μὲν ἀκούειν νῦν ἐπὶ τοῦ συνιέναι τάσσεσθαι τῶν λεγο-
μένων, τὸ δὲ γινώσκειν ἐπὶ τοῦ καταλαμβάνοντα συγκατατίθεσθαι
τῷ φωτὶ τῆς περὶ τῶν λεγομένων γνώσεως πεφωτισμένον.

168 Ὁ μέντοι γε Ἡρακλέων ὑπολαμβάνει αἰτίαν ἀποδίδοσθαι
τοῦ μὴ δύνασθαι αὐτοὺς ἀκούειν τὸν Ἰησοῦ λόγον μηδὲ
γινώσκειν αὐτοῦ τὴν λαλιὰν ἐν τῷ »Ὑμεῖς ἐκ τοῦ πα-
»τρὸς τοῦ διαβόλου ἐστέ«. αὐταῖς γοῦν λέξεσίν φησι· »Διατί
»δὲ οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν, ἢ ὅτι ὑμεῖς
»ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ;« ἀντὶ τοῦ »ἐκ τῆς
»οὐσίας τοῦ διαβόλου«, φανερῶν αὐτοῖς λοιπὸν τὴν
φύσιν αὐτῶν, καὶ προσελέγξας αὐτοὺς ὅτι οὔτε τοῦ
Ἀβραάμ εἰσιν τέκνα (οὐ γὰρ ἂν ἐμίσουν αὐτόν), οὔτε τοῦ
169 θεοῦ, διὸ οὐκ ἠγάπων αὐτόν. καὶ εἰ μὲν τὸ »Ὑμεῖς ἐκ τοῦ
»πατρὸς τοῦ διαβόλου ἐστέ« ἐξεδέχετο ὡς ἐν τοῖς ἀνωτέρω 249F
διηγησάμεθα, καὶ ἔλεγεν· διὰ τὸ ἔτι ὑμᾶς εἶναι ἐκ τοῦ διαβόλου,
οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν, κἂν παρεδεξάμεθα αὐτοῦ
170 τὴν διήγησιν. νυνὶ δὲ δῆλός ἐστιν ὁμοουσίους τινὰς τῷ δια- 333B
βόλῳ λέγων ἀνθρώπους, ἑτέρας, ὡς οἴονται οἱ ἀπ' αὐτοῦ, οὐσίας
τυγχάνοντας παρ' οὓς καλοῦσι ψυχικοὺς ἢ πνευματικούς.

5 Vgl. Mark. 7, 34 f. — 16 Vgl. Matth. 4, 23. — 22 Joh. 8, 44. — 30 Vgl. o. c. 13.

4 αὐτῶν, corr. Br | 7 ⟨τε⟩ + Br | ἔστε, corr. V | 13 ὅτε z. str.? We | 17 τάσσεσθαι] ασ a. Ras. | 19 πεφωτισμένων, corr. Hu | 21 αὐτοὺς] αὐ a. Ras. | 27 πρὸ ἐλέγξας, corr. Pr | αὐτοὺς u. über τ Compendium für οῖς | 28 οὐθὲ, corr. We | 32 παραδεξάμεθα, corr. Br | 34 οιοντε, corr. V | 35 τυγχάνοντι, corr. We.

Digitized by Google

VIII, 44. *Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν.*

XXI. (19) *Ἀμφίβολος ἡ λέξις ἐστίν· δηλοῦται γὰρ ἀπ᾽ αὐτῆς ἓν* 171
μὲν ὡς ἄρα ἔχει ὁ διάβολος πατέρα, ἐξ οὗ πατρός, ὅσον ἐπὶ τῷ
ῥητῷ, ἐμφαίνονται εἶναι οὗτοι πρὸς οὓς ὁ λόγος· ἕτερον δέ, ὃ βέλ-
τιόν ἐστιν, ὅτι ὑμεῖς ἐκ τοῦδε τοῦ πατρός ἐστε, καθ᾽ οὗ κατηγορεῖται
τὸ »διάβολος«. ἀμφίβολον μὲν οὖν ἦν ἂν τὸ λεγόμενον καὶ εἰ 172
περιῄρητο τὸ πρότερον ἄρθρον τὸ »τοῦ«, πλὴν μᾶλλον ἂν ἐφαίνετο
σαφέστερον τὸ βούλημα τοῦ ῥητοῦ. ⟨οὐ⟩ μέντοι γε ὁ συναγορεύων τῷ
εἶναί τινα τοῦ διαβόλου πατέρα, οὗ υἱοὺς δόξει λέγειν τοὺς πρὸς
οὓς ὁ λόγος ἐστίν, χρήσεται τῷ ἐπιφερομένῳ οὕτως ἔχοντι· »Ὅταν
»λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶν καὶ ὁ πατὴρ
»αὐτοῦ«, καὶ φήσει ψεῦδος μὲν εἶναι τὸν διάβολον, ἄλλον δὲ παρὰ
τοῦτον εἶναι τὸν τοῦ ψεύδους πατέρα. ἀλλ᾽ οὐχ ὑγιῶς τοῦτο λεχ- 173
θήσεται· μᾶλλον γὰρ τὸ ψεῦδος ἐφαρμόσει τῷ ἐναντίῳ τοῦ εἰπόν-
τος· »Ἐγώ εἰμι ἡ ἀλήθεια«· λέγω δὲ τῷ ἀντιχρίστῳ, οὗ ψεύστης
ἐστὶν ὁ πατήρ, ὁ διάβολος ὤν. ἀλλ᾽ εἰκός τινα προσκόψειν τῷ ψεῦ- 174
δος εἶναι τὸν ἀντίχριστον, οὐκέτι ψεκτὸν ἐσόμενον, ἐὰν τῇ ὑπο-
στάσει ἕτερον μηδὲν ψεύδους ᾖ. πρὸς ὃν παραθέμενος τὸ »Ἀπώλεια
»ἐγένου, καὶ οὐχ ὑπάρξεις εἰς τὸν αἰῶνα« εἰρημένον ἐν τῷ Ἰεζεκιὴλ
περί τινος διὰ τὴν κακίαν μεταβεβληκότος εἰς τὸ γενέσθαι αὐτὸν
ἀπώλειαν, καθ᾽ ὁμοιότητα παραμυθήσει καὶ τὸ περὶ τοῦ ψεῦδος
εἶναί τινα ⟨οὐ⟩ τῇ ὑποστάσει ἐκ κατασκευῆς, ἀλλὰ ἐκ μεταβολῆς καὶ
ἰδίας προαιρέσεως τοιοῦτον γεγενημένον, καὶ οὕτως, ἵνα καινῶς ὀνο-
μάσω, πεφυσιωμένον. φεύγων γοῦν τις ὡς ἄτοπον τὸ φάσκειν εἶναι 175
ψεῦδος τὸν ἀντίχριστον, ἐρεῖ καὶ πᾶσιν ἐφαρμόζειν τοῖς ψευδομένοις
τὸ »Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ«· τὸ γὰρ ἐν ἑκάστῳ
τῶν ψευδομένων ψεῦδος ἐπὰν λαλῇ, »ἐκ τῶν ἰδίων« τοῦ ψεύδους
»λαλεῖ«· ἀλλὰ καὶ τὸ »Ψεύστης ἐστὶν ὁ πατὴρ αὐτοῦ« † ἀνενέγκει ἐπὶ
τὸ ἕκαστον τὸν προφερόμενον ψεῦδος ἐκ στόματος ἑαυτοῦ πατέρα
εἶναι οὗ λαλεῖ ψεύδους· καὶ οὐκ ἀπίθανός γε ἔσται ἡ τοιαύτη ἀπό-
250r *δοσις. καὶ ταῦτα μὲν*
334R *ὡς παρακείμενα τῇ ἀμφιβολίᾳ τοῦ ἐκκειμένου*
ἡμῖν ῥητοῦ εἰρήσθω.

11 Joh. 8, 44. — **16** Joh. 14, 6. — **19** Ez. 28, 19. — **27** Joh. 8, 44.

1 *ἐκ* a. Ras. | **7** *εἰ περιῄρητο*] ἔιπερ εἴρητο, corr. Br | **9** ⟨*οὐ*⟩ + We | **17** *ὁ*[1] a. Ras. | **19** *ψεύδος*, corr. Br | **20** *ἐζεκιὴλ* | **22** *ψεῦδος*, ς a. Ras. (Br berichtet falsch) | **23** ⟨*οὐ*⟩ + Hu (vor *εἶναι*) | **29** *ψεύστης*] *στη* a. Ras. | *ἀνενέγκει* M, *ἀνενεγκεῖ*, fut. wie *ἀνελῶ, καθελῶ* gebildet? We | **31** *γε*] *τε*, corr. Pr; *τις* We | *ἔσται*] *ται* a. Ras.

Digitized by Google

176 XXII. (20) Ἐπεὶ δὲ διηγούμενοι τὸ »Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ »πατρὸς ὑμῶν« προλαβόντες καὶ εἰς τοῦτο εἰρήκαμεν, πολλαχόθεν τὰ φανέντα ἡμῖν εἰς τὴν διήγησιν χρήσιμα συναγαγόντες, οὐκ εὐλόγως νῦν προσδιατρίψομεν τῷ τόπῳ. πλὴν εἴ τις τῷ ποιεῖν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου γεγέννηται καὶ μὴ κατήργησεν τὴν ἀπ᾽ ἐκείνου γέ- 5
νεσιν ἐξ ἑαυτοῦ, οὗτος οὐ μίαν ἀλλὰ πλείονας ἐπιθυμίας τοῦ τοιούτου πατρὸς ποιεῖν ἐθέλει· καὶ τῶν ἐν παντὶ υἱῷ διαβόλου ἐπιθυμιῶν ἀπὸ τῶν ἐν τῷ διαβόλῳ ἐπιθυμιῶν γεννωμένων, σαφὲς ὅτι αἱ ἐκείνου ἐπιθυμίαι φρόνημα ὕλης εἰσὶν καὶ φθορᾶς, ἃς κυρίως ἔχθρας
177 εἴποι τις ἂν εἶναι πρὸς θεόν. φόνους μὲν οὖν καὶ ἀδικίας καὶ 10
πλεονεξίας φάσκειν εἶναι τὰς ἐκείνου ἐπιθυμίας, γεννώσας ἐν υἱοῖς αὐτοῦ παραπλησίως ταύτας ἐπιθυμίας, οὐκ ἀπεμφαίνει· ἀλλὰ καὶ γενικῶς ἀκαθαρσίας τῇ φύσει ἐναντίας τυγχανούσας τῇ καθαρότητι λέγειν εἶναι τὰς ἐκείνου ἐπιθυμίας, ἀφ᾽ ὧν αἱ πρὸς τὰ ἀκάθαρτα ἐπιθυμίαι
178 ἐγγίνονται τέκνοις τοῦ διαβόλου, οὐ δυσπαράδεκτόν ἐστιν. τὸ δὲ καὶ 15
πορνείαν λέγειν εἶναι τὴν ἐκείνου ἐπιθυμίαν ἢ μοιχείαν ἢ παιδοφθορίαν ἢ μαλακότητα οὐκ εὐχερῶς ἄν τις παραδέξοιτο, κἂν ἀπορῇ πῶς αἱ ἐπιθυμίαι αὗται ἐν ἀνθρώποις ἀπὸ τῶν ἐν ἐκείνῳ γίνονται
ἐπιθυμιῶν, ὅσον ἐπὶ τῇ λέξει, οἱονεὶ καθολικοῦ τινος παριστα|μένου 310H
περὶ τῶν ἐν ἀνθρώποις ἐπιθυμιῶν, ὡς ἄρα θέλουσιν οἱ ἄνθρωποι 20
τὰς ἐπιθυμίας τοῦ πατρὸς αὐτῶν ποιεῖν, ὥστε πάντα, ἃ ἐπιθυμοῦσιν
179 παρανόμως, πρότερον ἐπιθυμίας εἶναι τοῦ πατρὸς αὐτῶν. τοιοῦτον γάρ ἐστιν τὸ »Καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν«. λεκτέον δὲ πρὸς ταῦτα ὅτι ὁ διάβολος ἐπιθυμεῖ φθαρῆναι τόνδε. φέρε εἰπεῖν, τὸν παῖδα, καὶ μοιχευθῆναι τήνδε, καὶ πορνεῦσαι τούσδε, 25
καὶ τούτων ἐπιθυμῶν ἐμποιεῖ τοῖς δυναμένοις αὐτῷ ὑπηρετήσασθαι ἐπιθυμίαν τοῦ ποιῆσαι, ἅπερ ἐκεῖνος ἐνεργῆσαι βούλεται, ὥστ᾽ ἂν κατὰ τοῦτο τὸν ἐνεργοῦντα τὴν πορνείαν ἢ τὴν μοιχείαν πρότερον
180 λέγειν τοῦ ἀνθρώπου πορνεύειν καὶ μοιχεύειν. τὸ δ᾽ αὐτὸ καὶ περὶ πάσης ἁμαρτίας ἐρεῖς· οἷον ὁ διάβολος ἀργυρίων μὲν οὐκ ἐπιθυμεῖ, 30
ἐπιθυμεῖ δὲ φιλαργύρους ποιῆσαι καὶ προσπαθεῖς τοῖς ὑλικοῖς πράγμασιν· ταύτην δὲ τὴν ἐπιθυμίαν αὐτοῦ θέλουσι ποιεῖν οἱ οὐκ ἄλλως 335R
181 ἢ τῷ θέλειν φιλοῦντες τὸ ἀργύριον. διόπερ ἀναγκαῖόν ἐστιν ἐφιστάνειν ἡμᾶς πᾶσιν οἷς θέλομεν ποιεῖν καὶ ἐξετάζειν μήποτε ὃ θέλομεν ποιεῖν ἐκ τῶν τοῦ διαβόλου ἐπιθυμιῶν ἐστιν· ἵνα | ἐκ τοῦ 250v
τεθεωρηκέναι τὰ ἐκ τῶν τοῦ διαβόλου ἐπιθυμιῶν παυσώμεθα θέλειν ποιεῖν ἐκεῖνα, εἰδότες πάντα τὸν θέλοντα ποιεῖν τὰς τοῦ διαβόλου

1 Joh. 8, 41. — 2 Vgl. c. 16. — 4 Vgl. I Joh. 3, 8. — 9 Vgl. Röm. 8, 7; II Petr. 1, 4. — 23 Joh. 8, 44.

16 πορνείας, corr. V | 24 φθαρῆναι] η a. Ras.

Digitized by Google

ἐπιθυμίας ἐκ πατρὸς μὲν οὐδαμῶς εἶναι θεοῦ, διαβόλου δὲ γεγονέναι τέκνον, καὶ ἀπὸ τοῦ ἐθέλειν ποιεῖν τὰς ἐπιθυμίας τοῦ χείρονος μορφούμενον καὶ κατ' εἰκόνα γινόμενον τοῦ πονηροῦ πατρός, ἀφ' οὗ ἔρχονται καὶ τυποῦνται αἱ ἐκείνου τοῦ χοϊκοῦ εἰκόνες. πρῶτος 182
γὰρ χοϊκὸς ἐκεῖνος, τῷ πρῶτος ἀποπεπτωκὼς τῶν κρειττόνων καὶ ἐπιτεθυμηκὼς ἑτέρας παρὰ τὴν κρείττονα ζωῆς ζωὴν ἄξιος γεγονέναι τοῦ ἀρχὴν αὐτὸν εἶναι οὔτε κτίσματος οὔτε ποιήματος ἀλλὰ »πλάσματος κυρίου, πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων »αὐτοῦ«. καὶ ἡμῶν δὲ ἡ προηγουμένη ὑπόστασίς ἐστιν ἐν τῷ κατ' εἰκόνα τοῦ κτίσαντος· ἡ δὲ ἐξ αἰτίας ἐν τῷ ληφθέντι ἀπὸ τοῦ χοῦ τῆς γῆς πλάσματι. καὶ εἰ μὲν ὥσπερεὶ ἐπιλαθόμενοι τῆς ἐν ἡμῖν 183
κρείττονος οὐσίας ὑποτάξομεν ἑαυτοὺς τῷ ἀπὸ τοῦ χοῦ πλάσματι, καὶ τὸ κρεῖττον τὴν εἰκόνα τοῦ χοϊκοῦ λήψεται· εἰ δὲ συνέντες τὸ ποιηθὲν κατ' εἰκόνα καὶ τὸ ληφθὲν ἀπὸ τοῦ χοῦ τῆς γῆς, ὅλοι προσνεύοιμεν ἐπὶ τοῦτον, οὗ κατ' εἰκόνα γεγόναμεν, ἐσόμεθα καὶ καθ' ὁμοίωσιν θεοῦ, πᾶσαν τὴν πρὸς ὕλην καὶ σώματα προσπάθειαν καὶ
311 H τὴν πρός τινα τῶν καθ' ὁμοίωσιν ἀπολείψαντες. ἐπεὶ δὲ κατὰ τὰς 184
θείας γραφὰς ἡ ἐπιθυμία τῶν μέσων ἐστίν, οὐκ εἰδυίας τὴν ἑλληνικὴν τῶν σημαινομένων παρὰ τοῖς τὰ τοιαῦτα διαρθροῦσιν ἀκρίβειαν, ὥστ' ἂν τὸ μὲν ἀστεῖον βούλησιν ὀνομάσαι, ἣν ὁρίζονται εὔλογον ὄρεξιν, τὸ δὲ φαῦλον ἐπιθυμίαν, ἣν φασιν εἶναι ἄλογον ὄρεξιν ἢ σφοδρὰν ὄρεξιν, λεκτέον ὅτι πᾶσα γενητὴ φύσις τὰς ἐπιθυμίας τοῦ ἰδίου πατρὸς θέλει ποιεῖν, ὥσπερ καὶ πᾶσα ποιεῖ τὰ ἔργα τοῦ ἰδίου πατρός, τοῦ μὲν πρώτως ἁγίου πατρὸς ἀγενήτου τυγχάνοντος (οὗτος δέ ἐστιν ὁ θεός), τοῦ δὲ πρώτως πονηροῦ πατρὸς ἐξ οὐδενὸς ὄντος
336 R πατρός· οὐδὲ γὰρ ὑπέστησέν τις ἐν αὐτῷ πατὴρ τὴν πονηρίαν, ἀλλ' ἡ ἀπὸ θεοῦ ἐκτροπὴ γεγέννηκεν αὐτήν.

XXIII. Τὸ μὲν οὖν νῦν ἐξεταζόμενον κατὰ τὸ »Καὶ τὰς ἐπιθυ- 185
»μίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν« σαφὲς ὅτι ἀναφέρεται πρὸς τὸν διάβολον, προειρημένου τοῦ »Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβό»λου ἐστέ« καὶ ἐπιφερομένου τοῦ »Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' »ἀρχῆς«. καὶ πρὸς ἕκαστον δ' ἂν οὐ μόνον τῶν ἐκ τοῦ διαβόλου, 186
ἀλλὰ καὶ τῶν ἐκ τοῦ θεοῦ ὑγιῶς λεχθείη τὸ »Τὰς ἐπιθυμίας τοῦ »πατρὸς ὑμῶν θέλετε ποιεῖν«. λέγονται γάρ τινες εἶναι καὶ θεοῦ

5 Vgl. I Kor. 15, 49. — 6 Vgl. Hiob 40, 14 (19). — 8 Hiob 40, 14 (13). — 9 Vgl. Kol. 3, 10. — 10 Vgl. Gen. 2, 7. — 13 Vgl. Gen. 1, 26. — 14 Vgl. Gen. 2, 7. — 15 Vgl. Gen. 1, 26. — 20 Ps. Plat., defin. 413 C. „Dyroff, Ethik d. Stoa S. 2ff.“ We. — 28 Joh. 8, 44.

5 χοϊκὸς] χο a. Ras. | 6 ζωὴν ζωῆς? We | 13 δὲ ü. d. Zeile | 12 ὑποτάξωμεν | 14 καὶ] κ a. Ras. | 18 ἡ] ἣν, corr. Hu | 21 ἢ] εἰ, corr. V | 27 γεγέννηκεν] κ a. Ras. 29 σαφῶς, corr. V.

Digitized by Google

187 ἐπιθυμίαι, ὀνομαζομένων ⟨οὕτως⟩ αὐτοῦ τῶν βουλήσεων. ἐν γοῦν
ὀκτωκαιδεκάτῳ ψαλμῷ | εἴρηται· »Τὰ κρίματα κυρίου ἀληθινά, δεδι- 251r
»καιωμένα ἐπὶ τὸ αὐτό· ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον
»πολύν«. κἄν, ὥς τινα δὴ τῶν ἀντιγράφων ἔχει, ᾖ »τὰ ἐπιθυμήματα
»ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν«, φήσεις ὅτι τὰ ἐπιθυμήματα
τοῦ ἐπιθυμῆσαί τινα αὐτῶν ἄξιά ἐστιν, ὡς τὰ εὐλογητὰ τοῦ εὐλο-
188 γεῖσθαι, καὶ τὰ ἀγαπητὰ τοῦ ἀγαπᾶσθαι. ὥσπερ οὖν τὰ εὐλογήματα
μᾶλλον ὑπὸ θεοῦ εὐλογεῖται καὶ τὰ ἀγαπητὰ μᾶλλον ὑπὸ θεοῦ
ἀγαπᾶται, οὕτω καὶ τὰ ἐπιθυμήματα μᾶλλον ἂν ὑπὸ θεοῦ εὐλογώ-
τερον ἐπιθυμηθείη, εὐγνωμονέστερον ἡμῶν ἀκουόντων, ὡς προειρή-
καμεν, τῆς ἐπιθυμίας. καὶ ὁ σωτὴρ δέ φησιν· »Ἐπιθυμίᾳ ἐπεθύμησα
189 »τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν«. περὶ δὲ
τοῦ καὶ φαύλην εἶναι ἐπιθυμίαν ἦρκει μὲν καὶ τὸ ἐν χερσὶν ῥητόν·
οὐδὲν δὲ ἧττον παραθετέον καὶ τὸ »Ὃς ἂν ἐμβλέψῃ γυναῖκα πρὸς
»τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ«.
οὐ πάντως δὲ ὁ ἐπιθυμῶν ἀπόντος ἐπιθυμεῖ, ὡς οὐδὲ ὁ βουλόμενος
190 πάντως τὰ ἀπόντα βούλεται. τοῦτο δὲ προεθεραπεύσαμεν διὰ τὰ 312H
ἐπιθυμήματα τοῦ θεοῦ καὶ τὰς τῶν τελείων ἐπιθυμίας.
191 Πᾶς οὖν υἱός τινος τὰς ἐπιθυμίας τοῦ πατρὸς ἑαυτοῦ θέλει
ποιεῖν, καὶ πᾶς υἱός τινος ποιεῖ τὰ ἔργα τοῦ πατρὸς αὐτοῦ. οὕτω
γὰρ καὶ ὁ σωτὴρ τὰς ἐπιθυμίας τοῦ πατρὸς ἑαυτοῦ θέλει ποιεῖν.
192 καὶ ποιεῖ τὰ ἔργα τοῦ πατρὸς ἑαυτοῦ. καὶ »ὁ ἄνθρωπος τῆς ἁμαρ-
»τίας, ὁ υἱὸς τῆς ἀπωλείας« τὰς ἐπιθυμίας τοῦ πατρὸς ἑαυτοῦ θέλει
ποιεῖν, καὶ ποιεῖ τὰ ἔργα τοῦ πατρὸς ἑαυτοῦ. καὶ ἐφ' ἡμῶν δὲ τῶν
ἀνθρώπων πάντως τὰ ἔργα ἤτοι θεοῦ ἐστιν ἢ διαβόλου, καὶ ἃ θέλο-
μεν ποιεῖν ἤτοι ἐπιθυμία ἐστὶν τοῦ ἀγαθοῦ ἐν οὐρανοῖς πατρὸς ἡμῶν
193 ἢ τοῦ ἐχθροῦ αὐτῷ διαβόλου. καὶ εἰ μὲν ποιοῦμεν τὰ ἔργα τοῦ 337R
θεοῦ καὶ θέλομεν τὰς ἐπιθυμίας αὐτοῦ ποιεῖν, υἱοί ἐσμεν τοῦ θεοῦ·
εἰ δὲ τὰ τοῦ διαβόλου πράττομεν, θέλοντες ἃ ἐκεῖνος ἐπιθυμεῖ ποιεῖν,
194 ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐσμέν. ἐπιστήσωμεν οὖν μὴ μόνον οἷς
ποιοῦμεν, ἀλλὰ καὶ οἷς θέλομεν. αὐτάρκες γὰρ εἰς τὸ εἶναι τοῦ δια-
βόλου υἱὸν τὸ κἂν θέλειν αὐτοῦ ποιεῖν τὰς ἐπιθυμίας· καὶ τάχα διὰ

2 Ps. 18, 10f. — 10 Vgl. S. 355, 22f. — 11 Luk. 22, 15. — 14 Matth. 5, 28. — 22 Vgl. II Thess. 2, 3.

1 ⟨οὕτως⟩ + V (nach βουλήσεων) | 4. 5 πολήν | 4 δή] δὲ, corr. We | Die LA τὰ ἐπιθυμήματα st. ἐπιθυμητὰ findet sich in keiner Hs. bei Holmes | 6 nach Z. 7 viell. εὐλογήματα z. schr. | 6 εὐλογῆσθαι, corr. We | 14 d. Form des Citates ist bei Orig. fast konstant (d. Stellen bei Griesbach, Symb. crit. II, 251 sq.) u. berührt sich aufs engste mit der Form bei Justin (Apol. I, 15); vgl. auch Syr. Sin. Sie stammt wohl aus einer, viell. auf Tatians Diatessaron zurückgehenden kirchl. Spruchsammlung. S. 349, 33f. findet sich in e. längeren Citat d. gewöhnl. Form.

Digitized by Google

τοῦτο μετὰ τὸ »Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν« εἴρηται τὸ »Τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν«, ἵνα μάθωμεν ὅτι εἰ καὶ μόνον θέλομεν ποιεῖν ἅπερ ἐπιθυμεῖ ὁ διάβολος, χρηματιοῦμεν διαβόλου υἱοί. πιθανώτατα δ' ἄν τις πρὸς ταῦτα λέγοι ὡς 195
ἄρα ἀρκεῖ πρὸς τὸ εἶναι υἱὸν θεοῦ τὸ θέλειν αὐτοῦ ποιεῖν τὰς ἐπιθυμίας, κἂν μὴ προσῇ τούτῳ ⟨τὸ⟩ ποιεῖν τὰ ἔργα τοῦ θεοῦ. ἀλλὰ λεκ- 196
τέον ὅτι ἀνάγκη τὸν θέλοντα ποιεῖν τὰς ἐπιθυμίας τοῦ θεοῦ καὶ ποιεῖν τὰ ἔργα τοῦ θεοῦ· οὐ γὰρ μόνον τὸ θέλειν ἀλλὰ καὶ τὸ ἐνεργεῖν, ὥς φησιν ὁ Παῦλος, ἐκ τοῦ θεοῦ ἐστιν, ἑπομένου πάντως
τῷ καλῷ θέλειν τοῦ συζύγου αὐτῷ ⟨τοῦ⟩ ἐνεργεῖν (καὶ γὰρ »Τοῖς ἀγα-
251v »πῶσιν τὸν θεὸν | πάντα συνεργεῖ εἰς ἀγαθόν«), καὶ οὐκ ἂν καλὸν θέλειν ἀτελὲς ἐάσαι ὁ ποιῶν πάντα καλὰ λίαν· ἀλλ' οὐδὲ ἐπινοηθῆναι δύναται καλὸν θέλειν μὴ συνεζευγμένης τῆς κατὰ τὸ οὕτω θέλειν ἐνεργείας καλῆς τῷ καλῷ θέλειν. ἡ μέντοι γε πρὸς τῷ θέλειν ἐνέρ- 197
γεια κἂν ἐμποδίζοιτο ὑπὸ τῆς προνοίας εὐλόγως πολλάκις, ὅτε ὑπέρ τινος καθολικῶς χρησίμου ἢ ὅπως ποτὲ χρησίμου χρεία ἀνακόπτεσθαι τὸ κατὰ τὸ θέλειν τὸ χεῖρον ἔργον.

Εἰς ταῦτα δὲ ὁ Ἡρακλέων φησί· πρὸς οὓς ὁ λόγος, ἐκ 198
τῆς οὐσίας τοῦ διαβόλου ἦσαν· ὡς ἑτέρας οὔσης τῆς τοῦ
διαβόλου οὐσίας παρὰ τὴν τῶν ἄλλων λογικῶν οὐσίαν. ὅμοιον 199
δὲ ἐν τούτῳ μοι πεπονθέναι φαίνεται τῷ ἑτέραν οὐσίαν φάσκοντι ὀφθαλμοῦ παρορῶντος καὶ ἑτέραν ὁρῶντος, καὶ ἑτέραν οὐσίαν
313H ἀκοῆς παρακουούσης καὶ ὑγιῶς ἀκουούσης. ὡς γὰρ ἐν τούτοις 200
οὐχ ἡ οὐσία διάφορος, ἀλλά τι αἴτιον ἐπισυμβέβηκεν τοῦ παρακούειν καὶ τοῦ παρορᾶν, οὕτως παντὸς τοῦ πεφυκότος λόγῳ παρακολουθεῖν ἡ παρακολουθητικὴ οὐσία ἡ αὐτή ἐστιν, εἴτε παραδέχεται τὸν λόγον εἴτε ἀνανεύει πρὸς αὐτόν. τί γὰρ δια- 201
φέρει ἐφ' ἡμῶν τῶν ἀνθρώπων τὸ παρακολουθῆσαν τοῦ μὴ
338R παρακολουθοῦντος οὐκ ἂν ἔχοιμεν εἰπεῖν, εἰ καὶ μετὰ τὸ συνιέναι τῶν εἰρημένων ὁ μέν τις ἐπικρίνας συγκατέθετο τῷ λεγομένῳ, ὁ δὲ ἀνένευσεν πρὸς αὐτό.

XXIV. Πολλάκις δὲ εἴπομεν, ὅτι ἐὰν συγχωρηθῇ τοῦτο τὸ 202
ἀδύνατον (λέγω δὲ τὸ εἶναι οὐσίας ἑτέρας καὶ ἀνεπίδεκτον τῶν κρειττόνων τὸν διάβολον), περὶ μὲν ἐκείνου ἀπολογησόμεθα ὡς οὐδαμοῦ αἰτίου τῆς πονηρίας, τὸ δὲ ἔγκλημα τῷ αὐτὸν οὐσιώσαντι καὶ δημιουργήσαντι προσάψομεν, ὅπερ ἐστὶ πάντων ἀτοπώτατον.

1 Joh. 8, 41. — **2** Joh. 8, 44. — **8** Vgl. Phil. 2, 13. — **10** Röm. 8, 28. — **12** Vgl. Gen. 1, 31.

6 ⟨τὸ⟩ + We | **8** *ποιεῖν*] *ποιεῖ*, corr. V | **10** ⟨τοῦ⟩ + We | **11** *συνεργεῖν*, corr. B | *ἂν*] + ⟨τὸ⟩? We | **16** *ἢ — χρησίμου* doppelt geschrieben | **20** *ἄλλων*] *ἁγίων*, corr. Pr | **32** *εἴποιμεν*, corr. V | **33** *ἀνεπίδεκται*, corr. V | **34** *ἀπολογησάμεθα*, corr. We.

Digitized by Google

203 πρόδηλον δὲ τὸ παράλογον ἔσται τῷ κατανοήσαντι ψυχῶν ἀνθρω-
πίνων οὐσίαν καὶ ἐνιδόντι ὅτι ἀμήχανόν ἐστιν, ὥσπερ σώματα παρὰ
σώματα εἶναι ἀνθρώπινα ἑτέρας καὶ ἑτέρας οὐσίας, οὕτω καὶ ψυχὰς
παρὰ ψυχάς, καὶ νοητικὸν παρὰ τὸ νοητικόν, καὶ τὸ διανοητικὸν
204 παρὰ τὸ διανοητικόν. τὸ δὲ ὅμοιον ἐρεῖς καὶ ἐπὶ τοῦ λογικοῦ καὶ
ἐπὶ τῶν ἐν τῇ ψυχῇ δυνάμεων, τῆς τε μνημονικῆς καὶ τῆς οὕτως
φανταστικῆς· ἀνάγκη γάρ, εἰ ἑτεροούσιός ἐστιν ἄνθρωπός τις παρ'
ἕτερον, καὶ ἑτερογενεῖς εἶναι τὰς τῆς ψυχῆς δυνάμεις, καὶ ἑτερογενῆ
εἶναι, φέρε εἰπεῖν, τὴν μνημονικὴν ⟨παρὰ τὴν μνημονικὴν⟩ καὶ τὴν
205 διανοητικὴν παρὰ τὴν διανοητικήν. ἐξεταζέσθω δὲ ὁ λόγος περὶ
τούτων, ἃ ὁμοίως ἂν νοήσαι καὶ διανοηθείη, ὥστε καὶ παραπλησίως
συγκαταθέσθαι ἢ ἐπισχεῖν ἢ ἀνανεῦσαι ὃν φασιν ἐκεῖνοι πνευματικὸν
καὶ ὃν λέγουσιν εἶναι χοϊκόν. ἆρα γὰρ τὸ παραπλήσιον ἐν διαφόροις
γέγονεν οὐσίαις, | ἢ διὰ τοῦτο παραπλήσιον γέγονεν τὸ πάθος, ἐπεὶ 252r
206 ὁμοούσιον ἦν τοῦτο ᾧ συμβέβηκε τὸ πάθος; τὸ μὲν οὖν φάναι τοὺς
αὐτοὺς τύπους φαντασιῶν καὶ συγκαταθέσεων καὶ διανοήσεων καὶ
μνημονεύσεων γεγονέναι ἐν τοῖς ἑτεροουσίοις ἄλογον· τὸ δὲ ἐν τοῖς
ὁμοουσίοις ἐκ μέρους ὡς παρὰ ταύτην εἶναί τινα καὶ ἄλλην οὐσίαν
207 ἐν αὐτοῖς ἠλίθιον. παραστησάτωσαν γὰρ παρὰ τὰς δυνάμεις ταύτας
ἑτέραν τινὰ οὐσίαν μὴ νοοῦσαν μηδὲ διανοουμένην μηδὲ μεμνημένην
μηδὲ φαντασιουμένην ἐν οἷς φασὶν εἶναι πνευματικοῖς κρείττονα τῆς
νοούσης καὶ διανοουμένης, ἢ ἐν τοῖς χοϊκοῖς ἤτοι ὁμοίαν ἢ χείρονα· 314 H
208 οὐδὲ γὰρ φήσουσιν κρείττονα. ἀλλ' εἰκὸς αὐτοὺς ἐρεῖν ὅτι ὥσπερ
ἐνδέχεται ἀπὸ τῆς αὐτῆς σφραγῖδος ὁμοίως τυπωθῆναι τὴν ἀνόμοιον
οὐσίαν χρυσοῦ καὶ ἀργύρου καὶ κασσιτέρου καὶ μολίβου καὶ κηροῦ.
οὕτω δυνατὸν ἀπὸ τῶν αὐτῶν φαντασιῶν τοὺς παραπλησίους
ἐγγενέσθαι τύπους τοῖς ἐν διαφόροις οὐσίαις τυγχάνουσιν καὶ φαντα- 339 R
σιουμένοις· τὸ δ' ὅμοιον καὶ ἐπὶ διανοίας καὶ νοήσεως καὶ μνημο-
209 νεύσεως φήσουσιν. ἀλλ' ὅρα μήποτε κἂν πάνυ πιθανὸς εἶναι ὁ λό-
γος οὗτος δοκῇ, συναρπάζειν μᾶλλον καὶ σοφίζεσθαι δύναται
ἀνομοίως παραβεβλημένος ἢπερ πείθειν τὸν ἀκριβῶς τῷ παραδείγ-
ματι ἐπιστήσαντα· ἐπὶ μὲν γὰρ τῆς εἰκόνος ἔχω δεῖξαι, ἤτοι ἐν χρυσῷ
ὁ τύπος ἢ ἐν ἀργύρῳ, ᾗ μὲν ὁ τύπος παραπλήσιος δείκνυται, τὴν
ἰδιότητα τοῦ ἐν χρυσῷ γεγονέναι παρὰ τὸ ἐν ἀργύρῳ τετυπῶσθαι
210 ἢ ταῖς λοιπαῖς ὕλαις. οὕτω τοίνυν ἡμῖν παραστησάτωσαν ἰδίωμα
τοῦ δεξαμένου τύπον κρείττονα ἢ ἐλάττονα ἢ ὑποδεέστερον, καὶ
πειραθήτωσαν κἂν περιλαλῆσαι τὴν τῶν δεξαμένων τὴν ἀνάμαξιν

7 ἑτερουσίοις, corr. Pr; vgl. Z. 17 | 8 ἑτερογενεῖς] γ a Ras. | 9 ⟨παρὰ — μνημονικὴν⟩ + Pr | 15 τοίτῳ V | 25 κασιτέρου | 31 ἂν ὁμοίως, corr. Hu | 32 ἤτοι ὅτι, corr. Pr; εἰ We | 33 ἢ] ὁ, corr. Br | 36 κρείττον.

Digitized by Google

τῶν τύπων παραπλησίως διάφορον οὐσίαν· μὴ γὰρ παριστάντες ἀποφανοῦνται μέν, οὐκ ἀποδείξουσιν δέ.

Τοσαῦτα καὶ πρὸς τὸν Ἡρακλέωνος λόγον εἰπόντος· τὸ »Ἐκ τοῦ πατρὸς τοῦ διαβόλου« ἀντὶ τοῦ »ἐκ τῆς οὐσίας τοῦ πατρός« εἰρήσθω. πάλιν εἰς τὸ »Τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν« διαστέλλεται λέγων τὸν διάβολον μὴ ἔχειν θέλημα ἀλλ' ἐπιθυμίας. καὶ ἐμφαίνεται αὐτόθεν τὸ ἀδιανόητον τοῦ λόγου· ἐθέλειν γὰρ τὰ πονηρὰ πᾶς ἄν τις ὁμολογήσαι ἐκεῖνον. συνάξεις δὲ καὶ αὐτός, εἰ καὶ ἐπὶ τοῦ παρόντος ἐν προχείρῳ οὐκ ἔχομεν παραθέσθαι, εἴ που ἐν τῇ γραφῇ τὸ θέλειν ἐπὶ τοῦ διαβόλου τέτακται. μετὰ ταῦτά φησιν ὁ Ἡρακλέων ὡς ἄρα ταῦτα εἴρηται οὐ πρὸς τοὺς φύσει τοῦ διαβόλου υἱούς, τοὺς χοϊκούς, ἀλλὰ πρὸς τοὺς ψυχικούς, θέσει υἱοὺς διαβόλου γινομένους·
252v ἀφ' ὧν τῇ φύσει δύνανταί τινες καὶ θέσει υἱοὶ θεοῦ χρηματίσαι. καί φησί γε ὅτι παρὰ τὸ ἠγαπηκέναι τὰς ἐπιθυμίας τοῦ διαβόλου καὶ ποιεῖν τέκνα οὗτοι τοῦ διαβόλου γίνονται, οὐ φύσει τοιοῦτοι ὄντες. καὶ διαστέλλεται ὡς ἄρα τριχῶς δεῖ ἀκούειν τῆς κατὰ τέκνα ὀνομασίας, πρῶτον φύσει, δεύτερον γνώμῃ, τρίτον ἀξίᾳ· καὶ φύσει μέν, φησίν, ἐστὶν τὸ γεννηθὲν ὑπό τινος γεννητοῦ, ὃ καὶ κυρίως τέκνον καλεῖται· γνώμῃ δέ, ὅτε τὸ θέλημά τις ποιῶν τινος διὰ τὴν ἑαυτοῦ γνώμην
315H τέκνον ἐκείνου οὗ ποιεῖ τὸ θέλημα καλεῖται· ἀξίᾳ δέ,
25 καθ' ὃ λέγονταί τινες γεέννης τέκνα καὶ σκότους καὶ ἀνομίας, καὶ ὄφεων καὶ ἐχιδνῶν γεννήματα· οὐ γὰρ
340R γεννᾷ, φησί, ταῦτά τινα τῇ ἑαυτῶν φύσει· φθοροποιὰ γὰρ καὶ ἀναλίσκοντα τοὺς ἐμβληθέντας εἰς αὐτά· ἀλλ' ἐπεὶ ἔπραξαν τὰ ἐκείνων ἔργα, τέκνα αὐτῶν εἴρηται.
30 τοιαύτην δὲ διαστολὴν δεδωκὼς οὐδὲ κἂν ἐπὶ ποσὸν ἀπὸ τῶν γραφῶν παρεμυθήσατο τὴν ἰδίαν διήγησιν. εἴποιμεν δ' ἂν πρὸς αὐτὸν ὅτι εἰ μὴ φύσει, ἀλλὰ ἀξίᾳ γεέννης τέκνα ὀνομάζεται καὶ σκότους καὶ ἀνομίας (φθοροποιὰ γὰρ ταῦτα καὶ ἀναλίσκοντα μᾶλλον ἢπερ συνιστάντα), πῶς ὁ Παῦλός φησί που
35 τὸ »Ἤμεθα † φύσει τέκνα ὀργῆς ὡς καὶ οἱ λοιποί«; ἢ λεγέτωσαν

211 212 213 214 215 216 217

4 Joh. 8, 44. — 25 Vgl. Matth. 23, 15. 33. — 35 Eph. 2, 3.

8 διανόητον, corr. V | 10 ἔσχομεν, corr. V | 15 υἱοὺ M | 25 λέγεται, corr. V | 30 κατοπόσον, o^1 a. Ras., corr. We | 32 ἀξίας, corr. V | 35 sonst stellt Orig. mit Bx 17. 47 K Syr. Arm. τέκνα φύσει, s. u. S. 370, 31; Contr. Cels. IV, 72 [I, 341, 21 K.] hom. in Jer. V, 14 [44, 12 Kl.]. Griesbach, Symb. crit. II, 554.

Digitized by Google

ἡμῖν ὡς οὐκ ἔστιν ἀναλωτικὸν καὶ μάλιστα κατ' αὐτὸν φθοροποιὸν ἡ ὀργή, ἧς τέκνα ἤμεθα. πάλιν φησὶν ὅτι τέκνα τοῦ
218 διαβόλου νῦν λέγει τούτους, οὐχ ὅτι γεννᾷ τινας ὁ διάβολος, ἀλλ' ὅτι τὰ ἔργα τοῦ διαβόλου ποιοῦντες
219 ὡμοιώθησαν αὐτῷ. πόσῳ δὲ βέλτιον περὶ πάντων τῶν τοῦ διαβόλου τέκνων τοῦτο ἀποφαίνεσθαι, ὡς ὁμοιουμένων αὐτῷ τῷ ποιεῖν τὰ ἔργα αὐτοῦ καὶ οὐ διὰ τὴν οὐσίαν καὶ τὴν κατασκευὴν τὴν χωρὶς ἔργων τέκνων διαβόλου χρηματιζόντων;

VIII, 44. Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ.

220 XXV. (21) Ἐπεί ἐστίν τις κοινότερον ἀνθρωποκτόνος ὁ ὁπωσποτὲ ἀπεκτονὼς ἄνθρωπον, ὅστις ἐστὶν καὶ μέσος, καθ' ὃ καὶ ζήλῳ θεοῦ πεποίηκεν ὁ Φινεὲς ἀποκτείνας τὸν Ἰσραηλίτην πορνεύοντα καὶ τὴν Μαδιανίτιν ⟨καὶ⟩ ἀνθρωποκτόνος οὐ ψεκτῶς ῥηθήσεται καὶ ὁ Δαβὶδ »ἐν ὀνόματι κυρίου τῶν δυνάμεων, θεοῦ παρατάξεως »Ἰσραήλ« ⟨πατάξας⟩ τὸν Γολιάθ, ζητητέον τὴν ἀληθινὴν ἀνθρώπου ζωὴν καὶ τὸν ἐναντίον ταύτῃ θάνατον αὐτοῦ, ἵνα νοηθῇ ὁ ψεκτῶς
221 ἀνθρωποκτόνος. καὶ ὅσον μὲν ἐπὶ τῇ ἱστορίᾳ φήσεις τὸν Ἀδὰμ καὶ τὴν Εὔαν, ὅσον οὐχ ἡμαρτήκεισαν, μὴ ἀνῃρῆσθαι· ᾗ δὲ ἡμέρᾳ ἔφαγον ἀπὸ τοῦ ἀπηγορευμένου ξύλου εὐθέως καὶ τεθνηκέναι, οὐκ ἄλλου τινὸς ἀποκτείναντος αὐτοὺς ἢ τοῦ | ἀνθρωποκτόνου διαβόλου. 253r
ὅτε τὴν Εὔαν διὰ τοῦ ὄφεως ἠπάτησεν καὶ ἡ Εὔα δέδωκεν τῷ ἀν-
222 δρὶ ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγεν ὁ ἀνήρ, κατὰ μέντοι γε τὰ βαθύτερα τῶν δογμάτων νοήσας τὸ »Οὐκ ἀποθανοῦμαι ἀλλὰ ζήσομαι. »καὶ διηγήσομαι τὰ ἔργα κυρίου«, καὶ τὸ ὑπὸ τοῦ σωτῆρος πρὸς τοὺς Σαδδουκαίους ἀπορρητότατα τοῖς συνιέναι τοῦ λεγομένου δυναμένοις εἰρημένον ἐν τῷ κατὰ Ματθαῖον· »Περὶ τῆς ἀναστάσεως »τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ λέγοντος· 316H
»Ἐγώ εἰμι θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ; οὐκ ἔστιν 341R
»ὁ θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων«, καὶ ἐν τῷ κατὰ Λουκᾶν· 30
»Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ καὶ Μωσῆς ἐμήνυσεν, ὡς λέγει ἐπὶ τῆς »βάτου κύριον τὸν θεὸν Ἀβραὰμ καὶ θεὸν Ἰσαὰκ καὶ θεὸν Ἰακώβ· »οὐκ ἔστιν ὁ θεὸς νεκρῶν, ἀλλὰ ζώντων· πάντες γὰρ αὐτῷ ζῶσιν«·

7 Vgl. Joh. 8, 41. — **13** Vgl. Num. 25, 6ff. — **15** Vgl. I Sam. 17, 45. 51. — **19** Vgl. Gen. 3, 6. — **24** Ps. 117, 17 (ℵaRT). — **27** Matth. 22, 31f. (Vgl. Exod. 3, 6.) — **31** Luk. 20, 37 f.

2 ἡ ὀ. ἧς] ἢ ὀργῆς, corr. Br | **12** ἀποκτονως | **13** ἰσδραηλίτην | **14** ⟨καὶ + We | **16** ἰσδραηλ ⟨πατάξας⟩ + Br | **18** τῆς ἱστορίας, corr. We.

Digitized by Google

ἔτι δὲ καὶ ἐν τῷ κατὰ Μάρκον· »Περὶ τῶν νεκρῶν, † οὐκ ἀνέγνωτε 223
»ὅτι ἐγείρονται ἐν τῇ βίβλῳ Μωσέως ἐπὶ τῆς βάτου ὡς εἶπεν αὐτῷ
»ὁ θεὸς λέγων· Ἐγώ εἰμι θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς
»Ἰακώβ; οὐκ ἔστιν ὁ θεὸς νεκρῶν, ἀλλὰ ζώντων«, ὄψει ὅτι εἰ νῦν
ζῇ ἐκ νεκρῶν ἀναστάς, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ νεκροὶ ἦσαν,
πρὶν ζήσωσιν· νεκρὸς δὲ κυρίως οὐδεὶς λέγεται μὴ πρότερον ζήσας.
ἐπίστησον δὲ καὶ τῷ »Ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, καὶ ἐν 224
»τῷ χριστῷ πάντες ζωοποιηθήσονται«, ἐν οἷς οὔτε ὁ μέσος θάνατος
σημαίνεται κατὰ τὸ »Ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν«, οὔτε ἡ
ἀδιάφορος ζωὴ καὶ μήτε ἀγαθὸν οὖσα καθ' αὑτὴν μήτε κακὸν κατὰ
τὸ »Ἐν τῷ χριστῷ πάντες ζωοποιηθήσονται«, καὶ ὄψει τὴν ζωὴν
τοῦ κατ' εἰκόνα ἀνθρώπου. νοήσας δὲ αὐτοῦ τὴν ζωὴν συνήσεις τίνα τρόπον ὁ ἀνθρωποκτόνος ἀπέκτεινε τὸν ζῶντα ἄνθρωπον, οὐ διά τινα ἕνα ἰδίως ποιόν, ἀλλὰ δι' ὅλον τὸ γένος, ὃ
ἀπέκτεινεν, καθ' ὃ »ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν«, ὑγιῶς
λεχθησόμενος ἀνθρωποκτόνος. ταύτην δὲ τὴν ἀνθρωποκτονίαν εἰρ- 225
γάσατο ἀρξάμενος ἀπ' ἀρχῆς, δι' ἣν ἀνθρωποκτονίαν αὐτοῦ ἕκαστος
τῶν νοούντων αὐτὸ καὶ τὸ ἑαυτοῦ σῶμα, καὶ τίνι οἰκεῖόν ἐστιν,
τοῦτο ἐρεῖ, ταλανίζων ἑαυτὸν ἐπὶ τῷ ἐν τῷ Ἀδὰμ ἀποτεθνηκέναι,
τὸ »Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ
»θανάτου τούτου«; βλέπων καὶ τίνα τρόπον εἴρηται τὸ »Εἰς χοῦν
»θανάτου κατήγαγές με«· καὶ τὸ »Ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κα-
»κώσεως«· καὶ τὸ »Σῶμα τῆς ταπεινώσεως ἡμῶν«. ἔστιν δὲ καὶ 226
ἀπορρητότερόν τι δι' ὃ ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἄρχων ἐστὶν
253v τοῦ κόσμου τούτου, λέγω δὲ τοῦ περιγείου τόπου, ὅπου εἰσὶν οὓς
ἀπέκτεινεν ἄνθρωποι. ὁ μὲν οὖν ἀνθρωποκτόνος ἀπέκτεινεν ἡμᾶς·
ἡμεῖς δὲ χάριτι θεοῦ συνετάφημεν Χριστῷ καὶ συνανέστημεν αὐτῷ,
εἴγε σύμμορφοι γεγόναμεν τῇ ἀναστάσει αὐτοῦ καὶ ἐν καινότητι
ζωῆς περιπατοῦμεν. ὁ δὲ ἀνθρωποκτόνος ἄρχει τῶν ἀνηρημένων 227
καὶ ἄρχει τῶν νεκρῶν, ζῶντος δὲ οὐδενὸς ἡγεῖσθαι δύναται. ἐὰν 228
δὲ ἐπιπλεῖον ἐπιστήσῃς καὶ τοῖς περὶ τῶν νεκρῶν γεγραμμένοις,
317H 342R οἷον τούτῳ »Εἰς τοῦτο Χριστὸς ἀπέθανεν καὶ ἀνέστη, ἵνα καὶ νεκρῶν
»καὶ ζώντων κυριεύσῃ«, ὄψει τίνα τρόπον διὰ τὸν θάνατον τοῦ
Ἰησοῦ οὐδὲ τῶν νεκρῶν κυριεύει ἔτι· ἀπέθανεν γὰρ Ἰησοῦς ἵνα καὶ
νεκρῶν κυριεύσῃ. ὅσον μὲν οὖν ζῇ ὁ ἄνθρωπος, οὐ φορεῖ τὴν τοῦ 229

1 Mark. 12, 26f. — **7** I Kor. 15, 22. — **12** Vgl. Gen. 1, 26. — **15** Vgl. I Kor. 15, 22. — **20** Röm. 7, 24. — **21** Ps. 21, 16; 43, 20. — **23** Phil. 3, 21. — **27** Vgl. Röm. 6, 4. — **32** Röm. 14, 9. — 35 Vgl. I Kor. 15, 49.

1 ἀνέγνωται M; die Stellung ist verkehrt; z. l. ὅτι ἐγείρονται οὐκ ἀνέγνωτε | **9** πάντες, Endung aus etw. anderem corr. M | **12** εἰκόνα ⟨θεοῦ⟩? Pr | **16** ἀνθρωκτόνος, corr. V | **20** ῥύσεται] ετ a. Ras. | **27** συνετάφημεν] νν a. Ras.

Digitized by Google

χοϊκοῦ εἰκόνα· ἀποθνήσκων δὲ καὶ ἀναιρούμενος ὑπὸ τοῦ ἀνθρωποκτόνου, ἅμα τε ⟨οὐ⟩ συνέχει τὴν τοῦ θεοῦ εἰκόνα, καὶ ἀναλαμβάνει τὴν τοῦ χοϊκοῦ καὶ νεκροῦ· νεκρὸς γὰρ ὁ χοϊκός, ὥσπερ ζῶν ὁ ἐπουράνιος· καὶ ὁ θεὸς οὐκ ἔστιν νεκρῶν ἀλλὰ ζώντων θεός.
230 διόπερ εἰ μὲν συνανέστημεν ἐν καινότητι ζωῆς περιπατοῦντες, ὁ θεὸς ἐστιν ἡμῶν· εἰ δὲ ἔτι ἐσμὲν ἐν νεκροῖς, ὁ θεὸς οὐ νεκρῶν καὶ ἡμῶν οὐκ ἔσται θεός.

231 XXVI. Παράκειται δὲ τῷ ἐξετάζειν τὰ περὶ τοῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνου καὶ τὸ ἰδεῖν τινὰς νεκροὺς μέν, οὐκ ἐν ἄλλῳ δὲ ἢ ἐν Χριστῷ νεκρούς, οἳ καὶ πρῶτον ἀναστήσονται· περὶ ὧν ἐν μὲν τῇ πρὸς Κορινθίους οὕτω λέγεται· »Σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἀνα»στήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα«· ἐν δὲ τῇ πρὸς Θεσσαλονικεῖς· »Τοῦτο γὰρ ὑμῖν λέγομεν λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ »ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου, οὐ μὴ »φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν »φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ. »καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ »ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέ»λαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν
232 »κυρίῳ ἐσόμεθα«. καὶ ἡγοῦμαι ζῶντας μὲν εἶναι ἐν Χριστῷ τοὺς τετελειωμένους καὶ μηδαμῶς ἔτι ἁμαρτίαν ἐργαζομένους, νεκροὺς δὲ ἐν Χριστῷ τοὺς διακειμένους μὲν κατὰ τὴν ἐν Χριστῷ πίστιν καὶ προαιρουμένους βιοῦν καλῶς, οὐ μὴν ἤδη κατωρθωκότας ἀλλ' ἔτι ἁμαρτάνοντας, ἤτοι κατ' ἄγνοιαν τοῦ ἀκριβοῦς περὶ δικαιοσύνης ἀληθοῦς λόγου, ἢ κατὰ ἀσθένειαν νικωμένων τῶν κριμάτων ἀπὸ
233 τῆς ἐπιθυμούσης κατὰ τοῦ πνεύματος σαρκός. καὶ τούτοις γε ἀκόλουθόν ἐστιν τὸν Παῦλον αἰσθανόμενον ἑαυτοῦ λέγειν διὰ τὸ ἤδη κατωρθωκέναι τὸ »Ἡμεῖς οἱ ζῶντες«. οὓς δὲ εἰρήκαμεν νεκρούς, οὗτοι μάλιστα δέονται τῆς ἀναστάσεως, οὐδὲ τῶν ζώντων δυναμένων ἁρπαγῆναι | ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, 254r
πρὶν πρῶτον τοὺς ἐν Χριστῷ νεκροὺς ἀναστῆναι· διὸ γέγραπται· »Οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες«
234 καὶ τὰ ἑξῆς. ἐπιστήσεις δὲ εἰ καὶ διὰ τὴν ἀνθρωποκτονίαν αὐτοῦ 343R
οὐκ ἂν συστάντα τὰ ἐπὶ τῆς ἐπικαταράτου γῆς ἐν τοῖς ἔργοις τοῦ 318H
235 ἐκβληθέντος ἀπὸ »τοῦ παραδείσου τῆς τρυφῆς« Ἀδὰμ συνέστη. πλὴν

4 Vgl. Matth. 22, 31f. u. Parall. — 6 Vgl. Röm. 6, 4. — 8 Vgl. Joh. 8, 44. — 11 I Kor. 15, 52. — 13 I Thess. 4, 15—17. — 26 Vgl. Gal. 5, 17. — 28 I Thess. 4, 17. — 32 I Thess. 4, 16f. — 35 Vgl. Gen. 3, 17. 23.

2 ⟨οὐ⟩ + V | 10 ἐν μὲν] ἐμεν | 11 κοριθίους | 28 νεκρου[ς οὗ]τοι, d. Eingeklammerte abgerieben | 30 [ἁρπα]γῆναι, abgerieben | 34 συνστάντα | ἔργοις], ἐρ a. Ras.

Digitized by Google

ἀνθρωποκτόνος οὗτος ἀπὸ τῆς τῶν ἐνεστηκότων γέγονεν ἀρχῆς, ὅστις, οἶμαι, γενόμενος »ἀρχὴ πλάσματος κυρίου« ἐφθόνησεν τοῖς κτισθεῖσιν »εἰς τὸ εἶναι«. οὕτω »φθόνῳ θάνατος εἰσῆλθεν εἰς τὸν 236
»κόσμον«, ἀεὶ ἐν οἷς ἂν εὕρῃ ζῶσιν ἀνθρωποκτονοῦντος ἕως ἂν πάντων τῶν ἐχθρῶν ὑποτεθέντων τοῖς ποσὶν τοῦ υἱοῦ τοῦ θεοῦ ἔσχατος ἐχθρὸς αὐτοῦ θάνατος καταργηθῇ.

XXVII. (22) Ἴδωμεν δὲ καὶ περὶ τοῦ »Καὶ ἐν τῇ ἀληθείᾳ οὐχ 237
»ἕστηκεν«. πᾶς μὲν καὶ μόνος ὁ ὑγιῆ βεβαίως ἔχων δόγματα καὶ διὰ τὴν βεβαιότητα τῶν δογμάτων ἄσειστος τοῖς κρίμασιν τυγχάνων ἐν παντὶ καιρῷ, καὶ ὑπὸ μηδεμιᾶς περιστάσεως ἤ τινος σωματικῆς προφάσεως, οἷον δυσυπομενήτων πόνων ἢ σφοδροτέρας ὀρέξεως ἀφροδισίων ἢ ὁποιασδήποτε αἰτίας σαλευόμενος, ὥστ' ἂν καὶ ἐπὶ ποσὸν μετακινηθῆναι ἀπὸ τοῦ καλοῦ, εὐλόγως ἂν ἑστηκέναι ἐν τῇ ἀληθείᾳ νομίζοιτο· οὗτος δὲ ὁ λόγος φθανέτω καὶ ἐπὶ τὰς ἔξω σαρκὸς καὶ 238
αἵματος φύσεις· ἔστιν γὰρ καὶ ἐν τῇ ἐκείνων ζωῇ τὰ κατορθοῦντα ἑστηκέναι ἐν τῇ ἀληθείᾳ δεόντως λέγειν· εἰ δέ τις μὴ οὕτως βιοῖ, »οὐχ ἕστηκεν ἐν τῇ ἀληθείᾳ«. ἀλλ' ἐφίστημι μήποτε ἓν μέν τι καὶ 239
μονοειδές ἐστιν τὸ ἑστηκέναι ἐν τῇ ἀληθείᾳ, ποικίλον δέ τι καὶ πολύτροπον τὸ μὴ ἑστηκέναι ἐν αὐτῇ· τινῶν μὲν τρεμούσαις, ἵν' οὕτως ὀνομάσω, ταῖς βάσεσιν καὶ σειομέναις βιαζομένων ἑστάναι ἐν αὐτῇ καὶ μηδέπω τοῦτο ἐχόντων· ἑτέρων δὲ τοῦτο μὲν οὐ πεπονθότων, ἐν κινδύνῳ δὲ τοῦ ἐν τούτῳ γενέσθαι καθεστηκότων, ὁποτός ἐστιν ὁ λέγων· »Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες«, καὶ ἄλλων καὶ πεπτωκότων ἐν αὐτῇ, περὶ ὧν οἶμαι λέγεσθαι τὸ »Πᾶς ὁ πεσὼν »ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται«. ἐπὶ τοῦτο τὸ ἑστάναι ἐν 240
τῇ ἀληθείᾳ προτρέπων ὁ κύριος Μωσέα εἶπεν πρὸς αὐτόν· »Ἰδοὺ »τόπος παρ' ἐμοί, καὶ στήσῃ ἐπὶ τῆς πέτρας«· εἰ γὰρ ἡ πέτρα Χριστὸς ἦν, Χριστὸς δέ φησιν· »Ἐγώ εἰμι ἡ ἀλήθεια«, μήποτε τὸ »Στήσῃ ἐπὶ τῆς πέτρας« ἴσον δύναται τῷ »στήσῃ ἐπὶ τῆς ἀληθείας«. μόγις δέ ποτε τοῦτο καὶ μετὰ πολλὰ ἐγγίγνεταί τινι. μέχρι γοῦν 241
τοῦ »Ἰδού, τόπος παρ' ἐμοί, καὶ στήσῃ ἐπὶ τῆς πέτρας« Μωσῆς οὐ-
54v δέπω εἱστήκει ἐπὶ τῆς πέτρας. καὶ εἴ | τίς γε ἐπιμελέστερον ἐνίδοι
14R τῇ ἀνθρωπίνῃ φύσει, οὐκ εὐχερῶς δυναμένῃ καθαρεύειν ἀπὸ ψευδῶν δογμάτων, ὄψεται ὅτι ὥσπερ »πᾶς ἄνθρωπος ψεύστης«, οὕτως πᾶς

2 Vgl. Hiob 40, 14 (19). — 3 Weish. Sal. 1, 14; 2, 24. — 5 Vgl. I Kor. 15, 25f. — 7 Joh. 8, 44. — 17 Joh. 8, 44. — 23 Ps. 72, 2. — 24 Matth. 21, 44. — 26 Exod. 33, 21 (AF). Vgl. I Kor. 10, 4. — 28 Joh. 14, 6. — 34 Ps. 115, 2.

4 ἂν¹] ἐάν, corr. We | 8 ὑγιῆς | 11 δύο ὑπομένη τῶν, corr. Br; vgl. hom. in Jer. XVIII, 6 [p. 160, 22] | 17 ἓν] ν a. Ras. | 26 μωσέα] α a. Ras. | 29 τῆς¹] τη a. Ras. 31 τοῦ] τὸ | τόπω, corr. V | 32 ἱστήκει.

Digitized by Google

242 ἄνθρωπος οὐχ ἕστηκεν ἐν τῇ ἀληθείᾳ. εἰ γάρ τίς ἐστιν οὐ ψεύστης
ἔτι ἢ ἕστηκεν ἐν τῇ ἀληθείᾳ, ὁ τοιοῦτος οὐκ ἔστιν ἄνθρωπος, ὥστ᾽
ἂν εἰπεῖν αὐτῷ καὶ τοῖς ὁμοίοις αὐτῷ τὸν θεόν· »Ἐγὼ εἶπα, θεοί 319l
»ἐστε καὶ υἱοὶ ὑψίστου πάντες«, οὐκ ἐπενεχθησομένου αὐτῷ τοῦ
243 »Ὑμεῖς δὲ δὴ ὡς ἄνθρωποι ἀποθνήσκετε«. εἴ τις οὖν καὶ ἄλλος 5
οὐχ ἕστηκεν ἐν τῇ ἀληθείᾳ, δῆλον ὅτι καὶ ὁ διάβολος ὁ ἀπ᾽ ἀρχῆς ἀν-
θρωποκτόνος, καὶ ἡ αἰτία γε τοῦ μὴ ἑστηκέναι αὐτὸν ἐν ἀληθείᾳ
244 τοῦτον εἴρηται τὸν τρόπον· »Ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ«. διὰ
τοῦτο δ᾽ οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ, ἐπείπερ ἠπάτηται καὶ ψευδῆ
ὑπολαμβάνει καὶ ἠπάτηται αὐτὸς ὑφ᾽ ἑαυτοῦ, τούτων χείρων εἶναι 10
λογισθεὶς τῶν λοιπῶν ἀπατωμένων, ὅτι ἐκεῖνοι μὲν ὑπὸ τούτου
ἀπατῶνται, αὐτὸς δὲ ἑαυτῷ δημιουργός ἐστιν τῆς ἀπάτης.

245 XXVIII. Ἄξιον δὲ ζητῆσαι πῶς λέγεται τὸ »Ἀλήθεια οὐκ ἔστιν ἐν
»αὐτῷ«, οἷον πότερόν ποτε οὐδὲν ἀληθὲς ἔχει δόγμα, ἀλλὰ πάντα
ὅσα ποτὲ δοξάζει ψευδῆ ἐστιν· ἢ ὅτι οὐ μετέχει Χριστοῦ, ὡς οἱ Χρι- 15
246 στοῦ μέτοχοι μετέχουσιν τοῦ εἰπόντος· »Ἐγώ εἰμι ἡ ἀλήθεια«. οἱ
γὰρ μετέχοντες αὐτοῦ μετέχουσιν αὐτοῦ καὶ καθ᾽ ὅ ἐστιν ἀλήθεια.
καὶ διὰ τοῦτο ἀληθειά ἐστιν ἐν αὐτοῖς. καὶ τρίτον δ᾽ ἂν ἐν τῷ
τόπῳ τοιοῦτον προσαποροῦντος εἴη, ἐπιστησόντων τινῶν εἰ χρὴ λέγειν
μὴ εἶναι ἀλήθειαν ἐν τῷ ὁτιποτοῦν ψεῦδος ὑπολαμβάνοντι, κἂν μετὰ 20
247 πολλῶν ἀληθῶν τοῦτο νομίζῃ. ὡς γὰρ ψεῦδος τὸ ἐκ μυρίων ὅσων
ἀληθῶν καὶ ἑνὸς ψεύδους συμπεπλεγμένου, οὕτως ἐν τῷ δοξάζοντι
μετὰ πολλῶν ἀληθῶν ἓν ψεῦδος οἱονεὶ τὸ τοιοῦτόν ἐστιν συμπε-
πλεγμένον, ὥστ᾽ ἂν εἰπεῖν ὅτι ἐν τῷδε οὐκ ἔστιν ἀλήθεια. δείκνυμι
248 δὲ τὸν μετὰ πολλῶν ἀληθῶν ἓν ψεῦδος ὑπολαμβάνοντα. καὶ τὰ τρία 25
γε δόξει ἔχειν λόγον, τινὸς μὲν φήσοντος κατὰ τοῦτο εἰρῆσθαι τὸ
»Οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ«, ἐπεὶ οὐ μετέχει Χριστοῦ, ᾧ γε καὶ
προσπολεμεῖ· ἑτέρου δέ, ἐπείπερ οὐδὲν ἀληθὲς φρονεῖ ἀλλ᾽ ἐν πᾶσιν
διέψευσται, καὶ διὰ τοῦτό ἐστιν διάβολος καὶ πονηρὸς καὶ χείρων
παντὸς οὑτινοσοῦν πταίοντος, ὅτι τάχα ἐν μὲν τοῖς πολλοῖς ἐστίν τι 30
καὶ ἀληθὲς μετὰ πολλῶν ὧν σφάλλονται, ἐν δὲ τούτῳ οὐδὲν ἀληθές.
249 καὶ τρίτος δέ τις συναγορεύσει τῷ λοιπῷ λέγων ἀμήχανον εἶναι λο-
γικόν τι τυγχάνον ζῷον περὶ πάντων ψευδοδοξεῖν καὶ περὶ μηδενὸς
250 κἂν ἀσθενῶς τὸ ἀληθὲς ὑπολαμβάνειν. πάντως γοῦν κἂν τοῦτο ἔχῃ 345R
ὁ διάβολος δόγμα ἀληθὲς περὶ αὐτοῦ ἐννοῶν ὅτι λογικός | ἐστιν, καὶ 255r
ὅτι τὸ τοιόνδε μὲν ἄνθρωπός ἐστιν, τὸ τοιόνδε δὲ ἄγγελος, καὶ τὸ

1 Vgl. Joh. 8, 44. — **3** Ps. 81, 6. — **5** Ps. 81, 7 (ℵ*) — **8** Joh. 8, 44. — **13** Vgl. Joh. 8, 44. — **16** Joh. 14, 6. — **18** Vgl. Joh. 8, 44. — **27** Joh. 8, 44.

1 *οὐ*] *ὁ* | **3** *θεοί*] *οι* a. Ras. | **4** *ὑψίστου*] *ου* a. Ras. | **15** *δοξάζῃ*, corr. We | **22** *συμπεπλεγμένον* Ausgg. | **24** *ὥστ᾽*] *στ* a. Ras. | **31** *ἐν*] *ν* a. Ras. | **34** *ἔχει*.

Digitized by Google

τοιὸν μὲν σῶμα, καὶ ποιὸν σῶμα, ἄλλο δέ τι ἕτερον σώματος. ἀλλ᾽ 251
ἵνα καὶ τὸ τελευταῖον μὴ λέγῃ καὶ μὴ ἐννοῇ, ἀλλά γε αὐτάρκη τὰ
20H πρῶτα πρὸς τὸ μὴ ἂν δύνασθαι εἶναι ἀληθὲς περὶ αὐτοῦ τὸ ὅτι
οὐδὲν ἀληθὲς φρονεῖ.

5 Ἡμεῖς μὲν οὖν τοῦ »Ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν« ἀκούομεν 252
οὐχ ὡς φύσιν τοιαύτην ἐμφαίνοντος, οὐδὲ τὸ ἀδύνατον περὶ τοῦ
ἑστηκέναι αὐτὸν ἐν ἀληθείᾳ παριστάντος· ὁ δὲ Ἡρακλέων εἰς
ταῦτά φησι τὸ Οὐ γὰρ ἐκ τῆς ἀληθείας ἡ φύσις ἐστὶν αὐ-
τοῦ, ἀλλ᾽ ἐκ τοῦ ἐναντίου τῇ ἀληθείᾳ, ἐκ πλάνης καὶ
10 ἀγνοίας. διό, φησίν, οὔτε στῆναι ἐν ἀληθείᾳ οὔτε σχεῖν 253
ἐν αὐτῷ ἀλήθειαν δύναται, ἐκ τῆς αὐτοῦ φύσεως ἴδιον
ἔχων τὸ ψεῦδος, φυσικῶς μὴ δυνάμενός ποτε ἀλήθειαν
εἰπεῖν· λέγει δ᾽ ὅτι οὐ μόνος αὐτὸς ψεύστης ἐστίν, ἀλλὰ
καὶ ὁ πατὴρ αὐτοῦ, ἰδίως »πατὴρ αὐτοῦ« ἐκλαμβάνων τὴν
15 φύσιν αὐτοῦ, ἐπείπερ ἐκ πλάνης καὶ ψεύσματος συνέστη.
ταῦτα δὲ ὅλα ῥύεται τὸν διάβολον παντὸς ψόγου καὶ ἐγκλή- 254
ματος καὶ μέμψεως· οὐδεὶς γὰρ εὐλόγως ἂν ψέξαι ἢ ἐγκαλέσαι
ἢ μέμψαιτο τῷ μὴ πεφυκότι πρὸς τὰ κρείττονα. ἀτυχὴς οὖν
μᾶλλον ἢ ψεκτὸς ὁ διάβολος κατὰ τὸν Ἡρακλέωνά ἐστιν. ἰστέον
20 μέντοι γε ὅτι ὥσπερ ὁ διάβολος ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν,
ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ, οὕτως καὶ οἱ ἐκ πατρὸς τοῦ
διαβόλου ὄντες ἐν τῇ ἀληθείᾳ οὐχ ἑστήκασιν, ὅτι ἀλήθεια οὐκ
ἔστιν ⟨ἐν⟩ αὐτοῖς. πάντες δὲ τοιοῦτοι οἱ ἔτι ποιοῦντες ἁμαρτίας, 255
κἂν λέγωσιν εἶναι Χριστοῦ· »Πᾶς γὰρ ὁ ποιῶν τὴν ἁμαρτίαν
25 »ἐκ τοῦ διαβόλου γεγέννηται«.

VIII, 44. *Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶν καὶ ὁ πατὴρ αὐτοῦ.*

XXIX. (23) *Προλαβόντες μὲν εἰς τὸ »Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ* 256
διαβόλου ἐστέ« ἐμνημονεύσαμεν τοῦ ῥητοῦ καὶ τὰ ὑποπεσόντα ἡμῖν
30 *εἰς αὐτὸ εἰρήκαμεν, ζητοῦντες τί τὸ ψεῦδος καὶ τὸν πατέρα αὐτοῦ·*
συνεξεταζέσθω δὲ καὶ τὰ λεχθησόμενα νῦν ἐκείνοις. πᾶν πνεῦμα 257
πονηρὸν καὶ ἀπατηλὸν νομίζω εἶναι ψεῦδος, καὶ ἕκαστον τούτων
ὅταν λαλῇ, ἐκ τῶν ἰδίων καὶ μηδαμῶς ἐκ τῶν τοῦ θεοῦ λαλεῖν·
τούτων δὲ ὁ ψεύστης πατήρ, ὁ διάβολος, ἐστίν· πόθεν δὲ ἐκινήθημεν 258

5 Joh. 8, 44. — 24 I Joh. 3, 8. — 28 Joh. 8, 44. — 29 Vgl. o. c. 22 ff. — 33 Vgl. Joh. 8, 44.

6 *οὐδὲ*] *οὔτε*, corr. We | 18 *μέμψαιτο*] *μέμψαιτε τὸ*, corr. V | 23 *ἐν*⟩ + V | 24 Die Form d. Citates auch sonst bei Orig. hom. in Jer. IX, 4 [70, 7 Kl.] u. ö. Griesbach, Symb. crit. II, p. 609 | 26 *λαλεῖ*] *λαλῇ*.

Digitized by Google

εἰς τὸ πᾶν χεῖρον πνεῦμα ψευδὲς εἰπεῖν νῦν παραθησόμεθα· γέγρα- 346
πται ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν ὡς ἄρα εἶπεν Μιχαίας κληθεὶς ὑπὸ
τοῦ Ἀχαὰβ εἰς τὸ προφητεῦσαι περὶ τοῦ πότερον αὐτῷ καθήκει
πορευθῆναι εἰς Ῥαμμὼθ Γαλαὰδ εἰς πόλεμον ἢ ἐπισχεῖν, τὸ »Εἶδον
»θεὸν Ἰσραὴλ καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ στρατεία τοῦ 5
»οὐρανοῦ ἱστήκει περὶ αὐτὸν ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων αὐτοῦ.
259 »καὶ εἶπεν· Τίς ἀπατήσει τὸν Ἀχαὰβ βασιλέα Ἰσραήλ, καὶ ἀναβήσεται
»καὶ πεσεῖται ἐν Ῥαμμὼθ Γαλαάδ; καὶ εἶπεν οὗτος ⟨οὕτως⟩ [ἐν σοί.] 347
»καὶ ἐξῆλθεν πνεῦμα καὶ ἔστη ἐνώπιον κυρίου καὶ εἶπεν· Ἐγὼ ἀπα-
260 »τήσω αὐτόν. καὶ εἶπεν πρὸς αὐτὸν κύριος· Ἐν τίνι; καὶ εἶπεν· 10
»Ἐξελεύσομαι καὶ ἔσομαι πνεῦμα ψευδὲς εἰς τὸ στόμα πάντων τῶν
261 »προφητῶν σου τούτων.« καὶ ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων
ὁ αὐτὸς Μιχαίας πρὸς τὸν Ἀχαὰβ φησι καὶ τὸν Ἰωσαφάτ· »Ἀκούσατε 255v
»λόγον κυρίου. εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ
»πᾶσα δύναμις τοῦ οὐρανοῦ ἱστήκει ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστε- 15
»ρῶν αὐτοῦ. καὶ εἶπεν κύριος· Τίς ἀπατήσει τὸν Ἀχαὰβ βασιλέα
»Ἰσραήλ, καὶ ἀναβήσεται καὶ πεσεῖται ἐν Ῥαμμὼθ Γαλαάδ; καὶ εἶπεν
»οὗτος οὕτως. καὶ ἐξῆλθεν πνεῦμα καὶ ἔστη ἐνώπιον κυρίου καὶ
»εἶπεν· Ἐγὼ ἀπατήσω αὐτόν. καὶ εἶπεν κύριος· Ἐν τίνι; καὶ εἶπεν·
»Ἐξελεύσομαι καὶ ἔσομαι πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν 20
262 »προφητῶν αὐτοῦ«. σαφῶς οὖν διὰ τούτων δηλοῦται ὅτι ⟨εἰ⟩ πνεῦ-
μά τί ἐστιν τὸ ψευδὲς πνεῦμα, πάντα ὅμοια εἴη ἂν ψευδῆ πνεύματα
⟨τὰ⟩ ἀπὸ τοῦ ψεύστου πατρὸς εἰληφότα τὸ εἶναι ψευδῆ πνεύματα, κατὰ
263 τὸ ψεῦδος καὶ τὴν κακίαν, καὶ οὐχ ὅτι τὸ κατ' οὐσίαν. τὸ μὲν οὖν
ἅγιον πνεῦμα ἢ ἀγγελικὸν πνεῦμα, ὅταν λαλῇ, οὐκ ἐκ τῶν ἰδίων 25
λαλεῖ, ἀλλὰ ἀπὸ τοῦ λόγου τῆς ἀληθείας καὶ τῆς σοφίας· ὅπερ δη-
λοῦται καὶ ἐν τῷ κατὰ Ἰωάννην, ἔνθα περὶ τοῦ παρακλήτου διδάσκει
264 καί φησιν· »Ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν«. τὸ μέντοι ψεῦδος
ὅταν λαλῇ, ἐκ τῶν ἰδίων λαλεῖ· ἐκ τῶν ἰδίων ἐλάλησεν καὶ τὸ ἐν τῇ τρίτῃ
265 τῶν Βασιλειῶν ψευδὲς πνεῦμα ἀπατῶν τὸν Ἀχαάβ. πλὴν παρατήρει ὅτι 30
⟨τὸ⟩ »ψεύστης« ὄνομα ὁμοίως τέτακται ἐπί τε τοῦ γεννήσαντος τὸ
ψεῦδος διαβόλου καὶ ἐπὶ τοῦ ἀνθρώπου· ἐνθάδε μὲν γὰρ ⟨οὐ⟩ περὶ τοῦ
ἀνθρώπου λέγεται τὸ »Ὅτι ψεύστης ἐστὶν καὶ ὁ πατὴρ αὐτοῦ«, ἐν
δὲ Ψαλμοῖς τὸ »Ἐγὼ δὲ εἶπον ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος

2 Vgl. I Kön. 22, 15. — 4 I Kön. 22, 19—22. — 12 II Chron. 18, 18—21. — 23 Vgl. Joh. 8, 44. — 28 Joh. 16, 14. — 30 Vgl. I Kön. 22, 19ff. — 33 Joh. 8, 44. — 34 Ps. 115, 2 (T).

4. **17** *γαλαάθ* | 5 *ἰσδραήλ* | 7 *ἀχααβ*, a^1 ü. d. Z. | 8 ⟨*οὕτως*⟩ + Hu | [*ἐν σοί*] sinnlos; ist wohl Rest von *οὕτως*. Der Text stimmt mit **A** | 11 *ψεῦδος*, corr. Br; *ψεύδους* V | 18 *καὶ* ü. d. Z. | 21 ⟨*εἰ*⟩ + Hu | 23 ⟨*τὰ*⟩ + We | 27 *διδάσκων*, corr. Br | 30 *ψεῦδος*, corr. V | *ἀχαὰμ* | 31 ⟨*τὸ*⟩ + V | 32 ⟨*οὐ*⟩ + We.

Digitized by Google

347R »ψεύστης«. ταῦτα δὲ παρεθέμεθα ἵνα πάσῃ δυνάμει φεύγωμεν τὸ 266
εἶναι ἄνθρωποι καὶ σπεύδωμεν γενέσθαι »θεοί«, ἐπείπερ ὅσον ἐσμὲν
ἄνθρωποι, ψεῦσται ἐσμέν, ὡς καὶ ὁ πατὴρ τοῦ ψεύδους ψεύστης
ἐστίν. ὅμοιον δέ ἐστιν τὸ μετέχειν ἡμᾶς ἑνὸς καὶ τοῦ αὐτοῦ ὀνό- 267
ματος καὶ τοῦ σημαινομένου ὑπὸ τοῦ ὀνόματος πράγματος· ἡμᾶς
λέγω, ἐὰν ἔτι μένωμεν ἄνθρωποι, καὶ τὸν διάβολον, ὃς ψεύστης
εἴρηται.

VIII, 45. Ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι.

XXX. (24) Εἰ μεμνήμεθα πρὸς τίνας ἐστὶν ὁ λόγος, οτι πρὸς 268
τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους, ἐπαγγελίαν λαμβάνοντας ὅτι ἐὰν
322H μένωσιν ἐν τῷ λόγῳ τοῦ Ἰησοῦ τότε ἀληθῶς αὐτοῦ εἰσι μαθηταὶ καὶ
γνώσονται τὴν ἀλήθειαν ἐλευθεροῦσαν αὐτούς, ἐπαπορήσομεν πῶς
τοῖς τοιούτοις φησίν· »Ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ
μοι«. καὶ ἐπίστησον εἰ δύναταί τις τῷ αὐτῷ κατά τινα μὲν ἐπίνοιαν 269
πιστεύειν, κατὰ δὲ ἑτέραν μὴ πιστεύειν· οἷον παραδείγματος ἕνεκεν,
οἱ πιστεύοντες μὲν εἰς τὸν ἐπὶ Ποντίου Πιλάτου Ἰησοῦν ἐσταυρωμέ-
νον ἐν τῇ Ἰουδαίᾳ, μὴ πιστεύοντες δὲ εἰς τὸν γεγεννημένον ἐκ Μαρίας
τῆς παρθένου, οὗτοι εἰς τὸν αὐτὸν πιστεύουσι καὶ οὐ πιστεύουσι.
καὶ πάλιν οἱ πιστεύοντες μὲν εἰς τὸν ποιήσαντα ἐν τῇ Ἰουδαίᾳ τὰ 270
ἀναγεγραμμένα τέρατα καὶ σημεῖα Ἰησοῦν, μὴ πιστεύοντες δὲ εἰς τὸν
υἱὸν τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰς τὸν ⟨αὐτὸν⟩
256r πιστεύουσι καὶ οὐ | πιστεύουσι. πάλιν τε αὖ οἱ πιστεύοντες μὲν εἰς 271
τὸν πατέρα Ἰησοῦ Χριστοῦ, μὴ πιστεύοντες δὲ εἰς τὸν δημιουργὸν
καὶ ποιητὴν τοῦδε ⟨τοῦ⟩ παντός, οὗτοι εἰς τὸν αὐτὸν πιστεύουσι
καὶ οὐ πιστεύουσιν. ἀλλὰ καὶ οἱ πιστεύοντες μὲν εἰς τὸν ποιητὴν 272
348R οὐρανοῦ καὶ γῆς, μὴ πιστεύοντες δὲ εἰς τὸν πατέρα Ἰησοῦ τοῦ ἐσταυ-
ρωμένου ἐπὶ Ποντίου Πιλάτου, εἰς τὸν θεὸν πιστεύουσιν καὶ οὐ
πιστεύουσιν. ἵν' οὖν μὴ παρὰ πόδας ἐναντίωμα ᾖ ὡς μὴ συνεωρακότος 273
τοῦ γράφοντος τὸ εὐαγγέλιον τὸ τοιοῦτον, φήσεις ὅτι ὁ λέγων πρὸς τοὺς
πεπιστευκότας αὐτῷ Ἰουδαίους τὸ »Ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω,
»οὐ πιστεύετέ μοι«, πιστεύουσιν κατά τινα ἐπίνοιαν καὶ καθ' ἑτέραν
μὴ πιστεύουσιν ταῦτα ἔφασκεν. καὶ εἰκὸς ὅτι ἐπίστευον μὲν αὐτῷ 274
κατὰ τὸ ὁρατὸν διὰ τὰ τεράστια, οὐκ ἐπίστευον δὲ τοῖς βαθύτερον
ὑπ' αὐτοῦ λεγομένοις· καὶ ἁρμόζει γε τῷ »Γνώσεσθε τὴν ἀλήθειαν«

2 Vgl. Ps. 81, 6. — **11** Vgl. Joh. 8, 31f. — **13** Joh. 8, 45. — **30** Joh. 8, 45. — **34** Joh. 8, 32.

6 ὃς] ὁ, corr. V | **10** λαμβάνοντος, corr. V | **20** Ἰησοῦν nicht mehr zu erkennen | **21** υἱὸν] ῑν̄ (ἰησοῦν), corr. B | ⟨αὐτὸν⟩ + Hu | **24** τοῦ + V.

Digitized by Google

λεγομένῳ μὴ ἐγνωκόσι τὴν ἀλήθειαν τὸ »Ὅτι τὴν ἀλήθειαν λέγω, οὐ »πιστεύετέ μοι«, ὡς εἰ ἔλεγεν· καθ' ὃ μὲν τεράστια ποιῶ πιστεύετέ
275 μοι, καθ' ὃ δὲ τὴν ἀλήθειαν λέγω οὐ πιστεύετέ μοι. τοῦτο δ' ἂν καὶ νῦν ἐπὶ πολλῶν ἴδοις, θαυμαζόντων μὲν τὸν Ἰησοῦν ἐπὰν ἐνορῶσιν τῇ περὶ αὐτοῦ ἱστορίᾳ, μηκέτι δὲ πιστευόντων ἐπὰν βαθύτερος
καὶ μείζων τῆς ἕξεως αὐτῶν αὐτοῖς ἀναπτύσσηται λόγος, ἀλλ' ὑποπτευόντων αὐτὸν εἶναι ψευδῆ. διόπερ προσέχωμεν μήποτε καὶ ἡμῖν εἴπῃ ὁ λόγος· »Ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι«.

VIII, 46. *Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;*

276 XXXI. (25) Ὁ λόγος. ἐπὰν τρανῶς αὐτοῦ παριστάνῃ τὸ βούλημα ὡς μηδαμῶς ἀντιλέγειν δύνασθαί τινα τῶν ἀκουόντων, καὶ ταῦτα ἂν λέγοι δυσωπῶν τοὺς μὴ συγκατατιθεμένους· ὅτι εἰ μὴ ἐλέγχετε τὰ λεγόμενα ἡμαρτημένα, ἀπαιτοῖσθε ἂν εὐλόγως ἤδη τὴν συγκατάθεσιν.
277 ἔχει δὲ καὶ κατὰ τὸ ῥητὸν παρρησίαν τοῦ σωτῆρος ἡ λέξις, μηδενὸς 323 H
μὲν ἀνθρώπου δυνηθέντος εἰπεῖν μετὰ πεποιθήσεως τῆς ἐπὶ τῷ μὴ ἡμαρτηκέναι τὸ »Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;« μόνου δὲ τοῦ κυρίου ἡμῶν, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, πεπειρασμένος »κατὰ πάντα »καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας«, ταῦτα πρὸς πάντας τοὺς πώποτε
278 ἐγνωκότας αὐτὸν εἰπεῖν δυναμένου. ἀκούω δὲ τοῦ »Τίς ἐξ ὑμῶν« λεγομένου οὐ πρὸς τοὺς παρόντας μόνον ἀλλὰ καὶ πρὸς ὅλον τὸ τῶν ἀνθρώπων γένος, ὡς εἰ οὕτως ἐσαφηνίζετο· τίς ἐκ τοῦ γένους ὑμῶν; ἢ τίς ὁποιοσδήποτε ἄνθρωπος ἐλέγξαι με δυνήσεται περὶ ἁμαρτίας;
279 ἀλλ' εὖ οἶδ' ὅτι οὐδείς. κατὰ τὸ δυνατὸν δὲ ἀνθρωπίνῃ φύσει διὰ τὸ »Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ« παντὶ τρόπῳ φιλοτιμητέον τοιαύτην ἀναλαβεῖν καθαροῦ συνειδότος παρρησίαν πρὸς πάντας ἀνθρώπους, ὥστ' ἂν εἰπεῖν ἡμᾶς περὶ τῶν ἑξῆς καὶ μετὰ 349 R
τὴν ἀρχὴν τῆς πίστεως χρόνων πρὸς ἕκαστον τῶν ἡμᾶς γινωσκόντων 256 v
τὸ »Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;« εἰ καὶ μὴ δυνατὸν τοῦτο ἐξ οὗ τὸν λόγον συμπεπληρώκαμεν εἰπεῖν.
280 Τοῦτο δὲ οὐ πρὸς ἀνθρώπους μόνον ἂν εἶπεν ὁ σωτὴρ ἀλλὰ καὶ πρὸς τὸν διάβολον καὶ τὰς ὑπ' αὐτὸν δυνάμεις, μηδὲν ἐχούσας εἰπεῖν
281 εἰς ἔλεγχον τὸν περὶ ἁμαρτίας αὐτοῦ. καὶ τοῦτό γε ἀκόλουθόν ἐστιν τῷ »Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρίσκει οὐδέν«.

1 Joh. 8, 45. — **8** Joh. 8, 45. — **16** Joh. 8, 46. — **17** Vgl. I Petr. 2, 22 Hebr. 4, 15. — **19** Joh. 8, 46. — **24** I Kor. 11, 1. — **28** Joh. 8, 46. — **33** Joh. 14, 30.

13 *ἀπαιτεῖσθε*, corr. We | **16** *μόνου δὲ*] *μὲν οὐδὲ*, corr. Hu | **27** *χρόνῳ*, corr. We | **30** *εἶποι*? We | **33** Die Form des Citates auch sonst bei Orig ähnlich: *τοίτον* mit ς zugesetzt; *εὑρίσκει* stimmt ziemlich mit K. f. Syr. Hcl. marg. Arm. Aeth., die *εὑρήσει* bieten.

Digitized by Google

δυνατὸν δὲ καὶ ἡμῖν ἐκ πολλῆς ἐπιμελείας τὴν ἀπό τινος ἀναλαβεῖν 282
χρόνου παρρησίαν πρὸς τὸ εἰπεῖν ἡμᾶς τῷ ζητοῦντι καθ' ἡμῶν
ἀφορμὴν. διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ παρὰ τὸν τῆς ἐξόδου
καιρόν· »Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;«

VIII, 46. *Εἰ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι;*

XXXII. (26) Ἄξιον ἰδεῖν τί ὑποφαίνεται ἐκ τοῦ πύσματος. τοῦτο 283
δὲ ὀφόμεθα εἰ καὶ ἐκεῖνοι πρὸς οὓς ὁ λόγος οὐκ ἀπεκρίναντο τὴν
δέουσαν ἀπόκρισιν ἐξενεγκόντες. εἴποι γὰρ ἄν τις· διὰ τοῦτο οὐ 284
πιστεύομεν, ἐπεὶ οὐ θεωροῦμεν τίνα τρόπον ὃ λέγει ἐστὶν ἀλήθεια·
οὐ θεωροῦμεν δὲ τῷ μηδέπω κεκαθάρθαι ἡμῶν τὰς τῇ φύσει διο-
ρατικὰς τῆς ἀληθείας ὄψεις· καὶ ἐπεὶ τοιοῦτοί ἐσμεν, οὐκ ἐσμεν ἐκ
τοῦ θεοῦ· εἰ οὐδέπω ἐσμὲν ἐκ τοῦ θεοῦ, ἀλλὰ καὶ αἱ τῆς ἀληθείας
ὄψεις θεωρητικαὶ οὐκ εἰσὶν κεκαθαρμέναι, τῷ ἐπικεκαλύφθαι ἢ πε-
παχύνθαι ἢ τεθολῶσθαι αὐτὰς ὑπὸ τῆς κακίας. κατανοοῦντες δὲ τί 285
τὸ κυρίως πιστεύειν καθ' ὃ »Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ὁ χριστός
»ἐστιν, ἐκ τοῦ θεοῦ γεγέννηται«, καὶ αἰσθανόμενοι ὅσῳ τοῦ οὕτως
324 H πιστεύειν ἀπολειπόμεθα, ταῦτα ἀποκρινώμεθα, παρακαλοῦντες τὸν
τῶν τῆς ψυχῆς ὄψεων ἰατρὸν τῇ ἑαυτοῦ σοφίᾳ καὶ φιλανθρωπίᾳ
πάντα ποιῆσαι τὰ ὑπὲρ τοῦ ἀποκαλυφθῆναι τοὺς ὀφθαλμοὺς ἡμῶν,
ἔτι κεκαλυμμένους ὑπὸ τῆς διὰ τὴν κακίαν ἀτιμίας ἡμῶν, κατὰ τὸ
εἰρημένον που· »Ἐπεκάλυψεν ἡμᾶς ἡ ἀτιμία ἡμῶν«· ἐπακούσεται γὰρ
ἡμῶν ὁμολογούντων τὰ αἴτια τοῦ μηδέπω ἡμᾶς πιστεύειν, καὶ ὡς
κακῶς ἔχουσιν καὶ χρῄζουσιν ἰατροῦ βοηθῶν συνεργήσει πρὸς τὸ
χωρῆσαι ἡμᾶς τὸ εἰς τὸ πιστεύειν χάρισμα, τρίτον παρὰ τῷ Παύλῳ
ἐν τῷ καταλόγῳ τῶν χαρισμάτων τεταγμένον μετὰ τὸν τῆς σοφίας
λόγον καὶ τὸν τῆς συνέσεως λόγον, οἷς ἐπιφέρει· »Ἑτέρῳ πίστις ἐν
»τῷ αὐτῷ πνεύματι«· περὶ οὗ χαρίσματος καὶ ἐν ἄλλοις φησίν· »Ὅτι
»ἀπὸ θεοῦ ὑμῖν ἐχαρίσθη οὐ μόνον τὸ εἰς Χριστὸν πιστεύειν ἀλλὰ
»καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν«. καὶ ἀπὸ τῆς ἐνεργείας δὲ ἐπιστήσαντι 286
350 R σαφὲς ἔσται ὅτι οὐχ ἡ τυχοῦσα δωρεά ἐστιν τοῦ θεοῦ, πλειόνων δογ-
μάτων διαφόρων ὑπὸ πολλῶν κηρυσσομένων τῶν διδάσκειν τὰ ἀληθῆ
ἐπαγγελλομένων, τὸ μηδενὶ ἢ μόνῳ τῷ ἀληθεῖ πιστεῦσαι· τοῦτο
257 r γὰρ | ἤδη καὶ δοκίμου τραπεζίτου ἔργον τυγχάνει, ὃν τέλειον ὀνο-
μάζων οὐκ ἂν ἁμάρτοις, ἅτε καὶ ἐν τῇ πρὸς Ἑβραίους γεγραμμένου

4 Joh. 8, 46. — **15** I Joh. 5, 1. — **18** Vgl. Prov. 14, 30. — **21** Jer. 3, 25. **23** Vgl. Matth. 9, 12. — **26** I Kor. 12, 9. — **27** Phil. 1, 29. — **33** Vgl. o. XIX, 7 S. 307, 5. Preuschen, Antilegomena S. 44, 33 ff.

9 ἀλήθειαν, corr. V | **10** κεκαθάρται | **12** εἰ (δὲ ? We | **14** δή? We, der hier den Nachsatz anfangen l. möchte | **25** τεταγμένων, corr. V | **30** ἔσεσθαι, corr. Hu | δομάτων? We.

Digitized by Google

τοῦ »Τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθη-»τήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ«.

VIII, 47. *Ὁ ὢν ἐκ τοῦ θεοῦ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ.*

287 XXXIII. (27) *Δοκοῦσιν οἱ τὴν περὶ διαφόρων φύσεων εἰσάγοντες μυθοποιΐαν καὶ λέγοντες εἶναι φύσει καὶ ἐκ πρώτης κατασκευῆς υἱοὺς θεοῦ, μόνον διὰ τὸ πρὸς θεὸν συγγενὲς δεκτικοὺς τῶν τοῦ θεοῦ*
288 *ῥημάτων, καὶ ἐντεῦθεν ἀποδεικνύναι τὸ προκείμενον αὐτοῖς. συναρπάζουσίν γέ τοι καὶ ἀπὸ τούτου τοῦ ῥητοῦ, προσδιατρίβοντες αὐτῷ, τοὺς ἀκρίτους καὶ μὴ δυναμένους πρὸς τὴν πιθανότητα τῆς χρήσεως τοῦ ῥητοῦ ἁπαντᾶν, μηδὲ βλέποντας αὐτοῦ τὴν λύσιν οὕτως ἔχουσαν· εἴπερ ὅσοι ἔλαβον »τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον »ἐρχόμενον εἰς τὸν κόσμον«, οὐ τῷ εἶναι [καὶ] ἐκ τοῦ θεοῦ εἰλήφασιν αὐτό (εἰ γὰρ τῷ εἶναι ἐκ τοῦ θεοῦ εἰλήφεισαν αὐτό, οὐκ ἂν περὶ αὐτῶν ἀναγέγραπτο· »Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα »θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ«), δῆλον ὅτι οἱ μὴ ὄντες ἐκ τοῦ θεοῦ, πρὶν μὲν λαβεῖν τὸ ⟨φῶς τὸ⟩ ἀληθινόν, οὐδὲ ἐξουσίαν πως ἔχουσιν τοῦ τέκνα θεοῦ γενέσθαι· ἐπὰν δὲ λάβωσιν αὐτό, τέκνα μὲν οὐδέπω γίνονται θεοῦ, ἀλλ' ἐξουσίαν λαμβάνουσιν διὰ τοῦ εἰληφέναι τὸ φῶς γενέσθαι τέκνα θεοῦ. τότε γενόμενοι ἐκ τοῦ θεοῦ* 325H
καὶ τὰ ῥήματα ἀκούουσιν αὐτοῦ, οὐκέτι ἁπλούστερον πιστεύοντες μόνον ἀλλ' ἤδη καὶ διορατικώτερον κατανοοῦντες τὰ τῆς θεοσεβείας
289 *πράγματα. οἱ ⟨δὲ⟩ μὴ τοιοῦτοι φιλοτιμησάμενοι εἶναι τέκνα μὲν οὐ γίνονται θεοῦ, οὐδὲ ἐκ τοῦ θεοῦ, καὶ διὰ τοῦτο οὐκ ἀκούουσιν τὰ ῥήματα αὐτοῦ οὐδὲ συνιᾶσιν τοῦ βουλήματος αὐτῶν· μένουσιν δὲ ἐν τῇ πρὸ τῶν τέκνων τοῦ θεοῦ καταστάσει τῶν πεπιστευκότων μόνον. δοῦλοι θεοῦ τῷ εἰληφέναι τὸ τῆς δουλείας εἰς φόβον πνεῦμα καὶ μὴ ἐσπουδακέναι προβῆναι καὶ προκόψαι ὥστε καὶ τὸ τῆς υἱοθεσίας*
290 *χωρῆσαι, ἐν ᾧ κράζουσιν οἱ ἔχοντες αὐτό· »Ἀββᾶ, ὁ πατήρ«. ὅτι γὰρ καθόλου οὐδεὶς ἀνθρώπων ἀρχῆθεν υἱός ἐστιν θεοῦ, δῆλον μὲν καὶ ἐκ τοῦ »Ἤμεθα τέκνα φύσει ὀργῆς« [ὑπὸ] Παύλου καὶ περὶ* 351R
ἑαυτοῦ τοῦτο εἰρηκότος· σαφὲς δὲ καὶ ἐκ τοῦ »Ἐγὼ δὲ λέγω ὑμῖν· Ἀγαπή-»σατε τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόντων

1 Hebr. 5, 14. — **12** Vgl. Joh. 1, 9. — **15** Joh. 1, 12. — **27** Vgl. Röm. 8, 15. **29** Röm. 8, 15. — **31** Eph. 2, 3. — **32** Matth. 5, 44 f.

1 *στερεάν*, corr. V | **6** *υἱοὺς*] *υἱὸς*, compend. geschrieben M | **13** *εἰληφόσιν*, corr. Aussg. | **14** *εἰλήφεσαν* | **17** ⟨*φῶς τὸ* + We | **23** ⟨*δὲ*⟩ + We | *οἱ*] *εἰ*, corr. V | **26** *καταστaθεῖ*, corr. V | **31** Zum Citat vgl. z. S. 395, 35 | [*ὑπὸ*] str. We.

Digitized by Google

»ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς«. εἰ 291
γὰρ Παῦλος »φύσει ὀργῆς υἱός«, τίς ὑπὲρ Παῦλον, ὅσον ἐπὶ τῇ κατασκευῇ, οὐκ ὀργῆς υἱὸς πρὸ τοῦ λαβεῖν ἐξουσίαν τέκνον θεοῦ γενέσθαι καὶ πρὸ τοῦ τέκνον γενέσθαι θεοῦ; καὶ εἰ οὐκ ἄλλως γίνε- 292
ταί τις υἱὸς τοῦ ἐν οὐρανοῖς πατρὸς ἢ ἐκ τοῦ ἀγαπᾶν τοὺς ἐχθροὺς
257v ἑαυτοῦ | καὶ προσεύχεσθαι ὑπὲρ τῶν διωκόντων αὐτόν, δῆλον ὅτι οὐδεὶς τῷ φύσει εἶναι ἐκ τοῦ θεοῦ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει, ἀλλὰ τῷ λαβεῖν ἐξουσίαν τέκνον θεοῦ γενέσθαι καὶ κεχρῆσθαι εἰς δέον τῇ ἐξουσίᾳ, καὶ τῷ ἠγαπηκέναι τοὺς ἐχθροὺς καὶ προσεύχεσθαι ὑπὲρ
τῶν ἐπηρεαζόντων γενόμενος υἱὸς τοῦ ἐν οὐρανοῖς πατρός. τότε 293
ἐστὶ καὶ ἐκ τοῦ θεοῦ, καὶ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει, συνιεὶς αὐτῶν καὶ ἐπιστήμην αὐτῶν ἀναλαμβάνων· ὅπερ ἴδιον οὐ δούλων ἀλλὰ τέκνων ἐστὶν θεοῦ, τῶν πᾶσαν μὲν καταργησάντων * * γένεσιν, τὴν δὲ ἀπὸ θεοῦ ἀνειληφότων διὰ »τοῦ τῆς υἱοθεσίας πνεύματος«.
ἅμα δὲ ἐπιμελέστερον κατανοητέον πῶς δεῖ δέχεσθαι τὸ »Τὰ ῥήματα 294
»τοῦ θεοῦ ἀκούει«, ᾧ ὅμοιόν ἐστιν καὶ τὸ »Τὰ ἐμὰ πρόβατα τῆς »ἐμῆς φωνῆς ἀκούουσι«. εἰ γὰρ ἐπὶ ψιλῆς συγκαταθέσεως τὸ ἀκούειν 295
λάβοιμεν, καὶ οἱ ψυχικοὶ πρὸς χρόνον πιστεύοντες ἔσονται ἐκ τοῦ θεοῦ, μεμαρτυρημένοι ὑπὸ τοῦ λόγου ὅτι πρὸς καιρόν τινες πι-
στεύουσιν. εἰ δὲ καὶ τὸ »Ἀκούει« ἐκλάβοιμεν ἐπὶ τοῦ τηρεῖν τὰς 296
ἐντολάς, δῆλον ὅτι κἂν ἐν ἑνὶ ἁμαρτάνων οὐκ ἔσται υἱὸς θεοῦ· ὅπερ ἡμᾶς μὲν οὐ θλίψει τοὺς λέγοντας ἐκ μεταβολῆς γίνεσθαί τινα
326H υἱὸν θεοῦ, ἐκείνους δέ, μὴ πάνυ δεῖξαι δυναμένους ἀναμαρτήτους ἑαυτοὺς καὶ τοὺς ἐν τοῖς αὐτοῖς μαθήμασι. εἰ δὲ τὸ »Ἀκούει« λαμ- 297
βάνοιμεν ἐπὶ τοῦ συνιέναι καὶ νοεῖν, δεικνύτωσάν τινα πάντων ἀκούοντα οὕτως τῶν τῆς καινῆς διαθήκης λόγων, ἵνα ἐκεῖνον εἴπωμεν υἱὸν θεοῦ, εἰ μὴ ἐπιδέχοιτο ἀνατροπὴν εἰς τὰ ἅγια γράμματα ἡ ἐκδοχὴ αὐτοῦ· ἡμεῖς γὰρ καὶ κατὰ ταῦτα μέγαν τινὰ καὶ θαυμαστὸν εἶναι φανταζόμενοι τὸν ἤδη υἱὸν θεοῦ, οὐκ ἐλεγχθησόμεθα
ἀναξίως τῶν ἐκ τοῦ θεοῦ ἐξειληφότες τὸ »Ὃ ὢν ἐκ τοῦ θεοῦ τὰ »ῥήματα τοῦ θεοῦ ἀκούει«.

XXXIV. Ἤδη δὲ καὶ ἐκ τῶν ἐναντίων παράδοξον ἄν τι φανὲν 298
ἀποδειχθῆναι δυνατὸν ἔσται. τί δὲ τὸ παράδοξον ἢ τὸ εἶναί τινα ἑτέρου υἱοῦ θεοῦ μᾶλλον υἱὸν θεοῦ, καὶ διπλασιόνως ἕτερον ἑτέρου

2 Vgl. Eph. 2, 3. — 3 Vgl. Joh. 1, 12. — 5 Vgl. Matth. 5, 44f. — 9 Vgl. Luk. 6, 28. — 12 Vgl. Röm. 8, 15. — 15 Joh. 8, 47. — 16 Joh. 10, 27. — 19 Vgl. Luk. 8. 13. — 21 Vgl. I Joh. 2, 3; Jak. 2, 10. — 24 Joh. 8, 47. — 30 Joh. 8, 47.

8 *λαβῶν*, corr. V | 13 *⟨τὴν ἐκ διαβόλου⟩ γένεσιν* We; vgl. Br | 16 *πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου* T | 17 *ἀκούει* V, vgl. Z. 20 | 26 *κενῆς* | *ἵνα ἐκεῖνον*] *εἶναι κείμενον* M, corr. Hu | 34 *διπλάσιον ὡς*, corr. Pr.

Digitized by Google

299 εἶναι υἱὸν θεοῦ; πῶς δὲ τοῦτο ἀπὸ τοῦ ἐναντίου δείκνυται οὕτω 352 R
παραστήσομεν· ἐν τῷ κατὰ Ματθαῖον ὁ πρὸς τοὺς γραμματεῖς καὶ
Φαρισαίους δεύτερος ταλαντισμὸς οὕτως ἔχει· »Οὐαὶ ὑμῖν, γραμματεῖς
»καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν
»ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέν-
300 »νης διπλότερον ὑμῶν«. οὐκοῦν κατὰ τοῦτο οὔτε φύσει υἱοὶ γεέννης
εἰσίν τινες, οὔτε ἐπ' ἴσης οἱ τῆς γεέννης υἱοὶ υἱοί εἰσιν αὐτῆς. εἴγε
301 ἕτερος ἑτέρου διπλότερος υἱός ἐστιν αὐτῆς. εἰ δὲ ἕτερος ἑτέρου
διπλότερός ἐστιν υἱὸς τῆς γεέννης, διὰ τί οὐχὶ καὶ τῆς ἀπωλείας καὶ
τοῦ θανάτου καὶ τοῦ σκότου καὶ τῶν λοιπῶν, | ὧν οἱ διαφόρως 258 r
302 ἁμαρτάνοντες εἰσιν υἱοί; εἰ δὲ ἐπὶ τούτων, διὰ τί καὶ οὐχὶ υἱοὶ
φωτὸς διπλότεροι ἕτεροι ἑτέρων ἔσονται καὶ υἱοὶ ζωῆς καὶ υἱοὶ
303 σοφίας, οὕτω δὲ υἱοὶ θεοῦ; εἰ δὲ διπλασιόνως ἕτερος παρ' ἕτερον
υἱὸς γίνεται θεοῦ, διὰ τί οὐχὶ καὶ πολλαπλασιόνως καὶ τοσαυταπλα-
σιόνως ὁποσαπλασιόνως ἄξιον νοεῖν εἶναι τὸν πρωτότοκον πάσης
κτίσεως υἱὸν τοῦ θεοῦ παρὰ τοὺς λοιποὺς υἱοὺς τοῦ θεοῦ καὶ τοὺς
μηκέτι πνεῦμα δουλείας ἔχοντας εἰς φόβον, ἀλλ' εἰληφότας πνεῦμα
304 υἱοθεσίας; τάχα οὖν οὕτως πλειόνων ὄντων τῶν ῥημάτων τοῦ θεοῦ,
οὐ μόνον τῶν ἀναγεγραμμένων ἀλλὰ καὶ τῶν ἀρρήτων, ἃ οὐκ ἐξὸν
ἀνθρώπῳ λαλῆσαι, καὶ τούτων περὶ ὧν φησὶν ὁ Ἰωάννης· »Οὐδ'
»αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία«· πᾶς μὲν
οἱωντινωνοῦν ῥημάτων ἀκούων τοῦ θεοῦ ἤδη ἐστὶν ἐκ τοῦ θεοῦ·
ὅσῳ δὲ πλειόνων ἀκούει ῥημάτων τοῦ θεοῦ, τοσαυταπλειόνως γενήσεται
ἐκ τοῦ θεοῦ· ὡς, εἰ δεῖ οὕτως ὀνομάσαι, πάντων ἀκούσας τις τῶν
ῥημάτων τοῦ θεοῦ, ἐάν γε τοῦτο φθάνῃ ἐπί τινα τῶν λαμβανόντων
τὸ τῆς υἱοθεσίας πνεῦμα, τελείως καὶ ἀνυπερβλήτως γίνεται υἱὸς
305 θεοῦ, καὶ πάντη καὶ ἐξ ὅλων καὶ ὅλος ἐκ τοῦ θεοῦ. εὐγνωμονέστε- 327 H
ρον δὲ ἀκουστέον τοῦ »ἐξ ὅλων καὶ ὅλος«, ἀνάλογον ὅλοις τοῖς δόγ-
μασι καὶ πάσῃ τῇ γνώσει καὶ πᾶσι τοῖς μυστηρίοις, ὥστ' ἂν εἰπεῖν
ὅλον καὶ ἐξ ὅλων γεγονέναι ἐκ τοῦ θεοῦ τὸν εἰδότα πάντα τὰ μυ-
στήρια καὶ πᾶσαν τὴν γνῶσιν, καὶ μετὰ τούτων τὰ τῆς τελείας
306 ἀγάπης κατορθώκοτα. ὅρα δὲ εἰ δυνατὸν ἀκολούθως τῷ »Ἐκ μέρους
»γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν« εἰπεῖν ἂν τὸν τοιοῦτον·
»καὶ ἐκ μέρους ἐσμὲν υἱοὶ τοῦ θεοῦ« καὶ πάλιν· »ὅταν ἔλθῃ τὸ τέλειον,
»καὶ τὸ ἐκ μέρους καταργηθῇ«, [καὶ] τὸ τέλειον τοῦ γενέσθαι υἱὸς

3 Matth. 23, 15. — 15 Vgl. Kol. 1, 15. — 17 Vgl. Röm. 8, 15. — 19 Vgl. II Kor. 12, 4. — 20 Joh. 21, 25. — 24 Vgl. Joh. 8, 47. — 26 Vgl. Röm. 8, 15. — 29 Vgl. I Kor. 13, 2. — 30 Vgl. I Kor. 13, 2. — 32 I Kor. 13, 9. — 34 I Kor. 13, 10.

8 διπλότερον, corr. V; vgl. Z. 9 | 13 δὲ] + καὶ ? We | διπλάσιον ὡς, corr. We | 14 πολυπλασιόνως, corr. V | τοσαυταπλασιόνως] οσα a. Ras. | 23 γένηται, corr. We | 32 δύναται, corr. We.

Digitized by Google

θεοῦ ἐλεύσεται, καταργοῦν τὸ ἐκ μέρους γεγονέναι υἱόν τινα τοῦ 307
θεοῦ· μὴ ἀζήτητον δὲ ἐάσθω καὶ τὸ περὶ τοῦ πότερόν ποτε δυνατὸν
ἐκ μέρους μὲν εἶναι υἱὸν τῆς διαφερούσης μερίδος τῆς περὶ τὰ θεῖα,
353R ἐκ μέρους δὲ τῆς ἐναντίας, ἢ τοῦτο ἀμήχανον οὕτως ἔχειν· ᾧ συνεξε-
5 τάσεις πῶς λέγονται υἱοὶ πολλοὶ ἑνὸς πατρός, πότερον διὰ τοὺς
προγόνους καὶ τοὺς ἐξ ἐκείνων, ἢ κατὰ ταύτην τὴν ὑπόνοιαν. λα- 308
βόντες οὖν. ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, πάντα πράττωμεν ἵνα
γενώμεθα ἐκ τοῦ θεοῦ καὶ τὰ ῥήματα αὐτοῦ ἀκούσωμεν, καὶ προκόπτω-
μεν κἂν τῷ εἶναι ἐκ τοῦ θεοῦ, ἵνα προκόπτωμεν καὶ ἐν τῷ ἀκούειν
10 ῥημάτων τοῦ θεοῦ, πλείονα ἐκ τούτων ἀεὶ τρανοῦντες. ἕως πάντα
258V χωρήσωμεν τὰ ῥήματα τοῦ θεοῦ. ἢ ὅσα γε ἐνδέχεται χωρῆσαι καὶ νῦν
καὶ μετὰ ταῦτα τοὺς ἀξιουμένους τοῦ τῆς υἱοθεσίας πνεύματος. 309
ὁσάκις δὲ ῥημάτων λεγομένων τοῦ θεοῦ οὐκ ἀκούομεν, τοῦτ' ἔστιν
οὐ συνίεμεν αὐτῶν, τοσαυτάκις νομιστέον ἐλέγχεσθαι ὡς οὐκ ὄντας
15 ἐκ τοῦ θεοῦ. διὰ τοῦτο γὰρ οὐκ ἀκούει ὁ μὴ ἀκούων ῥημάτων θεοῦ,
ἐπείπερ ἐκ τοῦ θεοῦ οὐκ ἔστιν, καὶ ἐκ τοῦ θεοῦ οὐκ ἔστιν παρ'
ἑαυτόν· καίτοι γε ἔσθ' ὅτε λαβὼν ἤδη ἐξουσίαν τέκνον θεοῦ γενέσ-
θαι, καὶ δυνάμενος ἐκ τοῦ ἀγαπᾶν τοὺς ἐχθροὺς καὶ προσεύχεσθαι
ὑπὲρ τῶν ἐπηρεαζόντων γενέσθαι υἱὸς τοῦ ἐν οὐρανοῖς πατρός.

20 **VIII, 48.** *Ἀπεκρίθησαν οἱ Ἰουδαῖοι καὶ εἶπαν αὐτῷ· Οὐ*
καλῶς λέγομεν ἡμεῖς ὅτι Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις;

XXXV. (28) Εἰκὸς ὅτι ταῦτα πολλάκις κατὰ τὸ σιωπώμενον 310
πρὸς ἀλλήλους ἔλεγον περὶ τοῦ σωτῆρός τινες, Σαμαρείτην μὲν αὐ-
τὸν ὀνομάζοντες ὡς παραχαράσσοντα ⟨τὰ⟩ Ἰουδαϊκὰ παραπλησίως τοῖς
25 Σαμαρείταις· »Οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις«, ἐν πολλοῖς
διαφωνοῦντες δόγμασιν παρ' ἐκείνους. ἄξιον δὲ ἔστιν ζητῆσαι πῶς 311
Σαμαρειτῶν τὸν μέλλοντα αἰῶνα ἀρνουμένων καὶ μηδὲ τὴν τῆς
328H ψυχῆς ἐπιδιαμονὴν προσιεμένων, τὸν σωτῆρα ⟨Σαμαρείτην⟩ ἐτόλμη-
σαν εἰπεῖν, περὶ ἀναστάσεως καὶ κρίσεως πλεῖστα ὅσα διδάξαντα.
30 ἀλλὰ μήποτε ὡς λοιδοροῦντες αὐτὸν τοῦτο λέγουσιν καὶ οὐ πάντως 312
τὰ αὐτὰ ἐκείνοις δογματίζοντα. εἰκὸς δὲ ὅτι τινὲς καὶ ᾠοντο αὐτὸν
μὴ ἀπὸ διαθέσεως τὰ περὶ μέλλοντος αἰῶνος καὶ τὰ περὶ κρίσεως
καὶ ἀναστάσεως διδάσκειν, διακείμενον μὲν Σαμαρειτικῶς, ὡς μηδε-
νὸς μετὰ τὸν βίον ἀποκειμένου τοῖς ἀνθρώποις, προσποιήσεως δὲ
ἕνεκεν κατὰ τὸ ἔνδοξον καὶ ἀρέσκον τοῖς Ἰουδαίοις τὰ περὶ ἀναστά-

7 Vgl. Joh. 1, 12. — **8** Vgl. Joh. 8, 47. — **12** Vgl. Röm. 8, 15. — **17** Vgl. Joh. 1, 12. — **18** Vgl. Matth. 5, 44 f. Luk. 6, 28. — **25** Joh. 4, 9. — **28** Vgl. Joh. 8, 48.

9 κἂν] καὶ, corr. We | **21** σαμαρείτης, ης a. Ras. | **24** ⟨τὰ⟩ + We | **26** ἐκείνους] ους a. Ras. **28** ⟨Σαμαρείτην⟩ + V (nach 29 διδάξαντα) **33** βίον ⟨τοῦτον ἑτέρου βίου⟩? We.

Digitized by Google

313 σεως καὶ τῆς αἰωνίου ζωῆς προφερόμενον· καὶ δαιμόνιον δὲ ἔχειν
ἔλεγον αὐτὸν διὰ τοὺς ὑπὲρ ἄνθρωπον αὐτοῦ λόγους, δι' ὧν πατέρα 354 R
ἴδιον ἔλεγεν τὸν θεόν, καὶ ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι, καὶ αὐτὸς
εἶναι ὁ τῆς ζωῆς ἄρτος πολλῷ κρείττων τοῦ μάννα, ὡς τὸν φα-
γόντα τοῦτον τὸν ἄρτον ζήσεσθαι εἰς τὸν αἰῶνα, καὶ ἄλλα μυρία 5
314 ὧν πεπλήρωται τὰ εὐαγγέλια. δύναται δὲ καὶ διὰ τὴν περὶ τὸν
Βεελζεβοὺλ ὑπόνοιαν αὐτῶν εἰρῆσθαι· »Σὺ δαιμόνιον ἔχεις«, ἐπεί-
περ τινὲς »ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων« ἐνόμιζον αὐ-
τὸν »ἐκβάλλειν τὰ δαιμόνια«, οἱονεὶ ἔχοντα ἐν ἑαυτῷ τὸν Βεελζε-
315 βούλ. οἱ μὲν οὖν ἐχθροὶ εἴσονταί τι λέγοντες αὐτὸν δαιμόνιον ἔχειν· 10
ἡμεῖς δὲ αὐτῷ πειθόμεθα φάσκοντι· »Ἐγὼ δαιμόνιον οὐκ ἔχω«· οὐδὲ
γὰρ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοῖξαι ἢ ταῦτα τὰ ση-
μεῖα ποιεῖν ἃ καὶ ἀναγέγραπται, ὧν καὶ ἴχνη καὶ λείμματα ἐν ταῖς
316 ἐκκλησίαις ὀνόματι Ἰησοῦ μέχρι νῦν γίνεται. μετὰ ταῦτα ζητήσαι
τις ἂν τί δήποτε δύο δυσφημίας αὐτῷ προσαψάντων, τήν τε »Σα- 15
»μαρείτης εἶ συ« καὶ | τὴν »Δαιμόνιον ἔχεις« τῶν ἀποκριθέντων αὐτῷ 259 r
Ἰουδαίων, οὐκ ἐκείνων τῶν πεπιστευκότων αὐτῷ, οὐχὶ πρὸς τὰς δύο
ἀποκρίνεται, ἀλλὰ πρὸς μόνην τὴν »Δαιμόνιον ἔχεις« εἰπών· »Ἐγὼ
»δαιμόνιον οὐκ ἔχω«.

317 Καὶ ὅρα εἰ δύναται πρὸς τοῦτο γενέσθαι τὸ τῆς ἐν τῷ κατὰ 20
Λουκᾶν εὐαγγελίῳ παραβολῆς περὶ τοῦ ἀπὸ Ἱερουσαλὴμ εἰς Ἰεριχὼ
καταβαίνοντος καὶ ἐμπεσόντος εἰς τοὺς λῃστάς, ὄντινα ὁ μὲν ἱερεὺς
ἀντιπαρῆλθεν καὶ ὁ Λευίτης, ὁ δὲ ὁδεύων Σαμαρείτης ἐλθὼν κατ'
αὐτὸν καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη καὶ προσελθὼν κατέδησεν
318 τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον. ἐὰν γὰρ δυνηθῇ τις 25
διαλαμβάνων περὶ τῆς παραβολῆς δεῖξαι ἐπὶ μηδένα ἢ ἐπὶ τὸν
σωτῆρα ἀναφέρεσθαι τὰ περὶ τοῦ Σαμαρείτου, ὃς τὸν ἡμιθανῆ καὶ
ἐμπεσόντα εἰς τοὺς λῃστὰς ἰάσατο, παραστήσει καὶ διὰ τί οὐκ ἠρνή-
319 σατο εἶναι Σαμαρείτης. ἄλλος δὲ δὴ τὴν παρὰ Παύλῳ διαφορὰν
Ἰουδαίων καὶ τῶν ὑπὸ νόμον θεωρήσας, καὶ ἀναγαγὼν τοὺς ὑπὸ 329 H
νόμον εἰς τοὺς Σαμαρείτας, καὶ μᾶλλον Παύλου καταλαβὼν τὸν σω-
τῆρα τοῖς πᾶσιν πάντα γενόμενον ἵνα τοὺς πάντας κερδήσῃ, ἐρεῖ
διὰ τὸ τοῖς ὑπὸ νόμον αὐτὸν γεγονέναι ὡς ὑπὸ νόμον, οἱονεὶ καὶ
Σαμαρείτην γεγονέναι, καὶ κατὰ τοῦτο μὴ ἠρνῆσθαι τὸ εἶναι Σαμα-
320 ρείτης. καὶ τρίτος δέ τις τὴν ἑρμηνείαν τοῦ Σαμαρείτου ἐκλαβών. 35

2 Vgl. Joh. 5, 18. — **3** Vgl. Joh. 6, 32ff. — **7** Joh. 8, 48. — **8** Vgl. Luk. 11, 15. — **11** Joh. 8, 49. — **12** Vgl. Joh. 10, 21. — **15** Joh. 8, 48. — **21** Vgl. Luk. 10, 30ff. — **29** Vgl. I Kor. 9, 20ff. — **35** Vgl. Lagarde, Onom. s. p. 66, 3: Samaritae: custodes.

1 *προφερομενο* | **10** *εἴσονται*] *ψεύσονται*? We | **20** *δύναται*] + ⟨*χρήσμον*⟩ We **29** *δὴ*] *διὰ*, corr. We | **30** *τῶν*] *τοῦ*, corr. We | **32** *γενάμενον*, corr. V | *αἰρετ*, corr. V.

Digitized by Google

σημαίνοντος »τὸν φύλακα«, φήσει ὅτι εἰ καὶ κατ᾽ ἄλλο ἔλεγον Σαμαρείτην αὐτὸν οἱ Ἰουδαῖοι, αὐτὸς τὸ σημαινόμενον ἀπὸ τοῦ ὀνό-
355R ματος ἐκλαβὼν οὐκ ἠρνήσατο αὐτό, εἰδὼς ὅτι φύλαξ ἐστὶν τῶν ἀνθρωπίνων ψυχῶν καὶ περὶ οὗ εἴρηται ⟨τὸ⟩ »Ἰδοὺ οὐ νυστάξει οὐδὲ »ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ«· καὶ τὸ »Φυλάσσων τὰ νήπια »ὁ κύριος«. »σωμὴρ« μέντοι γε Ἑβραῖοι λέγουσι τὸν »φύλακα«, οὕτω 321
δὲ καὶ τοὺς Σαμαρεῖς πρῶτον ὠνομάσθαι παραδιδόασι διὰ τὸ ὑπὸ ⟨τοῦ⟩ τῶν Ἀσσυρίων βασιλέως φύλακας αὐτοὺς πεπέμφθαι τῆς γῆς τοῦ Ἰσραὴλ μετὰ τὴν αἰχμαλωσίαν, τοῦ ἑτέρου παρὰ τὸν Ἰούδαν Ἰσραὴλ διὰ τὰς πολλὰς ἁμαρτίας αἰχμαλωτευθέντος εἰς τοὺς Ἀσσυρίους.

VIII, 49f. *Ἀπεκρίθη Ἰησοῦς· Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. ἐγὼ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων.*

XXXVI. (29) *Εἰ τὸ πεφυτευμένον ξύλον »παρὰ τὰς διεξόδους* 322
»τῶν ὑδάτων« τοιοῦτόν ἐστιν, ὡς τὸν καρπὸν αὐτοῦ διδόναι »ἐν »καιρῷ αὐτοῦ« καὶ μηδὲ φύλλον αὐτοῦ ἀπορρεῖν ἀλλὰ πάντα ὅσα ἂν ποιῇ κατευοδοῦσθαι, τί νομιστέον περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ ἢ ὅτι αὐτὸς ὢν τὸ ξύλον τῆς ζωῆς κατὰ τὸ εἶναι σοφία καὶ τὴν σοφίαν εἶναι »ξύλον ζωῆς πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς«, καὶ καρποφορεῖ
20 καὶ τὰ ἕτερα παρὰ τοὺς καρποὺς φύλλα τοιαῦτα ἔχει ὡς μηδὲ ἓν
259v αὐτῶν ἀπορρεῖν; διὰ τοῦτο οὐδένα τοῦ Ἰησοῦ λόγον. | καὶ ταῦτα 323
ἀναγραφῆς ἀξιωθέντα ὑπὸ τῶν ἁγίων μαθητῶν αὐτοῦ, ὡς ἔτυχεν ἐκδεκτέον· ἀλλὰ πᾶσαν βάσανον καὶ τοῖς νομιζομένοις εἶναι σαφέσιν προσακτέον, οὐκ ἀπογινώσκοντα ὅτι καὶ περὶ τὸν ἀνυπονόητον καὶ
25 ἁπλοῦν εἶναι νομισθέντα λόγον αὐτοῦ εὑρεθήσεται τοῖς ὀρθῶς ζητοῦσιν ἄξιόν τι τοῦ ἱεροῦ στόματος ἐκείνου. εἰ δέ που μὴ εὑρίσκομεν, 324
ἡμᾶς καὶ οὐ τὸν λόγον τοῦ Ἰησοῦ αἰτιατέον ὡς οὐ πνέοντα τῶν ἐκ πληρώματος μεστῶν ἀληθείας καὶ σοφίας δογμάτων.

Ταῦτα δέ μοι εἴρηται βουλομένῳ ἐξετάσαι τὸ »Ἐγὼ δαιμόνιον 325
30 »οὐκ ἔχω«, δι᾽ οὗ διδασκόμεθα πάντες οἱ τῷ εὐαγγελίῳ ἐντυγχάνοντες πρᾶγμα ὃ οὐχὶ ᾔδειμεν καὶ πρὶν ἐντυχεῖν τῷ εὐαγγελίῳ. τί δὲ τοῦτό ἐστιν ἤδη κατανοητέον. ἀρέσκει κατὰ τὰς γραφὰς τοὺς ἁμαρτάνον- 326

4 Ps. 120, 4 (ART). — **5** Ps. 114, 6. — **8** Vgl. II Kön. 17. — **14** Vgl. Ps. 1, 3. — **19** Prov. 3, 18. — **25** Vgl. Matth. 7, 7. — **29** Joh. 8, 49.

3 *αὐτῶ*, corr. V | **4** *καὶ* z. str.? We | ⟨*τὸ*⟩ + Pr | **5** *Ισδραηλ* | **6** *σωμήρ* = שֹׁמֵר; die Übersetzung stammt nicht aus dem Onomasticum, sondern aus den hebr. Sprachkenntnissen des Origenes; vgl. hom. in Ez. IX, 1 | **8** ⟨*τοῦ*⟩ + We | **13** *την δ. μου* zweimal geschrieben | **19** *εἶναι ξύλον* zweimal geschrieben | **31** *δ οὐχὶ*] *οὐχο*, corr. We.

Digitized by Google

τας τὰ πολλὰ ποιεῖν παρὰ τὸν λόγον οὐ δι' ἄλλο ἢ τῷ δεκτικοὺς
αὐτοὺς γεγονέναι ἐνεργείας πονηροῦ πνεύματος ἢ θελήματος ἀκα- 330 H
327 θάρτου δαιμονίου. οὐκ ὤκνησαν οὖν καὶ τὰ νομισθέντα ἂν ἐλάχιστα
εἶναι τῶν ἁμαρτημάτων δαιμονίοις προσάψαι οἱ φήσαντες τὴν ὀξυ- 356 R
328 χολίαν δαιμόνιον εἶναι, ὁμοίως δὲ καὶ τὴν καταλαλιάν. εἰκὸς δὲ
καὶ ἄλλα μυρία δαιμονίων φαντασιούντων ἡμᾶς καὶ ἐνεργούντων
κατὰ τὸ ἐκείνων θέλημα ποιεῖν· καὶ ἔστιν ἐν ἀνθρώποις ὥσπερ
οὐδεὶς »καθαρὸς ἀπὸ ῥύπου«, καὶ οὐδεὶς »δίκαιος ἐπὶ τῆς γῆς ὃς
»ποιήσει ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται«, οὕτω καὶ οὐδεὶς ἀεὶ ἀπὸ
δαιμονίων καθαρεύσας καὶ μηδέποτε γενόμενος τῆς ἀπὸ τούτων
329 ἐνεργείας ἀνεπίδεκτος. διόπερ ἀλληγοροῦντες τὰς ἐν τῷ εὐαγγελίῳ
θεραπείας, ἐν αἷς εἰσιν καὶ τῶν δαιμονίων ἀπελάσεις, ἐροῦμεν πάν-
των ἀεὶ ἀπελαύνεσθαι τοὺς δαίμονας ὑπὸ Ἰησοῦ τῶν παρὰ τὸ
τεθεραπεῦσθαι ὑπὸ τοῦ λόγου μηκέτι παραδεχομένων τὰς τῶν δαι-
330 μόνων ἐνεργείας. μόνου τοίνυν νομίζω εἶναι Ἰησοῦ φωνήν, τοῦ
μόνου ἀπεκδυσαμένου τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ δειγματίσαντος
ἐν παρρησίᾳ καὶ θριαμβεύσαντος ἐν ξύλῳ, τρόπαιον κατὰ πάσης
ἀντικειμένης δυνάμεως τὸν σταυρὸν στήσαντος, ὥσπερ τὸ »Ἔρχεται
»ὁ ἄρχων τοῦ κόσμου τούτου καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν«, οὕτως
331 καὶ τὸ »ἐγὼ δαιμόνιον οὔτε ἔσχον οὔτε ἔχω οὔτε ἕξω«. τὴν δὲ
φωνὴν δυνάμεθα μὲν καὶ ἡμεῖς προενέγκασθαι καὶ λέγειν· »Δαιμόνιον
»οὐκ ἔχω«, ἀλλ' ἐλεγχθησόμεθα ὁμοίως τοῖς ἀρνησαμένοις περὶ τοῦ
δαιμονᾶν καὶ ἐν αὐτοῖς τοῖς πράγμασιν ἀποδειχθεῖσιν ὅτι ἐψεύσαντο.
332 ἢ οὐκ ἔλεγχος τοῦ δαιμονᾶν ἡμᾶς ὅταν μεμηνότων κατάστασιν
ἔχοντες βοῶμεν, ἀπὸ θυμοῦ καὶ ὀργῆς φλεγόμενοι, ἢ λελυττηκότες,
καὶ ὡσπερεὶ χρεμετίζοντες κἂν ταῖς ἰδίαις γαμεταῖς δίκην ἵππων 260 r
θηλυμανῶν ἐπιβαίνωμεν, ἐκβάλλοντες τοὺς περὶ ἀπαθείας λόγους
333 θεοῦ εἰς τὰ ὀπίσω; ἀλλὰ κἂν ταπεινοὶ καὶ συννεφεῖς ὑπὸ τῆς λύπης
καθελκόμενοι καὶ τὸ ἴδιον τῶν λογικῶν γαῦρον ἀπολέσαντες ἐπι-
λανθανώμεθα τοῦ ἄνευ θεοῦ στρούθιον μὴ πίπτειν εἰς παγίδα καὶ
τοῦ δίκαια εἶναι τὰ περὶ ἑνὸς ἑκάστου τῶν συμβαινόντων ἀνθρώποις
κρίματα, τί φήσομεν ἢ ὅτι καὶ τοῦ δαιμονίου ἡμᾶς νικήσαντος καὶ
334 τὸ ἡγεμονικὸν ἡμῶν θολώσαντος ταῦτα πάσχομεν; ἀλλὰ καὶ φόβοι
τῶν οὐ φοβερῶν καὶ περιχάρειαι ἐπὶ τοῖς μηδενὸς ἀξίοις τίνων ἂν
εἴη ἐνεργήματα ἢ δαιμόνων πληρωσάντων τοὺς μὴ δυναμένους μετὰ

8 Vgl. Hiob 14, 4. — Pred. Sal. 7, 21 (20). — **16** Vgl. Kol. 2, 15. — **18** Joh. 14, 30. — **26** Vgl. Jer. 5, 8. — **30** Vgl. Matth. 10, 29.

3 καὶ τὰ] κατὰ, corr. Ausgg. | **4** προσάψαι] o a. Ras. sehr weit (an Stelle v. c. 3—4 Bchst.) geschr. | **18** Zu d. Citat s. o. zu S. 368, 33 | **22** ἀρνησομένοις, corr. We | **24** ἔλεγχον, corr. V | **27** ἐπιβαίνομεν, corr. Pr | **29** ἐπιλανθανόμεθα, corr. We | **32** τί] ὅτι M.

Digitized by Google

331 H ἀληθείας λέγειν· »Ἐγὼ δαιμόνιον οὐκ ἔχω«; ἀλλ' εἰκός τινα τοὺς 335
ἁγίους πατριάρχας, ἢ τὸν ἱερὸν θεράποντα ἢ τοὺς θαυμασίους προ-
357 R φήτας ἢ τοὺς δυνατωτάτους τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ ἀποστόλους
φέροντα εἰς τὴν ἐξέτασιν δυσωπήσειν ἡμᾶς, ὡς ἄρα καὶ οὗτοι
εἰποιεν ἂν ὁμοίως τῷ Ἰησοῦ τὸ »Ἐγὼ δαιμόνιον οὐκ ἔχω«. πρὸς
οὓς ἔστιν εἰπεῖν· ἆρα καὶ οὗτοί ποτε ἥμαρτον, ἢ ψεῦδος τὸ »Πάντες
γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ«, καὶ οὐκ ἀληθὲς
τὸ »Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου« οὐδὲ τεθεωρημένως εἴρηται τὸ
»Οὐκ ἔστιν δίκαιος ἐπὶ γῆς ὃς ποιήσει ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται«;
ἀλλὰ σαφὲς ὅτι ἀληθεῖς αἱ πᾶσαι γραφαὶ καὶ οὐκ ἀεὶ οὐδὲ ἐξ ἀρχῆς
ἐδύναντο λέγειν οὐδ' οἱ μεταβάλλοντες ἐπὶ τὸν κατὰ ἀρετὴν βίον τὸ
»Ἐγὼ δαιμόνιον οὐκ ἔχω«, ἀλλ' ἡ μόνου τοῦ κατὰ τὸν σωτῆρα
νοουμένου ἀνθρώπου ἀρχῆθεν ἦν φωνή, διὰ τοῦτο κυριώτατα καὶ
ἀληθέστατα μόνου τὸν πατέρα τιμήσαντος· οὐδεὶς γὰρ τιμῶν τι τῶν
μὴ τιμωμένων ὑπὸ θεοῦ, τιμᾷ τὸν ἀτιμάζοντα τὰ ὑπ' αὐτοῦ τιμώ-
μενα. πῶς γὰρ λεκτέον ὅτι τιμᾷ τὸν πατέρα ὁ μηδὲ τὴν ἀρχὴν τὸ 336
πνεῦμα τῆς υἱοθεσίας λαβών; οὐδεὶς δὲ ἔχει τὸ πνεῦμα τῆς υἱοθε- 337
σίας ἁμαρτάνων· ὁ γὰρ ἐκ τοῦ θεοῦ γεγεννημένος οὐχ ἁμαρτάνει.
καὶ πῶς τιμᾷ τὸν πατέρα ὁ τιμῶν δόξαν τὴν παρὰ ἀνθρώποις ἢ
ἀργύριον ἢ τὸν χοϊκὸν πλοῦτον ἢ τὸ ἐκ σαρκῶν καὶ αἱμάτων κάλλος
ἢ ἁπαξαπλῶς τι τῶν οἰκείων τῇ ὕλῃ καὶ τῇ φθορᾷ;

XXXVII. Δῆλον οὖν πῶς τοῦ σωτῆρός ἐστιν φωνὴ τὸ »Τιμῶ 338
»τὸν πατέρα«, ἥντινα, ὅση δύναμις, φιλοτιμητέον συμμαρτυρούσης
ἡμῖν τῆς συνειδήσεως ἐν πνεύματι ἁγίῳ εἰπεῖν, ἀποδιδοῦσι »τῷ τὴν
»τιμὴν τὴν τιμήν«, καὶ μὴ ἑτέρῳ ἀπονέμουσιν αὐτήν. καὶ καλῶς 339
γε ὁ ἐλθόντος τοῦ πληρώματος τοῦ χρόνου ἀπεσταλμένος ὑπὸ τοῦ
θεοῦ γενέσθαι ἐκ γυναικὸς καὶ γενέσθαι ὑπὸ τὸν νόμον, ὡς ὑπὸ τὸν
λέγοντα νόμον τυγχάνων τὸ »Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, ἵνα
»εὖ σοι γένηται«, οὐδένα ἄλλον ἔχων πατέρα ἢ τὸν ἐν τοῖς οὐρανοῖς
260 v θεόν φησιν· »Ἀλλὰ τιμῶ | τὸν πατέρα μου«. ἐροῦμεν δὲ καὶ ἡμεῖς 340
ταύτην τὴν φωνήν, νοήσαντες τὸ τῆς παλιγγενεσίας λουτρὸν καὶ
λουσάμενοι κατ' αὐτὸ ἐπὶ τῷ γενέσθαι υἱοὶ θεοῦ καὶ μηκέτι κα-
λοῦντες πατέρα ἐπὶ τῆς γῆς τῷ υἱοὶ γεγονέναι τοῦ ἐν τοῖς οὐρανοῖς
πατρὸς καὶ ἀδελφοὶ τοῦ εἰπόντος· »Πορεύομαι πρὸς τὸν πατέρα

1 Joh. 8, 49. — **6** Röm. 3, 23. — **8** Hiob 14, 4. — **9** Pred. Sal. 7, 21 (20). — **16** Vgl. Röm. 8, 15. — **18** I Joh. 5, 18. — **19** Vgl. Joh. 5, 44. — **22** Joh. 8, 49. — **23** Vgl. Röm. 9, 1. — **24** Vgl. Röm. 13, 7. — **26** Vgl. Gal. 4, 4. — **28** Exod. 20, 12. — **31** Vgl. Tit. 3, 5. — **32** Vgl. Matth. 23, 9. — **34** Joh. 20, 17.

1 *τινας*, corr. We | **4** *φέροντας*, corr. We | **8** *οὐδὲ*] *οὐ* ü. d. Zeile | **13** *τοῦτον*? We | *κυριώτητα*, corr. V | **15** *τιμώμενα*] *ενα* a. Ras. | **24** *τὴν τιμὴν*] liest V *θεῷ καὶ πατρὶ* **26** *ἀπεσταλμένος*] ς^2 a. Ras. **34** *πορεύομαι* ist unbezeugt; T: *ἀναβαίνω*.

Digitized by Google

313 σεως καὶ τῆς αἰωνίου ζωῆς προφερόμενον· καὶ δαιμόνιον δὲ ἔχειν
ἔλεγον αὐτὸν διὰ τοὺς ὑπὲρ ἄνθρωπον αὐτοῦ λόγους, δι' ὧν πατέρα 354R
ἴδιον ἔλεγεν τὸν θεόν, καὶ ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι, καὶ αὐτὸς
εἶναι ὁ τῆς ζωῆς ἄρτος πολλῷ κρείττων τοῦ μάννα, ὡς τὸν φα-
γόντα τοῦτον τὸν ἄρτον ζήσεσθαι εἰς τὸν αἰῶνα, καὶ ἄλλα μυρία 5
314 ὧν πεπλήρωται τὰ εὐαγγέλια. δύναται δὲ καὶ διὰ τὴν περὶ τὸν
Βεελζεβοὺλ ὑπόνοιαν αὐτῶν εἰρῆσθαι· »Σὺ δαιμόνιον ἔχεις«, ἐπεί-
περ τινὲς »ἐν Βεελζεβοὺλ τῷ ἄρχοντι τῶν δαιμονίων« ἐνόμιζον αὐ-
τὸν »ἐκβάλλειν τὰ δαιμόνια«, οἱονεὶ ἔχοντα ἐν ἑαυτῷ τὸν Βεελζε-
315 βούλ. οἱ μὲν οὖν ἐχθροὶ εἴσονταί τι λέγοντες αὐτὸν δαιμόνιον ἔχειν· 10
ἡμεῖς δὲ αὐτῷ πειθόμεθα φάσκοντι· »Ἐγὼ δαιμόνιον οὐκ ἔχω«· οὐδὲ
γὰρ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοῖξαι ἢ ταῦτα τὰ ση-
μεῖα ποιεῖν ἃ καὶ ἀναγέγραπται, ὧν καὶ ἴχνη καὶ λείμματα ἐν ταῖς
316 ἐκκλησίαις ὀνόματι Ἰησοῦ μέχρι νῦν γίνεται. μετὰ ταῦτα ζητήσαι
τις ἂν τί δήποτε δύο δυσφημίας αὐτῷ προσαψάντων, τήν τε »Σα- 15
»μαρείτης εἶ συ« καὶ | τὴν »Δαιμόνιον ἔχεις« τῶν ἀποκριθέντων αὐτῷ 259r
Ἰουδαίων, οὐκ ἐκείνων τῶν πεπιστευκότων αὐτῷ, οὐχὶ πρὸς τὰς δύο
ἀποκρίνεται, ἀλλὰ πρὸς μόνην τὴν »Δαιμόνιον ἔχεις« εἰπών· »Ἐγὼ
»δαιμόνιον οὐκ ἔχω«.

317 Καὶ ὅρα εἰ δύναται πρὸς τοῦτο γενέσθαι τὸ τῆς ἐν τῷ κατὰ 20
Λουκᾶν εὐαγγελίῳ παραβολῆς περὶ τοῦ ἀπὸ Ἱερουσαλὴμ εἰς Ἰεριχὼ
καταβαίνοντος καὶ ἐμπεσόντος εἰς τοὺς λῃστάς, ὄντινα ὁ μὲν ἱερεὺς
ἀντιπαρῆλθεν καὶ ὁ Λευίτης, ὁ δὲ ὁδεύων Σαμαρείτης ἐλθὼν κατ'
αὐτὸν καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη καὶ προσελθὼν κατέδησεν
318 τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον. ἐὰν γὰρ δυνηθῇ τις 25
διαλαμβάνων περὶ τῆς παραβολῆς δεῖξαι ἐπὶ μηδένα ἢ ἐπὶ τὸν
σωτῆρα ἀναφέρεσθαι τὰ περὶ τοῦ Σαμαρείτου, ὃς τὸν ἡμιθανῆ καὶ
ἐμπεσόντα εἰς τοὺς λῃστὰς ἰάσατο, παραστήσει καὶ διὰ τί οὐκ ἠρνή-
319 σατο εἶναι Σαμαρείτης. ἄλλος δὲ δὴ τὴν παρὰ Παύλῳ διαφορὰν
Ἰουδαίων καὶ τῶν ὑπὸ νόμον θεωρήσας, καὶ ἀναγαγὼν τοὺς ὑπὸ 329H
νόμον εἰς τοὺς Σαμαρείτας, καὶ μᾶλλον Παύλου καταλαβὼν τὸν σω-
τῆρα τοῖς πᾶσιν πάντα γενόμενον ἵνα τοὺς πάντας κερδήσῃ, ἐρεῖ
διὰ τὸ τοῖς ὑπὸ νόμον αὐτὸν γεγονέναι ὡς ὑπὸ νόμον, οἱονεὶ καὶ
Σαμαρείτην γεγονέναι, καὶ κατὰ τοῦτο μὴ ἠρνῆσθαι τὸ εἶναι Σαμα-
320 ρείτης. καὶ τρίτος δέ τις τὴν ἑρμηνείαν τοῦ Σαμαρείτου ἐκλαβών, 35

2 Vgl. Joh. 5, 18. — **3** Vgl. Joh. 6, 32ff. — **7** Joh. 8, 48. — **8** Vgl. Luk. 11, 15. — **11** Joh. 8, 49. — **12** Vgl. Joh. 10, 21. — **15** Joh. 8, 48. — **21** Vgl. Luk. 10, 30ff. — **29** Vgl. I Kor. 9, 20ff. — **35** Vgl. Lagarde, Onom. s. p. 66, 3: Samaritae: custodes.

1 προφερομενο | **10** εἴσονται] ψεύσονται? We | **20** δύναται] + ⟨χρήσιμον⟩ We **29** δὴ] διὰ, corr. We | **30** τῶν] τοῦ, corr. We | **32** γενάμενον, corr. V | αἱρεῖ, corr. V.

Digitized by Google

σημαίνοντος ›τὸν φύλακα‹, φήσει ὅτι εἰ καὶ κατ᾽ ἄλλο ἔλεγον Σαμαρείτην αὐτὸν οἱ Ἰουδαῖοι, αὐτὸς τὸ σημαινόμενον ἀπὸ τοῦ ὀνό-
355R ματος ἐκλαβὼν οὐκ ἠρνήσατο αὐτό, εἰδὼς ὅτι φύλαξ ἐστὶν τῶν ἀνθρωπίνων ψυχῶν καὶ περὶ οὗ εἴρηται ⟨τὸ⟩ ›Ἰδοὺ οὐ νυστάξει οὐδὲ
5 ›ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ‹· καὶ τὸ ›Φυλάσσων τὰ νήπια ›ὁ κύριος‹. ›σωμὴρ‹ μέντοι γε Ἑβραῖοι λέγουσι τὸν ›φύλακα‹, οὕτω 321
δὲ καὶ τοὺς Σαμαρεῖς πρῶτον ὠνομάσθαι παραδιδόασι διὰ τὸ ὑπὸ ⟨τοῦ⟩ τῶν Ἀσσυρίων βασιλέως φύλακας αὐτοὺς πεπέμφθαι τῆς γῆς τοῦ Ἰσραὴλ μετὰ τὴν αἰχμαλωσίαν, τοῦ ἑτέρου παρὰ τὸν Ἰούδαν Ἰσραὴλ
10 διὰ τὰς πολλὰς ἁμαρτίας αἰχμαλωτευθέντος εἰς τοὺς Ἀσσυρίους.

VIII, 49 f. *Ἀπεκρίθη Ἰησοῦς· Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. ἐγὼ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων.*

XXXVI. (29) *Εἰ τὸ πεφυτευμένον ξύλον ›παρὰ τὰς διεξόδους* 322
15 *›τῶν ὑδάτων‹ τοιοῦτόν ἐστιν, ὡς τὸν καρπὸν αὐτοῦ διδόναι ›ἐν ›καιρῷ αὐτοῦ‹ καὶ μηδὲ φύλλον αὐτοῦ ἀπορρεῖν ἀλλὰ πάντα ὅσα ἂν ποιῇ κατευοδοῦσθαι, τί νομιστέον περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ ἢ ὅτι αὐτὸς ὢν τὸ ξύλον τῆς ζωῆς κατὰ τὸ εἶναι σοφία καὶ τὴν σοφίαν εἶναι ›ξύλον ζωῆς πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς‹, καὶ καρποφορεῖ*
20 *καὶ τὰ ἕτερα παρὰ τοὺς καρποὺς φύλλα τοιαῦτα ἔχει ὡς μηδὲ ἓν*
259v *αὐτῶν ἀπορρεῖν; διὰ τοῦτο οὐδένα τοῦ Ἰησοῦ λόγον, | καὶ ταῦτα* 323
ἀναγραφῆς ἀξιωθέντα ὑπὸ τῶν ἁγίων μαθητῶν αὐτοῦ, ὡς ἔτυχεν ἐκδεκτέον· ἀλλὰ πᾶσαν βάσανον καὶ τοῖς νομιζομένοις εἶναι σαφέσιν προσακτέον, οὐκ ἀπογινώσκοντα ὅτι καὶ περὶ τὸν ἀνυπονόητον καὶ
25 *ἁπλοῦν εἶναι νομισθέντα λόγον αὐτοῦ εὑρεθήσεται τοῖς ὀρθῶς ζητοῦσιν ἄξιόν τι τοῦ ἱεροῦ στόματος ἐκείνου. εἰ δέ που μὴ εὑρίσκομεν,* 324
ἡμᾶς καὶ οὐ τὸν λόγον τοῦ Ἰησοῦ αἰτιατέον ὡς οὐ πνέοντα τῶν ἐκ πληρώματος μεστῶν ἀληθείας καὶ σοφίας δογμάτων.

Ταῦτα δέ μοι εἴρηται βουλομένῳ ἐξετάσαι τὸ ›Ἐγὼ δαιμόνιον 325
30 *›οὐκ ἔχω‹, δι᾽ οὗ διδασκόμεθα πάντες οἱ τῷ εὐαγγελίῳ ἐντυγχάνοντες πρᾶγμα ὃ οὐχὶ ᾔδειμεν καὶ πρὶν ἐντυχεῖν τῷ εὐαγγελίῳ. τί δὲ τοῦτό ἐστιν ἤδη κατανοητέον. ἀρέσκει κατὰ τὰς γραφὰς τοὺς ἁμαρτάνον-* 326

4 Ps. 120. 4 (ART). — **5** Ps. 114, 6. — **8** Vgl. II Kön. 17. — **14** Vgl. Ps. 1, 3. — **19** Prov. 3, 18. — **25** Vgl. Matth. 7, 7. — **29** Joh. 8, 49.

3 *αὐτῶ*, corr. V | **4** *καὶ* z. str.? We | ⟨*τὸ*⟩ + Pr | **5** *ἰσδραὴλ* | **6** *σωμήρ* = שֹׁמֵר; die Übersetzung stammt nicht aus dem Onomasticum, sondern aus den hebr. Sprachkenntnissen des Origenes; vgl. hom. in Ez. IX, 1 | **8** ⟨*τοῦ*⟩ + We | **13** *τὴν δ. μου* zweimal geschrieben | **19** *εἶναι ξύλον* zweimal geschrieben | **31** *δ οὐχὶ*] *οὐχο*, corr. We.

Digitized by Google

τας τὰ πολλὰ ποιεῖν παρὰ τὸν λόγον οὐ δι' ἄλλο ἢ τῷ δεκτικοὺς
αὐτοὺς γεγονέναι ἐνεργείας πονηροῦ πνεύματος ἢ θελήματος ἀκα- 330 H
327 θάρτου δαιμονίου. οὐκ ὤκνησαν οὖν καὶ τὰ νομισθέντα ἂν ἐλάχιστα
εἶναι τῶν ἁμαρτημάτων δαιμονίοις προσάψαι οἱ φήσαντες τὴν ὀξυ- 356 R
328 χολίαν δαιμόνιον εἶναι, ὁμοίως δὲ καὶ τὴν καταλαλιάν. εἰκὸς δὲ 5
καὶ ἄλλα μυρία δαιμονίων φαντασιούντων ἡμᾶς καὶ ἐνεργούντων
κατὰ τὸ ἐκείνων θέλημα ποιεῖν· καὶ ἔστιν ἐν ἀνθρώποις ὥσπερ
οὐδεὶς »καθαρὸς ἀπὸ ῥύπου«, καὶ οὐδεὶς »δίκαιος ἐπὶ τῆς γῆς ὃς
»ποιήσει ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται«, οὕτω καὶ οὐδεὶς ἀεὶ ἀπὸ
δαιμονίων καθαρεύσας καὶ μηδέποτε γενόμενος τῆς ἀπὸ τούτων 10
329 ἐνεργείας ἀνεπίδεκτος. διόπερ ἀλληγοροῦντες τὰς ἐν τῷ εὐαγγελίῳ
θεραπείας, ἐν αἷς εἰσιν καὶ τῶν δαιμονίων ἀπελάσεις, ἐροῦμεν πάν-
των ἀεὶ ἀπελαύνεσθαι τοὺς δαίμονας ὑπὸ Ἰησοῦ τῶν παρὰ τὸ
τεθεραπεῦσθαι ὑπὸ τοῦ λόγου μηκέτι παραδεχομένων τὰς τῶν δαι-
330 μόνων ἐνεργείας. μόνου τοίνυν νομίζω εἶναι Ἰησοῦ φωνήν, τοῦ 15
μόνου ἀπεκδυσαμένου τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ δειγματίσαντος
ἐν παρρησίᾳ καὶ θριαμβεύσαντος ἐν ξύλῳ, τρόπαιον κατὰ πάσης
ἀντικειμένης δυνάμεως τὸν σταυρὸν στήσαντος, ὥσπερ τὸ »Ἔρχεται
»ὁ ἄρχων τοῦ κόσμου τούτου καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν«, οὕτως
331 καὶ τὸ »ἐγὼ δαιμόνιον οὔτε ἔσχον οὔτε ἔχω οὔτε ἕξω«. τὴν δὲ 20
φωνὴν δυνάμεθα μὲν καὶ ἡμεῖς προενέγκασθαι καὶ λέγειν· »Δαιμόνιον
»οὐκ ἔχω«, ἀλλ' ἐλεγχθησόμεθα ὁμοίως τοῖς ἀρνησαμένοις περὶ τοῦ
δαιμονᾶν καὶ ἐν αὐτοῖς τοῖς πράγμασιν ἀποδειχθεῖσιν ὅτι ἐψεύσαντο.
332 ἢ οὐκ ἔλεγχος τοῦ δαιμονᾶν ἡμᾶς ὅταν μεμηνότων κατάστασιν
ἔχοντες βοῶμεν, ἀπὸ θυμοῦ καὶ ὀργῆς φλεγόμενοι, ἢ λελυττηκότες, 25
καὶ ὡσπερεὶ χρεμετίζοντες κἂν ταῖς ἰδίαις γαμεταῖς δίκην ἵππων 260 r
θηλυμανῶν ἐπιβαίνωμεν, ἐκβάλλοντες τοὺς περὶ ἀπαθείας λόγους
333 θεοῦ εἰς τὰ ὀπίσω; ἀλλὰ κἂν ταπεινοὶ καὶ συννεφεῖς ὑπὸ τῆς λύπης
καθελκόμενοι καὶ τὸ ἴδιον τῶν λογικῶν γαῦρον ἀπολέσαντες ἐπι-
λανθανώμεθα τοῦ ἄνευ θεοῦ στρούθιον μὴ πίπτειν εἰς παγίδα καὶ 30
τοῦ δίκαια εἶναι τὰ περὶ ἑνὸς ἑκάστου τῶν συμβαινόντων ἀνθρώποις
κρίματα, τί φήσομεν ἢ ὅτι καὶ τοῦ δαιμονίου ἡμᾶς νικήσαντος καὶ
334 τὸ ἡγεμονικὸν ἡμῶν θολώσαντος ταῦτα πάσχομεν; ἀλλὰ καὶ φόβοι
τῶν οὐ φοβερῶν καὶ περιχάρειαι ἐπὶ τοῖς μηδενὸς ἀξίοις τίνων ἂν
εἴη ἐνεργήματα ἢ δαιμόνων πληρωσάντων τοὺς μὴ δυναμένους μετὰ 35

8 Vgl. Hiob 14, 4. — Pred. Sal. 7, 21 (20). — **16** Vgl. Kol. 2, 15. — **18** Joh. 14, 30. — **26** Vgl. Jer. 5, 8. — **30** Vgl. Matth. 10, 29.

3 καὶ τὰ] κατὰ, corr. Ausgg. | **4** προσάψαι] o a. Ras. sehr weit (an Stelle v. c. 3—4 Behst.) geschr. | **18** Zu d. Citat s. o. zu S. 368, 33 | **22** ἀρνησομένους, corr. We | **24** ἔλεγχον, corr. V | **27** ἐπιβαίνομεν, corr. Pr | **29** ἐπιλανθανόμεθα, corr. We | **32** τί] ὅτι M.

Digitized by Google

331 H ἀληθείας λέγειν· »Ἐγὼ δαιμόνιον οὐκ ἔχω«; ἀλλ' εἰκός τινα τοὺς 335
ἁγίους πατριάρχας, ἢ τὸν ἱερὸν θεράποντα ἢ τοὺς θαυμασίους προ-
357 R φήτας ἢ τοὺς δυνατωτάτους τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ ἀποστόλους
φέροντα εἰς τὴν ἐξέτασιν δυσωπήσειν ἡμᾶς, ὡς ἄρα καὶ οὗτοι
εἴποιεν ἂν ὁμοίως τῷ Ἰησοῦ τὸ »Ἐγὼ δαιμόνιον οὐκ ἔχω«. πρὸς
οὓς ἔστιν εἰπεῖν· ἆρα καὶ οὗτοί ποτε ἥμαρτον, ἢ ψεῦδος τὸ »Πάντες
γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ«, καὶ οὐκ ἀληθὲς
τὸ »Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου« οὐδὲ τεθεωρημένως εἴρηται τὸ
»Οὐκ ἔστιν δίκαιος ἐπὶ γῆς ὃς ποιήσει ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται«;
ἀλλὰ σαφὲς ὅτι ἀληθεῖς αἱ πᾶσαι γραφαὶ καὶ οὐκ ἀεὶ οὐδὲ ἐξ ἀρχῆς
ἐδύναντο λέγειν οὐδ' οἱ μεταβάλλοντες ἐπὶ τὸν κατὰ ἀρετὴν βίον τὸ
»Ἐγὼ δαιμόνιον οὐκ ἔχω«, ἀλλ' ἡ μόνου τοῦ κατὰ τὸν σωτῆρα
νοουμένου ἀνθρώπου ἀρχῆθεν ἦν φωνή, διὰ τοῦτο κυριώτατα καὶ
ἀληθέστατα μόνου τὸν πατέρα τιμήσαντος· οὐδεὶς γὰρ τιμῶν τι τῶν
μὴ τιμωμένων ὑπὸ θεοῦ, τιμᾷ τὸν ἀτιμάζοντα τὰ ὑπ' αὐτοῦ τιμώ-
μενα. πῶς γὰρ λεκτέον ὅτι τιμᾷ τὸν πατέρα ὁ μηδὲ τὴν ἀρχὴν τὸ 336
πνεῦμα τῆς υἱοθεσίας λαβών; οὐδεὶς δὲ ἔχει τὸ πνεῦμα τῆς υἱοθε- 337
σίας ἁμαρτάνων· ὁ γὰρ ἐκ τοῦ θεοῦ γεγεννημένος οὐχ ἁμαρτάνει.
καὶ πῶς τιμᾷ τὸν πατέρα ὁ τιμῶν δόξαν τὴν παρὰ ἀνθρώπων ἢ
ἀργύριον ἢ τὸν χοϊκὸν πλοῦτον ἢ τὸ ἐκ σαρκῶν καὶ αἱμάτων κάλλος
ἢ ἁπαξαπλῶς τι τῶν οἰκείων τῇ ὕλῃ καὶ τῇ φθορᾷ;

XXXVII. Δῆλον οὖν πῶς τοῦ σωτῆρός ἐστιν φωνὴ τὸ »Τιμῶ 338
»τὸν πατέρα«, ἥντινα, ὅση δύναμις, φιλοτιμητέον συμμαρτυρούσης
ἡμῖν τῆς συνειδήσεως ἐν πνεύματι ἁγίῳ εἰπεῖν, ἀποδιδοῦσι »τῷ τὴν
»τιμὴν τὴν τιμήν«, καὶ μὴ ἑτέρῳ ἀπονέμουσιν αὐτήν. καὶ καλῶς 339
γε ὁ ἐλθόντος τοῦ πληρώματος τοῦ χρόνου ἀπεσταλμένος ὑπὸ τοῦ
θεοῦ γενέσθαι ἐκ γυναικὸς καὶ γενέσθαι ὑπὸ τὸν νόμον, ὡς ὑπὸ τὸν
λέγοντα νόμον τυγχάνων τὸ »Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, ἵνα
»εὖ σοι γένηται«, οὐδένα ἄλλον ἔχων πατέρα ἢ τὸν ἐν τοῖς οὐρανοῖς
260 v θεόν φησιν· »Ἀλλὰ τιμῶ | τὸν πατέρα μου«. ἐροῦμεν δὲ καὶ ἡμεῖς 340
ταύτην τὴν φωνήν, νοήσαντες τὸ τῆς παλιγγενεσίας λουτρὸν καὶ
λουσάμενοι κατ' αὐτὸ ἐπὶ τῷ γενέσθαι υἱοὶ θεοῦ καὶ μηκέτι κα-
λοῦντες πατέρα ἐπὶ τῆς γῆς τῷ υἱοὶ γεγονέναι τοῦ ἐν τοῖς οὐρανοῖς
πατρὸς καὶ ἀδελφοὶ τοῦ εἰπόντος· »Πορεύομαι πρὸς τὸν πατέρα

1 Joh. 8, 49. — **6** Röm. 3, 23. — **8** Hiob 14, 4. — **9** Pred. Sal. 7, 21 (20). — **16** Vgl. Röm. 8, 15. — **18** I Joh. 5, 18. — **19** Vgl. Joh. 5, 44. — **22** Joh. 8, 49. — **23** Vgl. Röm. 9, 1. — **24** Vgl. Röm. 13, 7. — **26** Vgl. Gal. 4, 4. — **28** Exod. 20, 12. — **31** Vgl. Tit. 3, 5. — **32** Vgl. Matth. 23, 9. — **34** Joh. 20, 17.

1 *τινας*, corr. We | **4** *φέροντας*, corr. We | **8** *οὐδὲ*] *οὐ* ü. d. Zeile | **13** *τοῦτον*? We | *κυριώτητα*, corr. V | **15** *τιμώμενα*] *ενα* a. Ras. | **24** *τὴν τιμὴν*] liest V *θεῷ καὶ πατρὶ* **26** *ἀπεσταλμένος*] ς^2 a. Ras. **34** *πορεύομαι* ist unbezeugt; T: *ἀναβαίνω*.

Digitized by Google

341 »μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν«. δῆλον οὖν
ὅτι κυριώτατα καὶ τελειότατα εἰπόντος τοῦ Ἰησοῦ· »Ἐγὼ δαιμόνιον
»οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου« οἱ μιμηταὶ αὐτοῦ, ἕκαστος 332H
κατὰ δύναμιν, πάντα ἰσχύσας ἐν τῷ ἐνδυναμοῦντι αὐτὸν Χριστῷ
Ἰησοῦ, καὶ αὐτὸς ἐρεῖ τὸ »Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν
»πατέρα μου«. τίς δὲ νεκροῖς συνὼν καὶ ἐν τάφοις οἰκῶν δυνηθείη 358R
342 ἂν εἰπεῖν τὸ »Ἐγὼ δαιμόνιον οὐκ ἔχω«; ἢ τίς ἄλλο τι παρὰ τὸν
θεὸν καὶ τὸν λόγον αὐτοῦ καὶ τὰ ὑπὸ τοῦ λόγου προστασσόμενα
τιμῶν, ἑτέρῳ τὴν τιμὴν διδούς, δέον »τῷ τὴν τιμὴν« ἀποδιδόναι
αὐτήν, εἴποι ἂν ὡς Ἰησοῦ μαθητής· »Ἀλλὰ τιμῶ τὸν πατέρα μου«;
343 ἐξῆς ἐστιν τούτοις τὸ »Καὶ ὑμεῖς ἀτιμάζετέ με« εἰρημένον πρὸς τοὺς
ἀτιμάσαντας αὐτὸν καὶ εἰπόντας αὐτῷ τὸ »Οὐ καλῶς λέγομεν ἡμεῖς
»ὅτι Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις;« οἰηθέντας τὸ κακῶς
εἰρημένον καλῶς λελαληκέναι· κακῶς γὰρ νοοῦντες Σαμαρείτην καὶ
344 δαιμόνιον ἔχοντα τὸν σωτῆρα ἀπεφήναντο. νομιστέον δὲ τὸ »Καὶ
»ὑμεῖς ἀτιμάζετέ με« οὐχὶ καὶ ἐκείνοις μόνοις εἰρῆσθαι τότε ἀλλὰ
καὶ τοῖς ἀεὶ ἀτιμάζουσι, δι' ὧν πράττουσι παρὰ τὸν ὀρθὸν λόγον
τὸν τοῦ θεοῦ, καὶ ἀτιμάζουσιν δι' ὧν ἀδικοῦσιν τὸν χριστόν, ὅς
ἐστιν δικαιοσύνη, καὶ ἀτιμάζουσιν δι' ὧν κατὰ ἀσυναμίαν καὶ ἀσθέ-
νειαν ἐπιτελοῦσιν τὴν τοῦ θεοῦ δύναμιν, ἥτις ἐστὶν ὁ σωτήρ·
345 »Χριστὸς γὰρ θεοῦ δύναμις«. καὶ παντὶ δὲ τῷ ἐξουδενοῦντι σοφίαν
λεχθείη ἂν τὸ »Ὑμεῖς ἀτιμάζετέ με«, ἐπείπερ Χριστὸς καὶ σοφία
346 ἐστίν. ἀλλὰ καὶ εἰ δέον τὸ ἐξ αὐτοῦ τινα μετὰ πάντων ἀνθρώπων
εἰρηνεύειν, ὥστ' ἂν εἰπεῖν τὸ προφητικὸν ἐκεῖνο· »Μετὰ τῶν μι-
σούντων τὴν εἰρήνην ἤμην εἰρηνικός«, καὶ δέον ἀναλαβεῖν τὴν
ὑπερέχουσαν θεοῦ πάντα νοῦν εἰρήνην, φρουροῦσαν τὴν καρδίαν
347 καὶ τὰ νοήματα τοῦ ἀνειληφότος αὐτήν. εἰ δὲ πολεμικός τις εἴη
καὶ δάκνων καὶ καταιτιώμενος καὶ κατεσθίων τὸν πλησίον καὶ
πεπληρωμένος τῆς ἐν τῷ ἡγεμονικῷ ἑαυτοῦ στάσεως τῶν παθῶν,
καὶ τούτῳ ἂν λεχθείη τὸ »Ὑμεῖς ἀτιμάζετέ με«. Χριστὸς γάρ ἐστιν
348 ἡ εἰρήνη ἡμῶν. ἔτι δὲ ἐπείπερ »Πᾶς ὁ φαῦλα πράσσων μισεῖ τὸ
»φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς«, φῶς δέ ἐστιν ὁ εἰπών· »Ἐγώ
»εἰμι τὸ φῶς τοῦ κόσμου«, δῆλον ὅτι ⟨ὁ⟩ φαῦλα πράσσων, ἀτιμάζων

2 Joh. 8, 49. — 4 Vgl. Phil. 4, 13. — 5 Joh. 8, 49. — 7 Joh. 8, 49. — 9 Vgl. Röm. 13, 7. — 10 Joh. 8, 49. — 12 Joh. 8, 48. — 15 Joh. 8, 49. — 20 Vgl. II Kor. 12, 9. — 21 Vgl. I Kor. 1, 24. — 22 Vgl. I Kor. 1, 24. — 23 Vgl. Röm. 12, 18. — 24 Ps. 119, 6f. — 26 Vgl. Phil. 4, 7. — 27 Vgl. Gal. 5, 15. — 30 Vgl. Eph. 2, 14. — 31 Joh. 3, 20. — 32 Joh. 8, 12.

4 *χριστοῦ*, corr. V | 8 *τὰ*] *τὸ*, corr. Pr | 10 *τιμῶ τὸν*] *μω τον* a. Ras. 11 *εἰρημένων*, corr. V | 14 *καλῶς*] *καλὸς*, corr. V | 27 *εἰ*] *ὁ*, corr. V | 33 ⟨*ὁ*⟩ + Pr; vgl. V *ὁ τὰ φαῦλα πράσσων*.

Digitized by Google

261r τὸ φῶς ἀτιμάζει Χριστόν, καὶ αὐτὸς | ἀκουσόμενος τὸ »Καὶ ὑμεῖς
»ἀτιμάζετέ με«. καὶ τί με δεῖ ἐπὶ πλέον μηκύνειν τὸν λόγον, 349
ἀναπτύσσοντα καὶ δεικνύντα τίνες εἰσὶν οἱ ἐλεγχόμενοι ὑπὸ τοῦ
Ἰησοῦ καὶ ἀκούοντες ὑπ᾽ αὐτοῦ τὸ »Ὑμεῖς ἀτιμάζετέ με«, σαφῶν
ὄντων ἐκ τῶν ἀποδεδομένων καὶ τῶν δυναμένων τούτοις ἀκολούθως
333H αὐτοῖς συνάπτεσθαι;
259R XXXVIII. (30) Μετὰ ταῦτα ἴδωμεν, τί ἐστιν τὸ »Ἐγὼ δὲ οὐ 350
»ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων«. ζητεῖ ὁ θεός,
δοὺς ἡμῖν τὸν υἱὸν ἑαυτοῦ, ἐν ἑκάστῳ τῶν εἰληφότων αὐτὸν τὴν
δόξαν τοῦ χριστοῦ· ἥντινα εὑρήσει μὲν ἐν τοῖς ἐπιμελουμένοις ἑαυ-
τῶν, καὶ ἐξεργαζομένοις τὰς ἐγκαταφυτευθείσας ἐπ᾽ ἀρετῇ ἀφορμάς·
οὐχ εὑρήσει δὲ ἐν τοῖς μὴ τοιούτοις, καὶ μὴ εὑρίσκων κρινεῖ ἐκείνους
ἐν οἷς οὐχ εὑρίσκει τὴν δόξαν τοῦ υἱοῦ ἑαυτοῦ, πρὸς οὓς ἐρεῖ· »Διὰ
»ὑμᾶς διαπαντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν«.
ἐπαπορήσαι δ᾽ ἄν τις διὰ τὸ »Ἔστιν ὁ ζητῶν καὶ κρίνων«. εἰ χρὴ 351
τοῦτο ἀναφέρειν ἐπὶ τὸν θεόν, σαφῶς τοῦ σωτῆρος εἰρηκότος·
»Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν
»τῷ υἱῷ, ἵνα πάντες τιμῶσιν τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα«.
ἀλλ᾽ ὅρα εἰ δύνασαι πρὸς τοῦτο χρήσασθαι τῷ »Οὐ δύναμαι ἐγὼ 352
»ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ
»δικαία ἐστίν, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ
»πέμψαντός με«. εἰ γὰρ καθὼς ἀκούει ὁ σωτὴρ ἡμῶν ἀπὸ τοῦ 353
πατρὸς οὕτως κρίνει, ζητῶν οὐ τὸ ἴδιον θέλημα ἀλλὰ τοῦ πέμ-
ψαντος αὐτὸν πατρός, καὶ διὰ τοῦτο δικαία ἐστὶν ἡ κρίσις αὐτοῦ,
μήποτε κυριώτερον ἡ κρίσις ἣν κρίνει ὁ ἀκούων οὐκ ἔστιν τοῦ
ἀκούοντος ἀλλὰ τοῦ λέγοντος ἀκούοντι. κἂν λέγῃ δὲ ὅτι »Ἡ κρίσις 354
»ἡ ἐμὴ δικαία ἐστίν«, ἄκουε ἐν τῷ αὐτῷ εὐαγγελίῳ λεγομένου τοῦ
»Πάντα τὰ ἐμὰ σά ἐστιν«. εἰ γὰρ ἀληθὲς ὑπὸ τοῦ σωτῆρος εἰρη-
μένον τὸ »Πάντα τὰ ἐμὰ σά ἐστι«, δῆλον ὅτι καὶ αὐτὴ ἡ κρίσις περὶ
ἧς φησιν· »Ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν« τοῦ πατρός ἐστιν κρίσις.
εἰ δὲ τοῦ πατρός ἐστιν κρίσις, δύναται λελύσθαι τὸ ἐπηπορημένον 355
περὶ ⟨τοῦ⟩ »Ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ
»κρίνων«. ἔχει δέ τινα καὶ ἀτυφίας ἔμφασιν πρεπούσης τῷ σωτῆρι 356
τὸ λεγόμενον ἐν τῷ »Ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου«· οὐδὲ γὰρ
πάνυ ἔπρεπεν αὐτὸν τὴν ἑαυτοῦ δόξαν ἀπαιτεῖν καὶ ἐπὶ τούτῳ
κρίνειν τοὺς μὴ ἀποδεδωκότας αὐτήν, ἀλλ᾽ ἐχρῆν τὸν πατέρα δόξαν

7 Joh. 8, 50. — **13** Jes. 52, 5. — **17** Joh. 5, 22f. — **19** Joh. 5, 30. — **26** Joh. 5, 30. — **28** Joh. 17, 10. — **30** Joh. 5, 30. — **32** Joh. 8, 50. — **34** Joh. 8, 50.

3 *δεικνύνται* | **12** *κρίνει*, corr. We | **16** *τοῦτο*] *τοῦτε*, corr. V | **18** *τιμῶσιν*] *ω* a. Ras. | **31** *ἐπηπορημένον*] *πη* a. Ras. | **32** ⟨*τοῦ*⟩ + V.

Digitized by Google

δεδωκότα τῷ υἱῷ ἀπαιτεῖν αὐτὴν ἀπὸ τῶν ἀποστερούντων καὶ
357 κρίνειν αὐτοὺς ἐπὶ ταύτῃ. τάχα δὲ καὶ ὁ σωτήρ, μιμητὴς ὢν τοῦ
πατρός, ζητεῖ τὴν δόξαν τοῦ θεοῦ ἀπὸ τῶν μανθανόντων τὰ περὶ
θεοῦ· καὶ εἰ μὴ εὕροι τὴν τοῦ πατρὸς δόξαν ἔν τισιν, κρίναι ἂν
ἐκείνους, ὡς ἐξουσίαν λαβὼν κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου
ἐστίν.

358 Ὁ μέντοι γε Ἡρακλέων τὸ »Ἔστιν ὁ ζητῶν καὶ κρίνων«
οὐκ ἀναφέρει ἐπὶ τὸν πατέρα, τοιαῦτα λέγων· ὁ ζητῶν καὶ 261 v
κρίνων ἐστὶν ὁ ἐκδικῶν με, ὁ ὑπηρέτης ὁ εἰς τοῦτο 360 R
τεταγμένος, ὁ μὴ εἰκῇ τὴν μάχαιραν φορῶν, ὁ ἔκδικος 334 H
τοῦ βασιλέως· Μωσῆς δέ ἐστιν οὗτος, καθ' ἃ προείρηκεν
359 αὐτοῖς λέγων· »Εἰς ὃν ὑμεῖς ἠλπίσατε«. εἶτ' ἐπιφέρει ὅτι
ὁ κρίνων καὶ κολάζων ἐστὶν Μωσῆς, τουτέστιν αὐτὸς
360 ὁ νομοθέτης. καὶ μετὰ τοῦτο πρὸς ἑαυτὸν ἐπαπορεῖ ὁ
Ἡρακλέων λέγων· πῶς οὖν οὐ λέγει τὴν κρίσιν πᾶσαν
361 παραδεδόσθαι αὐτῷ; καὶ νομίζων λύειν τὴν ἀνθυποφορὰν
ταῦτά φησιν· καλῶς λέγει· ὁ γὰρ κριτὴς ὡς ὑπηρέτης τὸ
θέλημα τούτου ποιῶν κρίνει, ὥσπερ καὶ ἐπὶ τῶν ἀν-
362 θρώπων φαίνεται γινόμενον. πῶς δὲ ἄλλῳ τινὶ ἀνατίθησι
τὴν κρίσιν ὡς ὑποδεεστέρῳ τοῦ σωτῆρος, καθ' ὃ νομίζει, τῷ
δημιουργῷ, οὐδ' οὕτω ἀποδεῖξαι δύναται, σαφῶς γεγραμμένου
τοῦ »Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν
»δέδωκεν τῷ υἱῷ« καὶ τοῦ »Ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν
»ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν«.

VIII, 51. *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν ἐμὸν λόγον*
τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα.

363 XXXIX. (31) Ὥσπερ ἐστίν τις ζωὴ ἀδιάφορος, ἡ μήτε ἀγαθὸν
μήτε κακὸν τυγχάνουσα, καθ' ἣν λέγομεν ζῆν καὶ τοὺς ἀσεβεῖς καὶ
τὰ ἄλογα ζῷα· καὶ ἑτέρα διάφορος ἀλλὰ ἀγαθόν, περὶ ἧς φησιν ὁ
Παῦλος· »Ἡ ζωὴ † ἡμῶν κέκρυπται σὺν τῷ χριστῷ ἐν τῷ θεῷ«·
καὶ αὐτὸς ὁ κύριος ἡμῶν περὶ ἑαυτοῦ· »Ἐγώ εἰμι ἡ ζωή«, οὕτως
τὸν μὲν ἐναντίον τῇ ἀδιαφόρῳ ζωῇ θάνατον ἀδιάφορον ἐρεῖς· τὸν
δὲ ἐχθρὸν τῷ εἰπόντι· »Ἐγώ εἰμι ἡ ζωή« πονηρόν τινα καὶ χαλε-

5 Vgl. Joh. 5, 27. — 7 Joh. 8, 50. — 10 Vgl. Röm. 13, 4. — 12 Joh. 5, 45. — 22 Joh. 5, 22. — 23 Joh. 5, 27. — 30 Kol. 3, 3. — 31 Joh. 11, 25. — 33 Joh. 11, 25.

11 οὕτως | 29 ἕτερα μὴ ἀ διάφορος, ἀλλὰ We | 30 ἡμῶν] l. ὑμῶν.

Digitized by Google

πὸν θάνατον, ὃν ὁ ἀποθνήσκων ἐστὶν ἐν τῷ θανάτῳ· περὶ οὗ γέ-
γραπται· »Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος«. καὶ περὶ τού- 364
του γε τοῦ θανάτου νομιστέον λέγειν τὸν ἀπόστολον ταῦτα· »Διὰ
»τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλ-
»θεν καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀν-
»θρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον· ἄχρι γὰρ
»νόμου ἡ ἁμαρτία ἦν ἐν κόσμῳ (ἁμαρτία γὰρ οὐκ ἐλλογεῖται μὴ
»ὄντος νόμου), ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως
»καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως
»Ἀδάμ«· καὶ μετ' ὀλίγα· »Εἰ γὰρ ἐν ἑνὸς παραπτώματι ὁ θάνατος
»ἐβασίλευσεν διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς
361 R »χάριτος καὶ τῆς δικαιοσύνης λαμβάνοντες ἐν ζωῇ βασιλεύσουσιν
»διὰ τοῦ ἑνὸς Χριστοῦ Ἰησοῦ«. τίς γάρ ἐστιν ὁ διὰ τῆς ἁμαρτίας 365
θάνατος εἰς τὸν κόσμον εἰσελθών, ἢ ὁ ἔσχατος ἐχθρὸς Χριστοῦ
335 H καταργηθησόμενος; καὶ τίς ὁ εἰς πάντας ἀνθρώπους θάνατος διελ-
262 r θών, τῷ πάντας ἡμαρτηκέναι, ἢ αὐτὸς | οὗτος ὃς καὶ ἐβασίλευσεν
ἀπὸ Ἀδὰμ μέχρι Μωσέως; Μωσῆς δέ, τουτέστιν ὁ νόμος, ἦν μέχρι 366
τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἐπιδημίας, καὶ ἐβασίλευσέν γε ἐν ἑνὸς
παραπτώματι διὰ τοῦ ἑνός, ἕως οἱ τὴν περισσείαν τῆς χάριτος καὶ
τῆς δικαιοσύνης λαβόντες ἐν ζωῇ βασιλεύσωσι διὰ τοῦ ἑνὸς Χριστοῦ
Ἰησοῦ. τοῦτον οὖν τὸν θάνατον οὐ θεωρήσει εἰς τὸν αἰῶνα ὁ τὸν 367
λόγον τοῦ μονογενοῦς καὶ πρωτοτόκου πάσης κτίσεως τηρήσας,
πεφυκότα κωλύειν θεωρεῖσθαι τὸν θάνατον. οὕτω δὲ ἀκουστέον 368
τοῦ »Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς
»τὸν αἰῶνα«, ὡς εἰ χαρισάμενος ὁ ταῦτα λέγων φῶς τοῖς ἀκούουσιν
ἔφασκεν αὐτοῖς· ἐάν τις τὸ ἐμὸν τοῦτο τηρήσῃ φῶς, σκότος οὐ μὴ
θεωρήσῃ εἰς τὸν αἰῶνα. ἀδύνατον γὰρ γενέσθαι σκότος τῷ τηροῦντι 369
τὸ φῶς· εἰ μέντοι γε ἀπολέσαι τις τοῦτο τὸ φῶς, ἕπεται τῷ ἀπο-
λωλεκότι εὐθέως ἰδεῖν τὸ σκότος. οὕτω τοίνυν καὶ ἐν τῷ λόγῳ
ἐν ἀρχῇ πρὸς τὸν θεὸν γέγονεν ἡ ζωή. διόπερ ἡ ἀρχή (τουτέστιν 370
ἡ σοφία ἡ λέγουσα· »Ὁ θεὸς ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα
»αὐτοῦ«) περὶ τοῦ ἐν αὐτῇ λόγου, ἐν ᾧ γέγονεν ἡ ζωή, διδάξει καὶ
φήσει· »Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ

1 Vgl. I Joh. 3, 14. — **2** I Kor. 15, 26. — **3** Röm. 5, 12—14. — **10** Röm. 5, 17. — **22** Vgl. Kol. 1, 15. — **24** Joh. 8, 51. — **29** Vgl. Joh. 1, 1. 4. — **31** Prov. 8, 22. — **33** Joh. 8, 51.

4 ἡ vor ἁμαρτία singulär | **9** μὴ str. Griesbach, opusc. acad. I, 282; vgl. u. S. 384, 22 | **10** ἐν ἑνὸς mit 47, vgl. ἐν τῷ ἑνὶ D | **11** τῆς δωρεᾶς vor χάριτος fehlt hier mit B Iren.; doch vgl. u. S. 384, 34 | **13** Χριστοῦ Ἰησοῦ mit B; u. S. 384, 30 Ἰησοῦ Χριστοῦ mit ANCD rell. Iren. | **24** θεωρήσῃ] η² a. Ras. | **26** σκότον, corr. We.

Digitized by Google

»εἰς τὸν αἰῶνα«· ἅμα γὰρ τηρήσει τις τὸν λόγον καὶ τὴν ἀχώριστον αὐτοῦ γενομένην ἐν αὐτῷ ζωήν, ἥτις ἅμα καὶ φῶς ἐστιν τῶν ἀνθρώπων, τὸ ἐν τῇ σκοτίᾳ φαῖνον καὶ μὴ καταλαμβανόμενον ὑπ'
371 αὐτῆς. ἐὰν οὖν οἱονεὶ πυνθανόμενος ὁ προφήτης λέγῃ· »Τίς ἐστιν ὁ ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον;« ἀποκρινούμεθα μαθόντες ἀπὸ τοῦ σωτῆρος ἡμῶν καὶ ἐροῦμεν ὅτι ὁ ἄνθρωπός ἐστιν »ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον«, ὃς τηρεῖ τὸν λόγον τοῦ εἰπόντος· »Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς »τὸν αἰῶνα«.

372 Ἅμα δὲ ἐν τῷ τόπῳ ζητῶ μήποτε τὸ »Εἰς τὸν αἰῶνα« ἀπὸ κοινοῦ ληπτέον, ὥστ' ἂν εἶναι τοιοῦτον τὸ ὅλον· ἐάν τις τὸν ἐμὸν
373 λόγον τηρήσῃ εἰς τὸν αἰῶνα, θάνατον οὐ μὴ θεωρήσῃ. καὶ γὰρ ἔοικεν ἐπὶ τοσοῦτόν τις μὴ θεωρεῖν τὸν θάνατον, ὅσον τηρεῖ τὸν τοῦ Ἰησοῦ λόγον· ἅμα γάρ τις ἀπώλεσεν αὐτὸν καὶ θάνατον ἐθεώρησεν.

374 Εἰ δὲ καὶ ἀνατρέχειν τις δύναται ἐπὶ τοὺς βαθυτέρους λόγους καὶ νοεῖν πῶς ὑπὸ ἀνθρώπου λέγοιτ' ἂν τὸ »Εἰς χοῦν θανάτου »κατήγαγές με«, καὶ ὑπὸ Παύλου· »Τίς με ῥύσεται ἐκ τοῦ σώματος »τοῦ θανάτου τούτου;« θεωρήσει τίνα τρόπον ὅσον μὲν ἐτηρεῖτο ὁ λόγος, θάνατος οὐκ ἐθεωρεῖτο τῷ τηροῦντι αὐτόν· ὅτε δέ τις καμὼν
376 ἐν τῇ προσοχῇ καὶ τηρήσει τοῦ λόγου ἢ ἀπροσεκτήσας περὶ τὸ τηρεῖν οὐκέτι αὐτὸν τετήρηκεν, τότε τὸν θάνατον ἐθεώρησεν | οὐ
375 παρ' ἄλλον ἢ παρ' ἑαυτόν. καὶ νομιστέον γε τοῦτο δόγμα εἶναι καὶ νόμον αἰώνιον, ἀεὶ ἂν ἡμῖν λεχθησομένου παραλαβοῦσι τὸν λόγον τοῦ »Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ ὄψεται εἰς
376 »τὸν αἰῶνα«. ὥσπερ δέ, ἵν' οὕτως ὀνομάσω, ἐπιπλέον θεωρηθὲν τὸ σκότος ἀφανίζει τὰς ὄψεις τοῦ θεωρήσαντος, οὕτως θεωρηθεὶς ὁ θάνατος ὑπὸ τοῦ τὸν λόγον μὴ τηρήσαντος θανατοῖ καὶ νεκροῖ τὴν θεωρήσασαν αὐτὸν ὄψιν καὶ ἀποτυφλοῖ, ὡς διὰ τοῦτο δεηθῆναι
377 τοῦ ἀνοίγοντος ὀφθαλμοὺς τυφλῶν. καὶ οἶμαί γε διὰ τοῦτο οἱ τυφλοί, ὧν σύμβολον ἦσαν οἱ ἐν τῷ εὐαγγελίῳ τυφλοί, τὰς ὄψεις ἀπολωλέκασιν, ἐπείπερ τὸν λόγον μὴ τηρήσαντες τὸν θάνατον ἐθεώρησαν.

VIII, 52. *Εἶπον αὐτῷ οἱ Ἰουδαῖοι· Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις.*

378 XL. (32) *Οἱ μὲν πολλοὶ καὶ τῶν σοφῶν πᾶν γένος ἁμαρτήματος, οὗ ἐν εἴδει ἐστὶν καὶ τὸ ἐν λόγῳ ἁμάρτημα, οὐκ ἄλλοθεν ἢ ἀπὸ κριμάτων*

3 Vgl. Joh. 1, 4. 5. — 4 Ps. 88, 49. — 8 Joh. 8, 51. — 10 Joh. 8, 51. — 17 Ps. 21, 16. — 18 Röm. 7, 24. — 25 Joh. 8, 51. — 35 „Stoisch" We.

1 *τηρήση*, corr. V | 5 *ἀπεκρινούμεθα* | 26 *ἐπιπλεῖον*] *ν* a. Ras. | 27 *ἀφανίζειν*, corr. V | 28 *ἀπό*, corr. We.

Digitized by Google

μοχθηρῶν οἴονται γίνεσθαι· οἱ δὲ ταῖς ἁγίαις γραφαῖς ὡς θείαις πεπιστευκότες διαλαμβάνουσιν περὶ τῶν παρὰ τὸν ὀρθὸν λόγον ὑπ' ἀνθρώπων πραττομένων, ὡς οὐ χωρὶς δαιμονίων ἢ ὁποιωνδήποτε δυνάμεων ἀντικειμένων τῶν τοιούτων ἐπιτελουμένων. καὶ οἱ Ἰου- 379
δαῖοι τοίνυν δαιμονίου ἐνεργείᾳ ὑπελάμβανον εἰρηκέναι τὸν Ἰησοῦν τὸ »Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα«. καὶ τοῦτ' ἐπεπόνθεισαν μήτε 380
τὸν λόγον τηρήσαντες μήτε τοῦ λεγομένου τὴν δύναμιν θεωρήσαντες· ὁ μὲν γὰρ θάνατόν τινα ἐχθρὸν τῷ λόγῳ ἐπιστάμενος, ὃν ἀποθνήσκουσιν οἱ ἁμαρτάνοντες, τοῦτον ἔφασκεν μὴ θεωρεῖσθαι εἰς τὸν 363R
αἰῶνα ὑπὸ τοῦ τὸν λόγον αὐτοῦ τηρήσαντος· οἱ δὲ περὶ τοῦ κοινοτέρου θανάτου νομίσαντες εἶναι τὸ λεγόμενον παραπαίειν ᾠοντο τὸν λέγοντα, ἀποθανόντος Ἀβραὰμ καὶ τῶν προφητῶν, μὴ ἀποθανεῖσθαι εἰς τὸν αἰῶνα πάντα τὸν τηρήσαντα αὐτοῦ τὸν λόγον.

VIII, 52f. *Ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται, καὶ σὺ λέγεις· Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, οὐ μὴ γεύσηται θάνατον εἰς τὸν αἰῶνα. μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανεν; καὶ οἱ προφῆται ἀπέθανον· τίνα σεαυτὸν ποιεῖς;*

XLI. (33) *Εἰ κατὰ τὴν ἁπλουστέραν ἐκδοχήν, ὡς καὶ αὐτοὶ* 381
ἀποδεδώκαμεν, δοκεῖ εἶναι σαφὲς τὸ τῆς ὑπολήψεως τῶν Ἰουδαίων, ἀποκριναμένων πρὸς τὸν τοῦ σωτῆρος λόγον περὶ τοῦ Ἀβραὰμ καὶ
337H *τῶν προφητῶν ὡς ἀποτεθνηκότων, οὐδὲν ἧττον οὐκ ἀπαρασή-*
263r *μαντον τὴν ἐξέτασιν μετὰ συγκρίσεως τῆς πρὸς ἕτερα παραπλήσια ἐατέον. ἆρα γὰρ ᾠοντο σὺν οὐδενὶ λόγῳ τὸν σωτῆρα εἰρηκέναι τὸ* 382
»Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν »αἰῶνα«, καὶ διὰ τοῦτο σαφές τι πρὸς τὸν λόγον αὐτοῦ ἀπεκρίναντο; ἢ ἐνόησαν οὐ περὶ τοῦ κοινοτέρου θανάτου αὐτὸν λελαλη- 383
κέναι, καὶ διαλαμβάνοντες περὶ Ἀβραὰμ καὶ τῶν προφητῶν, ὡς καὶ αὐτῶν ἐν τῷ χείρονι θανάτῳ γεγενημένων ποτέ, τὸν λόγον αὐτοῦ μὴ παραδεξάμενοι μηδὲ ὑπολαμβάνοντες αὐτὸν εἶναι τηλικοῦτον ὁποῖον ἐπηγγείλατο ὁ λέγων, φασίν· »Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον 384
»ἔχεις«; τὸ δ' ὅμοιον καὶ ἐπ' ἄλλων αὐτοῦ λόγων καὶ τῶν πρὸς αὐτοὺς ἀποκρίσεων ἐπὶ πλειόνων ἐν τοῖς ἀνωτέρω ἐξητάσαμεν· οἷον

6 Joh. 8, 51. — **19** Vgl. S. Zeile 4ff. — **25** Joh. 8, 51. — **31** Joh. 8, 52. — **33** Die Ausführungen sind verloren.

1 *οἴονται*] *οιον*, corr. V | **5** *ἐνέργειαν*, corr. Pr | **10** *ἐφασκομεν*, corr. V | **16** l. *θανάτου* mit T | **17** *ἡμῶν*] *ἡ* a. Ras. | **18** *τινασεάυτον* | **24** *οὐδενὶ λόγῳ*] *οὐδενιντῶ*, corr. V *σὺν οὐδενὶ νῷ*? We | **27** *ἐνόησαμεν*, corr. Br.

Digitized by Google

ἐπὶ τῆς Σαμαρείτιδος, ὅτι εἰπὼν αὐτῇ ὁ Ἰησοῦς· »⟨Δός μοι⟩ πιεῖν« μεθ' ἕτερα προσέθηκεν τοιαῦτα· »Εἰ ἤδεις τὴν δωρεὰν τοῦ θεοῦ. »καὶ τίς ἐστιν ὁ λέγων σοι· Δός μοι πιεῖν, σὺ ἂν ἤτησας αὐτὸν καὶ
385 »ἔδωκεν ⟨ἄν⟩ σοι ὕδωρ ζῶν. καὶ λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε »ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶν βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ »τὸ ζῶν;« καὶ πάλιν· »Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ
386 »μηδὲ διέρχωμαι ἐνθάδε ἀντλεῖν«. οὐ γὰρ πιθανὸν ἦν περὶ αἰσθητοῦ ὕδατος ἀποκρίνεσθαι αὐτῷ τὴν Σαμαρείτιν, καὶ ἠτηκέναι αὐτὸν σωματικὸν ὕδωρ ἐπὶ τῷ μηκέτι διψῆσαι μηδὲ διέρχεσθαι ἀντλεῖν ἀπὸ
387 τῆς τοῦ Ἰακὼβ αἰσθητῆς πηγῆς. ἀλλὰ καὶ εἰπόντος τοῦ κυρίου· »Ὁ ἄρτος, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου 364R
»ζωῆς«· ὅτε »ἐμάχοντο πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι λέγοντες· Πῶς δύ»ναται ἡμῖν οὗτος δοῦναι τὴν σάρκα φαγεῖν;« ἀπεδείκνυμεν ὅτι οὐκ ἂν τοσοῦτον ἀνόητοι ἦσαν οἱ ἀκούοντες ὡς ὑπολαμβάνειν ὅτι προκαλεῖται ὁ λέγων τοὺς ἀκροατὰς εἰς τὸ προσελθεῖν καὶ ἐμφαγεῖν
388 τῶν σαρκῶν αὐτοῦ.

XLII. Καὶ εἰκός γε, ὅτι ἔλεγον οἱ Ἰουδαῖοι ἐπὶ τῶν νῦν ἡμῖν ἐξεταζομένων ῥητῶν τὸ »Ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται«, μεμαθηκότες τίνα τρόπον »δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν »κόσμον εἰσῆλθεν καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος· καὶ οὕτως εἰς »πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον«. ἔβλεπον δὲ καὶ ὅτι »ἐβασίλευσεν ὁ θάνατος ἐπὶ τοὺς ἁμαρτήσαντας »ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ«, καὶ ἦν αὐτοῖς ὁ λόγος περὶ τοῦ διὰ τὴν ἁμαρτίαν θανάτου εἰς πάντας ἀνθρώπους διεληλυ-
389 θότος ἐπὶ τῷ πάντας ἡμαρτηκέναι. περὶ τούτων δὲ μεμαθηκότες 338H
τὰ ἑξῆς, ἅτε μὴ παραδεξάμενοι τοὺς Ἰησοῦ λόγους, οὐκ ἤδεισαν, καὶ
390 ὅτι »οὐχ ὡς τὸ παράπτωμα, οὕτως καὶ τὸ χάρισμα«. ἀλλ' οὐδὲ συλλογίζεσθαί πως ἐδύναντο ὅτι »εἰ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ »πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ καὶ ἡ δωρεὰ »ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ | εἰς τοὺς πολλοὺς 263V
391 »ἐπερίσσευσεν«. οὐ συνίεσαν δὲ καὶ πῶς οὐκ ἦν τὸ δώρημα ὅμοιον τῷ δι' ἑνὸς ἁμαρτήσαντος θανάτῳ· οὐδὲ γὰρ ἐπεπαίδευντό πω ὅτι
392 τὸ χάρισμα ἐκ πολλῶν παραπτωμάτων ἐγίνετο εἰς δικαίωμα. ἀλλ' οὐδὲ ἔβλεπον ὅτι »Οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς »λαμβάνοντες ἐν ζωῇ βασιλεύσουσιν διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ«.

1 Joh. 4, 7. — **2** Joh. 4, 10f. — **6** Joh. 4, 15. — **11** Joh. 6, 51. — **12** Vgl. Joh. 6, 52. — **18** Joh. 8, 52. — **19** Röm. 5, 12. — **22** Vgl. Röm. 5, 14. — **27** Röm. 5, 15. — **31** Vgl. Röm. 5, 16. — **34** Röm. 5, 17.

1 ⟨δός μοι⟩ + V | **1. 3** ποιεῖν | **4** ἂν⟩ + Ausgg. | **24** διεληλυθότες, corr. V **32** ἐπεπαίδευντο] νν a. Ras. | **33** τὸ a. Ras.

Digitized by Google

καὶ ἐνενόουν μὲν τὸν θάνατον Ἀβραὰμ καὶ τῶν προφητῶν, ἀκούοντες 393
ὅτι καὶ Σαμουήλ, ὡς διὰ τὸν θάνατον ὑπὸ γῆν ὤν, ὑπὸ ἐγγαστριμύθου ἀνήγετο, θεοὺς οἰομένης κάτω που εἶναι τῆς γῆς καὶ λεγούσης· »Θεοὺς ἐγὼ εἶδον ἀναβαίνοντας ἀπὸ τῆς γῆς«· τὴν δὲ ζωὴν
5 τοῦ Ἀβραὰμ καὶ τῶν προφητῶν οὐ κατειλήφασιν, οὐδ' ὅτι ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ θεὸς ἦν οὐ νεκρῶν αὐτῶν ἀλλὰ ζώντων· καὶ ὡς ὑπολαμβάνοντες [τε] νεκροὺς εἶναι τοὺς προφήτας ᾠκοδόμουν αὐτῶν τοὺς τάφους, καὶ διὰ τοῦτο ταλανιζόμενοι. εἰ καὶ 394
ἀπέθανεν οὖν Ἀβραάμ, ἀλλ' ἔζησεν καὶ οὐκέτι τὸν θάνατον ἐθεώρει
10 ἀφ' οὗ ἰδὼν τὴν Ἰησοῦ ἡμέραν ἠγαλλιάσατο καὶ ἐχάρη. οἶμαι δὲ 395
καὶ διὰ τοῦτο πρὸς τὸ »Ἀβραὰμ ἀπέθανεν« εἰρῆσθαι ὑπὸ τοῦ σω-
365 R τῆρος, διδάσκοντος ὅτι Ἀβραὰμ ἔζη. τὸ »Ἀβραὰμ ὁ πατὴρ ὑμῶν »ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ ἴδεν καὶ ἐχάρη«. εἰ ⟨δὲ⟩ μὴ βούλεταί τις οὕτως ἔχειν τὰ περὶ τοῦ Ἀβραάμ, λεγέτω ἡμῖν, 396
15 πότερόν ποτε ὁ ἰδὼν τὴν τοῦ σωτῆρος ἡμῶν ἡμέραν καὶ ἐπὶ τούτῳ ἀγαλλιασάμενος καὶ χαρεὶς ἔτι θεωρεῖ τὸν θάνατον, ἢ ἰδὼν τὴν ἡμέραν τοῦ σωτῆρος καὶ ἀγαλλιασάμενος καὶ χαρείς, ἀξιωθεὶς τοιαύτης ὄψεως ὡς ἄξιος αὐτῆς, ὕστερον ἐστέρηται οὗ ἐθεώρησεν. εἰ γὰρ 397
ἑκάτερον τούτων ἄτοπόν ἐστιν, ἰδὼν τὴν ἡμέραν Ἰησοῦ Ἀβραὰμ
20 ἅμα τῷ ἰδεῖν ἤκουσεν καὶ τὸν λόγον αὐτοῦ καὶ ἐτήρησεν καὶ οὐκέτι θάνατον θεωρεῖ· καὶ οὐχ ὑγιῶς ἔλεγον, ὡσπερεὶ ἔτι ἐν θανάτῳ τυγχάνοντος αὐτοῦ, οἱ Ἰουδαῖοι τὸ »Ἀβραὰμ ἀπέθανεν«. τὸ δ' ὅμοιον 398
ἐρεῖς καὶ περὶ τῶν προφητῶν. εἰ γὰρ ὁ θεὸς οὐκ ἔστιν νεκρῶν ἀλλὰ ζώντων, καὶ ἔστιν ὥσπερ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ
25 Ἰακὼβ οὕτως καὶ τῶν λοιπῶν προφητῶν θεός, ζῶσιν καὶ οἱ προφῆται. καὶ γὰρ ἐτήρησαν τὸν λόγον τοῦ υἱοῦ τοῦ θεοῦ, ὅτε λόγος κυρίου ἐγένετο πρὸς Ὡσηέ, ἢ λόγος ἐγένετο πρὸς Ἱερεμίαν, ἢ λόγος
339 H ἐγένετο [τὸ] πρὸς Ἡσαΐαν· οὐ γὰρ ἄλλος λόγος θεοῦ ἐγένετο πρός τινα τούτων, ἀλλ' ὁ ἐν ἀρχῇ πρὸς τὸν θεὸν υἱὸς αὐτοῦ θεὸς λόγος. καὶ 399
30 τοῦτον, εἰ καί τις ἄλλος, καὶ οἱ προφῆται τετηρήκασιν καὶ ἐξ οὗ εἰλήφασιν τὸν λόγον θάνατον οὐκέτι ἐθεώρησαν. ὁμοίως τοίνυν 400
264 r ψεῦδος τῷ· »Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις« τὸ »Ἀβραὰμ ἀπέ»θανεν καὶ οἱ προφῆται« εἰρημένον ὑπὸ τῶν Ἰουδαίων· οὔτε γὰρ ἔγνωσαν δαιμόνιον ἔχειν τὸν ἐπιτάσσοντα δαιμονίοις (οὐδεὶς γὰρ
35 γινώσκει τὸ μὴ ὑπάρχον), οὔτε Ἀβραὰμ καὶ οἱ προφῆται ἐν θανάτῳ

2 Vgl. I Sam. 28, 3ff. — 4 I Sam. 28, 13. — 5 Vgl. Matth. 22, 32. — 7 Vgl. Matth. 23, 29. — 10 Vgl. Joh. 8, 56. — 12 Joh. 8, 56. — 20 Vgl. Joh. 8, 51. — 23 Vgl. Matth. 22, 32. — 27 Vgl. Hos. 1, 1; Jer. 14, 1; Jes. 2, 1. — 29 Vgl. Joh. 1, 1. — 32 Joh. 8, 52.

2 σαμοηλ | 7 [τε] str. We | 12 ζῇ? We | ἡμῶν | 14 ⟨δὲ⟩ + We | 15 πρότερον, corr. V | 16 ἀγαλλιασόμενος, corr. Br | 21 ἔλεγεν, corr. V | ἐν] ον, corr. Ausgg.

Digitized by Google

ἔτι ἦσαν, ὅτε ἔλεγον οἱ Ἰουδαῖοι τὸ »Ἀβραὰμ ἀπέθανεν καὶ οἱ »προφῆται«.

401 XLIII. Μετὰ ταῦτα ζητοῦμεν τί δήποτε, τοῦ σωτῆρος εἰρηκότος περὶ παντὸς τοῦ τηροῦντος αὐτοῦ τὸν λόγον ὅτι »Θάνατον οὐ θεωρήσει εἰς τὸν αἰῶνα«, οἱ Ἰουδαῖοι μετὰ τὰ προεξετασθέντα, δέον αὐτοὺς καταλλήλως τῷ »Θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα« εἰρηκέναι· »Καὶ σὺ λέγεις· Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον »οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα«· οἱ δὲ οὐ τοῦτο, ἀλλὰ τὸ μὴ εἰρημένον ὑπὸ τοῦ σωτῆρός φασιν· οὐ γὰρ εἶπεν· »ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θανάτου οὐ μὴ γεύσηται εἰς τὸν αἰῶνα«, ὅπερ οὗτοι
402 προφέρονται ὡς ὑπὸ τοῦ κυρίου ἡμῶν εἰρημένον. καὶ ὅρα εἰ μὴ τῷ εἶναι διαφορὰν τοῦ μὴ θεωρεῖν θάνατον καὶ τοῦ μὴ γεύεσθαι θανάτου ὑπὸ τῶν λοιπῶν ἅμα εὐαγγελιστῶν εἴρηται περὶ τοῦ μὴ 306R
γεύεσθαι θανάτου τοὺς ἐγγὺς τοῦ Ἰησοῦ ἑστῶτας, ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ ἑαυτοῦ, τοῦ μὲν Ματθαίου· »Ἀμήν, ἀμὴν λέγω ὑμῖν, εἰσίν τινες τῶν ὧδε ἑστώτων »οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀν-
403 »θρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ ἑαυτοῦ«· τοῦ δὲ Μάρκου· »Ἀμήν. »ἀμὴν λέγω ὑμῖν ὅτι εἰσίν τινες τῶν ἑστηκότων ὧδε οἵτινες οὐ μὴ »γεύσωνται θανάτου, ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυ-
404 »θυῖαν ἐν δυνάμει«· τοῦ δὲ Λουκᾶ· »Ἀληθῶς εἰσίν τινες τῶν ὧδε »ἑστώτων οἵτινες οὐ γεύσονται θανάτου, ἕως ἂν ἴδωσιν τὸν υἱὸν
405 »τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ«. ὥσπερ γὰρ ἐπὶ τοῦ σώματος διάφοροι αἰσθήσεις εἰσὶν γεῦσις καὶ ὅρασις, οὕτως κατὰ τὰς λεγομένας ὑπὸ τοῦ Σολομῶντος θείας αἰσθήσεις ἄλλη μέν τις ἂν εἴη ⟨ἡ⟩ ὁρατικὴ τῆς ψυχῆς δύναμις καὶ θεωρητική, ἄλλη δὲ ἡ γευστικὴ καὶ
406 ἀντιληπτικὴ τῆς ποιότητος τῶν νοητῶν τροφῶν. καὶ ἐπεὶ ὁ κύριος, καθ' ὃ μὲν ἄρτος ἐστὶν ζῶν ἐκ τοῦ οὐρανοῦ καταβάς, γευστός ἐστιν, τρόφιμος ὢν τῇ ψυχῇ, καθ' ὃ δὲ σοφία ἐστίν, ὁρατός ἐστιν, ἧς τοῦ κάλλους ἐραστὴς ὁμολογεῖ εἶναι ὁ λέγων· »Ἐραστὴς ἐγενόμην »τοῦ κάλλους αὐτῆς«, καὶ προστάσσει ἡμῖν τὸ »Ἐράσθητι αὐτῆς, καὶ 340H
»τηρήσει σε«, διὰ τοῦτο ἐν Ψαλμοῖς εἴρηται τὸ »Γεύσασθε καὶ ἴδετε
407 »ὅτι χρηστὸς ὁ κύριος«. ὥσπερ δὲ ὁ κύριος γευστὸς καὶ ὁρατός,
408 οὕτως καὶ ὁ ἐχθρὸς αὐτοῦ θάνατος γευστός ἐστι καὶ ὁρατός. καὶ 264V
τὸ μὲν γευστὸν αὐτοῦ παρίστησιν τὸ »Εἰσίν τινες τῶν ὧδε ἑστώτων

1 Joh. 8, 52. — 3 Vgl. Joh. 8, 51. — 7 Joh. 8, 52. — 16 Matth. 16, 28. — 18 Mark. 9, 1. — 21 Luk. 9, 27. — 25 Vgl. Weish. Sal. 7, 22ff. — 28 Vgl. Joh. 6, 51. — 30 Weish. Sal. 8, 2. — 31 Prov. 4, 6. — 32 Ps. 33, 9. — 35 Matth. 16, 28.

6. 8 θεωρήσει, corr. Pr | 22 γεύσωνται | 25 ⟨ἡ⟩ + We | 31 προστάσσει] τασ a. Ras. | 33 χρηστός] χς (χριστός), corr. Ausgg.

Digitized by Google

»οἵτινες οὐ μὴ γεύσωνται θανάτου« καὶ τὰ ἑξῆς· τὸ δὲ ὁρατὸν τὸ »Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν »αἰῶνα«. γεύεται δὲ θανάτου, καὶ οὐ γεύεται μόνον ἀλλὰ καὶ ἐμ- 409
φορεῖται ὡς τροφῆς τοῦ θανάτου ὁ προφερόμενος τὰ ἐναντία
5 τοῖς ῥήμασιν τῆς αἰωνίου ζωῆς. καὶ ἐπαγγελία ἐστὶν μὴ γεύσεσθαι 410
θανάτου τινὰ τῶν ἑστώτων ἐν τῷ δεικνυμένῳ ὑπὸ τοῦ Ἰησοῦ νοητῷ
τόπῳ· παρατήρει γὰρ ὅτι οἱ τρεῖς τὸ »Εἰσί τινες τῶν ὧδε ἑστώτων«
ἢ »Εἰσίν τινες τῶν ἑστηκότων ὧδε«, ἅμα εἰρήκασιν περὶ ὧν καὶ
ἀνέγραψαν ὅτι »Οὐ γεύσονται θανάτου ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ
10 »ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ« ἢ »Ἐν τῇ δόξῃ αὐτοῦ«
ἢ »Ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει«.
καὶ ἐπεὶ ὡς δυνατοῦ ὄντος τοῦ τὸν ἑστηκότα πεσεῖν εἴρηται· »Ὁ 411
»δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ«, διὰ τοῦτο οὐ περὶ πάντων τῶν
ἑστηκότων ἀλλὰ περί τινων ἀναγέγραπται τὸ »Ἀμὴν λέγω ὑμῖν·
15 »εἰσίν τινες τῶν ὧδε ἑστώτων«. ἑστὼς μὲν οὖν τις οὐ γεύεται θα- 412
367 R νάτου, τηρῶν τὸ ἑστηκέναι· τὸν δὲ λόγον παραλαβὼν καὶ τηρῶν
θάνατον οὐ θεωρήσει.

XLIV. Εἴπερ οὖν διαφορά τίς ἐστιν τοῦ γεύσασθαι θανάτου 413
καὶ τοῦ θεωρεῖν τὸν θάνατον, ὡς οὐ συνετοὶ ἀκροαταὶ οἱ Ἰουδαῖοι
20 συγχέοντες τὸν τοῦ κυρίου λόγον, ἀντὶ τοῦ »Θάνατον οὐ θεωρήσει«
εἰρήκασιν· »Οὐ μὴ γεύσηται θανάτου« ἐπὶ τὴν ὑποδεεστέραν αἴσθησιν
καταπεσόντες τῷ λόγῳ. ζητήσεις δὲ εἰ ὥσπερ ἔστιν θεωρεῖν θάνα-
τον καὶ γεύεσθαι θανάτου, οὕτως καὶ κατὰ τὰ λοιπὰ αἰσθητήρια
ἤτοι ἀκούειν θανάτου ἢ ὀσφραίνεσθαι θανάτου ἢ ἅπτεσθαι θανάτου·
25 εἰ γὰρ αἱ χεῖρες τῶν ἀποστόλων ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς
ζωῆς, μή τι αἱ χεῖρες τῶν ψευδαποστόλων καὶ ἐργατῶν δολίων.
μετασχηματιζομένων εἰς ἀγγέλους δικαιοσύνης, ψηλαφῶσιν περὶ τοῦ
λόγου τοῦ θανάτου· καὶ εἰ τὰ πρόβατα Χριστοῦ ἀκούει τῆς φωνῆς
αὐτοῦ, μήποτε τὰ μὴ αὐτοῦ πρόβατα, πρὸς οὓς λέγοι ἄν· »Ὑμεῖς οὐκ
30 »ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν«, ἀκούει τῆς φωνῆς τοῦ θανάτου.
ὅρα ⟨δὲ⟩ εἰ μὴ ὀσμὴ θανάτου ἐστὶν ἐν τοῖς ἀπὸ τῆς ἁμαρτίας μώ- 414
λωψιν, περὶ ὧν εἴρηται· »Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές

2 Joh. 8, 51. — **5** Vgl. Joh. 6, 68. — **7** Matth. 16, 28. Luk. 9, 27. — **8** Mark. 9, 1. — **9** Matth. 16, 28. — **10** Luk. 9, 27. — **11** Mark. 9, 1. — **12** I Kor. 10, 12. — **14** Matth. 16, 28. — **20** Joh. 8, 52. — **25** Vgl. I Joh. 1, 1. — **26** Vgl. II Kor. 11, 13. — **28** Vgl. Joh. 10, 27. — **29** Joh. 10, 26. — **32** Ps. 37, 6.

1 τὰ] τὸ | **4** προσφερόμενος, corr. Ausgg. | **5** γεύσασθαι, corr. We | **13** βλέπω, corr. V | **26** ἔργων, corr. V | **27** μετασχηματιζομένων] χη verblichen | ἀγγέλους δικαιοσύνης steht nicht II Kor. 11, 13, sondern ἀποστόλους Χριστοῦ. Orig. denkt an διάκονοι δικαιοσύνης v. 15 | **29** πρόβατα] πρό verblichen | **31** ⟨δὲ⟩ + V.

Digitized by Google

ἔτι ἦσαν, ὅτε ἔλεγον οἱ Ἰουδαῖοι τὸ »Ἀβραὰμ ἀπέθανεν καὶ οἱ »προφῆται«.

401 XLIII. Μετὰ ταῦτα ζητοῦμεν τί δήποτε, τοῦ σωτῆρος εἰρηκότος περὶ παντὸς τοῦ τηροῦντος αὐτοῦ τὸν λόγον ὅτι »Θάνατον οὐ θεωρήσει εἰς τὸν αἰῶνα«, οἱ Ἰουδαῖοι μετὰ τὰ προεξετασθέντα, δέον αὐτοὺς καταλλήλως τῷ »Θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα« εἰρηκέναι· »Καὶ σὺ λέγεις· Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον »οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα«· οἱ δὲ οὐ τοῦτο, ἀλλὰ τὸ μὴ εἰρημένον ὑπὸ τοῦ σωτῆρός φασιν· οὐ γὰρ εἶπεν· »ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θανάτου οὐ μὴ γεύσηται εἰς τὸν αἰῶνα«, ὅπερ οὗτοι
402 προφέρονται ὡς ὑπὸ τοῦ κυρίου ἡμῶν εἰρημένον. καὶ ὅρα εἰ μὴ τῷ εἶναι διαφορὰν τοῦ μὴ θεωρεῖν θάνατον καὶ τοῦ μὴ γεύεσθαι θανάτου ὑπὸ τῶν λοιπῶν ἅμα εὐαγγελιστῶν εἴρηται περὶ τοῦ μὴ 360R γεύεσθαι θανάτου τοὺς ἐγγὺς τοῦ Ἰησοῦ ἑστῶτας, ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ ἑαυτοῦ, τοῦ μὲν Ματθαίου· »Ἀμήν, ἀμὴν λέγω ὑμῖν, εἰσίν τινες τῶν ὧδε ἑστώτων »οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀν-
403 »θρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ ἑαυτοῦ«· τοῦ δὲ Μάρκου· »Ἀμήν, »ἀμὴν λέγω ὑμῖν ὅτι εἰσίν τινες τῶν ἑστηκότων ὧδε οἵτινες οὐ μὴ »γεύσωνται θανάτου, ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυ-
404 »θυῖαν ἐν δυνάμει«· τοῦ δὲ Λουκᾶ· »Ἀληθῶς εἰσίν τινες τῶν ὧδε »ἑστώτων οἵτινες οὐ γεύσονται θανάτου, ἕως ἂν ἴδωσιν τὸν υἱὸν
405 »τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ«. ὥσπερ γὰρ ἐπὶ τοῦ σώματος διάφοροι αἰσθήσεις εἰσὶν γεῦσις καὶ ὅρασις, οὕτως κατὰ τὰς λεγομένας ὑπὸ τοῦ Σολομῶντος θείας αἰσθήσεις ἄλλη μέν τις ἂν εἴη ⟨ἡ⟩ ὁρατικὴ τῆς ψυχῆς δύναμις καὶ θεωρητική, ἄλλη δὲ ἡ γευστικὴ καὶ
406 ἀντιληπτικὴ τῆς ποιότητος τῶν νοητῶν τροφῶν. καὶ ἐπεὶ ὁ κύριος, καθ' ὃ μὲν ἄρτος ἐστὶν ζῶν ἐκ τοῦ οὐρανοῦ καταβάς, γευστός ἐστιν, τρόφιμος ὢν τῇ ψυχῇ, καθ' ὃ δὲ σοφία ἐστίν, ὁρατός ἐστιν, ἧς τοῦ κάλλους ἐραστὴς ὁμολογεῖ εἶναι ὁ λέγων· »Ἐραστὴς ἐγενόμην »τοῦ κάλλους αὐτῆς«, καὶ προστάσσει ἡμῖν τὸ »Ἐράσθητι αὐτῆς, καὶ 340H »τηρήσει σε«, διὰ τοῦτο ἐν Ψαλμοῖς εἴρηται τὸ »Γεύσασθε καὶ ἴδετε
407 »ὅτι χρηστὸς ὁ κύριος«. ὥσπερ δὲ ὁ κύριος γευστὸς καὶ ὁρατός,
408 οὕτως καὶ ὁ ἐχθρὸς αὐτοῦ θάνατος γευστός ἐστι καὶ ὁρατός. καὶ 264v τὸ μὲν γευστὸν αὐτοῦ παρίστησιν τὸ »Εἰσίν τινες τῶν ὧδε ἑστώτων

1 Joh. 8, 52. — 3 Vgl. Joh. 8, 51. — 7 Joh. 8, 52. — 16 Matth. 16, 28. — 18 Mark. 9, 1. — 21 Luk. 9, 27. — 25 Vgl. Weish. Sal. 7, 22ff. — 28 Vgl. Joh. 6, 51. — 30 Weish. Sal. 8, 2. — 31 Prov. 4, 6. — 32 Ps. 33, 9. — 35 Matth. 16, 28.

6. 8 θεωρήσει, corr. Pr | 22 γεύσωνται | 25 ⟨ἡ⟩ + We | 31 προστάσσει] τασ a. Ras. | 33 χρηστός] χς (χριστός), corr. Ausgg.

Digitized by Google

»οἵτινες οὐ μὴ γεύσωνται θανάτου« καὶ τὰ ἑξῆς· τὸ δὲ ὁρατὸν τὸ »Ἐάν τις τὸν ἐμὸν λόγον τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν »αἰῶνα«. γεύεται δὲ θανάτου, καὶ οὐ γεύεται μόνον ἀλλὰ καὶ ἐμ- 409
φορεῖται ὡς τροφῆς τοῦ θανάτου ὁ προφερόμενος τὰ ἐναντία
5 τοῖς ῥήμασιν τῆς αἰωνίου ζωῆς. καὶ ἐπαγγελία ἐστὶν μὴ γεύσεσθαι 410
θανάτου τινὰ τῶν ἑστώτων ἐν τῷ δεικνυμένῳ ὑπὸ τοῦ Ἰησοῦ νοητῷ
τόπῳ· παρατήρει γὰρ ὅτι οἱ τρεῖς τὸ »Εἰσί τινες τῶν ὧδε ἑστώτων«
ἢ »Εἰσίν τινες τῶν ἑστηκότων ὧδε«, ἅμα εἰρήκασιν περὶ ὧν καὶ
ἀνέγραψαν ὅτι »Οὐ γεύσονται θανάτου ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ
10 »ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ« ἢ »Ἐν τῇ δόξῃ αὐτοῦ«
ἢ »Ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει«.
καὶ ἐπεὶ ὡς δυνατοῦ ὄντος τοῦ τὸν ἑστηκότα πεσεῖν εἴρηται· »Ὁ 411
»δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ«, διὰ τοῦτο οὐ περὶ πάντων τῶν
ἑστηκότων ἀλλὰ περί τινων ἀναγέγραπται τὸ »Ἀμὴν λέγω ὑμῖν·
15 »εἰσίν τινες τῶν ὧδε ἑστώτων«. ἑστὼς μὲν οὖν τις οὐ γεύεται θα- 412
367R νάτου, τηρῶν τὸ ἑστηκέναι· τὸν δὲ λόγον παραλαβὼν καὶ τηρῶν
θάνατον οὐ θεωρήσει.

XLIV. Εἴπερ οὖν διαφορά τίς ἐστιν τοῦ γεύσασθαι θανάτου 413
καὶ τοῦ θεωρεῖν τὸν θάνατον, ὡς οὐ συνετοὶ ἀκροαταὶ οἱ Ἰουδαῖοι
20 συγχέοντες τὸν τοῦ κυρίου λόγον, ἀντὶ τοῦ »Θάνατον οὐ θεωρήσει«
εἰρήκασιν· »Οὐ μὴ γεύσηται θανάτου« ἐπὶ τὴν ὑποδεεστέραν αἴσθησιν
καταπεσόντες τῷ λόγῳ. ζητήσεις δὲ εἰ ὥσπερ ἔστιν θεωρεῖν θάνα-
τον καὶ γεύεσθαι θανάτου, οὕτως καὶ κατὰ τὰ λοιπὰ αἰσθητήρια
ἤτοι ἀκούειν θανάτου ἢ ὀσφραίνεσθαι θανάτου ἢ ἅπτεσθαι θανάτου·
25 εἰ γὰρ αἱ χεῖρες τῶν ἀποστόλων ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς
ζωῆς, μή τι αἱ χεῖρες τῶν ψευδαποστόλων καὶ ἐργατῶν δολίων,
μετασχηματιζομένων εἰς ἀγγέλους δικαιοσύνης, ψηλαφῶσιν περὶ τοῦ
λόγου τοῦ θανάτου· καὶ εἰ τὰ πρόβατα Χριστοῦ ἀκούει τῆς φωνῆς
αὐτοῦ, μήποτε τὰ μὴ αὐτοῦ πρόβατα, πρὸς οὓς λέγοι ἄν· »Ὑμεῖς οὐκ
30 »ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν«, ἀκούει τῆς φωνῆς τοῦ θανάτου.
ὅρα ⟨δὲ⟩ εἰ μὴ ὁσμὴ θανάτου ἐστὶν ἐν τοῖς ἀπὸ τῆς ἁμαρτίας μώ- 414
λωψιν, περὶ ὧν εἴρηται· »Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές

2 Joh. 8, 51. — 5 Vgl. Joh. 6, 68. — 7 Matth. 16, 28. Luk. 9, 27. — 8 Mark. 9, 1. — 9 Matth. 16, 28. — 10 Luk. 9, 27. — 11 Mark. 9, 1. — 12 I Kor. 10, 12. — 14 Matth. 16, 28. — 20 Joh. 8, 52. — 25 Vgl. I Joh. 1, 1. — 26 Vgl. II Kor. 11, 13. — 28 Vgl. Joh. 10, 27. — 29 Joh. 10, 26. — 32 Ps. 37, 6.

1 τὰ] τὸ | 4 προσφερόμενος, corr. Ausgg. | 5 γεύσασθαι, corr. We | 13 βλέπω, corr. V | 26 ἔργων, corr. V | 27 μετασχηματιζομένων] χη verblichen | ἀγγέλους δικαιοσύνης steht nicht II Kor. 11, 13, sondern ἀποστόλους Χριστοῦ. Orig. denkt an διάκονοι δικαιοσύνης v. 15 | 29 πρόβατα] πρό verblichen | 31 ⟨δὲ⟩ + V.

Digitized by Google

»μου« καὶ ὀσμὴ θανάτου ἐν τῷ Λαζάρῳ πρὶν ἀναστῆναι ἐκ νεκρῶν. ἧς μὴ βουλόμενοι ὀσφραίνεσθαι οἱ ἀπόστολοι ἔλεγον τῷ σωτῆρι τὸ
415 »Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστιν«. εἰς δὲ τὸ περὶ τῆς νοητῆς 341 H
ὀσμῆς θανάτου ἢ ὀσμῆς ζωῆς παρατηρεῖν δεήσει | τὸ ἀποστολικὸν 265 r
οὕτως ἔχον· »Χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ ἐν παντὶ τόπῳ, ἐν »τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις· οἷς μὲν ὀσμὴ ἐκ θανάτου »εἰς θάνατον, οἷς δὲ ὀσμὴ ἐκ ζωῆς εἰς ζωήν«. εὐωδία μὲν γὰρ Χριστοῦ εἰσιν καὶ οὐδαμῶς δυσωδία ἐν παντὶ τόπῳ οἱ ἐν Χριστῷ
416 ἄνθρωποι. ἀλλ' [ἐπεὶ] ὥσπερ ἡ σωματικὴ εὐωδία τινὰ τῶν ζῴων λέγεται ἀναιρεῖν, οὕτως διὰ τὴν προγενομένην κακίαν καὶ ἡ Χριστοῦ εὐωδία γένοιτο ἄν τισιν τοῖς ἐκ θανάτου εἰς θάνατον αὐτῶν, τοῖς
417 ⟨δὲ⟩ ἐκ ζωῆς ἀποβαίνει εἰς ζωήν. ταῦτα παρακείμενα ἡμῖν ἔδοξεν εἶναι τῇ ἐξετάσει τοῦ γεύεσθαι θανάτου καὶ τοῦ θεωρεῖν ἢ μὴ θεω-
418 ρεῖν τὸν θάνατον. μετὰ ταῦτα μὴ θεωροῦντες ὅσῳ ὑπερέχει Χριστὸς τῶν πατριαρχῶν καὶ τῶν προφητῶν, ἀλλὰ μηδὲ πιστεύοντες Χριστὸν εἶναι τὸν τηλικαῦτα διδάσκοντα, ἐπαποροῦσιν λέγοντες·
419 »Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανεν;« οὐχ ὁρῶσιν δὲ ὅτι οὐ μόνον ⟨μείζων⟩ τοῦ Ἀβραὰμ ἀλλὰ καὶ παντὸς ἐν γεννητοῖς γυναικῶν ὁ ἐκ τῆς παρθένου γεγεννημένος, καὶ τῶν προ- 368 R
φητῶν πάντων ὁ προφητευόμενος ὑπ' αὐτῶν, καὶ τῶν ἀποθανόντων ὁ ζωοποιήσας αὐτούς, οὐχ ἑαυτὸν ποιήσας τοιοῦτον ἀλλ' ἀπὸ τοῦ
420 πατρὸς λαβών. »Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω »καὶ τῷ υἱῷ ζωὴν ἔδωκεν ἔχειν ἐν ἑαυτῷ«, οὐ δυναμένῳ ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲ ἕν, καὶ ζητοῦντι τὸ θέλημα οὐ τὸ ἑαυτοῦ, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντος αὐτόν. καὶ τὸ »Τίνα οὖν σεαυτὸν ποιεῖς;« μὴ τεθεωρηκότων ἦν φωνὴ ὅτι οὐχ ἑαυτὸν ὁ Ἰησοῦς πεποίηκεν ὅπερ
421 ἐστίν. διόπερ καὶ πρὸς τοῦτο δοκεῖ μοι ἀποκρίνεσθαι, διδάσκων τίς αὐτὸν ἐποίησεν ὅπερ ἦν, τὸ »Ἐὰν ἐγὼ δοξάσω ἐμαυτόν, ἡ δόξα μου »οὐδέν ἐστιν· ἔστιν ὁ πατὴρ ὁ δοξάζων με.«

422 Καὶ ταῦτα δέ, αὐτάρκη περιγραφὴν εἰληφότος τοῦ εἰκοστοῦ τῶν εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἐξηγητικῶν τόμου, τὴν περιγραφὴν ἐνταῦθα εἰληφέτω, ἵνα θεοῦ ἀποκαλύπτοντος ἡμῖν τὰ ἑξῆς θεωρήσωμεν ἐν τῷ μετὰ ταῦτα ἀπὸ τοῦ »Ἀπεκρίθη Ἰησοῦς· Ἐὰν ἐγὼ »δοξάσω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν«.

3 Joh. 11, 39. — 5 II Kor. 2, 15f. — 17 Joh. 8, 53. — 19 Vgl. Matth. 11, 11. — 22 Joh. 5, 26. — 23 Vgl. Joh. 5, 30. — 25 Joh. 8, 53. — 28 Joh. 8, 54. — 33 Joh. 8, 54.

2 nicht die Apostel sagen die Worte, sondern Martha | 9 ἐπεὶ] ἔτι We; wohl als Dublette zu ὥσπερ z. str. | 12 ⟨δὲ⟩ + V | εἰς ζωὴν] ἡ ζωή, corr. V | 14 Χριστὲ (χε), corr. V | 18 ⟨μείζων⟩ + Pr | 23 δυναμένοι, corr. Ausgg.

Digitized by Google

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

ΤΟΜΟΣ ΚΗ'.

342H 369R I. Οἱ φύσεις ἀριθμῶν ἐρευνήσαντες πρῶτον μὲν τέλειον τὸν ἓξ **1**
εἰρήκασιν, τοῖς ἑαυτοῦ μέρεσιν ἰσούμενον, ἔκ τε τῆς συνθέσεως τοῦ
ἀπὸ μονάδος διπλασιαζομένου, ἑνὸς καὶ δύο, ὅ ἐστι τρία, ἀριθμὸς
πρῶτος, καὶ τοῦ ἐφ' ὃν ἔφθασεν ὁ διπλασιασμός, λέγω δὲ τοῦ δύο·
265v γενόμενος γὰρ ὁ δύο ἐπὶ τὸν τρία πεποίηκεν τὸν | ἓξ. δεύτερον δὲ **2**
τέλειόν φασιν εἶναι τὸν εἴκοσι καὶ ὀκτώ, συνιστάμενον ἔκ τε τοῦ
συνθέτου τῶν ἀπὸ μονάδος διπλασιαζομένων, ἕως γένηται πρῶτος
ἀριθμός, καὶ τοῦ ἐφ' ὃν ἔφθασεν ὁ διπλασιασμός. τέσσαρα μὲν γάρ
ἐστιν ὁ ἀπὸ μονάδος διπλασιαζόμενος ἐν τῷ ἕν δύο τέσσαρα. ἑπτὰ **3**
δὴ τούτων σύνθεσις, καὶ αὐτὸς πρῶτος ἀριθμὸς ὑπὸ μονάδος μόνης
μετρούμενος· γινόμενος δὲ ὁ τέσσαρα ἐπὶ τὸν ἑπτὰ πεποίηκεν τὸν
εἴκοσι καὶ ὀκτώ, καὶ αὐτὸν τοῖς ἑαυτοῦ μέρεσιν ἴσον.

Διὰ τοῦτο δ' οἶμαι † ῥᾴδιον διαλαμβάνεται ἀπὸ τοῦ παιδευθέντος **4**
›πάσῃ σοφίᾳ [καὶ] Αἰγυπτίων‹ Μωσέως εἰς τὴν τῆς σκηνῆς τοῦ μαρ-
τυρίου κατασκευήν· αἱ γὰρ αὐλαῖαι εἴκοσι καὶ ὀκτὼ πηχῶν τὸ μῆκός
εἰσιν. καὶ ἐχρῆν γε τὴν εἰς δόξαν θεοῦ κατασκευαζομένην σκηνὴν **5**
τοῦ μαρτυρίου μετὰ τῶν ἐξαιρέτων ἀριθμῶν ἔχειν καὶ τὸν εἴκοσι καὶ
ὀκτώ. ἐφ' ὅν, ἱερὲ ἀδελφὲ Ἀμβρόσιε, φθάσαντες τῶν εἰς τὸ κατὰ **6**
Ἰωάννην ἐξηγητικῶν (οὗτος γὰρ ἔσται, θεοῦ χαριζομένου, εἰκοστὸς
ὄγδοος εἰς τὸ εὐαγγέλιον τόμος), ἐπικαλεσάμενοι τὸν τέλειον καὶ τε-
λειότητος χορηγὸν θεὸν διὰ τοῦ τελείου ἀρχιερέως ἡμῶν Ἰησοῦ

1 Vgl. [„Philo, De opif. mundi 3 § 13" We] M. Cantor, Vorlesungen über Gesch. d. Mathematik I, 142. — **14** Vgl. Act. 7, 22. — **15** Vgl. Exod. 26, 2. — **21** Vgl. Hebr. 2, 17.

Überschrift unter roter u. schwarzer Randleiste | **1** Das Wesen der hier zu Grunde liegenden Zahlenspielerei beruht darauf, dass als „vollkommene Zahl" die Zahl angesehen wird, die gleich der Summe ihrer aliquoten Teile ist: $6 = (1 + 2) \times 2$, oder $= 1 + 2 + 3$; $28 = (1 + 2 + 4) \times 4$, oder $= 1 + 2 + 4 + 7 + 14$ | **2** *ἰσούμενον* We] *ἱστάμενον* M | **13** *τὸν ἀριθμὸν λαμβάνεσθαι*? We | **14** [*καὶ*] str. V; doch ist vielleicht auch danach ein ⟨*τέχνῃ*⟩ zu erg.

Digitized by Google

Χριστοῦ, ἵν' ἡμῶν τὸν νοῦν δῷ εὑρεῖν τὴν περὶ τῶν ἐξετασθησο- 350 B
μένων ἀλήθειαν καὶ κατασκευὴν αὐτῶν, [καὶ] οὕτως ὁδεύσωμεν καὶ
ἐπὶ τὰ ἑξῆς.

XI, 39. *Λέγει ὁ Ἰησοῦς· Ἄρατε τὸν λίθον.*

7 II. *Ἐπείπερ ἐνθάδε μὲν τὸν ἐπικείμενον τῷ σπηλαίῳ λίθον οὐκ* 5
αὐτὸς ὁ Ἰησοῦς αἴρει ἀλλὰ λέγει· »Ἄρατε τὸν λίθον«, ἐν δὲ τῇ Γενέσει,
ἡνίκα »λίθος ἦν μέγας ἐπὶ τῷ στόματι τοῦ φρέατος, καὶ συνήγοντο
»ἐκεῖ πάντα τὰ ποίμνια, καὶ ἀπεκύλιον λίθον ἀπὸ τοῦ στόματος τοῦ 343 H
»φρέατος, καὶ συνήγοντο καὶ ἐπότιζον τὰ πρόβατα, καὶ ἀπεκαθίστων
»τὸν λίθον ἐπὶ τὸ στόμα τοῦ φρέατος εἰς τὸν τόπον αὐτοῦ« καὶ τῷ 10
μηδέπω τοῦτο γεγονέναι διὰ τὸ μὴ συνῆχθαι τὰ κτήνη, ὁ Ἰακὼβ ἰδὼν
»Ῥαχὴλ τὴν θυγατέρα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ καὶ τὰ
»πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, προσελθὼν αὐτὸς
»ἀπεκύλισε τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος καὶ ἐπότισεν
»τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ«, βουλόμεθα 15
ἀμφοτέρους τοὺς λίθους ἀλλήλοις συνεξετάσαι, ἵνα τὸ εὔλογον κατα-
νοήσωμεν τοῦ ἐνθάδε μὲν μὴ αὐτὸν τὸν Ἰησοῦν ἡρκέναι τὸν λίθον
ἀπὸ τοῦ σπηλαίου, ἀλλ' εἰρηκέναι· »Ἄρατε τὸν λίθον«, ἐν δὲ τῇ Γε-
νέσει αὐτὸν τὸν Ἰακὼβ ἀποκεκυλικέναι τὸν λίθον ἀπὸ τοῦ στόματος
8 *τοῦ φρέατος. καὶ πρόσχες εἰ δυνάμεθα λέγειν ὅτι τοῦ μὲν ἐπὶ τῷ* 20
σπηλαίῳ λίθου, | ἐπεὶ τὸ σπήλαιον μνημεῖον ἦν, οὐκ ἐχρῆν αὐτὸν 266 r
ἅψασθαι τὸν Ἰησοῦν, ἀλλὰ προστάξαι μόνον τοῖς ἐπιτηδείοις πρὸς τὸ
ἔργον ἆραι τὸν λίθον, τοῦ δὲ ἐπικειμένου τῷ στόματι τοῦ φρέατος
καὶ ἐμποδίζοντος τοῦ πίνειν τὰ πρόβατα, ἀφ' ὧν ἔμελλεν γενέσθαι
τὰ ἐπίσημα καὶ ἡ μερὶς τοῦ Ἰακώβ, αὐτὸν ἔδει λαβέσθαι τὸν Ἰακώβ, 25
καὶ προσελθόντα τῷ λίθῳ ἀποκυλίσαι αὐτὸν ἀπὸ τοῦ στόματος τοῦ
φρέατος, ἵνα ποτισθῇ τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς
9 *αὐτοῦ. καὶ ἔδει γε ἐπὶ μὲν τοῦ φρέατος αὐτὸν προσελθεῖν τὸν Ἰακώβ.*
10 *ἔξω δὲ τοῦ σπηλαίου στῆναι τὸν Ἰησοῦν. εἰ δὲ δύνασαι, ἐπίστησον*
τί δήποτε ἐπὶ μὲν τοῦ σπηλαίου οὐ κεκύλισται ὁ ἐπικείμενος αὐτῷ 30
λίθος ἀλλὰ αἴρεται, ἐπὶ δὲ τοῦ φρέατος οὐ παντελῶς αἴρεται ἀλλὰ

7 Gen. 29, 2f. — **11** Vgl. Gen. 29, 8. — **12** Gen. 29, 10. — **18** Joh. 11, 39. **21** *ἐπεὶ* — **29** *Ἰησοῦν* Cat^{84}. — **24** Vgl. Gen. 30, 42.

2 *καὶ* str. We | **4** *τὸν*] *τὸ* | **9** *ἀποκαθιστῶν* | **11** *εἰδὼν* | **21** *ἐχρῆν* — **22** *Ἰησοῦν*] *οὐχ ἥψατο αὐτὸς τοῦ λίθου* Cat. | **22** *προστάξαι μόνον*] *ἐπέτρεπεν ἆραι* Cat. | **23** *ἆραι τὸν λίθον* < Cat. | *φρέατος*] + *ἐν τῇ Γενέσει* Cat. | **24** *τοῦ* Cat., *τῷ* M | *τὰ πρόβατα τοῦ πίνειν* Cat. | *γενέσθαι*] *γ . . . σθαι*, etwa vier Buchstaben sind ausradiert oder abgebröckelt; *γενέσθαι* Cat., *γεύσασθαι* Br | **25** *αὐτὸν* Cat., *αὐτὸς* M | *ἔδει* Cat.] *ἔστιν* | **26** *ἀπὸ* — **28** *αὐτοῦ* < Cat. | **29** *ἐπιστῆσαι*, corr. We.

Digitized by Google

μόνον ἀποκυλίεται· ἐχρῆν πάντη μὲν ἀρθῆναι τὸν ἐπὶ τοῦ μνημείου
371 R λίθον καὶ μὴ πάλιν κυλισθῆναι· τὸν δὲ ἐπὶ τοῦ φρέατος ἀποκυ-
λισθῆναι μόνον. προείρηται γάρ, ὅτι ἀπε * * * * * * * * * * * * 11

* *

266 V

5 *

* * * δόξαν θεοῦ, νοήσαντες τὸ μέγεθος τῆς εἰς δικαιοσύνην λογιζο- 12
μένης πίστεως πιστεύσωμεν. εἰ δέ τις οὐδέπω εἶδεν τὴν δόξαν θεοῦ 13
τῶν οἰομένων πεπιστευκέναι, μανθανέτω ὅτι ἐλέγχεται δι' ὧν οὐδέπω
εἶδεν τὴν δόξαν τοῦ θεοῦ μὴ πεπιστευκώς· ἀψευδὴς γὰρ ὁ μὴ Μάρθα
10 μόνῃ ἀλλὰ καὶ παντὶ τῷ λέγων τὸ »Ἐὰν πιστεύσῃς, ὄψῃ τὴν δόξαν
»τοῦ θεοῦ«.

XI, 41. Ἦραν οὖν τὸν λίθον.

III. Ἡ βραδυτὴς τοῦ ἀρθῆναι τὸν ἐπικείμενον τῷ σπηλαίῳ λίθον 14
ἀπὸ τῆς ἀδελφῆς τοῦ τετελευτηκότος γεγένηται· οἱονεὶ γὰρ ἐνεπό-
15 δισεν οἷς προσέταξεν ὁ Ἰησοῦς εἰπών· »Ἄρατε τὸν λίθον« φήσασα·
»Ἤδη ὄζει· τεταρταῖος γάρ ἐστιν«. καὶ εἰ μὴ κεκόλουστό γε ἡ τῆς 15
267 r Μάρθας ἀπιστία εἰπόντος αὐτῇ τοῦ | Ἰησοῦ· »Οὐκ εἶπόν σοι ὅτι ἐὰν
344 H πιστεύσῃς, ὄψῃ τὴν δόξαν τοῦ θεοῦ;« οὐκ ἂν οἱ ἀκούσαντες· »Ἄρατε
»τὸν λίθον« ἦραν τὸν λίθον. φέρε γὰρ καθ' ὑπόθεσιν εἰπόντος τοῦ Ἰησοῦ· 16
20 »Ἄρατε τὸν λίθον« μὴ ἀποκεκρίσθαι τὴν ἀδελφὴν τοῦ τετελευτηκότος
μηδὲ εἰρηκέναι· »Ἤδη ὄζει· τεταρταῖος γάρ ἐστιν«· τί οὖν ἠκολούθησεν
ἂν τούτῳ γεγράφθαι ἢ τοῦτο· »Λέγει ὁ Ἰησοῦς· Ἄρατε τὸν λίθον·
»ἦραν οὖν τὸν λίθον«; νυνὶ δὲ μεταξὺ τοῦ »Ἄρατε τὸν λίθον« καὶ 17
τοῦ »Ἦραν οὖν τὸν λίθον« τὰ εἰρημένα ὑπὸ τῆς ἀδελφῆς τοῦ τετε-
25 λευτηκότος ἐνεπόδισεν τῷ ἀρθῆναι τὸν λίθον. καὶ οὐκ ἂν οὐδὲ τὴν
ἀρχὴν κἂν βράδιον ἤρθη, εἰ μὴ ἀποκριθεὶς ὁ Ἰησοῦς πρὸς τὴν ἐκείνης
ἀπιστίαν εἰρήκει τὸ »Οὐκ εἶπόν σοι, ὅτι ἐὰν πιστεύσῃς, ὄψῃ τὴν δόξαν

6 Vgl. Gen. 15, 6. — **10** Joh. 11, 40. — **13** Ἡ βραδυτὴς — **19** λίθον[2] Cat.[84a] — **15** Joh. 11, 39. — **17** Joh. 11, 40. — **18** Joh. 11, 39. — **20** Joh. 11, 39. — **21** Joh. 11, 39. — **22** Joh. 11, 39. — **27** Joh. 11, 40.

1 ἐπὶ We] ἀπὸ | **3** προείρηται | ἀπε . . . danach sind in M 41 (in V 40½) Zeilen freigelassen. Offenbar fehlte in der Vorlage ein Blatt, das wohl absichtlich (wegen der Erklärung des ὄζει ἤδη?) herausgerissen war | **6** τῆς εἰς] τῆς σῆς M | **7** εἶδεν] εἶν, corr. V | **8** μανθάνεται, corr. V | **9** ἀψευδὴς | **13** τῷ μνημείῳ Cat. | **15** Ἰησοῦς] κύριος Cat. | **16** ἤ[δη ὄ]ζει a. Ras. M | τεταρταῖος γάρ ἐστιν < Cat. | κεκώλυτο Cat. | **17** οὐκ — ὅτι < Cat. | **18** ὄψει Cat. | **22** τοῦτῳ] τοῦτο.

Digitized by Google

»τοῦ θεοῦ;« καλὸν οὖν τὸ μηδὲν γενέσθαι μεταξὺ τῆς Ἰησοῦ προστάξεως καὶ τοῦ ἀπὸ τῶν προσταττομένων, περὶ ὧν Ἰησοῦς ἐκέλευσεν.
18 ἔργου. καὶ οἶμαί γε ἁρμόσειν τῷ τοιούτῳ τὸ εἰπεῖν ὅτι μιμητὴς
19 γέγονεν Χριστοῦ. ὡς γὰρ τούτῳ εἶπεν ὁ θεὸς καὶ »ἐγενήθησαν, ἐνε»τείλατο καὶ ἐκτίσθησαν«, οὕτως τῷ πιστῷ εἶπεν μὲν Χριστός, πε- 5
ποίηκεν δὲ οὗτος· καὶ ἐνετείλατο ὁ υἱὸς τοῦ θεοῦ, οὗτος δὲ τὴν ἐντολὴν πεπλήρωκεν, μηδὲν ὑπερθέμενος μηδὲ ζημιώσας ἑαυτὸν παρακοῇ τοῦ μεταξὺ τῆς προστάξεως καὶ τοῦ ἔργου χρόνου· νομιστέον γὰρ τῷ ὕστερον ποιοῦντι τὸ προστεταγμένον παρακοῆς χρόνον εἶναι περὶ
20 τῆς ἐντολῆς τὸν τῆς ἀναβολῆς. διὰ τοῦτο δὲ καὶ ὁ ἐν τῇ παραβολῇ 10
τοῦ εὐαγγελίου προσταχθεὶς ὑπὸ τοῦ πατρὸς πορευθῆναι εἰς τὸν ἀγρὸν καὶ ἐργάσασθαι, μὴ παραχρῆμα ποιήσας ἀλλ' ὕστερον μετα- 372 R
μεληθεὶς ἀπῆλθεν, οὐκ ἐποίησεν τὸ θέλημα τοῦ πατρὸς ἐν τῷ πρὸ
21 τῆς μεταμελείας χρόνῳ. διόπερ μνημονευτέον τοῦ »Μὴ ἀνάμενε ἐπι»στρέψαι πρὸς κύριον, μηδὲ ὑπερβάλλου ἡμέραν ἐξ ἡμέρας« καὶ τοῦ 15
»Μὴ εἴπῃς· Ἐπανελθὼν ἐπάνηκε καὶ αὔριον δώσω, δυνατοῦ σου
22 »ὄντος εὖ ποιεῖν«. χρὴ τοίνυν κατηγορίαν νομίζειν εἶναι τῆς Μάρθας βραδύτερον γεγραμμένον τὸ »Ἦραν οὖν τὸν λίθον«, δέον ἐξῆς αὐτὸ εἰρῆσθαι τῷ »Λέγει ὁ Ἰησοῦς· Ἄρατε τὸν λίθον«.

XI, 41. *Ὁ δὲ Ἰησοῦς ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπεν* 20
τὰ γεγραμμένα.

23 IV. *Περὶ τῶν ὀφθαλμῶν Ἰησοῦ καὶ τῆς σχέσεως αὐτῶν πρός τινας ἐπιμελῶς τηρητέον καὶ ἐξεταστέον· οἷον ἐν μὲν τῷ κατὰ Λουκᾶν, ὅτε ἔμελλεν λέγειν τοὺς μακαρισμοὺς καὶ τὴν ἐξῆς αὐτοῖς διδασκαλίαν· »Ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ* 25
»ἔλεγεν«· νυνὶ δὲ »Ἦρεν τοὺς ὀφθαλμοὺς αὐτοῦ ἄνω καὶ εἶπεν«,
24 *διδασκόμεθα γὰρ ἀπὸ μὲν τοῦ προτέρου ὅτι μὴ κάτω εἰσὶν οἱ τοῦ* 345 H
Ἰησοῦ μαθηταί· διόπερ ἐπαίρονται οἱ ὀφθαλμοὶ τοῦ διδασκάλου εἰς αὐτούς, οἷς ἄξιον ἦν ἐπᾶραι αὐτὸν τοὺς ἑαυτοῦ ὀφθαλμούς· διὰ δὲ τοῦ νῦν ἐξεταζομένου ὅτι μετέθηκεν ἑαυτοῦ τὸ διανοητικὸν ἀπὸ 30
τῆς | πρὸς τοὺς κάτω ὁμιλίας καὶ ἀνήγαγεν καὶ ὕψωσεν προσάγων 267 v
25 *αὐτὸ τῇ πρὸς τὸν ὑπεράνω πάντων πατέρα εὐχῇ. ἀλλὰ καὶ εἴπερ μιμητὴς Χριστοῦ ἐστι Παῦλος καὶ οἱ παραπλήσιοι αὐτῷ, ἀνάγκη τὸν*

3 Vgl. I Kor. 11, 1. — 4 Vgl. Ps. 32, 9. — 11 Vgl. Matth. 21, 28ff. — 14 Sir. 5 7. — 16 Prov. 3, 28 (κaA). — 18 Joh. 11, 39f. — 25 Luk. 6, 20. — 26 Joh. 11, 41. — 32 Vgl. I Kor. 11, 1.

2 ἀπὸ z. str.? We | 3 ἔργων, corr. V | 6 ὁ υἱὸς] οὗτος, corr. Hu | 27 τοῦ ist durch einen Klex halb verdeckt, daher am Rande wiederholt.

Digitized by Google

κατὰ ζῆλον καὶ μίμησιν τῆς Χριστοῦ εὐχῆς εὐξόμενον, ἄραντα τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς ἄνω καὶ ἀναβιβάσαντα αὐτοὺς ἀπὸ τῶν τῇδε πραγμάτων καὶ μνήμης καὶ ἐννοιῶν καὶ λογισμῶν, οὕτως εἰπεῖν τῷ θεῷ τοὺς λόγους τῆς εὐχῆς τοὺς περὶ μεγάλων καὶ ἐπουρανίων μεγάλους καὶ ἐπουρανίους. εἰ δέ τις πρὸς ταῦτα ἀνθυποίσει τὸν μηδὲ τοὺς ὀφθαλμοὺς ἐπᾶραι θελήσαντα τελώνην καὶ τύψαντα ἑαυτοῦ τὸ στῆθος καὶ εἰπόντα· »Ὁ θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ«, λεκτέον πρὸς αὐτὸν ὅτι ὥσπερ οὐ πᾶσιν οὐδὲ ἀεὶ παραληπτέον τὴν κατὰ θεὸν λύπην μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργαζομένην, ἀλλ' ἣ μόνῳ καὶ παντὶ τῷ ἄξια τοιαύτης λύπης ποιήσαντι καὶ μεταγινώσκοντι ἐπ' αὐτοῖς, καὶ παραληπτέον γε αὐτὴν σὺν μέτρῳ καὶ μὴ περισσήν, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὑπὸ τοῦ Σατανᾶ, οὕτως μήποτε οὐ παντὶ καθήκει μηδὲ τοὺς ὀφθαλμοὺς ἐπᾶραι θέλειν, ὡς οὐδὲ ἑστάναι μακρόθεν. ἕκαστος δὲ ἑαυτὸν περὶ τῶν τοιούτων κρινέτω, καὶ »δοκιμαζέτω ἄνθρωπος ἑαυτόν, καὶ οὕτως« οὐ μόνον »ἐκ τοῦ ἄρτου »ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω«, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐπαράτω καὶ αἰρέτω αὐτοὺς ἄνω κατὰ τὴν εὐχήν, ὑποτάσσων ἑαυτὸν θεῷ καὶ ταπεινῶν ἑαυτὸν ἐκείνῳ λεγέτω. καὶ εἰ νομίζομεν τῷ ὁπωσποτοῦν βιοῦντι καθήκειν ὁμοίως τῷ τελώνῃ μηδὲ τοὺς ὀφθαλμοὺς ἐπᾶραι θέλειν, ὥρα λέγειν ὁμοίως τῷ μὴ ἐπᾶραι θέλειν τοὺς ὀφθαλμοὺς καὶ ἀπὸ μακρόθεν τοῦ ἱεροῦ ἑστάναι δεῖν. ἱερὸν δὲ ποῖον ἂν εἴη ἢ ⟨ἡ⟩ ἐκκλησία τοῦ ζῶντος θεοῦ; ἥτις καὶ οἶκος θεοῦ παρὰ τῷ Παύλῳ ὀνομάζεται λέγοντι· »Ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς »δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος, »στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας«. ὥσπερ ⟨οὖν⟩ οὐ παντὶ καθήκει μὴ χρῆσθαι τῷ ἄρτῳ καὶ μὴ πίνειν ἐκ τοῦ ποτηρίου καὶ [μὴ] πόρρω εἶναι τοῦ οἴκου τοῦ θεοῦ καὶ τῆς ἐκκλησίας· οὕτως οὐ παντὶ καθήκει τὸ μὴ θέλειν ἐπᾶραι τοὺς ὀφθαλμούς. ἁμαρτάνει δὲ εἴ τις καθήκοντος αὐτῷ ἐπαίρειν τοὺς ὀφθαλμοὺς μὴ ἐπαίρει, καὶ εἴ τις καθήκοντος μὴ ἐπαίρειν ἐπαίρει. ὁ μὲν οὖν κατὰ τὸ εὐαγγέλιον
346H τελώνης οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς ἐπᾶραι, καθηκόντως ποιῶν· ἐπάραι δ' ἂν αὐτοὺς εὐλόγως ὁ παρὼν τῷ Ἰησοῦ μαθητής,
268r πρὸς ὃν καὶ ἐντολὴ δίδοται ἡ λέγουσα· »Ἐπάρατε | τοὺς ὀφθαλμοὺς »ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν »ἤδη«. καὶ ὁ προφήτης δέ φησιν· »Ἐπάρατε εἰς ὕψος τοὺς ὀφθαλ-

26 27 28 29 30 31 32 33

6 Luk. 18, 13. — **9** Vgl. II Kor. 7, 10. — **11** Vgl. II Kor. 2, 7. — **14** Vgl. 1 Kor. 11, 28. — **19** Vgl. Luk. 18, 13. — **23** I Tim. 3, 15. — **30** Vgl. Luk. 18, 13. — **33** Joh. 4, 35. — **35** Jes. 40, 26.

9 *ἀμέλητον*, corr. Ferrarius | **11** *σὺν μέτρῳ*] *ἀμέτρω* (*μ* a. Ras.), corr. Ferrarius; *ἐν μέτρῳ* V | *περισση*, corr. V | **17** *τῆς εὐχῆς*, corr. We | **18** *καὶ εἰ*] *ἢ ει* a. Ras., corr. Pr | **20** *θέλοντι* We | **22** *ἡ*〉+We | **25** ⟨*οὖν*⟩+V | **26** [*μὴ*] str. We | **30** *ἐπαίροι*, corr. We.

Digitized by Google

»μοὺς ὑμῶν«· ἀλλὰ καὶ ἐν ἑκατοστῷ εἰκοστῷ δευτέρῳ ψαλμῷ, ὄντι ᾠδῇ τῶν ἀναβαθμῶν τετάρτῃ, ὡς καθηκόντως ἐπάρας τοὺς ὀφθαλμοὺς πρὸς θεόν φησιν ὁ προφήτης· »Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς »μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων »εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας »τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν »ἡμῶν ἕως οὗ οἰκτειρήσῃ ἡμᾶς«.

34 V. Εἰ δὲ καὶ σαφέστερον χρὴ παραστῆσαι τίνι μὲν ἤδη καθήκει μιμεῖσθαι τὸν Ἰησοῦν, ἄραντι τοὺς ὀφθαλμοὺς ἄνω, ἐν τῷ καὶ αὐτὸν ἐπαίρειν ἑαυτοῦ τοὺς ὀφθαλμούς, καὶ τίνι τοῦτο μὲν οὐ καθήκει, ὁμοίως δὲ τῷ τελώνῃ οὐ μόνον μακρόθεν ἑστάναι τοῦ ἱεροῦ ἀλλὰ καὶ μὴ θέλειν ἐπᾶραι τοὺς ὀφθαλμούς, παραθησόμεθα ἐκ τοῦ Δανιὴλ τὰ περὶ τῶν ἐρασθέντων τῆς Σουσάννας ἀνόμων πρεσβυτέρων οὕτως ἔχοντα· »Καὶ διέστρεψαν τὸν ἑαυτῶν νοῦν καὶ ἐξέκλι»ναν τοὺς ὀφθαλμοὺς αὐτῶν, τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανὸν μηδὲ »μνημονεύειν κριμάτων δικαίων«, καὶ τὰ περὶ τῆς Σουσάννας τοῦτον εἰρημένα τὸν τρόπον· »Ἡ δὲ κλαίουσα ἀνέβλεψεν εἰς τὸν οὐρανόν, »ὅτι ἦν ἡ καρδία αὐτῆς πεποιθυῖα ἐπὶ κυρίῳ«. παρατήρει γὰρ ἐν τούτοις ὅτι οἱ μὲν διαστρέψαντες τὸν ἑαυτῶν νοῦν ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν, τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανόν, ἡ δὲ πεποιθυῖα ἐπὶ τῷ κυρίῳ ἀκολούθως τῷ πεποιθέναι ἐπὶ τῷ κυρίῳ ἀνέβλεψεν
35 εἰς τὸν οὐρανόν. ἔπρεπεν τοίνυν τῇ μὲν ἐπὶ τῇ περὶ τῆς σωφροσύνης παρρησίᾳ μελλούσῃ εὔχεσθαι ἀναβλέπειν εἰς τὸν οὐρανὸν καὶ αἴρειν τοὺς ὀφθαλμοὺς ἄνω· τοῖς δὲ πρεσβυτέροις (εἰ καθ' ὑπόθεσιν μετὰ τὸ διαστρέψαι τὸν ἑαυτῶν νοῦν καὶ ἐκκλῖναι τοὺς ὀφθαλμοὺς ἑαυτῶν, τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανὸν μηδὲ μνημονεύειν κριμάτων δικαίων, μετενόουν, πεῖραν μὲν προσαγαγόντες τῇ γυναικὶ μὴ τυχόντες δὲ τοῦ ἐπιθυμουμένου, καὶ μετὰ τοῦτο εὔχοντο), καὶ μὴ θέλειν τοὺς ὀφθαλμοὺς ἐπᾶραι ἢ καὶ πόρρωθεν ὁμοίως τῷ τελώνῃ ἑστηκέναι καὶ τύπτειν ἑαυτῶν τὰ στήθη καὶ λέγειν· »Ὁ θεός, ἱλάσθητί μοι τῷ
36 »ἁμαρτωλῷ«. τοῦ δὲ αἴροντος τοὺς ὀφθαλμοὺς ἄνω καὶ ἐπαίροντος αὐτοὺς καθηκόντως εἰς οὐρανὸν ⟨ἂν⟩ εἴη † καθῆκον καὶ τὸ ἐπαίρειν ὁσίους χεῖρας, μάλιστα ὅτε χωρὶς ὀργῆς καὶ διαλογισμοῦ ἀναπέμπει τὴν
37 εὐχήν. οὕτω γὰρ καὶ τῶν ὀφθαλμῶν αἰρομένων ἄνω διὰ τῆς ἐννοίας καὶ | τῆς θεωρίας, καὶ τῶν χειρῶν ἐπαιρομένων ἐν πράξεσιν ἐπαιρούσαις καὶ ὑφούσαις τὴν ψυχήν, ὡς ἐπῆρεν Μωσῆς τὰς χεῖρας,

3 Ps. 122, 1 f. (RT). — 14 Susann. 9 (Theod.) — 17 Susann. 35 (Theod.) — 19 Vgl. Susann. 9. — 20 Vgl. Susanna 35. — 29 Luk. 18, 13. — 32 Vgl. I Tim. 2, 8. — 35 Vgl. Exod. 17, 11.

2 τετάρτῳ, corr. Ausgg. | 4 μου το a. Ras. | 8 ἄραντα V | 32 οὐρανὸν] ον corr. Ausgg. | ⟨ἂν⟩ + We | καθηκόντως (zu ἐπαίρειν?) We | 33 διαλογισμῶν V Ausgg.

Digitized by Google

ὥστ' ἂν εἰπεῖν· »Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή«· Ἀμαληκῖται μὲν καὶ πάντες οἱ ἀόρατοι ἐχθροὶ ἡττηθήσονται. οἱ ἐν ἡμῖν δὲ Ἰσραηλῖται λογισμοὶ νικήσουσιν. τοσαῦτα καὶ εἰς τὸ »Ὁ Ἰησοῦς 38
»ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπεν« κατὰ τοῦτο φανέντα ἡμῖν
5 *ἀκόλουθα.*

XI, 41f. *Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου· ἐγὼ ἤδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας.*

VI. (5) *Εἴπερ τοῖς ἀξίοις τῶν ἐν σαρκὶ ζώντων καὶ μὴ κατὰ* 39
10 *σάρκα στρατευομένων εὐχομένοις τοιαύτη τις λέγεται ὑπὸ θεοῦ περὶ τῆς εὐχῆς αὐτῶν ἐπαγγελία· »Καὶ ἔτι λαλοῦντός σου ἐρῶ· Ἰδοὺ πάρ-*
»ειμι«· τί χρὴ νομίζειν ἐπὶ τοῦ σωτῆρος καὶ κυρίου ἢ »Πρὶν λαλῆσαί
σε ἐρῶ· Ἰδοὺ πάρειμι«; ἅμα γὰρ »ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ
375R *»εἶπεν«. τί δὲ εἶπεν; εἰ οἷόν τέ ἐστιν ὡς ἐν τοιούτοις στοχάσασθαι* 40
15 *ἀκολούθως τῷ »Πρὶν λαλῆσαί σε ἐρῶ· Ἰδοὺ πάρειμι«, ἂν εἴη πλεῖον [ἢ]*
⟨τὸ⟩ πρὸς τὸν σωτῆρα λεγόμενον παρὰ τὸ ἐν τῇ πρὸς τοὺς δικαίους
ἐπαγγελίᾳ γεγραμμένον· »Ἔτι λαλοῦντός σου ἐρεῖ· Ἰδοὺ πάρειμι«.
τί οὖν εἶπεν; προέθετο μὲν εἰπεῖν εὐχήν· προλαβόντος δὲ τὴν εὐχὴν 41
αὐτοῦ τοῦ εἰπόντος ἂν αὐτῷ· »Πρὶν λαλῆσαί σε ἐρῶ· Ἰδοὺ πάρειμι«
20 *ἀντὶ τῆς κατὰ πρόθεσιν ἂν λεχθείσης εὐχῆς λέγει τὴν ἐπὶ τῷ προ-*
λαβόντι τὴν εὐχὴν εὐχαριστίαν· καὶ ὡς ἐπακουσθεὶς ἐφ' οἷς ἐνε-
νόησεν μέν, οὐ προήνεγκεν δὲ ἐν τῷ εὔχεσθαι, φησί· »Πάτερ,
»εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου«. ἔμελλεν οὖν εὔχεσθαι περὶ τῆς 42
Λαζάρου ἀναστάσεως, καὶ προλαβὼν αὐτοῦ τὴν εὐχὴν ὁ μόνος ἀγα-
25 *θὸς θεὸς καὶ πατὴρ ἤκουσεν τῶν μελλόντων λέγεσθαι ἐν τῇ εὐχῇ,*
ἐφ' οἷς ἐν ἐπικόῳ τοῦ περιεστηκότος αὐτὸν ὄχλου ἀναπέμπει ἀντὶ
εὐχῆς εὐχαριστίαν ὁ σωτήρ, δύο ἅμα ποιῶν, καὶ εὐχαριστῶν ἐφ' οἷς
ἔτυχεν περὶ τοῦ Λαζάρου, καὶ πιστοποιῶν τὸν περιεστηκότα αὐτὸν
ὄχλον· ἐβούλετο γὰρ αὐτοὺς παραδέξασθαι ὡς ἄρα ἀπὸ θεοῦ ἀπε-
30 *σταλμένος τῷ βίῳ ἐπιδεδήμηκεν. ἔγνω δὲ ἐπακουσθείς, ἐπείπερ* 43
πνεύματι εἶδεν ὅτι ἀπεκατέστη ἡ τοῦ Λαζάρου ψυχὴ ἐπὶ τὸ σῶμα
αὐτοῦ, ἀναπεμφθεῖσα ἀπὸ τοῦ χωρίου τῶν ψυχῶν. οὐ γὰρ νομιστέον 44
ὅτι ἡ ψυχὴ τοῦ Λαζάρου παρῆν τῷ σώματι μετὰ τὴν ἔξοδον, καὶ
348H *ὡς παροῦσα ταχέως ἤκουσεν κράξαντος Ἰησοῦ καὶ εἰπόντος· »Λάζαρε,*

1 Ps. 140, 2. — **3** Joh. 11, 41. — **10** Vgl. II Kor. 10, 3. — **11** Jes. 58, 9. — **12** Jes. 58, 9. — **13** Joh. 11, 41. — **17** Jes. 58, 9. — **22** Joh. 11, 41. — **25** Vgl. Matth. 19, 17. — **34** Joh. 11, 43.

3 *ἰσδραηλεῖται* | **4** *τούτῳ* | **6** *ἤδιν* | **15** *ἂν εἴη* We] *ἀνα* | **16** *⟨τὸ⟩* + Ausgg. **21** *εὐχαριστεία* | **22** *μὲν* Pr] *μόνον* | **24** *ὁ*] *εἰ*, corr. V.

Digitized by Google

»δεῦρο ἔξω«. ἢ εἴπερ τις τοῦτο περὶ τῆς Λαζάρου ψυχῆς ὑπολαμ-
βάνει | καὶ προσίεται τὸ περὶ τῆς ἀπαλλαγείσης ψυχῆς σώματος 269
ἄτοπον, ὡς παρακαθεζομένης τῷ νεκρῷ, λεγέτω πῶς ἠκούσθη ὁ
Ἰησοῦς ἀπὸ τοῦ πατρός, μένοντος ἔτι νεκροῦ τοῦ Λαζάρου σώματος.
καὶ τῆς ψυχῆς κεχωρισμένης μέν, ὡς οἰηθείη ἄν τις τῶν τοῦτο
45 λεγόντων, παρακαθεζομένης δὲ τῷ σώματι. ἵνα γὰρ τοῦτο συγχω-
ρηθῇ, οὐκ ἂν ἠκοῦσθαι εἴποιμεν τὸν Ἰησοῦν μέλλοντα ἀκούεσθαι 270
ὅτε ἡ ψυχὴ ἐνοικίζετο τῷ σώματι· τὸ παραπλήσιον δ' οἶμαι γεγο-
νέναι καὶ ὅτε τὴν τοῦ ἀρχισυναγώγου ἀνέστησεν θυγατέρα, περὶ
τούτου εὐξάμενος· ᾔτησεν γὰρ ἐπανελθεῖν τὴν ψυχὴν καὶ ἐνοικι-
46 σθῆναι πάλιν τῷ σώματι. εἰ δὲ καὶ περὶ τοῦ ἐκκομιζομένου υἱοῦ
τῆς χήρας τὸ ὅμοιόν ἐστιν ἢ μή, καὶ αὐτὸς ζητήσεις, ἵν' εὕρῃς τὸ
ἀκόλουθον τοῖς κατὰ τοὺς τόπους ὅλους· ἡμῖν γὰρ οὐ καθήκει τηλι-
47 καύτας ποιεῖσθαι παρεκβάσεις. τάχα δὲ καὶ εἶδεν ὁ τηλικοῦτος Ἰη-
σοῦς καὶ τὴν ψυχὴν αὐτὴν τοῦ Λαζάρου, ἤτοι ἀγομένην ὑπὸ τῶν
τεταγμένων ἐπὶ τούτοις ἢ ὑπ' αὐτοῦ τοῦ πατρικοῦ βουλήματος ἐπα-
κούσαντος τῷ Ἰησοῦ, καὶ ἰδὼν αὐτὴν εἰσιοῦσαν διὰ τοῦ τόπου,
ὅθεν ἤρθη ὁ λίθος, εἶπεν· »Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου«.
48 ἀλλ' ἐπεὶ πρὸ τούτου καὶ περὶ ἄλλων μυρίων ᾔτησεν καὶ ἔτυχεν,
διὰ τοῦτο οὐ μόνον ἐπὶ τῷ Λαζάρῳ ἀλλὰ καὶ ἐπὶ τοῖς προτέροις
εὐχαριστεῖ, φάσκων ἐπὶ μὲν τῷ Λαζάρῳ· »Πάτερ, εὐχαριστῶ σοι ὅτι
»ἤκουσάς μου«· ἐπὶ δὲ τοῖς προτέροις· »Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ
»μου ἀκούεις«, καὶ τοῦτο πᾶν, φησίν, εἶπον »διὰ τὸν περιεστῶτα
»ὄχλον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας«. ταῦτα μὲν ὡς πρὸς
τὸ ῥητὸν καὶ τὴν ἀνάστασιν τοῦ Λαζάρου ἀποδεδώκαμεν.

49 Ἡ δὲ κατὰ τὸν τόπον ἀναγωγὴ ἐκ τῶν προαποδεδομένων οὐ
δυσχερής· ᾔτησεν γὰρ τὸν μετὰ τὴν πρὸς αὐτὸν φιλίαν ἡμαρτικότα
καὶ νεκρὸν γενόμενον τῷ θεῷ δυνάμει θείᾳ παλινδρομῆσαι ἐπὶ τὴν
ζωήν, καὶ ἔτυχεν, καὶ εἶδεν ἐν τῷ τοιούτῳ ζωτικὰ κινήματα, ἐφ'
50 οἷς εὐχαριστεῖ τῷ πατρί. περιέστηκεν δὲ ὄχλος τὸν τοιοῦτον νεκρὸν
μηδέπω πιστευόντων ὅτι Ἰησοῦν ἀπέστειλεν ὁ θεὸς καὶ ὅτι ὁ λόγος
οὗτος θεόθεν ἀνθρώποις ἐπιδεδήμηκεν. καὶ περιεστὼς γε οὗτος ⟨ὁ⟩
ὄχλος ἐθαύμασεν ὅτι δυσώδης ἀπὸ τῶν πρὸς θάνατον ἁμαρτημάτων
τις γεγενημένος καὶ ἀποθανὼν τῇ ἀρετῇ ἐπαλινδρόμησεν ἐπ' αὐτήν·
καὶ θαυμάσας πιστεύσαι ἄν ποτε τῷ ζωοποιήσαντι αὐτὸν λόγῳ, ὡς
θεόθεν ἀνθρώποις ἐπιδημήσαντι.

9 Vgl. Luk. 8, 55. — 11 Luk. 7, 12. — 18 Joh. 11, 41. — 21 Joh. 11, 41.

7 εἴποιμεν] + ἄν M | 8 ὅτι, corr. We | 14 ὁ] ὅτι (τι durch Dittographie aus τη), corr. V | 19 ἐπι, corr. V | 27 τὴν] τὸν, corr. V | 32 οὗτως, corr. We | ⟨ὁ⟩ + V | 33 θαυμασαι, corr. Pr | ὅτι] οὕτω, corr. Pr.

Digitized by Google

377R 349H 269v **XI, 43f.** *Καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγασεν· Λάζαρε, | δεῦρο ἔξω. ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ συνεδέδετο· λέγει ὁ Ἰησοῦς αὐτοῖς· Λύσατε αὐτόν, καὶ ἄφετε αὐτὸν ὑπάγειν.*

VII. (6) *Ὁ Ἰησοῦς ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ ἔτι μέλλων* 51
εὔχεσθαι ἐπηκούσθη, καὶ ἀντὶ εὐχῆς εὐχαρίστησεν, κατανοήσας τὴν Λαζάρου ψυχὴν εἰσελθοῦσαν εἰς τὸ σῶμα καὶ δεομένην τῆς ἀπὸ προστάξεως Ἰησοῦ γεννησομένης αὐτῷ εὐτονίας πρὸς τὸ ἐξελθεῖν ἀπὸ τοῦ μνημείου. διὸ μετὰ τὴν πρὸς τὸν πατέρα εὐχαριστίαν μεγάλῃ 52
ἐχρήσατο φωνῇ, δύναμιν ἐντιθείσῃ τῷ Λαζάρῳ, μεγάλης χρῄζοντι ὡς οὐδέπω γενομένῳ ὀξυηκόῳ τῆς προκαλουμένης αὐτὸν ἔξω τοῦ μνημείου κραυγῆς. καὶ τοῦτο δὲ νομιστέον ἄξιον εἶναι τοῦ Ἰησοῦ 53
ἔργον, τὸ μὴ μόνον εὔξασθαι ἵνα ζήσῃ ὁ νεκρός, ἀλλὰ καὶ ἐμβοῆσαι αὐτῷ καὶ καλέσαι τὸν ἔνδον τοῦ σπηλαίου καὶ τοῦ μνημείου ἐπὶ τὰ ἔξω αὐτοῦ. χρὴ δὲ εἰδέναι ὅτι εἰσίν τινες καὶ νῦν Λάζαροι, μετὰ 54
τὴν φιλίαν Ἰησοῦ ἀσθενήσαντες καὶ ἀποθανόντες καὶ ἐν μνημείῳ καὶ νεκρῶν χώρᾳ μείναντες μετὰ νεκρῶν νεκροί, καὶ μετὰ τοῦτο τῇ εὐχῇ τοῦ Ἰησοῦ ζωοποιηθέντες καὶ ἀπὸ τοῦ μνημείου ἐπὶ τὰ ἔξω αὐτοῦ ὑπὸ Ἰησοῦ τῇ μεγάλῃ αὐτοῦ φωνῇ καλούμενοι· ᾧ ὁ πειθόμενος ἐξέρχεται, τοὺς ἀξίους τῆς νεκρότητος δεσμοὺς ἐκ τῶν προτέρων ἁμαρτημάτων περικείμενος καὶ τὴν ὄψιν περιδεδεμένος ἔτι, καὶ μήτε βλέπων μήτε πορευθῆναι δυνάμενος μήτε τι ἐνεργῆσαι διὰ τοὺς τῆς νεκρότητος δεσμούς, ἕως Ἰησοῦς κελεύσῃ τοῖς λῦσαι αὐτὸν δυναμένοις καὶ ἀφιέναι αὐτὸν ἀπιέναι. καὶ πειράσθω γε πᾶς ὁ δυνάμενος λέγειν· »Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος »χριστοῦ;« τοιοῦτος γενέσθαι, ἵνα [μὲν] αὐτῷ Χριστὸς φωνῇ μεγάλῃ εἴπῃ κραυγάσας τῷ μετὰ τὸ ἀποθανεῖν † κιρήσαντι μέν, οὐκ ὀξέως 378R *δέ, καὶ διὰ τοῦτο δεομένῳ τῆς Ἰησοῦ κραυγῆς τὸ »Λάζαρε, δεῦρο »ἔξω«. καὶ νόμισον εἶναι ἐν ᾅδου μετὰ τῶν σκιῶν καὶ τῶν νεκρῶν* 55
καὶ ἐν χώρᾳ νεκρῶν ἢ μνημείοις τὸν μετὰ τὸ λαβεῖν ἐπίγνωσιν ἀληθείας καὶ φωτισθέντα, γευσάμενόν τε τῆς δωρεᾶς τῆς ἐπουρανίου καὶ μέτοχον γενόμενον πνεύματος ἁγίου καὶ καλὸν γευσάμενον θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος, ἀποστατήσαντα τοῦ χριστοῦ καὶ ἐπὶ τὸν ἐθνικὸν παλινδρομήσαντα βίον. ἐπὰν οὖν περὶ 56

25 II Kor. 13, 3. — **28** Joh. 11, 43. — **31** Vgl. Hebr. 6, 4f.

10 *μεγάλην*, corr. V | **13** *εὔξασθαι*] *εὐ* a. Ras. | **23** *λύσασιν*, corr. We | **24** *ἀπιέναι*] *ἀπεῖναι*, corr. V | **27** *κιρήσαντι* verderbt; *κηρύξαντι* V, *ἀκούσαντι* Lommatzsch (wegen *ὀξυήκοος* Zeile 11), *κινήσαντι* Br | **31** *φωτισθῆναι*? We.

Digitized by Google

τοῦ τοιούτου ἐλθὼν αὐτοῦ εἰς τὸ μνημεῖον καὶ ἔξω αὐτοῦ στὰς ὁ
Ἰησοῦς εὔξηται καὶ | ἐπακουσθῇ, αἰτήσας ἐγγενέσθαι δύναμιν τῇ 270r
φωνῇ καὶ τοῖς λόγοις αὐτοῦ, φωνῇ μεγάλῃ κραυγάζει, ἐπὶ τὰ ἔξω
τοῦ τῶν ἐθνικῶν βίου καὶ τοῦ μνημείου αὐτῶν καὶ τοῦ σπηλαίου 359B
57 καλῶν γενόμενον οὕτω φίλον. ὅτε ἔστιν ἰδεῖν τὸν ἀκολουθοῦντα 5
τῷ Ἰησοῦ τίνα τρόπον ὁ τοιοῦτος ἐξέρχεται μὲν διὰ τὴν Ἰησοῦ
φωνήν, ἔτι δὲ σειραῖς τῶν ἰδίων ἁμαρτημάτων δεδεμένος καὶ
ἐσφιγμένος, διὰ μὲν τὴν μετάνοιαν καὶ τὸ ἀκηκοέναι τῆς Ἰησοῦ
φωνῆς ζῶν, διὰ δὲ τὸ μηδέπω ἀπολελύσθαι τῶν τῆς ἁμαρτίας
δεσμῶν μηδὲ ἤδη δύνασθαι ἐλευθέροις ἐπιβαίνειν τοῖς ποσίν, ἀλλὰ 10
μηδὲ ἐνεργεῖν ἀπολελυμένως τὰ διαφέροντα, δεδεμένος τοὺς πόδας
58 καὶ τὰς χεῖρας δεσμοῖς νεκρῶν κειρίαις. καὶ ὁ τοιοῦτός γε διὰ τὴν
ἐγγενομένην αὐτῷ νεκρότητα πρὸς τοῖς ἐπὶ τῶν χειρῶν καὶ τῶν
ποδῶν δεσμοῖς καὶ τὴν ὄψιν τῇ ἀγνοίᾳ κεκάλυπται καὶ περιδέδεται.
59 εἶτ' ἐπεὶ † μὴ μόνον ζῆσαι αὐτὸν βεβούληται ὁ Ἰησοῦς καὶ ἐν τῷ μνη- 15
μείῳ μένειν, ἐπὶ τὰ ἔξω τοῦ μνημείου οὗτος ἐλθὼν δέδεται, καθὼς
προείρηται, τῆς ζωῆς· καὶ τῷ ἐξεληλυθέναι ἀπὸ τοῦ μνημείου μὴ
δύνασθαι, ὅσον δέδεται, λέγει τοῖς δυναμένοις ὑπηρετήσασθαι αὐτῷ
ὁ Ἰησοῦς· »Λύσατε αὐτὸν καὶ ἄφετε αὐτὸν ὑπάγειν« νομίζω ὅτι μὴ
συγκαταθέμενος μὲν τῷ περὶ τῆς ἐπιστροφῆς μετὰ τὸ ἡμαρτηκέναι 20
λόγῳ· ἔτι δὲ ἀτονῶν κατ' αὐτὸν βιοῦν, τῷ κατέχεσθαι αὐτοῦ τὰς
τῆς ψυχῆς πορευτικὰς καὶ δραστικὰς καὶ θεωρητικὰς δυνάμεις, ὁ
τοιοῦτος ἐξῆλθεν ἀπὸ τοῦ μνημείου· καὶ ἔτι ἐστὶν δεδεμένος τοὺς
πόδας καὶ τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιδέδε-
60 ται. ἀλλ' ἐπὰν εἰπόντος Ἰησοῦ τοῖς λῦσαι αὐτὸν δυναμένοις, διὰ 25
τὴν πρόσταξιν ὡς δεσπότου τοῦ χριστοῦ, τὸ »Λύσατε αὐτὸν καὶ
»ἄφετε αὐτὸν ὑπάγειν« λυθῇ τοὺς πόδας καὶ τὰς χεῖρας, καὶ ἀπο-
θῆται τὸ ἐπικείμενον αὐτοῦ τῇ ὄψει κάλυμμα ἀφαιρεθέν, πορεύεται 379B
τοιαύτην πορείαν, ὥστε φθάσαι αὐτὸν ἐπὶ τὸ ἕνα καὶ αὐτὸν γενέ-
σθαι τῶν συνανακειμένων τῷ Ἰησοῦ. 30

61 VIII. (7) *Μετὰ τοῦτο διὰ τὸ »Ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος
»τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις« λεκτέον ὅτι διαφορά ἐστι καὶ
τῶν δεδεμένων τοὺς πόδας καὶ τὰς χεῖρας, ⟨καὶ οὐ⟩ ταὐτόν ἐστιν
τὴν ἀρχὴν τοῦ δεδέσθαι ἐκ τοῦ νενεκρῶσθαι εἰληφέναι, ὥστε καὶ
τοὺς δεσμοὺς ἐπιφέρεσθαι τὸ ὄνομα τῆς νεκρότητος (νῦν γὰρ αἱ 35
κειρίαι νεκρῶν εἰσιν δεσμοί), τῷ ⟨τὸ⟩ δεδέσθαι κρίσει κυρίου γενέσθαι.*

17 Vgl. S. 397, 20 ff. — **19** Joh. 11, 44. — **26** Joh. 11, 44. — **28** Vgl. II Kor. 3, 14 ff. — **29** Vgl. Joh. 12, 2. — **31** Joh. 11, 44.

1 τοιοῦτοι | **2** ἐπακούσῃ | **13** ἔτι | **15 ff.** „sehr korrupt; *μὴ μόνον* (vgl. S. 397, 13) hat keinen Gegensatz, *τῆς ζωῆς καὶ τῷ ἐξ.* lässt sich nicht konstr.; *λέγει* jedenfalls Nachsatz zu **15** *ἐπεί*" We | **17** *τῷ*]*τοῦ*, corr. Br | **33** *τῶν* ü. d. Z. ⟨*καὶ οὐ*⟩ + V | **36** ⟨*τὸ*⟩ + We.

Digitized by Google

τοῦ εἰσελθόντος θεάσασθαι τοὺς ἀνακειμένους καὶ ἰδόντος τὸν μὴ
ἐνδεδυμένον ἔνδυμα γάμου, καὶ περὶ αὐτοῦ εἰπόντος· »Δήσαντες
270v »αὐτοῦ πόδας καὶ χεῖρας, ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ | ἐξώ-
»τερον«. ἔστιν δέ τι ἐν τῷ τόπῳ δεόμενον διακρίσεως, ἐν τῷ »Καὶ 62
351H »ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο« καὶ ἐν τῷ κάλυμμα ἐπικεῖσθαι
τῷ προσώπῳ Μωσέως, ἡνίκα ἐλάλει τῷ λαῷ· τὸ μὲν γὰρ ἐπικεί-
μενον τῇ ὄψει τοῦ Λαζάρου σουδάριον ἐκάλυπτεν αὐτοῦ νενεκρω-
μένας τὰς ὁράσεις· τὸ δὲ Μωσέως κάλυμμα κατ᾽ οἰκονομίαν ἦν τῷ
προσώπῳ αὐτοῦ περικείμενον διὰ τοὺς μὴ χωροῦντας ἀπὸ τοῦ λαοῦ
10 ἐνορᾶν τῇ δόξῃ αὐτοῦ. ζητήσεις δὲ περὶ τοῦ ⟨μὴ⟩ ἐνδεδυμένου ἔν- 63
δυμα γάμου, περὶ οὗ εἴρηται· »Δήσαντες αὐτὸν ποδῶν καὶ χειρῶν,
»ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον« πότερον εἰσαεὶ μένει
δεδεμένος καὶ ἐν τῷ ἐξωτέρῳ σκότῳ (οὐ γὰρ πρόσκειται τὸ
»Εἰς τὸν αἰῶνα« ἢ »Εἰς τοὺς αἰῶνας«), ἢ λυθήσεταί ποτε. οὐ γὰρ 64
15 ἐμφαίνεται ἐκ τῆς περὶ αὐτοῦ λέξεως τινὰ περὶ ἀπολύσεως ἐσομένης
γεγραμμένα περὶ αὐτοῦ. οὐ δοκεῖ δέ μοι ἀσφαλὲς εἶναι μὴ καταλα- 65
βόντα ὁτιποτοῦν, μάλιστα τῷ μὴ γεγράφθαι περὶ αὐτοῦ, ἀποφή-
νασθαι. ζητήσεις δὲ διὰ τὸ »Λέγει Ἰησοῦς αὐτοῖς· Λύσατε αὐτόν« 66
τίσιν αὐτοῖς; οὔτε γὰρ ὅτι μαθηταῖς ἀναγέγραπται οὐθ᾽ ὅτι τῷ
20 περιεστῶτι ὄχλῳ, ἀλλ᾽ οὐδὲ ὅτι τοῖς μετὰ τῆς Μαρίας οὖσιν Ἰου-
δαίοις καὶ παραμυθουμένοις αὐτήν· ὑπονοήσαι δ᾽ ἄν τις διὰ τὸ
»Ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ« καὶ διὰ τὴν κατὰ τὸν
τόπον ἀναγωγήν, ὅτι μήποτε κἀκείνοις δύναται εἰρῆσθαι τὸ »Λύ-
»σατε αὐτὸν καὶ ἄφετε αὐτὸν ὑπάγειν«.

380R IX. (8) Ἔτι ζητῶ εἰ πεπλήρωκεν ὁ Ἰησοῦς τὸ ἐπιφερόμενον τῷ 67
»Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται«, τὸ »Ἀλλὰ πορεύομαι, ἵνα
»ἐξυπνίσω αὐτόν«. ἐφίστημι οὖν μήποτε ἐν τῷ εἰρηκέναι αὐτὸν 68
φωνῇ μεγάλῃ κραυγάσαντα· »Λάζαρε, δεῦρο ἔξω« (ἡ γὰρ μεγάλη
φωνὴ καὶ ἡ κραυγὴ οὐκ ἂν ἀτόπως λέγοιτο ἐξυπνικέναι αὐτόν) καὶ
30 ἤδη δύνασθαι ἀποφήνασθαι ἐν τούτῳ μᾶλλον πεπληρῶσθαι τὸ
»Πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν«, ἤπερ ἐν τῷ τῆς εὐχῆς τοῦ υἱοῦ
ἀκούσαντος τὸν πατέρα πεποιηκέναι τὴν Λαζάρου ψυχὴν ἐπανελθεῖν
ἐπὶ τὸ ἐν τῷ μνημείῳ ἀποκείμενον αὐτοῦ σῶμα· εἴποι γὰρ ἄν τις ὅτι 69
ὁ μὲν ἀκούσας εὐξαμένου τοῦ υἱοῦ πατὴρ ἐκ νεκρῶν τὸν Λάζαρον
35 ἀνέστησεν· ὁ δὲ εἰπὼν φωνῇ μεγάλῃ καὶ κραυγάσας· »Λάζαρε, δεῦρο

1 Vgl. Matth. 22, 11. — **2** Matth. 22, 13. — **4** Joh. 11, 44. — **5** Vgl. Exod. 34, 33. — **7** Joh. 11, 44. — **11** Matth. 22, 13. — **18** Joh. 11, 44. — **20** Vgl. Joh. 11, 19. — **22** Matth. 4, 11. — **26** Joh. 11, 11. 44. — **28** Joh. 11, 43. — **31** Joh. 11, 11. — **35** Joh. 11. 43.

10 ⟨μὴ⟩ + V | **12** εἰαεὶ | **15** τινὰ We] τὰ | **17** ἔτιποτὸν | **29. 30** καὶ εἰ δεῖ abgebröckelt | **30** ἤδη] εἰ δεῖ, corr. Pr | τὸ πορεύομαι abgebröckelt | **32** ἀκούσαντα, corr. We | τὸν πατέρα abgebröckelt | **35** [κραυ]γάσας abgebröckelt.

Digitized by Google

»ἔξω« ἐπλήρωσεν ὃ προεπηγγείλατο· »Ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω
70 »αὐτόν.« καὶ ὁ τοῦτό γε κατασκευάζων, διαφορὰν διδοὺς τοῦ »Λάζαρος
»ὁ φίλος ἡμῶν κεκοίμηται« καὶ τοῦ »Λάζαρος ἀπέθανεν«, ἐρεῖ ὅτι
πρὸς μὲν τὸ »Κεκοίμηται« ἐπηγγείλατο εἰπών· »Ἀλλὰ πορεύομαι
»ἵνα ἐξυπνίσω | αὐτόν«· πρὸς δὲ τὸ »Ἀπέθανεν« οὐκ ἀποδέδωκεν 27,1
71 τὸ »Πορεύομαι, ἵνα ἀναστήσω αὐτὸν ἐκ νεκρῶν«. ἀλλὰ ὁ λύων τὴν
ἐν τούτοις δοκοῦσαν εἶναι διαφορὰν καὶ διδοὺς τὴν τοῦ Λαζάρου 352 H
ἐκ νεκρῶν ἀνάστασιν κοινὸν ἔργον γεγονέναι υἱοῦ τοῦ εὐξαμένου
καὶ πατρὸς τοῦ ἐπακούσαντος χρήσεται καὶ τῷ εἰρημένῳ ὑπὸ τοῦ
κυρίου πρὸς τὴν Μάρθαν λέγοντος· »Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ 10
»ζωή«, παραθήσεται δὲ καὶ τὸ »Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς
»νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ.«

XI, 45. *Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων, οἱ ἐλθόντες πρὸς τὴν Μαριὰμ καὶ θεασάμενοι ἃ ἐποίησεν, ἐπίστευσαν εἰς αὐτόν.*

72 X. (9) *Καὶ τίνα γε οὐκ ἂν κινήσαι πρὸς τὸ πιστεῦσαι τῷ τοῦ* 15
Ἰησοῦ κηρύγματι καὶ ἀληθῶς, ὡσπερεὶ ἐκ νεκρότητος καὶ δυσωδίας,
τῶν πάνυ ὑπὸ τῆς κακίας καταβεβαπτισμένων, ἀκροτάτῃ μεταβολῇ
ἀποσεισαμένων τῇ προστάξει καὶ συνεργείᾳ τοῦ λόγου οὐ μόνον τὴν
ἀπὸ τῆς ἁμαρτίας πολλὴν δυσωδίαν ἀλλὰ καὶ τοὺς κατέχοντας δεσ-
μοὺς τὴν πορευτικὴν καὶ τὴν δραστικὴν τῆς ψυχῆς δύναμιν. ἔτι δὲ 20
73 *χωρὶς τούτων καὶ τὴν θεωρητικήν; καταπλαγέντες γὰρ οἱ ἰδόντες*
τὸν Ἰησοῦν ἐν τοῖς τοιούτοις τοσοῦτον δεδυνημένον, οἱ αὐχοῦντες
μὲν περὶ λόγον ἀσχολεῖσθαι θεοῦ, τὸ πλήρωμα δὲ τοῦ λόγου μηδέπω
παραδεξάμενοι, καὶ πιστεύσαιεν ἂν μάλιστα ὅσοι ἐληλύθασιν ὡς ἐπὶ 381 R
νεκρῷ καὶ πάντῃ ἀπεγνωσμένῳ καὶ αὐτοὶ ἀπογνόντες τὸν τοιοῦτον, 25
παραμυθήσασθαι τὴν ἐπὶ τῇ ἐκπτώσει τοῦ ἀδελφοῦ ὀδυνωμένην· δι'
οὓς τάχα πλέον ἢ διὰ τὸν ταῦτα παθόντα ἐλθὼν ἐπὶ τὸ σπήλαιον
τοῦ νεκροῦ Ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπεν· Πάτερ, εὐχαριστῶ
74 »σοι, ὅτι ἤκουσάς μου. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις«. ὅτι
γὰρ διὰ τούτους μᾶλλον ἢ τὸν Λάζαρον ταύτην ἀνεφθέγξατο πρὸς τὸν 30
πατέρα τὴν εὐχαριστίαν δῆλον ἐκ τοῦ »Ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιε-
75 »στῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας«. *ἐπραγματεύ-*
σατο οὖν περὶ τοῦ Λαζάρου διὰ τὸν περιεστῶτα ὄχλον, ἵν' οἱ πολλοὶ
τῶν Ἰουδαίων ἐλθόντες πρὸς τὴν Μαριὰμ καὶ θεασάμενοι ἃ ἐποίησεν
πιστεύσωσιν εἰς αὐτόν. 35

1 Joh. 11 44. — **3** Joh. 11, 14. — **4** Joh. 11, 11. 44. — **10** Joh. 11, 25. — **11** Joh. 5, 21. — **28** Joh. 11, 41 f. — **31** Joh. 11, 42.

14 *ἐποίησεν*] + *ὁ Ἰησοῦς* V mit cC²DXΔK al. Doch vgl. S. 401, 6. 19. Dagegen 402, 19 f. | **21** *ἰδόντες*] *εἰδοντες* M, *εἰδότες* V.

Digitized by Google

XI. (10) Ἀλλὰ ἄκουε καὶ περὶ τούτων, μὴ μόνον σωματικώ- 76
τερον· »Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρισαίους καὶ
»εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς«. ἔχει μέν τι ἡ λέξις ἀμφίβολον, 77
πότερον οἱ ἀπελθόντες πρὸς τοὺς Φαρισαίους καὶ εἰπόντες αὐτοῖς
ἃ ἐποίησεν ὁ Ἰησοῦς ἀπὸ τῶν πολλῶν Ἰουδαίων ἦσαν, τῶν θεασα-
μένων ἃ ἐποίησεν καὶ πιστευσάντων εἰς αὐτόν, βουλόμενοι καὶ τοὺς
271v ἐχθροῦς διακειμένους πρὸς αὐτὸν δυσωπῆσαι | διὰ τῆς περὶ τοῦ
Λαζάρου ἀπαγγελίας· ἢ οἱ λοιποὶ παρὰ τοὺς πολλοὺς καὶ πιστεύ-
53H σαντας, ὡς μὴ κινηθέντες ἐκ τοῦ γενομένου εἰς τὴν περὶ Ἰησοῦ πί-
στιν, ὅτι τὸ ὅσον ἐφ' ἑαυτοῖς καὶ πρὸς * κατ' αὐτοῦ τοὺς Φαρισαίους
τὸν ἐν αὐτοῖς πονηρὸν ζῆλον ἐγείροντες διὰ τῆς περὶ τοῦ Λαζάρου
ἀπαγγελίας. καὶ δοκεῖ μοι τοῦτο μᾶλλον βούλεσθαι σημαίνειν ὁ 78
εὐαγγελιστής. διὸ καὶ ἐπιφέρεται τὸ »Συνήγαγον οὖν οἱ ἀρχιερεῖς 79
»καὶ οἱ Φαρισαῖοι« καὶ τὰ ἑξῆς. πολλοὺς μὲν οὖν εἶπεν τοὺς διὰ τὸ
θεάσασθαι τὰ περὶ τὸν Λάζαρον πιστεύσαντας· ὡσπερεὶ δὲ ὀλιγωτέρους
ἔφησεν εἶναι τοὺς μὴ τοιούτους, εἰπών· »Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον« καὶ
τὰ ἑξῆς. πρόσχες δὲ καὶ τοῖς λεχθησομένοις εἰ δύναται ἡμᾶς κινῆσαι 80
πρὸς συγκατάθεσιν, ἐπεὶ μὴ εἴρηται μέν· πολλοὶ οὖν ἐκ τῶν Ἰου-
δαίων τῶν ἐλθόντων πρὸς τὴν Μαριὰμ καὶ θεασαμένων ἃ ἐποίησεν,
ἐπίστευσαν εἰς αὐτόν· γέγραπται δέ· »Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων
»οἱ ἐλθόντες πρὸς τὴν Μαριὰμ καὶ θεασάμενοι ἃ ἐποίησεν ἐπίστευσαν εἰς
2R »αὐτόν«. καὶ μάλιστα διὰ τὴν ἀναγωγὴν κινοῦμαι μήποτε πάντες οἱ 81
θεασάμενοι, τουτέστιν θεωρήσαντες καὶ συνέντες ἃ ἐποίησεν ὁ Ἰησοῦς,
ἐπίστευσαν εἰς αὐτόν· οἱ μέντοι γε ἀπελθόντες πρὸς τοὺς Φαρι-
σαίους καὶ εἰπόντες αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς ἐπεὶ μὴ μεμαρτύρηνται
ὅτι ἐθεάσαντο, μήποτε τὸ ἐν ἐπαίνῳ λεγόμενον περὶ τῶν πιστευσάν-
των οὐκ ἔσχον, τὸ »Ἐθεάσαντο«. ἐδύνατο γάρ, εἴπερ καὶ οὗτοι 82
ἐθεάσαντο, γεγράφθαι ὅτι τινὲς ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρι-
σαίους καὶ εἶπον αὐτοῖς ἃ ἐθεάσαντο πεποιηκότα τὸν Ἰησοῦν, ἢ ἃ
ἐθεάσαντο καὶ ἐποίησεν ὁ Ἰησοῦς. νυνὶ δὲ τὸ »Ἐθεάσαντο« ἐπὶ τού- 83
των μὲν οὐδαμῶς εἴρηται, ἐπὶ δὲ τῶν πιστευσάντων, οἵτινες καὶ
ἐλθόντες ἦσαν πρὸς τὴν Μαριὰμ καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς·
δι' οὗς, οἶμαι, καὶ εἶπε τὸ »Ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα
»εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας«. ἅμα δὲ καὶ περὶ 84
τούτου πρόσχες εἰ δύνασαι τοὺς ἐλθόντας πρὸς τὴν Μαριὰμ καὶ
θεασαμένους ἃ ἐποίησεν ὁ Ἰησοῦς καὶ πιστεύσαντας εἰς αὐτὸν μόνους

2 Joh. 11, 46. — **5** Vgl. Joh. 11, 45. — **13** Joh. 11, 47. — **14** Vgl. Joh. 11, 45. — **16** Joh, 11, 46. — **20** Joh. 11, 45. — **33** Joh. 11, 42.

8. 12 ἐπαγγελίας, corr. We | **10** προσηρέθισαν? We; V hat πρὸς mit 11 ἐγείροντες verbunden | **13** ἐπέφέρεται | **19** μαρίαν | **26** [ἐν ἐπαί]νῳ a. Ras. | **35** δύνασαι] σ a. Ras.

Digitized by Google

λέγειν, ἅτε καὶ πολλοὺς ὄντας, ὅτι οὗτοι ἦσαν ὁ περιεστὼς τὸν Ἰησοῦν ὄχλος, δι' ὃν εἶπεν τὸ »Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς
85 »μου· ἐγὼ δὲ ἤδειν ὅτι πάντοτέ μου ἀκούεις«. εἰ γὰρ ταῦτα »διὰ »τὸν ὄχλον ⟨τὸν⟩ περιεστῶτα« εἶπεν, ἵνα πιστεύσωσιν ὅτι ὁ πατήρ αὐτὸν ἀπέστειλεν, καὶ λέγων διὰ τοῦτο εἶπεν, ἵνα ὁ περιεστὼς ὄχλος πιστεύσῃ· οὐκ ἂν δὲ μὴ πιστεύσοντός τινος ἐξ αὐτῶν τῷ πατρὶ 354 I
ἔλεγεν, ὡσεί τις τῶν τὰ μέλλοντα ἀγνοούντων ἀνθρώπων, »ἀλλὰ 272 r
»διὰ τὸν ὄχλον τὸν περιεστῶτα, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστει-
»λας«· μήποτε οἱ ἐλθόντες πρὸς τὴν Μαριὰμ καὶ θεασάμενοι ἃ ἐποίησεν καὶ πιστεύσαντες εἰς αὐτόν, μόνοι ἦσαν ὁ περιεστὼς τὸν Ἰησοῦν ὄχλος· οἱ δὲ λοιποὶ οὔτε ἐθεάσαντο, ἃ ἐποίησεν, οὔτε περιειστήκεισαν αὐτόν.

XI, 47 f. *Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον, καὶ ἔλεγον· Τί ποιοῦμεν ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ ποιεῖ σημεῖα; ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.*

86 XII. (11) Ὡς πρὸς τὸ ῥητὸν οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ἑώρων ὅτι διὰ τὸ μέγεθος ὧν πεποιήκει τεραστίων δυνάμεων ὁ Ἰησοῦς δυνατὸν ἦν καὶ πάντα τὸν λαὸν τῶν Ἰουδαίων ὑπαχθῆναι τῇ εἰς αὐτὸν πίστει καὶ ὑπαχθέντα καταφρονῆσαι τῆς ἐν τῷ τόπῳ 383 I
σωματικῆς λευϊτικῆς καὶ ἱερατικῆς λατρείας, ὥστ' ἂν πρόφασιν τὸ τοιοῦτον γενέσθαι τοῦ, ἅτε μὴ περιεπόντων τὸν τόπον Ἰουδαίων, Ῥωμαίοις ὑπὸ τοῦ σωτῆρος γενέσθαι καὶ τὸν νομιζόμενον παρ' ἐκείνοις ἱερὸν τόπον καὶ πᾶν τὸ ἔθνος Ἰουδαίων, οὐκέτι παντὶ τρόπῳ
87 τηρεῖν ἐθελόντων τὴν περὶ τοῦ Ἰουδαίους ἑαυτοὺς εἶναι ὁμολογίαν. εἶτ' ἐπεὶ πάντων προέκρινον τὴν λατρείαν καὶ τὸν τόπον καὶ τὴν τοῦ ἔθνους σύστασιν τῶν νομισθέντων ἂν εἶναι κρειττόνων παρὰ ταῦτα, διὰ τοῦτο σκοποῦσιν κατὰ τοῦ Ἰησοῦ ἵνα αὐτὸν μὴ ἐάσωσιν
88 ζῆν. ὡς δ' αὔτως οἶμαι καὶ ἐπὶ καθαρέσει τῆς δόξης αὐτοῦ εἰρηκέναι τὸ »Οὗτος ὁ ἄνθρωπος«· ἠπίστουν γὰρ τοῖς καὶ ἀνωτέρω εἰρημένοις περὶ τοῦ θεὸν αὐτὸν εἶναι, ἡνίκα λιθάζειν αὐτὸν ἐβούλοντο ὡς περὶ

2 Joh. 11, 41 f. — 7 Joh. 11, 42. — 9 Vgl. Joh. 11, 45. — 31 Joh. 11, 47.

4 ⟨τὸν⟩ + V 7 τὸ μέλλον τὸ (τὰ?), μέλλον fast ganz verblichen, corr. Br | ἀγνοούντων durch Wasser weggewaschen | 15 πιστεύσωσιν M mit LXΔ 1. 33. 69. GH, πιστεύσουσιν V Ausgg. mit B^{2a}AD rell., πιστεύσουσιν ℵ* | 25 ἱερὸν] εἰρημένον, corr. Pr, vgl. S. 403, 22 ἱερωμένον? We | οὐκ ἐπὶ, corr. We | 26 Ἰουδαίους] ους a. Ras. | 31 ἠπί(στουν γὰρ] nur noch geringe Spuren | 32 λιθάζειν] ζειν verschwunden.

Digitized by Google

βλασφημίας, λέγοντες αὐτῷ ὅτι »Σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν »θεόν«, ὅτε κατὰ τὴν ἑαυτοῦ φιλανθρωπίαν ἀπεκρίνατο, διδάσκων ὅτι πᾶς πρὸς ὃν ὁ λόγος τοῦ θεοῦ ἐγένετο θεὸς λέγεται ὑπὸ τοῦ θεοῦ, μὴ δυναμένης λυθῆναι καὶ καταλυθῆναι τῆς τοῦτο ἀποφηνα-
5 μένης προφητικῆς γραφῆς. ἔστιν δὲ ἐκ τῶν λεγομένων ἀπὸ τῶν 89
Φαρισαίων καὶ τῶν ἀρχιερέων κατανοῆσαι αὐτῶν καὶ τὸ τῆς κακίας ἀνομολογούμενον καὶ τυφλόν· ἀνομολογούμενον μέν, ὅτι ἐμαρτύρουν αὐτῷ καὶ πολλὰ πεποιηκέναι σημεῖα καὶ δύνασθαι τῷ τοσαῦτα σημεῖα πεποιηκότι ἐπιβουλεῦσαι, ὡς μηδὲν ὑπὲρ ἑαυτοῦ ἐν τῷ ἐπι-
272v βουλεύεσθαι δυναμένῳ· τυφλὸν δὲ οὐδὲν ἧττον καὶ αὐτὸ τοῦτο | ἦν· κατὰ γὰρ τὸν πολλὰ ποιοῦντα σημεῖα ἦν τὸ κρεῖττον εἶναι τῆς ἐπι-
355 H βουλῆς τῶν ἀφιέναι αὐτὸν μὴ θελόντων· εἰ μὴ ἄρα καὶ ἐπίστευον ὅτι ποιεῖ σημεῖα, καὶ ὑπενόουν αὐτὰ μὴ ἀπὸ θείας γίνεσθαι δυνά-
μεως· ὥστε διὰ τοῦτο μὴ πάντα αὐτὸν δυνηθῆναι, μηδὲ αὐτὸν ῥύ-
15 σασθαι ἀπὸ τῆς ἐξ ἐκείνων ἐπιβουλῆς. ἐκεῖνοι μὲν οὖν ἐσκόπουν 90
μὴ ἀφιέναι αὐτόν, οἰόμενοι διὰ τοῦτο ἐμποδίσειν τοῖς πιστεύουσιν εἰς αὐτὸν καὶ Ῥωμαίοις, μέλλουσιν αἴρειν αὐτῶν τὸν τόπον καὶ τὸ ἔθνος. ἀλλ' ἐπεὶ »Κύριος διασκεδάζει βουλὰς ἐθνῶν καὶ ἀθετεῖ λο- 91
»γισμοὺς λαῶν«, οὐδὲν ἧττον καὶ οὐκ ἀφῆκαν αὐτόν, καὶ ὁ θεὸς
20 αὐτὸν ἀνέστησεν καὶ ἀφῆκεν καὶ πάντα τὰ ἔθνη ἐδούλευσαν αὐτῷ καὶ ἐλθόντες οἱ Ῥωμαῖοι ἦραν αὐτῶν τὸν τόπον. ποῦ γὰρ ὅ φασιν 92
ἐκεῖνοι ἁγίασμα; ἦραν δὲ καὶ τὸ ἔθνος, ἐκβάλλοντες αὐτοὺς ἀπὸ τοῦ
384 R τόπου καὶ μόγις ἐπιτρέψαντες αὐτοῖς εἶναι ὅπου βούλονται καὶ ἐν τῇ διασπορᾷ.

25 Εἰ δὲ χρὴ τολμῆσαι καὶ εἰς ἀναγωγὴν τῶν κατὰ τὰ ῥήματα 93
ταῦτα, φήσομεν ὅτι τὸν τόπον τῶν ἐκ περιτομῆς ἔλαβον τὰ ἔθνη· »Τῷ γὰρ ἐκείνων παραπτώματι σωτηρία γέγονεν τοῖς ἔθνεσιν, εἰς »τὸ παραζηλῶσαι αὐτούς«· εἰς δὲ τὰ ἔθνη Ῥωμαῖοι παρελήφθησαν, ἀπὸ τῶν βασιλευόντων οἱ βασιλευόμενοι ὀνομασθέντες. καὶ τὸ 94
30 ἔθνος δὲ ὑπὸ τῶν ἐξ ἐθνῶν ἤρθη· γέγονεν γὰρ ὁ λαὸς οὐ λαός, καὶ οἱ ἐξ Ἰσραὴλ οὐκέτι εἰσὶν Ἰσραήλ, καὶ τὸ σπέρμα οὐκ ἔφθασεν ἐπὶ τὸ γενέσθαι αὐτοὺς τέκνα· καὶ τούτων αἴτιον τὰ πολλὰ τοῦ Ἰησοῦ σημεῖα, καὶ ὅτι ἀφῆκεν αὐτὸν ὁ πατήρ, κρείττονα γενόμενον τῆς τῶν ἀρχιερέων καὶ Φαρισαίων συνεδρευσάντων κατ' αὐτοῦ ἐπιβουλῆς.

1 Joh. 10, 33. — **8** Vgl. Joh. 11, 47. — **15** Vgl. Joh. 11, 48. — **18** Ps. 32, 10. — **20** Vgl. Ps. 71, 2. — **27** Röm. 11, 11. — **30** Vgl. I Petr. 2, 10. — **31** Vgl. Röm. 9, 6 f.

1 ποιεῖς kaum lesbar | σεαυτὸν V] M scheint ἑαυτὸν z. l. wie 69. GU*A* | **2** διδάσκων] verschwunden | **4** [δυν]αμένης verblasst | καὶ ü. d. Z. | **6** καὶ¹ verblasst **10** τυφλῶ, corr. V | **11** κρεῖττον M, κρείττονα We.

Digitized by Google

95 ἀρχιερεῖς δὲ καὶ πᾶσα ἡ σωματικὴ ἐν Ἰουδαίοις λατρεία Φαρισαῖοί τε καὶ πᾶσα ἡ κατὰ τὸ γράμμα τοῦ νόμου διδασκαλία ἐπιβουλεύει Ἰησοῦ. τῇ ἀληθείᾳ, καὶ βούλεται ὁ τύπος, ἵνα ὑφεστήκῃ, ἐμποδίζειν τῇ φανερώσει τῆς ἀληθείας, καὶ ὥσπερ ἡ σὰρξ [καὶ] κατὰ τοῦτο ἐπι-
96 θυμεῖ κατὰ τοῦ πνεύματος. ἀλλ' ἰσχυρότερον ὂν τὸ ἐπιθυμοῦν κατὰ τῆς σαρκὸς πνεῦμα καὶ ἡ ἀληθὴς τοῦ σωτῆρος ἡμῶν ἀρχιερωσύνη καὶ ἡ πνευματικὴ αὐτοῦ διδασκαλία διαλύει τὸ τῶν κατ' αὐτοῦ βου-
97 λευομένων ἀρχιερέων καὶ Φαρισαίων συνέδριον. ταῦτα δὲ ὑπολη-πτέον καὶ νῦν γίνεσθαι, ὅπερ ἔστιν ἰδεῖν ἐν τοῖς διὰ τῆς τοῦ σωματικοῦ | Ἰουδαϊσμοῦ συστάσεως [καὶ] καταλύειν ἐθέλουσιν τὴν 273
πνευματικὴν Χριστοῦ διδασκαλίαν.

XI, 49. *Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς· Ὑμεῖς οὐκ οἴδατε οὐδέν,* **50** *οὐδὲ* 35
λογίζεσθε ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. **51** *τοῦτο δὲ ἀφ'* 15
ἑαυτοῦ οὐκ εἶπεν, ἀλλ' ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προε-φήτευσεν ὅτι ἔμελλεν Ἰησοῦς ἀποθνῄσκειν ὑπὲρ τοῦ ἔθνους, **52** *καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν.*

98 XIII. (12) *Οὐχὶ εἴ τις προφητεύει, προφήτης ἐστὶν ἐκεῖνος. ὁ* 20
γοῦν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, προεφήτευσεν μὲν ὅτι ἔμελλεν Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους, καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα
99 *συναγάγῃ εἰς ἕν, οὐ μὴν καὶ προφήτης ἦν. εἰ δὲ καὶ Βαλαὰμ προε-φήτευσεν τὰ ἐν τοῖς Ἀριθμοῖς ἀναγεγραμμένα φάσκων· »Τὸ ῥῆμα* 35
»ὃ ἐὰν ἐμβάλῃ ὁ θεὸς εἰς τὸ στόμα μου, τοῦτο λαλήσω«, καὶ εἰπὼν τὰ ἀπὸ τοῦ· »Ἐκ Μεσοποταμίας μετεπέμψατό με« καὶ τὰ ἑξῆς.
100 *σαφὲς ὅτι προφήτης οὐκ ἦν· μάντις γὰρ εἶναι ἀναγέγραπται. εἴ τις μὲν οὖν προφήτης ἐστίν, πάντως προφητεύει· εἰ δέ τις προφητεύει,*
101 *οὐ πάντως ἐστὶν προφήτης. ὡς εἰ καὶ ἐπὶ ἑτέρου τινὸς τῶν κρειτ-* 30

3 Vgl. Joh. 14, 6. — 4 Vgl. II Kor. 4, 2. — 5 Vgl. Gal. 5, 17. — 20 Das Capitel befindet sich stark verkürzt unter den Catenenfragmenten (Nr. 85). Einzelne Sätze bei Nicetas. — 25 Num. 22, 38. — 27 Num. 28, 7. — 28 Vgl. Jos. 13, 22. — εἴ τις — 30 προφήτης Nic.

2 διδασκαλία stark verblasst | 4 ἐπεθυμεῖ, corr. V | 5 ἰσχ[υρότε]ρον verblasst | 7 βουλομένων | 8 τοῦτο? We | 14 λογίζεσθαι | ἡμῖν mit BAΠΔ 1. 33. 69. EGH rel. Vulg. Syr. Sah. Arm. Aeth. ὑμῖν DLXM It. | 24 συναγάγῃ] η a. Ras. | 30 οὐ μὴν εἴ τις προφητεύει, πάντως ἐ. π. Cat.

Digitized by Google

τόνων τοιοῦτον ἔλεγον· εἰ μέν τίς ἐστιν δίκαιος, τὸ δίκαιον διώκει·
οὗ μὴν εἴ τις τὸ δίκαιον διώκει, δίκαιός ἐστιν ἐκεῖνος· ὅπερ συνήσεις 102
ἐπιστήσας τῷ »Δικαίως τὸ δίκαιον διώξῃ«, εἴπερ μὴ μάτην τὸ »Δι-
»καίως« προτέτακται τοῦ »Τὸ δίκαιον διώξῃ«. δυνατὸν γάρ, οἶμαι,
τὸ δίκαιον διώκειν ἀλλ' οὐ δικαίως· καὶ γὰρ οἱ ποιοῦντες πρὸς τὸ
δοξασθῆναι ὑπὸ τῶν ἀνθρώπων ἔργον καθ' αὑτὸ καθῆκον, φέρε
εἰπεῖν, εἰς πένητας, δίκαιον μέν τι πεποιήκασιν, οὐ μὴν ἀπὸ ἕξεως
δικαιοσύνης ἀλλ' ἀπὸ κενοδοξίας. οἶμαι δ' ὅτι ἀνάλογον τῷ »Δι- 103
»καίως τὸ δίκαιον διώξῃ« λέγοιτ' ἄν· ›σωφρόνως τὸ σῶφρον διώξῃ‹·
καὶ ›ἀνδρείως τὸ ἀνδρεῖον διώξῃ‹ καὶ ›σοφῶς τὸ σοφὸν διώξῃ‹ καὶ
τὰ ἀνὰ λόγον ἐπὶ τῶν λοιπῶν ἀρετῶν. ταῦτα δ' εἴπομεν ὑπὲρ τοῦ 104
παραβαλεῖν ὅμοιόν τι τῷ προφητεύειν μέν τινα, οὐ μὴν προφήτην
εἶναι. διὰ τοῦτο δ' οἶμαι συνεχῶς ἐν ταῖς προφητείαις περὶ τῶν 105
προφητῶν λέγεται τὸ »Εἶπεν Ἱερεμίας ὁ προφήτης« καὶ εἴ τι τού-
τοις ὅμοιον· οἱ δὲ περὶ τὰ ὀνόματα δεινοί φασιν ὅτι οὐχὶ εἴ τις |
273v ἰατρικόν τι ἐποίησεν ἢ τῶν πρὸς ὑγιείαν συμβαλλομένων ἔν, ἰατρός
ἐστιν ἐκεῖνος, οὐδὲ εἴ τις οἰκοδομικόν τι πεποίηκεν, οἰκοδόμος ἐστὶν
ἐκεῖνος. ἐκ δὲ τῶν περὶ τὸν Καϊάφαν ἀναγεγραμμένων, προφητεύ- 106
σαντα περὶ τοῦ σωτῆρος, ἔστιν ⟨σαφηνίσαι⟩ ὅτι καὶ μοχθηρὰ ψυχὴ
ἐπιδέχεταί ποτε τὸ προφητεύειν. κατηγορεῖται γὰρ ἡ τοῦ Καϊάφα 107
357H μοχθηρία, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου ὅτε ὁ σωτὴρ ἡμῶν
τὴν ἐν τῷ πάσχειν ὑπὲρ ἀνθρώπων ἐπιτελεῖ οἰκονομίαν, ὑπὸ τῶν
εὐαγγελιστῶν· Ματθαῖος μὲν γάρ φησι· »Τότε πορευθεὶς εἷς τῶν
»δώδεκα, λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπεν· Τί
»θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν
»αὐτῷ τριάκοντα ἀργύρια«· καὶ μετ' ὀλίγα· »Ἰδοὺ Ἰούδας, φησίν, εἷς
386R »τῶν δώδεκα ἦλθεν, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν
»καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ«.

XIV. Ἐν τούτοις μὲν οὖν νοοῦμεν εἶναι καὶ τὸν Καϊάφαν τοῖς 108
ἀρχιερεῦσιν, ἐπεὶ μεμαρτύρηται ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου.
σαφῶς δὲ μετὰ ταῦτα ὁ Ματθαῖός φησιν· »Οἱ δὲ κρατήσαντες τὸν
»Ἰησοῦν ἀπήγαγον πρὸς τὸν Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμ-
»ματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν«· καὶ μετ' ὀλίγα ἐπιφέρει·

1 εἰ μὲν — **2** ἐστίν Nic. — **3** Deut. 16, 20. — **5** Vgl. Matth. 6, 2. — καὶ γὰρ — **8** κενοδοξίας Nic. — **8** Deut. 16, 20. — **14** Jer. 35, 5. — **15** Vgl. Plat., Respubl. I, p. 341 sq. — **23** Matth. 26, 14 f. — **26** Matth. 26, 47. — **30** Vgl. Joh. 11, 49. — **31** Matth. 26, 57.

2 ἐκεῖνο, corr. We | **4** προστέτακται, corr. Hu | **5** ποιοῦντες] + τὸ καλὸν Cat. | **6** ἔργον — **7** πένητας < Cat. | **7** ἕξεως] zwei Hss. d. Cat. δόξης | **14** ὁ προφήτης] fehlt in BsA; Qmg hat πάντες ※ ὁ προφήτης | **16** ὑγίαν, corr. Del. | **19** ⟨σαφηνίσαι⟩ + Pr, ⟨εἰπεῖν⟩ + V | **24** ὁ vor λεγόμενος fehlt nur hier.

Digitized by Google

109 »Ὁ δὲ ἀρχιερεὺς καὶ τὸ συνέδριον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ »Ἰησοῦ, ὅπως θανατώσουσιν αὐτόν· καὶ οὐχ εὗρον, πολλῶν προσελ»θόντων ψευδομαρτύρων. ὕστερον δὲ προσελθόντες δύο εἶπον· »Οὗτος ἔφη· Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν »ἡμερῶν οἰκοδομῆσαι. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Οὐδὲν »ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ Ἰησοῦς ἐσιώπα. »καὶ ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶν»τος ἵνα ἡμῖν εἴπῃς· εἰ σὺ ὁ χριστός, ὁ υἱὸς τοῦ θεοῦ; λέγει αὐτῷ »ὁ Ἰησοῦς· Σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν »τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον 10
»ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. τότε ὁ ἀρχιερεὺς διέρρηξεν τὰ »ἱμάτια αὐτοῦ λέγων· Ἐβλασφήμησεν· τί ἔτι χρείαν ἔχομεν μαρτύ»ρων; ἰδοὺ νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ. τί ὑμῖν δοκεῖ; οἱ »δὲ ἀποκριθέντες εἶπον· Ἔνοχος θανάτου ἐστίν«. εἶτα πάλιν μεθ'
110 ἕτερα· »Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ 15
111 »πρεσβυτέρων οὐδὲν ἀπεκρίνετο«. καὶ | πάλιν μετ' ὀλίγα· »Οἱ δὲ 274r
»ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται
112 »τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν«. εἶτα μετὰ τὴν ἀνά»στασιν τοῦ σωτῆρος πορευομένων Μαρίας τῆς Μαγδαληνῆς καὶ τῆς ἄλλης Μαρίας· »Ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν 20
»ἀνήγγειλαν τοῖς ἀρχιερεῦσιν πάντα τὰ γενόμενα. καὶ συναχθέντες »μετὰ τῶν πρεσβυτέρων συμβούλιόν τε λαβόντες ἀργύρια ἱκανὰ »ἔδωκαν τοῖς στρατιώταις λέγοντες· Εἴπατε ὅτι Οἱ μαθηταὶ αὐτοῦ »ἐλθόντες νυκτὸς ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων· κἂν ἀκουσθῇ »τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν καὶ ὑμᾶς ἀμερίμνους ποιή- 25
»σομεν«.

113 Λουκᾶς δὲ ἀνέγραψεν ὅτι »Εἰσῆλθεν Σατανᾶς εἰς Ἰούδαν ἐπι- 358 E
»καλούμενον Ἰσκαριώθ, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, καὶ ἀπελ»θὼν συνελάλησεν τοῖς ἀρχιερεῦσι καὶ στρατηγοῖς, ὅπως αὐτὸν »παραδῷ αὐτοῖς«. εἶτα μετ' ὀλίγα· »Εἶπεν, φησίν, ὁ Ἰησοῦς πρὸς 30
»τοὺς παραγενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ 387 B
»καὶ πρεσβυτέρους· Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ »ξύλων;« καὶ μετ' ὀλίγα· »Συλλαβόντες αὐτὸν ἤγον καὶ εἰσήγαγον

1 Matth. 26, 59—66. — **15** Matth. 27, 12. — **16** Matth. 27, 20. — **20** Matth. 28, 11—14. — **27** Luk. 22, 3f. — **30** Luk. 22, 52. — **33** Luk. 22, 54.

1 ὁ δὲ ἀρχιερεὺς mit Kopt. | nach *συνέδριον* + ὅλον T | **8** τοῦ u. λ[*έγει*] verblichen | **11** ἐπὶ verblichen | **16** τῶν vor *πρεσβυτέρων* fehlt mit LX 1. 69 | **16** ἀπεκρίνετο mit D. It. | **18** Ἰησοῦ (υ) M | **21** ἀνήγγειλαν mit D, ἀπήγγειλαν rell. | **25** ἐπὶ mit ℵAC rell. | αὐτὸν nach *πείσομεν* fehlt mit Bℵ 33. *e.* Aeth. | **28** Ἰσκαριὼθ wie *a*; vgl. Ἰσκαρωθ D | **33** ἦγον statt ἤγαγον ist singulär.

Digitized by Google

»εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως«· καὶ ἔτι μετ' ὀλίγα· »Εἱστήκεισαν οἱ »ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, εὐτόνως κατηγοροῦντες αὐτοῦ«. καὶ 114
πάλιν μετ' ὀλίγα· »Ὡς ἡμέρα ἐγένετο, συνήχθη τὸ πρεσβυτέριον τοῦ »λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ »συνέδριον αὐτῶν«.

Ὁ δὲ Μάρκος φησὶν ὅτι »Ἰούδας Ἰσκαριώτης, εἷς τῶν δώδεκα, 115
»προσῆλθεν πρὸς τοὺς ἀρχιερεῖς ἵνα παραδῷ αὐτόν. οἱ δὲ ἀκούσαν»τες ἐχάρησαν καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι«· καὶ μετ' ὀλίγα· »Ἔτι τοῦ Ἰησοῦ λαλοῦντος παραγίνεται Ἰούδας Ἰσκαριώτης, »εἷς τῶν δώδεκα, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ »ξύλων παρὰ τῶν γραμματέων καὶ τῶν Φαρισαίων καὶ πρεσβυτέ»ρων«· καὶ μετ' ὀλίγα· »Ἀπήγαγον τὸν Ἰησοῦν πρὸς Καϊάφαν τὸν 116
»ἀρχιερέα, καὶ συνέρχονται πάντες οἱ ἀρχιερεῖς καὶ γραμματεῖς καὶ »πρεσβύτεροι«. εἶτα πάλιν μετ' ὀλίγα· »Ἀναστὰς ὁ ἀρχιερεὺς ἐπη- 117
»ρώτησεν τὸν Ἰησοῦν λέγων· Οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου »καταμαρτυροῦσιν; ὁ δὲ ἐσιώπα καὶ οὐδὲν ἀπεκρίνατο. πάλιν ὁ ἀρ»χιερεὺς ἐπηρώτησεν αὐτὸν ἐκ δευτέρου λέγων· Σὺ εἶ ὁ χριστὸς ὁ
274v »υἱὸς τοῦ εὐλογητοῦ; | ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς λέγει αὐτῷ· Σὺ εἶπας »ὅτι ἐγώ εἰμι, καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ »δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐ»ρανοῦ. ὁ δὲ ἀρχιερεὺς διαρρήξας εὐθέως τοὺς χιτῶνας αὐτοῦ«. εἶτα μετ' ὀλίγα· »Πρωῒ συμβούλιον ἐποίησαν οἱ ἀρχιερεῖς μετὰ τῶν 118
»πρεσβυτέρων καὶ τῶν γραμματέων καὶ ὅλον τὸ συνέδριον, καὶ »δήσαντες τὸν Ἰησοῦν ἀπήγαγον εἰς τὴν αὐλὴν καὶ παρέδωκαν Πι»λάτῳ«. εἶτα μετ' ὀλίγα· »Κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά, »αὐτὸς δὲ οὐδὲν ἀπεκρίνετο«. ὁ δὲ Ἰωάννης φησὶν ὅτι »Ἄγουσι τὸν 119
»Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον«. ταῦτα δὲ ἐπὶ πλεῖον 120
ἐξεθέμεθα ὑπὲρ τοῦ διὰ πολλῶν ἁπάντων τῶν εὐαγγελιστῶν μαρ-

1 Luk. 23, 10. — **3** Luk. 22, 66. — **6** Mark. 14, 10f. — **9** Mark. 14, 43. — **12** Mark. 14, 53. — **14** Mark. 14, 60–63. — **22** Mark. 15, 1. — **25** Mark. 15, 3. 5. — **26** Joh. 18, 28.

3 *μετ' ὀλίγα* ist Irrtum. Dem Copisten haben sich die Excerpte verwirrt | *ἡμέρα ἐγένετο*] Stellung wie in 1 (*a*) *c.* | **6** *ὁ* vor *εἷς* fehlt mit DX rel. ς | **7** *προσῆλθεν* ist singulär | zu *παραδῷ αὐτὸν* vgl. D | **8** *ἐπηγγείλατο.* corr. V | **9** *ὁ* vor *Ἰούδας* fehlt mit ℵCD rell. | *Ἰσκαριώτης*] vgl. D | **12** *πρὸς Καιάφαν τὸν ἀ.* wie Syr. Pesch.; vgl. A 69. KM Syr. Hcl. Sah. Arm. | **13** Der Art. vor *γραμματεῖς* u. *πρεσβύτεροι* fehlt mit D | **17** *ἐκ δευτέρου λέγων*] vgl. *ἐκ δευτέρου καὶ λέγει* 69; *λέγων* hat auch 1 | **18** *ἀποκριθεὶς λέγει* mit D | *σὺ εἶπας ὅτι* mit 69. Arm. | **21** nach *αὐτοῦ* hat der Copist die Fortsetzung weggelassen | **22** *ἐποίησαν* mit D It. Syr. Pesch. Hcl. Sah. Aeth. | **24** *δήσαντες*] *λαλήσαντες*, corr. V | *εἰς τὴν αὐλὴν* mit D It. | **25** *πολλὰ αὐτὸς κτλ.* mit Δ 33. 69. U. *a. c.* Syr. Hcl. Sah. Arm. Aeth.

Digitized by Google

τυριῶν παραστῆσαι τὴν χύσιν τῆς τοῦ Καϊάφα κακίας. καὶ ὅτι κατὰ τοῦ Ἰησοῦ ἀγωνιζόμενος οὐδὲν ἧττον προεφήτευσεν· ὅτι μὲν οὖν προεφήτευσεν, σαφῶς ἐδίδαξεν ἡμᾶς ὁ Ἰωάννης.

121 XV. (13) Ζητήσεις δὲ εἰ πάντως, εἴ τις προφητεύει, ἐκ πνεύμα- 358 H
τος ἁγίου προφητεύει, κἂν τισιν φαίνηται μηδεμιᾶς ζητήσεως ἔχεσθαι 388 B
122 τὸ λεγόμενον. πῶς δὲ οὐ ζητήσεως ἄξιόν ἐστιν. εἴγε Δαβὶδ μετὰ τὴν ἐπὶ τοῦ Οὐρίου ἁμαρτίαν εὐλαβούμενος ἀφαιρεθῆναι ἀπ' αὐτοῦ τὸ ἅγιον πνεῦμά φησι· »Τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ' »ἐμοῦ«; εἰ δέ τις προσίεται καὶ τὸ »Ἅγιον γὰρ πνεῦμα παιδείας »φεύξεται δόλον. καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων« σαφῶς δόξει παρίστασθαι ὅτι φεύγει ἀπὸ τῆς δεδολιωμένης ψυχῆς. κἂν πρότερον τύχῃ πρὸ δόλου καὶ ἁμαρτίας γενόμενον ἐκεῖ, τὸ ἅγιον
123 πνεῦμα. οὕτω δὲ ζητήσεως ἄξιόν ἐστιν τὸ περὶ τοῦ ἁγίου πνεύματος εἰ δύναται εἶναι καὶ ἐν ἁμαρτωλῷ ψυχῇ. ὥστ' ἄν τινα εἰπεῖν ὅτι εἴπερ »Οὐδεὶς δύναται εἰπεῖν Κύριος Ἰησοῦς εἰ μὴ ἐν πνεύματι »ἁγίῳ« πολλοὶ δὲ καὶ τῶν ἁμαρτωλῶν διάκεινται πρὸς τὸν Ἰησοῦν
124 ὡς πρὸς κύριον, καὶ ἐν αὐτοῖς ἂν εἴη τὸ ἅγιον πνεῦμα. καὶ τάχα ἐπὶ οἱ μετὰ τὸ τυχεῖν αὐτοῦ ἁμαρτάνοντες οὐκ ἂν τυγχάνοιεν ἀφέσεως, διὰ τοῦτο λέγεται περὶ τῶν πρὸ τοῦ ἁγίου πνεύματός τινι ἡμαρτημένων τὸ »Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς »υἱοῖς τῶν ἀνθρώπων«· περὶ δὲ τῶν μετὰ τὸ τυχεῖν ἁγίου πνεύ-
125 ματος ἑπταικότων τὸ »Ὃς δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσας οὐκ »ἔχει ἄφεσιν οὔτε ἐν τούτῳ τῷ αἰῶνι οὔτε ἐν τῷ μέλλοντι«. βλασφη- 275
μεῖ γὰρ ἔργοις καὶ λόγοις ἁμαρτίας εἰς τὸ παρὸν πνεῦμα ἅγιον ὁ
126 καὶ παρόντος αὐτοῦ ἐν τῇ ψυχῇ ἁμαρτάνων. οὕτω δέ τις φήσει εἰρῆσθαι καὶ τὸ ἐν τῇ πρὸς Ἑβραίους τοῦτον ἀναγεγραμμένον τὸν τρόπον· »Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας γευσαμένους τε τῆς »δωρεᾶς τῆς ἐπουρανίου καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου, »καὶ καλὸν γευσαμένους θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος, »καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦν- »τας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας«. πρόσχες
127 γὰρ ἐν τούτοις τὸ »Μετόχους γενηθέντας πνεύματος ἁγίου«. εἰς δὲ τὸ ἐναντίον, ὡς, εἰ καὶ προεφήτευσεν ὁ Καϊάφας, οὐδὲν ἧττον οὐκ ἦν πνεῦμα ἅγιον ἐν αὐτῷ, λεχθείη ἂν τὸ »Οὔπω γὰρ ἦν πνεῦμα.
128 »ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη«. καὶ εἴπερ οὐκ ἦν πνεῦμα οὐδὲ ἐν τοῖς

8 Ps. 50, 13. — 9 Weish. Sal. 1, 5. — 15 I Kor. 12, 3. — 20 Matth. 12, 31; vgl. Mark. 3, 29. — 27 Hebr. 6, 4—6. — 32 Hebr. 6, 4. — 34 Joh. 7, 39.

4 vor ζητήσεις eine Initiale ausrad. | 6 ἄξιος, corr. V | 11 δεδολισμένης, corr. We | 14 ἁμαρτωλοῦ We | 20. 22 Die Citate zeigen eine Mischform aus Matth. u. Mark. und stammen wohl aus einer Spruchsammlung | 21 ἁγίου] α u. ι a. Ras. 29 γεσαμένους.

Digitized by Google

ἀποστόλοις πρὸ τοῦ Ἰησοῦν δοξασθῆναι, πόσῳ πλέον οὐκ ἦν ἐν τῷ
Καϊάφᾳ; ἀναστὰς δὲ ὁ σωτὴρ »ἐνεφύσησεν« τοῖς μαθηταῖς »καὶ λέγει
389 R »αὐτοῖς· Λάβετε πνεῦμα ἅγιον« καὶ τὰ ἑξῆς· τολμηρῶς μὲν οὖν τις 129
παραθήσεται τὰ λεχθησόμενα πρὸς τὸ μὴ ἀπὸ ἁγίου πνεύματος
360 H προπεφητευκέναι τὸν Καϊάφαν· ὁμῶς δ' οὖν ἐρεῖ ὅτι δύναται καὶ
πονηρὰ πνεύματα μαρτυρεῖν τῷ Ἰησοῦ καὶ προφητεύειν περὶ αὐτοῦ
ἢ μαρτυρεῖν αὐτῷ, ὥσπερ τὸ λέγον· »Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ
»θεοῦ« καὶ τὰ παρακαλοῦντα αὐτὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν
ἄβυσσον ἀπελθεῖν καὶ λέγοντα· »Ἦλθες ἀπολέσαι ἡμᾶς;«

XVI. Καὶ ἐν ταῖς Πράξεσι δὲ τῶν ἀποστόλων γέγραπται ταῦτα· 130
»Ἐγένετο πορευομένων ἡμῶν εἰς τὴν προσευχὴν παιδίσκην τινὰ
»ἔχουσαν πνεῦμα πύθωνα ὑπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν
»παρεῖχεν τοῖς κυρίοις αὐτῆς μαντευομένη. αὕτη κατακολουθήσασα
»Παύλῳ καὶ ἡμῖν †ἔκραξεν λέγουσα ὅτι Οὗτοι οἱ ἄνθρωποι δοῦλοι
»τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σω-
»τηρίας«. φήσει οὖν ὁ τούτοις συγχρώμενος ὅτι οὐδὲν ἀποδεῖ προφη- 131
τείας ὁ τοῦ πύθωνος λόγος, μαρτυρῶν τοῖς ἀποστόλοις καὶ προτρέ-
πων ὡς ἐπὶ ὁδὸν σωτηρίας καταγγελλομένην πιστεύειν τοὺς ἀκού-
σαντας. ἐπεὶ δὲ καὶ τὰ τοῦ Βαλαὰμ παρεθέμεθα, πρόσχες εἰ δύναται 132
καὶ περὶ αὐτοῦ λέγεσθαι ὅτι οὐ θεόθεν ἐλάλησεν ἀλλ' ἀπὸ ἀγγέλου·
»Ἔστη, γάρ φησιν, ὁ ἄγγελος τοῦ θεοῦ ἐν τῇ ὁδῷ ἐνδιαβάλλειν αὐ-
»τόν. καὶ αὐτὸς ἐπιβεβήκει ἐπὶ τῆς ὄνου αὐτοῦ καὶ οἱ δύο παῖδες
»αὐτοῦ μετ' αὐτοῦ. καὶ ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ θεοῦ ἀνθε-
»στηκότα ἐν τῇ ὁδῷ, καὶ τὴν ῥομφαίαν αὐτοῦ ἐσπασμένην ἐν τῇ
275 v »χειρὶ αὐτοῦ, καὶ ἐξέκλινεν ἡ ὄνος ἐκ τῆς ὁδοῦ καὶ ἐπορεύετο εἰς
»τὸ πεδίον. καὶ ἐπάταξεν Βαλαὰμ τὴν ὄνον ἐν τῇ ῥάβδῳ τοῦ
»εὐθῦναι αὐτὴν ἐν τῇ ὁδῷ· καὶ ἔστη ὁ ἄγγελος τοῦ θεοῦ ἐν ταῖς αὐλαξι
»τῶν ἀμπέλων, φραγμὸς ἐντεῦθεν καὶ φραγμὸς ἐντεῦθεν«. εἶτα μετ'
ὀλίγα· »Ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ θεοῦ συνεκάθισεν ὑποκάτω Βα- 133
»λαάμ«. καὶ πάλιν μετ' ὀλίγα· »Εἶπεν αὐτῷ ὁ ἄγγελος τοῦ θεοῦ· Διατί
»ἐπάταξας τὴν ὄνον σου τοῦτο τρίτον; καὶ ἰδοὺ ἐγὼ ἐξῆλθον εἰς δια-
»βολήν σου, ὅτι οὐκ εὐθεῖα ἡ ὁδός σου ἐναντίον μου· καὶ ἰδοῦσά με
»ἡ ὄνος ἐξέκλινεν ἀπ' ἐμοῦ τοῦτο τρίτον· καὶ εἰ μὴ ἐξέκλινεν ἀπ'
»ἐμοῦ, νῦν σὲ μὲν ἂν ἀπέκτεινα ἐκείνην δ' ἂν περιεποιησάμην. καὶ

2 Joh. 20, 22. — **7** Mark. 1, 24; vgl. Luk. 8, 31. — **11** Act. 16, 16 f. — **19** Vgl. S. 404, 24 ff. — **21** Num. 22, 22—24. — **29** Num. 22, 27. — **30** Num. 22, 32—35.

7 *οἴδαμεν* mit L*Δ* Boh. Arm. Aeth. Iren. u. o. S. 181, 5 | **13** *κατακολουθήσασα* mit ACE 13. 31. DL | **14** *ἔκραξεν* singulär; wahrscheinlich ist mit allen Zeugen *ἔκραζεν* z. l., wie die Ausgg. corr. | *ὅτι* fehlt in T | **21** *ἐνδιαβάλλων* M* | **31** *τοῦτο — ἰδοὺ* a. Ras.

Digitized by Google

»εἶπεν Βαλαὰμ τῷ ἀγγέλῳ· Κύριε, ἡμάρτηκα, οὐ γὰρ ἠπιστάμην ὅτι
»σὺ ἀνθέστηκας εἰς συνάντησίν μοι ἐν τῇ ὁδῷ· καὶ νῦν εἰ μή σοι
»ἀρέσκει, ἀποστραφήσομαι. καὶ εἶπεν ὁ ἄγγελος τοῦ θεοῦ πρὸς
»Βαλαάμ· Συμπορεύθητι μετὰ τῶν ἀνθρώπων· πλὴν τὸ ῥῆμα ὃ 390R
134 »ἐὰν εἴπω πρὸς σὲ τοῦτο φυλάξῃ λαλῆσαι«. παρατήρει γὰρ ὅτι 5
ἄγγελός ἐστιν ὁ λέγων· »Τὸ ῥῆμα ὃ ἐὰν εἴπω πρὸς σὲ τοῦτο φυ-
135 »λάξῃ λαλῆσαι«. ἀλλὰ φήσεις ὅτι μετ' ὀλίγα ἐφάνη ὁ θεὸς τῷ
Βαλαὰμ καὶ εἶπεν πρὸς αὐτὸν Βαλαάμ· »Τοὺς ἑπτὰ βωμοὺς ἡτοίμασα
»καὶ ἀνεβίβασα μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν. καὶ ἐνέβαλεν ὁ
»θεὸς ῥῆμα εἰς τὸ στόμα Βαλαὰμ καὶ εἶπεν· Ἐπιστραφεὶς πρὸς Βα- 391H
136 »λαὰμ οὕτω λαλήσεις.« καὶ σὺ δὲ πρόσχες πῶς ἀμφότερα ἀληθῆ
ἐστὶν καὶ τὸ ὑπὸ τοῦ ἀγγέλου λεγόμενον ἐν τῷ »Ὃ ἐὰν εἴπω πρὸς
»σὲ τοῦτο φυλάξῃ λαλῆσαι«· καὶ τὸ ὑπὸ τῆς γραφῆς ἀπαγγελλόμενον·
137 ὅτι »Ἐνέβαλεν ὁ θεὸς ῥῆμα εἰς τὸ στόμα Βαλαὰμ καὶ εἶπεν«. τὸ
δὲ »Ἐγενήθη πνεῦμα θεοῦ ἐπ' αὐτῷ« ὠβελίσαμεν, μήτε αὐτὸ μήτε 15
138 παραπλήσιόν τι αὐτῷ εὑρόντες ἐν ταῖς λοιπαῖς ἐκδόσεσιν. πάλιν τε
αὖ μετ' ὀλίγα· »Συνήντησεν, φησίν, ὁ θεὸς τῷ Βαλαὰμ καὶ ἐνέ-
»βαλεν ῥῆμα εἰς τὸ στόμα αὐτοῦ καὶ εἶπεν· Ἀποστράφηθι πρὸς Βα-
139 »λαὰκ καὶ τάδε λαλήσεις«. XVII. Εἰς ταῦτα δὲ πάντα ὁ ἀποτολ-
μῶν φήσει ὅτι καὶ ἐπὶ τοῦ Σαοὺλ εἴρηται· »Πνεῦμα θεοῦ πονηρὸν 20
»ἔπνιγεν αὐτόν«. ἀλλὰ καὶ πνεῦμα ψευδὲς ἐξελθὸν γέγονεν ἐν στό-
ματι πάντων τῶν προφητῶν τοῦ Ἀχαάβ, εἰπόντος κυρίου· »Τίς
»ἀπατήσει τὸν Ἀχαάβ«; καὶ ἐξελθόντος πνεύματος ψευδοῦς καὶ
εἰπόντος· »Ἐγὼ ἀπατήσω«.
140 Ταῦτα μὲν οὖν εἰς τοὺς τόπους ἐξητήσθω, δυναμένου τινὸς ἀφ' 25
ἑαυτοῦ τὰ ἀκόλουθα τοῖς ἐκτεθεῖσιν ῥητοῖς σκοπῆσαι περὶ τοῦ πῶς
προεφήτευσεν ὁ Καϊάφας. μήποτε δὲ καὶ ταῦτα εἰς τὴν προφη- 276r
τείαν αὐτοῦ λεκτέον, ὅτι ἐπεὶ μὴ ἅγιος ἦν, εἰ καὶ προεφήτευσεν,
141 ⟨ἀλλ' οὐκ ἀπὸ πνεύματος ἁγίου προεφήτευσεν⟩. ὥσπερ δὲ ζητήσεως
ἄξιόν ἐστιν πῶς προεφήτευσεν Καϊάφας, οὕτως καὶ ἐν τῇ πρώτῃ 30
τῶν Βασιλειῶν ζητήσεις πῶς προεφήτευσαν οἱ ἄγγελοι τοῦ Σαοὺλ
142 σταλέντες ἐπὶ τὸν Δαβίδ, καὶ μετ' αὐτοὺς ὁ Σαούλ. γέγραπται γάρ·

8 Num. 23, 4f. — 12 Num. 22, 35. — 14 Num. 23, 5. — 15 Num. 23, 6. — 17 Num. 23, 16. — 20 I Sam. 16, 14. — 21 Vgl. I Kön. 22, 20ff. — 32 I Sam. 19, 14—24.

9 *ἀνέβαλεν* | 15 *ὠβελίσαμεν*] vgl. dazu Field I, 255. Syr. hexapl. fehlt zur Stelle | 17 *βαλαὰκ*, corr. V | 21 nach *αὐτὸν* + *ἢ πνεῦμα θεοῦ πονηρὸν*, von anderer Hd (V?) ausgestrichen; die Worte scheinen eine verkehrt eingefügte Dublette zu *πνεῦμα ψευδὲς* zu sein | 22. 23 *ἀχαὰμ* | 29 ⟨*ἀλλ' — προεφήτευσεν*⟩ + Br nach V, der nur *ἀπὸ ἐμπνεύσεως πνεύματος ἁ.* schreibt | 31 *Σαούλ*] + *γέγρα*.

Digitized by Google

»Καὶ ἀπηγγέλη τῷ Σαοὺλ λέγοντες· Ἰδοὺ Δαβὶδ εἰς Αὐὼθ ἐν Ῥαμά.
»καὶ ἀπέστειλεν Σαοὺλ ἀγγέλους λαβεῖν τὸν Δαβίδ, καὶ εἶδοσαν τὴν
»ἐκκλησίαν τῶν προφητῶν, καὶ Σαμουὴλ εἱστήκει καθεστηκὼς ἐπ'
»αὐτῶν. καὶ ἐγενήθη ἐπὶ τοὺς ἀγγέλους Σαοὺλ πνεῦμα κυρίου καὶ 143
391R »προεφήτευσαν καὶ αὐτοί. καὶ ἀπηγγέλη τῷ Σαούλ, καὶ ἀπέστειλεν
»ἀγγέλους ἑτέρους καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ ἐθυμώθη ὀργῇ 144
»Σαούλ, καὶ ἐπορεύθη εἰς Ἁρμαθαΐμ καὶ ἔρχεται ἕως τοῦ φρέατος
»τοῦ μεγάλου καὶ ἐν τῇ ὁδῷ ἐς Σωφείν, καὶ ἐπηρώτησεν καὶ εἶπεν·
»Ποῦ Σαμουὴλ καὶ Δαβίδ; καὶ εἶπον· Ἰδοὺ εἰς Αὐὼθ Ῥαμά. καὶ 145
10 »ἐπορεύθη ἐκεῖθεν εἰς Αὐὼθ Ῥαμά· καὶ ἐγενήθη ἐπ' αὐτὸν πνεῦμα
»θεοῦ, καὶ ἐπορεύετο πορευόμενος καὶ προφητεύων ἕως ἐλθὼν εἰς
»Αὐὼθ Ῥαμά. καὶ ἐξεδύσατο τὰ ἱμάτια αὐτοῦ καὶ προεφήτευσεν
»ἐνώπιον Σαμουήλ, καὶ ἔπεσεν γυμνὸς ὅλην τὴν ἡμέραν ἐκείνην καὶ
»ὅλην τὴν νύκτα. διὰ τοῦτο ἔλεγον· Εἰ καὶ Σαοὺλ ἐν προφήταις«;
15 ἀναγκαίως δὲ νομίζω καὶ ταῦτα παρατεθεῖσθαι ὑπὲρ τοῦ φανῆναι 146
πῶς ἁμαρτωλοὶ προφητεύουσιν, καὶ πότερον ἐξ ἁγίου πνεύματος ἢ
362H ἀπὸ ἄλλης δυνάμεως, ὅσον γε ἐπὶ τῷ μαρτυρεῖν τῇ ἀληθείᾳ μὴ
ψευδομένης. πάλιν τε αὖ ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν εὑρίσκονται 147
οἱ τῶν εἰδώλων μάντεις ὑποδεικνύντες τὰ περὶ τῆς κιβωτοῦ, καὶ
20 ὅτι ἐπὰν βόες πρωτοτοκεύουσαι τὴν ὁδὸν Ἰησοῦ τοῦ Βεθσαμυσαίου
πορευθῶσιν, σημαίνουσιν ἀπὸ θεοῦ γεγονέναι τὴν πληγὴν τοῖς Φιλι-
στιαίοις. οὐδὲ τὰ περὶ τὴν ἐγγαστρίμυθον καὶ τὸν Σαμουὴλ ἐν τοῖς 148
τόποις τούτοις παρασιωπητέον, ἀφ' ὧν ἔμαθεν ὁ Σαούλ, ὅτι τῇ
ἑξῆς ἔμελλεν ἅμα τοῖς υἱοῖς ἀναιρεθήσεσθαι ἡμέρᾳ. τὸ δὲ ἀκριβὲς 149
25 ἐν τοῖς τόποις ὄψεται ὁ δυνάμενος διαλαβεῖν περὶ διαφόρων δυνά-
μεων, χειρόνων καὶ κρειττόνων, εἰ δὲ καὶ εἰέν τινες μεταξύ, καὶ
περὶ τούτων. πάλιν τε αὖ ὁ βουλόμενος ἀπὸ χείρονος δυνάμεως 150
προπεφητευκέναι τὸν Καϊάφαν φήσει ὅτι οὐδὲν παράδοξόν ἐστιν
πονηρὰν δύναμιν ταῦτα εἰρηκέναι, ὅπου γε οὐ πάντη ἀγνοῶν καὶ
30 ὁ διάβολος εὑρίσκεται τὸν Ἰησοῦν υἱὸν ὄντα θεοῦ ἐν τοῖς ἀναγρα-
276v φεῖσιν ὑπὸ τῶν εὐαγγελιστῶν εἰρῆσθαι | ὑπ' αὐτοῦ πρὸς τὸν κύ-
ριον. φήσει δὲ ὅτι καὶ πονηρία τις ἔκκειται τῇ ἐνεργούσῃ δυνάμει 151
ταῦτα προφητεύεσθαι περὶ τοῦ σωτῆρος· σκοπὸς γὰρ ἦν αὐτῇ οὐ τὸ
πιστοποιῆσαι τοὺς ἀκροωμένους ἀλλ' ἐρεθίσαι τοὺς ἐν τῷ συνεδρίῳ

20 Vgl. I Sam. 6, 9. — **22** Vgl. I Sam. 28. — **30** Vgl. Mark. 1, 24. u. ä.

9 εἶπεν, corr. V | **13** σαμουή | **15** ταῦτα] a^2 a. Ras. Danach scheint παρα ausradiert zu sein | **21** φυλισταιοις | **22** Σαμουὴλ] αμο a. Ras. | **25** διαλαβεῖν V, in M ist das Wort compendiarisch geschr.; διαλαλεῖν Ausgg. Vgl. S. 413, 25 | **32** φήσι, corr. V.

Digitized by Google

ἀρχιερεῖς καὶ Φαρισαίους κατὰ τοῦ Ἰησοῦ ἵνα αὐτὸν ἀποκτείνωσιν, ὅπερ οὐκ ἦν κατὰ τὸ ἅγιον πνεῦμα ἐνεργῆσαι.

152 XVIII. (14) Ὅρα γὰρ εἰ μὴ παροξῦναι βούλεται τοὺς ἀκροωμένους εἴτε ὁ Καϊάφας εἴτε τὸ ἐνεργοῦν αὐτὸν προφητεύειν πρὸς τὸ ἀποκτεῖναι τὸν Ἰησοῦν διὰ τοῦ »Ὑμεῖς οὐκ οἴδατε οὐδὲ λογίζεσθε »ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ 392R
153 »μὴ ὅλον τὸ ἔθνος ἀπόληται«. ἆρά γε ὁ λέγων· »Συμφέρει ἡμῖν« ὅπερ μέρος ἦν τῆς προφητείας αὐτοῦ, ἀληθεύει ἢ ψεύδεται; εἰ μὲν γὰρ ἀληθεύει, σώζεται ὁ Καϊάφας καὶ οἱ ἐν τῷ συνεδρίῳ κατὰ τοῦ Ἰησοῦ ἀγωνιζόμενοι, ἀποθανόντος τοῦ Ἰησοῦ ὑπὲρ τοῦ λαοῦ, καὶ τυγχάνουσι τοῦ συμφέροντος· εἰ δὲ ἄτοπον φάσκειν τὸν Καϊάφαν καὶ τοὺς ἐν τῷ κατὰ τοῦ Ἰησοῦ συνεδρίῳ σώζεσθαι καὶ τοῦ συμφέροντος τετευχέναι ἀποθανόντος τοῦ Ἰησοῦ, δῆλον ὅτι οὐχ ἅγιον πνεῦμα ἦν τὸ ταῦτα ἐνεργῆσαν λέγεσθαι· ἅγιον γὰρ πνεῦμα οὐ ψεύ-
154 δεται. ὁ δὲ βουλόμενος ἀληθεύειν καὶ ἐν τούτῳ τὸ ἐνεργοῦν τὸν Καϊάφαν, λέγω δὲ τῷ φάσκειν· »Συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος »ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ«, βαθύτερον ἐξακούσεται τοῦ »Συμφέρει »ἡμῖν« διὰ τὸν περὶ τέλους λόγον, καὶ συγχρήσεται τῷ »Ὅπως χά»ριτι (ἢ· χωρὶς) θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου«, καὶ ἐπιστήσει
155 »τῷ »Ὑπὲρ παντός« καὶ τῷ »Χωρὶς θεοῦ ὑπὲρ παντός«. συγχρήσεται δὲ καὶ τῷ »Ὃς ἐστιν σωτὴρ πάντων ἀνθρώπων, μάλιστα »πιστῶν«· ὅτι δὲ οὗτός ἐστιν »ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν 363H
»ἁμαρτίαν τοῦ κόσμου«, ἰδίως ἀκούων τοῦ αἴρεσθαι τὴν ἁμαρτίαν
156 τοῦ κόσμου, καὶ οὐχὶ μέρους αὐτοῦ. ὁ δὲ λέγων ἀληθὲς εἶναι τὸ »Συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ« φήσει καὶ ὅλα τὰ κατὰ τὸν τόπον προφητείαν εἶναι ἀληθῆ, ἀρχομένην ἀπὸ τοῦ »Ὑμεῖς οὐκ »οἴδατε οὐδέν«· οὐδὲν γὰρ ἤδεισαν οἱ τὸν Ἰησοῦν μὴ γνωρίζοντες Φαρισαῖοι καὶ ἀρχιερεῖς, ὄντα ἀλήθειαν καὶ σοφίαν καὶ δικαιοσύνην
157 καὶ εἰρήνην. »Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν«. ἀλλὰ καὶ οὐκ ἐλογίζοντο οὗτοι οἱ μηδὲν εἰδότες τίνα τρόπον συνέφερεν καὶ αὐτοῖς ἵνα ὁ εἷς οὗτος, καθ' ὃ ἄνθρωπός ἐστιν, ἀποθάνῃ ὑπὲρ τοῦ
158 λαοῦ· ἄνθρωπος γάρ ἐστιν ἀποθανὼν Ἰησοῦς. διὸ καὶ αὐτός φησι· »Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελά-
159 »ληκα«. καὶ ἐπεὶ ἄνθρωπος μέν ἐστιν ὁ ἀποθανών, | οὐκ ἦν δὲ 277r

5 Joh. 11, 49f. — 18 Hebr. 2, 9. — 21 I Tim. 4, 10. — 22 Joh. 1, 29. — 25 Joh. 11, 50. — 26 Joh. 11, 49. — 28 Vgl. Joh. 14, 6. I Kor. 1, 30. — 29 Eph. 2, 14. — 33 Joh. 8, 40.

5 nach οἴδατε + οὐδὲν T; vgl. S. 137, 9 | 8 μέρος, o a. Ras. | εἰ] ὁ, corr. V | 16 ἀνθρώπους, corr. V | 17 ἐξακούεται, corr. Br | 19 über die LA χωρὶς θεοῦ (M Syr. Pesch.) neben χάριτι θεοῦ (BκACD rell.) vgl. o. S. 45, 19f.

Digitized by Google

ἄνθρωπος ἡ ἀλήθεια καὶ ἡ σοφία καὶ εἰρήνη καὶ δικαιοσύνη, καὶ περὶ οὗ γέγραπται· »Θεὸς ἦν ὁ λόγος«· οὐκ ἀπέθανεν ὁ θεὸς λόγος καὶ ἡ ἀλήθεια καὶ ἡ σοφία καὶ ἡ δικαιοσύνη· ἀνεπίδεκτος γὰρ ἡ εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, ὁ πρωτότοκος πάσης κτίσεως, θανάτου. ὑπὲρ τοῦ λαοῦ δὲ ἀπέθανεν οὗτος ὁ ἄνθρωπος, τὸ πάντων 160
ζῴων καθαρώτερον, ὅστις τὰς ἁμαρτίας ἡμῶν ἦρεν καὶ τὰς ἀσθενείας, ἅτε δυνάμενος πᾶσαν τὴν ὅλου τοῦ κόσμου ἁμαρτίαν εἰς ἑαυτὸν ἀναλαβὼν λῦσαι καὶ ἐξαναλῶσαι καὶ ἐξαφανίσαι, ἐπεὶ μὴ ἁμαρτίαν ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, οὐδὲ
393R ἔγνω ἁμαρτίαν. κατὰ τοῦτο δ' οἶμαι καὶ τὸν Παῦλον εἰρηκέναι 161
οὕτως· »Τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, »ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ«· ἁμαρτίαν γὰρ αὐτὸν ἐποίησεν, μὴ γνόντα ἁμαρτίαν, τῷ μηδὲν αὐτὸν ἡμαρτηκότα τὰς πάντων ἁμαρτίας ἀνειληφέναι, καὶ εἰ δεῖ τολμήσαντα εἰπεῖν, πολλῷ μᾶλλον τῶν ἀποστόλων αὐτοῦ περικάθαρμα αὐτὸν τοῦ κόσμου γεγονέναι καὶ πάντων περίψημα, τῶν εἰπόντων· »Ὡς περικαθάρματα »τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι«.

XIX. Περὶ δὲ τοῦ πολλάκις ἐπικρατούντων τινῶν χαλεπῶν ἐν 162
τῷ τῶν ἀνθρώπων γένει, οἷον λοιμῶν ἢ ἐπιβλαβῶν νηνεμιῶν ἢ λιμῶν, λύεσθαι τὰ τοιαῦτα, οἱονεὶ καταργουμένου τοῦ ἐνεργοῦντος αὐτὰ πονηροῦ πνεύματος, διὰ τὸ ἑαυτόν τινα ὑπὲρ τοῦ κοινοῦ διδόναι, πολλαὶ φέρονται Ἑλλήνων καὶ βαρβάρων ἱστορίαι, τὴν περὶ τοῦ τοιούτου ἔννοιαν οὐκ ἀποπτυόντων οὐδὲ ἀποδοκιμαζόντων. πότερον μὲν οὖν ἀληθῆ ἐστιν τὰ τοιαῦτα, ἢ μή, οὐ τοῦ παρόντος ἐστὶν καιροῦ μετ' ἐξετάσεως διαλαβεῖν. πλὴν ὁ δυνάμενος ὑπὲρ ὅλου 163
364H ⟨τοῦ⟩ κόσμου, ἵνα πᾶς ὁ κόσμος καθαρθῇ, ἀναδέξασθαι ἐπὶ καθαρσίῳ αὐτοῦ ἀπολομένου ἂν εἰ μὴ ἀνεδέξατο τὸ ὑπὲρ αὐτοῦ ἀποθανεῖν, οὔτε ἱστόρηται πώποτε οὔτε ἱστορηθῆναι δύναται, μόνου Ἰησοῦ τὸ πάντων τῆς ἁμαρτίας φορτίον ἐν τῷ ὑπὲρ τῶν ὅλων χωρὶς θεοῦ σταυρῷ ἀναλαβεῖν εἰς ἑαυτόν, καὶ βαστάσαι τῇ μεγάλῃ αὐτοῦ ἰσχύϊ δεδυνημένου. καὶ γὰρ οὗτος μόνος ἐπιστήμων ἦν τοῦ φέρειν μαλα- 164
κίαν, ὡς φησιν ὁ προφήτης Ἡσαΐας λέγων· »Ἄνθρωπος ἐν πληγῇ »ὢν καὶ εἰδὼς φέρειν μαλακίαν«. καὶ οὗτός γε τὰς ἁμαρτίας ἡμῶν 165
ἔλαβεν καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν, καὶ ἡ ὀφειλομένη
277v ἡμῖν εἰς τὸ παιδευθῆναι καὶ εἰρήνην ἀναλαβεῖν κόλασις | ἐπ' αὐτὸν

2 Joh. 1, 1. — **4** Vgl. Kol. 1, 15. — **6** Vgl. Matth. 8, 17; Jes. 53, 4. — **9** Vgl. I Petr. 2, 22. — **10** Vgl. II Kor. 5, 21. — **11** II Kor. 5, 21. — **16** I Kor. 4, 13. — **29** Vgl. Hebr. 2, 9. — **32** Jes. 53, 3. — **33** Vgl. Jes. 53, 4f. Matth. 8, 17.

21 τὸ] τοῦ? We | **26** ⟨τοῦ⟩ + We | ἀναδέξεσθαι (ε¹ aus α?), corr. V | **27** αὐτοῦ verblichen | οὔτε verblichen | **31** οὗτος verblichen | **34** καὶ ἡ verblichen.

Digitized by Google

166 γεγένηται. οὕτω γὰρ ἀκούω τοῦ[τω]· »Παιδεία εἰρήνης ἡμῶν ἐπ'
»αὐτόν«. τάχα δὲ καὶ ἐπεὶ »τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν«. εἴ-
ποιμεν ἂν οἱ ἰαθέντες ἐκ τοῦ σταυροῦ ἐλθόντος αὐτῷ τοῦ μώλωπος
τὸ »Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου
»Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ κόσμῳ«. τοῦ- 5
τον τὸν Ἰησοῦν παρέδωκεν ὁ πατὴρ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ δι'
αὐτὰς »ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐνώπιον τοῦ
167 »κείραντος ἄφωνος«. τούτου ἐν τῇ ταπεινώσει, ἣν »ἐταπείνωσεν
»ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ«. ἡ
κρίσις ἤρθη· οὕτω γὰρ ἀκούω τοῦ· »Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐ- 10
»τοῦ ἤρθη«· ὡς εἶναι τὰ ἑξῆς Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις
ἤρθη. οὗτος δὲ ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ τοῦ θεοῦ ἦχθη εἰς 394R
168 θάνατον. οὐκοῦν ἀπέθανεν ὁ ἄνθρωπος οὗτος ὑπὲρ τοῦ λαοῦ. καὶ
169 διὰ τοῦτον οὐχὶ ὅλον τὸ ἔθνος ἀπώλετο. καὶ ἐπίστησον εἰ δύνασαι
τὸ μὲν ὄνομα τοῦ >λαοῦ< λαβεῖν εἰς τοὺς ἐκ περιτομῆς, τὸ δὲ τοῦ 15
170 >ἔθνους< εἰς τοὺς λοιπούς. ἀπέθανεν γὰρ οὗτος ὁ ἄνθρωπος οὐ
μόνον ὑπὲρ τοῦ λαοῦ, ἀλλ' ἵνα καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται, ὡς
εἰ ἔλεγεν τὸ χρηματίζον ἔθνος καὶ πάντες οἱ ἐθνικοὶ ἀπόλωνται.

171 XX. (15) Ἐξῆς τούτῳ ἐστὶν τὸ »Τοῦτο ἀφ' ἑαυτοῦ οὐκ εἶπεν«.
ἐφ' οὗ μανθάνειν οἶμαι ἡμᾶς ὅτι τινὰ μὲν οἱ ἄνθρωποι ἀφ' ἑαυτῶν 20
λέγομεν, μηδεμιᾶς ἡμᾶς ἐνεργούσης εἰς τὸ λέγειν δυνάμεως, ἕτερα δὲ
ὡσπερεὶ ὑπηχούσης καὶ ὑποβαλλούσης δυνάμεώς τινος ἡμῖν τὰ λεγό-
μενα, κἂν μὴ τέλεον ἐξιστώμεθα καὶ ἀπαρακολουθήτως ἔχωμεν ἑαυ-
172 τοῖς, ἀλλὰ δοκῶμεν παρακολουθεῖν οἷς λέγομεν. ἐνδέχεται δὲ πα-
ρακολουθοῦντας ἡμᾶς ἑαυτοῖς ἢ λέγομεν, μὴ παρακολουθεῖν τῷ βου- 25
λήματι τῶν λεγομένων· ὥσπερ νῦν Καϊάφας ὁ ἀρχιερεὺς καὶ ἀφ'
ἑαυτοῦ οὐκ εἶπεν καὶ οὗ εἶπεν τὸν νοῦν ὡς προφητείας λεγομένης οὐκ
173 ἐδέχετο. καὶ παρὰ Παύλῳ δὲ νομοδιδάσκαλοί τινές εἰσιν »μὴ νοοῦν- 365H
174 »τες μήτε ἃ λέγουσιν μήτε περὶ τίνων διαβεβαιοῦνται«. ἀλλ' οὐχ ὁ
σοφὸς τοιοῦτος, περὶ οὗ φησὶν ἐν Παροιμίαις ὁ Σολομών· »Σοφὸς 30
»νοήσει τὰ ἀπὸ ἰδίου στόματος, ἐπὶ δὲ χείλεσιν φορέσει ἐπιγνωμοσύ-
175 »νην«. δοκεῖ δέ μοι ὅτι καὶ περίστασις αἰτία ποτὲ γίνεται τοῦ προ-
φητεύειν, ὥσπερ καὶ νῦν τῷ Καϊάφᾳ τὸ εἶναι αὐτὸν ἀρχιερέα τοῦ

1 Jes. 53, 5. — 4 Gal. 6, 14. — 7 Jes. 53, 7; vgl. Act. 8, 32. — 8 Vgl. Phil. 2, 8. — 10 Jes 53, 8. — 13 Vgl. Joh. 11, 50. — 19 Joh. 11, 51. — 28 I Tim. 1, 7. — 30 Prov. 16, 23.

1 τοῦτο? M, corr. Pr vgl. Z. 10; τοῦτο V, τούτων Ausgg. | 12 ἀπὸ] ὑπὲρ? | 18 ἔλεγον, corr. Hu | χρηματίζω, corr. V | 23 ἔχομεν, corr. V | 27 οὗ] οὐκ, corr. Pr προφητείαν λεγομένου, corr. We | 29 ἃ verblichen.

Digitized by Google

ἐνιαυτοῦ ἐκείνου, ⟨ᾧ⟩ ἔμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ
278r λαοῦ | ἵνα μὴ ὅλον τὸ ἔθνος ἀπόληται· ὄντων γὰρ καὶ ἄλλων ἀρ-
χιερέων, ὡς δῆλον ἐξ ὧν προπαρεθέμεθα, οὐδεὶς προφητεύει ἢ ὁ
τοῦ ἐνιαυτοῦ ᾧ ἔμελλεν πάσχειν ὁ Ἰησοῦς ἀρχιερεύς. περίστασις δὲ 176
προφητεύειν πεποίηκεν καὶ τοὺς Σαοὺλ ἀγγέλους, πεμφθέντας ἐπὶ
τὸν Δαβίδ, καὶ αὐτὸν τὸν Σαούλ· οἱονεὶ γὰρ τὸ ζητεῖν αὐτοὺς τὸν
Δαβὶδ αἴτιον γέγονεν προφητείας, ἀλλὰ τοιαύτης, ὁποία ἀναγέγρα-
πται. ἀλλὰ καὶ Βαλαὰμ οὐκ ἂν ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ 177
εἶπεν τὸ »Ἐκ Μεσοποταμίας μετεπέμψατό με« καὶ τὰ ἑξῆς· μὴ ἰδὼν
τὸν Ἰσραὴλ ἐστρατοπεδευκότα· καὶ ἀεὶ ἄλλο μέρος στρατοπέδου βλέ-
πων ἀπὸ τῆς καινότητος τοῦ βλεπομένου ἐκινεῖτο πρὸς τὸ λέγειν
περὶ τοῦ Ἰσραήλ.

395R XXI. (16) Ἔμελλε τοίνυν Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους, 178
ὅπερ ἕτερον ἦν τῶν διεσκορπισμένων τέκνων θεοῦ, ὡς δῆλον ἐκ
τοῦ »Ἰησοῦς ἔμελλεν ἀποθνήσκειν, οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ'
»ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν«.
τίνα δὲ τὰ παρὰ τὸ ἔθνος διεσκορπισμένα τέκνα θεοῦ νῦν καιρὸς 179
ἤδη ζητεῖν. περὶ τούτων δὴ οἱ μὲν τὰς φύσεις εἰσάγοντες τοὺς
κατ' αὐτοὺς πνευματικοὺς φήσουσιν εἶναι τὰ τέκνα τοῦ θεοῦ, πνευ-
ματικῶς οὐκ ἀνακρίναντες πάντα· τοῦτο γὰρ ἀκολουθεῖ λέγειν τοῖς
φύσεις εἶναι οἰομένοις, καὶ παρὰ τὸ τοῦ ἀποστόλου βούλημα ἐννοεῖν
τοὺς πνευματικούς, διδάσκοντος ὅτι »Ὁ πνευματικὸς ἀνακρίνει
»πάντα, καὶ ὑπ' οὐδενὸς ἀνακρίνεται«. τούτῳ δὲ ἀκολουθεῖ τὸν μὴ 180
ἀνακρίνοντα πάντα μὴ εἶναι πνευματικόν, ἢ μηδέπω εἶναι πνευματι-
κόν. ἀλλὰ καὶ εἴ τις ὑπό τινος ἀνακρίνεται, ἐπεὶ ὁ πνευματικὸς ὑπ' 181
οὐδενὸς ἀνακρίνεται, οὐκ ἔστιν πνευματικός, ἢ οὐκ ἔστιν πω πνευ-
ματικός. μήποτ' οὖν βέλτιον λέγειν ὅτι γίνεταί τις πνευματικός, 182
οὐ πρότερον ὤν, ὅστις ἤδη καὶ κυρίως ἐστὶν υἱὸς θεοῦ. τίνα οὖν 183
ἐστιν τὰ λεγόμενα νῦν τέκνα θεοῦ, εἰ μή εἰσιν οἱ κατὰ τοὺς εἰσά-
γοντας τὰς φύσεις »πνευματικοί«, ὥρα σκοπεῖν· καὶ ὥρα εἰ τέκνα
θεοῦ διεσκορπισμένα ἕτερα παρὰ τὸ ἔθνος δύνασαι νοεῖν τοὺς ἤδη,
ὅτε ταῦτα ἐλέγετο, δικαίους ἐν θεῷ, εἴτε προκεκοιμημένους πατριάρ-
366H χας ἢ προφήτας ἤ τινας ἄλλους ἐκλεκτοὺς τοῦ θεοῦ, εἴτε καὶ τοὺς
ἤδη τότε ἰσχύοντας· ὡς γὰρ ὑπαρχόντων τῶν ἰσχυόντων καὶ μηδὲ
νοσούντων φησίν· »Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ' οἱ

3 Vgl. o. c. 14. — **5** Vgl. I Sam. 19, 20—24. — **9** Num. 23, 7. — **10** Vgl. Num. 24, 2. — **15** Joh. 11, 51f. — **22** I Kor. 2, 15. — **31** Vgl. Joh. 11, 52. — **35** Matth. 9, 12f.

1 ⟨ᾧ⟩ + Hu, καθ' ὃν V | **10. 12** ἰσδραὴλ | **11** κενότητος, corr. V | **20** πάντας, corr. We | **34** γὰρ ὑπαρχόντων] αρ υπαρ a. Ras.

Digitized by Google

»κακῶς ἔχοντες«, καὶ ὡς ὄντων δικαίων λέγει· »Οὐκ ἐλήλυθα κα-
184 »λέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν«. ἔμελλεν οὖν Ἰη-
σοῦς ἀποθνήσκειν ὑπὲρ μὲν τοῦ ἔθνους ἵνα μὴ ἀπόληται, ὑπὲρ δὲ
τῶν | τέκνων τοῦ θεοῦ ὄντων ἐν διασκορπισμῷ, ἵνα συναχθῶσιν 278v
εἰς ἕ⟨ν καὶ ἐν αὐ⟩τῷ γενήσωνται μία ποίμνη, εἷς ποιμήν· ὅτε οἶμαι 5
πληροῦσθαι τὴν τοῦ σωτῆρος εὐχὴν λέγοντος· »Ὡς ἐγὼ καὶ σὺ
185 »ἓν ἐσμεν, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν«. εἰ δέ τι καὶ βαθύτερόν
ἐστιν περὶ Ἰσραὴλ οὐ φύσεως ἀλλὰ γένους εἰπεῖν, περὶ οὗ γέγραπται·
»Υἱὸς πρωτότοκός μου Ἰσραὴλ ἐστιν«, γενομένου ἐν διασκορπισμῷ.
καὶ αὐτὸς ἐπιστήσεις, ὡς εἶναι τούτους τὰ τέκνα τοῦ θεοῦ τὰ 10
διεσκορπισμένα, ὑπὲρ ὧν ἔμελλεν ἀποθνήσκειν Ἰησοῦς, ἵνα αὐτὰ
συναγάγῃ εἰς ἕν.

XI, 53. *Ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο ἵνα* 396R
ἀποκτείνωσιν αὐτόν.

186 XXII. (17) *Οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συναγαγόντες συνέδριον* 15
καὶ σκεψάμενοι περὶ τοῦ σωτῆρος ἡμῶν τί αὐτῷ ποιητέον αὐτοῖς.
Καϊάφα τοῦ ἀρχιερέως τὰ προεκτεθειμένα ⟨εἰπόντος,⟩ ὑπὸ τῶν
λόγων αὐτοῦ παροξυνθέντες συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν τὸν
187 *κύριον. διόπερ ζητήσεις ἀπὸ ποίου πνεύματος προεφήτευσεν ὅτι*
ἔμελλεν Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους, καὶ πότερον τὸ ἅγιον 20
πνεῦμα καὶ ἐν τοιούτῳ ἐνήργησεν καὶ αἴτιον γεγένηται τῆς κατὰ
τοῦ Ἰησοῦ συμβουλῆς, ἢ οὐκ ἐκεῖνο μὲν οὖν, ἄλλο δὲ τὸ δυνάμενον
καὶ ἐν τῷ ἀσεβεῖ λαλῆσαι καὶ τοὺς ὁμοίους ἐκείνῳ κατὰ τοῦ Ἰησοῦ
κινῆσαι οὐδὲν ἧττον καὶ ἑώρα τι εἰς τὸν Ἰησοῦν, ὡς κατὰ δύναμιν
188 *προεξητάσαμεν. ὁ μέντοι βουλόμενος ἀπολογεῖσθαι περὶ τοῦ ἁγίου* 25
πνεύματος δοκοῦντος αἰτίου γεγονέναι ἵνα συμβουλεύσωνται ἀπο-
κτεῖναι τὸν Ἰησοῦν ἐκ τῶν λόγων κινηθέντες τοῦ Καϊάφα οἱ ἀρ-
χιερεῖς καὶ οἱ Φαρισαῖοι φησὶν ὅτι οὐκ ἀλλότριόν ἐστιν τὸ τοιοῦτο
ἔργον τῆς ἁγιότητος, ἐπεὶ μηδὲ Ἰησοῦς ἀνάξιον ἑαυτοῦ πεποίηκεν
εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐλθὼν τῶν ἐν τῷ Ἰσραὴλ καὶ 30
φάσκων· »Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ
189 *»βλέποντες βλέπωσιν καὶ οἱ βλέποντες τυφλοὶ γένωνται«. ὡς γὰρ*

1 Luk. 5, 32. — **4** Vgl. Joh. 11, 52. — **5** Vgl. Joh. 10, 16. — **6** Joh. 17, 21. — **9** Exod. 4, 22. — **17** Vgl. c. 18ff. — **25** Vgl. c. 20. — **30** Vgl. Luk. 2, 34. — **31** Joh. 9, 39.

5 ἕ⟨ν καὶ ἐν αὐ⟩τῷ] das Papier ist hier abgerieben, sodass keine Spur mehr zu erkennen ist. V rät: *εἰς ἕνα λόγον καὶ*. Ergänzt von Br | **6** ὡς] *ἵνα*; doch steht o. S. 32, 21 ὡς, wie allein möglich ist; *ἵνα* stammt aus Z. 7 | **8** *Ισδραήλ* | **17** ⟨*εἰπόντος*⟩ + V | **30** *ἐλθὼν*] *ἐθνῶν*, corr. Br.

Digitized by Google

δεόμεθα λόγου σοφίας εἰς τὸ ἀπολογήσασθαι πῶς ὁ ὁμολογῶν εἰς
κρῖμα τῷ κόσμῳ τούτῳ ἐπιδεδημηκέναι οὐκ ἀνάξιον ἑαυτοῦ πεποί-
367H ηκεν, οὕτως καὶ εἰς τὸ ἐκ τῶν διὰ τοῦ Καϊάφα λόγων τοῦ ἁγίου
πνεύματος συμβεβουλεῦσθαι τοὺς ἀρχιερεῖς καὶ τοὺς Φαρισαίους ἵνα
ἀποκτείνωσιν τὸν Ἰησοῦν. περὶ μὲν οὖν τοῦ· »Εἰς κρῖμα ἐγὼ εἰς 190
»τὸν κόσμον τοῦτον ἦλθον«, ὅσα δεδυνήμεθα ἐν τοῖς εἰς τὸν τόπον
ἐξηγητικοῖς εἰρήκαμεν· περὶ δὲ τοῦ νῦν προκειμένου τοιαῦτα ἂν λέ-
γοιτο, ὅτι ὥσπερ τὸν ἱερὸν νοῦν τῶν γραφῶν, ἐπὶ ὠφελείᾳ λεγό-
μενον τῶν ζητούντων ὑπ' αὐτοῦ ὠφεληθῆναι, οἱ ἐπὶ τὸ χεῖρον
279r παρεκδεχόμενοι, ὥστε καὶ ἀφορμὰς ἔχειν δοκεῖν πρὸς κατασκευὴν
ἀσεβοῦς διδασκαλίας τῶν ἀδικίαν εἰς τὸ ὕψος λαλούντων, συκοφαν-
τοῦσιν, οὕτως τὴν περὶ τοῦ σωτῆρος ἡμῶν ὑπὸ τοῦ Καϊάφα γενο-
μένην προφητείαν ἀληθεύουσαν ἐν τῷ συμφέρειν ἡμῖν ἵνα εἷς ἄν-
θρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται,
397R οὐχ ὑγιῶς ἀκούσαντες οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ἀλλὰ ἄλλον νοῦν
νομίσαντες εἶναι καὶ βούλημα τῆς τοῦ Καϊάφα συμβουλῆς, ἀπ' ἐκείνης
συνεβουλεύσαντο τῆς ἡμέρας ἵνα ἀποκτείνωσιν τὸν Ἰησοῦν. ταῦτα 191
δέ φημι κατὰ τὸ ἀκόλουθον τῇ περὶ τοῦ ἅγιον εἶναι πνεῦμα τὸ διὰ
τοῦ Καϊάφα προφητεῦσαν ἐκδοχῇ, οὐ πάντως ⟨συν⟩ιστὰς τοῦθ' οὕτως
ἔχειν, ἀλλὰ καταλιπὼν καὶ τοῖς ἐντυγχάνουσιν κρίνειν ὁπότερον
χρὴ παραδέξασθαι περὶ τοῦ Καϊάφα, καὶ ὡς † ὑπὸ πόδας τοῦ πνεύ-
ματος κεκινημένου.

XI, 54. Ὁ οὖν Ἰησοῦς οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς
Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς
Ἐφραΐμ λεγομένην πόλιν, καὶ ἐκεῖ ἔμεινεν μετὰ τῶν μαθητῶν.

XXIII. (18) Ταῦτα καὶ τὰ τούτοις παραπλήσια ἀναγεγράφθαι 192
νομίζω βουλομένου τοῦ λόγου ἐπιστρέφειν ἡμᾶς ἀπὸ τοῦ θερμότερον
καὶ ἀλογιστότερον ἐπιπηδᾶν τῷ [ἐν τῷ] ἕως θανάτου ἀγωνίζεσθαι
περὶ τῆς ἀληθείας καὶ μαρτυρεῖν. καλὸν μὲν γὰρ ἐμπεσόντα τὸν 193
περὶ τοῦ ὁμολογεῖν τὸν Ἰησοῦν ἀγῶνα μὴ ἀναδύεσθαι τὴν ὁμολο-
γίαν, μηδὲ μέλλειν περὶ τὸ ὑπεραποθανεῖν τῆς ἀληθείας. οὐκ ἔλατ- 194
τον δὲ τούτου καλὸν καὶ τὸ μὴ διδόναι ἀφορμὴν τῷ τηλικούτῳ
πειρασμῷ, ἀλλὰ παντὶ τρόπῳ περιίστασθαι αὐτόν, οὐ μόνον διὰ τὸ

5 Joh. 9, 39. — **6** Die Erklärung ist verloren. — **11** Vgl. Ps. 72, 8. — **27** *βουλομένου* — S. 418, 1 *ἄδηλον* verkürzt in Cat[86]. — **28** Vgl. Sir. 4, 28.

16 *καὶ*] *κατὰ*, corr. Pr; *κατὰ τὸ* V Ausgg. | **17** *συνεβουλεύσαντο*] *οὖν ἐβουλεύσαντο*, corr. Pr | **19** *ἱστὰς*, corr. Ausgg.; *συνιστῶν* V | **21** korrupt? We | **28** *ἀλογώτερον καὶ θερμότερον* Cat. | *τῷ* — S. 418, 1 *ἄδηλον*] von Cat. stark verkürzt; s. Frg. 86 | **31** *ἔλαττον*] nach *ἔ* ist ein Bchst. ausradiert.

Digitized by Google

περὶ τῆς ἐν αὐτῷ ἐκβάσεως ἄδηλον ἡμῖν, ἀλλὰ καὶ ἵνα μὴ ἡμεῖς πρόφασις γενώμεθα τοῦ ἁμαρτωλοτέροις γενέσθαι καὶ ἀσεβεστέροις τοῖς οὐκ ἂν μὲν τῷ ἔργῳ τοῦ ἡμῶν ἐκκεχύσθαι τὸ αἷμα γενομένοις ἐνόχοις, εἰ τὰ παρ' ἑαυτοὺς ποιοῦντες ἐξεκλίνομεν τοὺς μέχρι θανάτου ἡμῖν ἐπιβουλεύοντας, ἐσομένοις δὲ ἐν πλείονι καὶ βαρυτέρᾳ κολάσει παρ' ἡμᾶς εἰ φιλαυτοῦντες καὶ μὴ καὶ τὰ ἐκείνων σκοποῦντες ἐπιδιδῴημεν αὐτοὺς τῷ ἀναιρεῖσθαι, οὐ τῆς ἀνάγκης εἰς τοῦτο κατα-
195 λαβούσης. εἴπερ γὰρ καὶ ὁ πρόφασίς τινι γενόμενος ἁμαρτίας τῷ 368H
αὐτὸς ἐπὶ ταύτην κεκινηκέναι τὸν ἁμαρτάνοντα τίσει δίκας ἐπὶ τοῖς δι' αὐτὸν ἀνθρώπων τινὶ ἡμαρτημένοις, πῶς οὐχὶ καὶ ὁ παρὸν ἐκ-
10 κλῖναι, ἵνα μὴ ὁ δεινὰ προδότης χριστιανοῦ γένηται καὶ ἐπίβουλος τῆς κατὰ τὸν Ἰησοῦν θεοσεβείας, μὴ ἐκκλίνας μὲν καὶ προσπαροξύνας δὲ οὐχὶ καὶ περὶ τῆς ἐκείνου ἁμαρτίας δώσει λόγον, κἂν τὸ ὅσον ἐπὶ τῇ εἰς τὸ μαρτυρεῖν προθυμίᾳ καὶ τῇ εἰς τοῦτο ἀνδρείᾳ τιμῆς καὶ ἀποδοχῆς ἄξιος ᾖ παρὰ τῷ εὐσεβουμένῳ θεῷ καὶ ὁμολογουμένῳ 15
196 ὑπ' αὐτοῦ σωτῆρι; ὅτι δὲ | ἡμῶν ἕνεκεν τὰ τοιαῦτα γέγραπται, ἵν' 279r
ἡμεῖς, παράδειγμα ἔχοντες τὸν Ἰησοῦν, καὶ ἐν τοῖς τοιούτοις αὐτοῦ 368B
μιμηταὶ γινώμεθα, παραστήσει ἡ λέγουσα γραφή· »Ἐζήτουν οὖν αὐτὸν »πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐλη-
197 »λύθει ἡ ὥρα αὐτοῦ«. ὡς γάρ, κατὰ τὸ ῥητὸν τοῦτο, διὰ τοῦτο οὐ- 20
δεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα παρόντα καὶ μὴ φεύγοντα, ἐπεὶ μήπω ἐληλύθει ἡ ὥρα αὐτοῦ, οὕτως καὶ χωρὶς τοῦ ἀναχωρεῖν, ἐν τῷ καιρῷ τοῦ μηδέπω αὐτοῦ ἐφεστηκέναι τὴν ὥραν, οὐκ κατε-
198 σχέθημεν ἂν ἡμεῖς. διόπερ ἀκουστέον οὐ μόνον τοῦ »Ἐὰν διώ- »κωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἑτέραν« καὶ τῶν 25
ἐξῆς, ἀλλὰ καὶ ὅτι ἡνίκα συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν τὸν
199 Ἰησοῦν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι, τὸ εὐλόγιστον τηρῶν οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλ' οὐδὲ εἰς ἄλλην πόλιν
200 ἀνεχώρησεν ὄχλων πεπληρωμένην, ἀλλά τινα ἀνακεχωρηκυῖαν. γέ- γραπται γάρ· »Ὁ οὖν Ἰησοῦς οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς 30
»Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου,
201 »εἰς Ἐφραὶμ λεγομένην πόλιν«. καὶ οὐ μόνος γε ἐκεῖ ἀπελήλυθεν, ἀλλὰ μηδεμίαν ἀφορμὴν διδοὺς τοῖς ζητοῦσιν αὐτὸν καὶ τοὺς μα- θητὰς μεθ' ἑαυτοῦ παρείληφεν καὶ »ἐκεῖ ἔμεινεν μετὰ τῶν μαθη-

18 Joh. 7, 30. — 24 Matth. 10, 23. — 26 Vgl. Joh. 11, 53. — 30 Joh. 11, 54. — 34 Joh. 11, 54.

4 *ἐκκλίνομεν*, corr. We | 10 *παρῶν*, corr. Br | 23 *κατέσχήτο μὲν*, corr. Pr, V ändert *οὐκ κατέσχοιτο μὲν ἄν, ὅμως δὲ οὐκ ἐπέβαλεν αὐτῷ οὐδεὶς τὴν χεῖρα*. Br *οὐκ ‹ἂν· κατέσχητο μεμενηκώς*. | 26 *συνεβουλεύσαντο* mit ΑΠLΧΔ 1. 33. rell. *ἐβουλεύσαντο* B8 69.

Digitized by Google

»τῶν«. τοιοῦτόν ἐστιν καὶ τὸ ἐν τῷ κατὰ Ματθαῖον γεγραμμένον, 202
ὅτε »Ἀκούσας ὅτι Ἰωάννης παρεδόθη ἀνεχώρησεν εἰς τὴν Γαλι-
»λαίαν· καὶ καταλιπὼν τὴν Ναζαρέθ, ἐλθὼν κατῴκησεν εἰς Καφαρ-
»ναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ«.
καὶ ἐπὶ τὸν καιρὸν δὲ φθάσας τοῦ συλληφθῆναι, ἐτήρησεν ὑπὲρ τοῦ
μὴ παρ' ἑαυτὸν τοῦτο παθεῖν μήτε ἐν Ἱεροσολύμοις εὑρεθῆναι μήτε
ἐν τῷ ἱερῷ, ἔνθα ἐδίδασκεν πολλάκις, μήτε ἐν ἄλλῳ τοιούτῳ τόπῳ·
»Ἐξῆλθεν γὰρ σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν
»Κεδρών, ὅπου ἦν κῆπος εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ
69 H »αὐτοῦ«. οὕτω δὲ ἀνεχώρει κατ' ἐκεῖνο καιροῦ καὶ οὐκ ἐδημοσίευεν, 203
ὡς δεῖσθαι τοὺς ἀρχιερεῖς καὶ τοὺς Φαρισαίους, βουλομένους αὐτὸν
συλλαβεῖν, τοῦ Ἰούδα, διὰ τὸ μεμαθητεῦσθαι αὐτῷ περιεργαζομένου
καὶ τοὺς τόπους τῆς ἀναχωρήσεως αὐτοῦ. διὸ τότε »Ἰούδας λαβὼν 204
»σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται
»ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων«. κατὰ τοῦτον δὲ τὸν 205
τόπον τοῦ εὐαγγελίου δηλοῦται ὅτι εἰ μὲν ἐβούλετο μὴ ἁλῶναι, οὐκ
ἂν κατεσχέθη· κατεσχέθη δὲ ταπεινώσας ἑαυτὸν καὶ γενόμενος ὑπή-
280 r 99 R κοος τοῖς κατέχουσιν καὶ μέχρι τοῦ σταυροῦ. ὁπότε γοῦν ἐξῆλθεν, 206
καὶ λέγει τοῖς ἐλθοῦσιν εἰς τὸν κῆπον· »Τίνα ζητεῖτε; ἀπεκρίθησαν
»αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον«· καὶ ὡς μὲν »εἶπεν αὐτοῖς· Ἐγώ
»εἰμι, [δυνάμεως] ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί«. εἶτα 207
μετὰ τοῦτο, ὅτι ἐβουλήθη ἀναδέξασθαι τὴν ἐν τῷ πάθει οἰκονομίαν,
πάλιν ἠρώτησεν αὐτούς· »Τίνα ζητεῖτε; οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Να-
»ζωραῖον«. καὶ μετ' ὀλίγα· »Ἡ σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπη- 208
»ρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν« ἑκόντα, »καὶ ἔδησαν
»αὐτὸν« παρέχοντα ἑαυτὸν τοῖς δεσμοῖς· εἰ γὰρ μὴ ἐβούλετο παθεῖν,
εἶπεν ἂν πάλιν· »Ἐγώ εἰμι«· καὶ ἀπῆλθον ἂν οἱ τοσοῦτοι εἰς τὰ
ὀπίσω καὶ πάντες ἔπεσον ἂν χαμαί. ὥσπερ δὲ διὰ τῶν τοιούτων 209
διδάσκει ἡμᾶς ἐν διωγμοῖς καὶ ταῖς καθ' ἡμῶν ἐπιβουλαῖς ἀναχω-
ρεῖν, οὕτως ἐν ἄλλοις εὑροις ἂν καὶ ἀπὸ τῶν νομιζομένων εἶναι ἐν
κόσμῳ καλῶν ἀναχωροῦντα, ἵνα καὶ διὰ τούτων διδάξῃ φεύγειν τὰ
ἐν κόσμῳ ἀξιώματα καὶ τὰς ἐν αὐτῷ ὑπεροχάς. Ἰησοῦς γάρ ποτε 210
»γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτόν, ἵνα ποιήσωσιν
»βασιλέα, ἀνεχώρησεν εἰς τὸ ὄρος«· ἀλλ' οὐ μετὰ τῶν μαθητῶν,

2 Matth. 4, 12f. — **8** Joh. 18, 1. — **13** Joh. 18, 3. — **17** Vgl. Phil. 2, 8. — **19** Joh. 18, 4—6. — **23** Joh. 18, 7. — **24** Joh. 18, 12f. — **33** Joh. 6, 15.

3 *καταλειπῶν* | *Ναζαρέθ* mit D. 1. EKMUV Latt. Boh. vgl. CP*Δ* s. o. z. S. 171, 24 | **12** *τοῦ*] *τὸν*, corr. V | **15** *τοῦτον*] *ν* a. Ras. | **20** *ὡς*] *ὁ*, corr. Pr | **21** *δυνάμεως* wohl z. str.; oder *μετὰ δυνάμεως*?; *δυνάμει ὡς* corr. Br | **24** *ὑπηρέται*] *τ* ü. d. Z. | **34** vor *εἰς* fehlt *πάλιν* mit *Δ* 69 EFGMSUV*Γ* Syr. Pesch. Boh. Sah. Aeth.

Digitized by Google

ἀλλὰ μόνος, μὴ παρέχων μηδὲ τούτοις ἀφορμὴν φιλοῦσιν αὐτὸν καὶ βουληθεῖσιν ἂν μετὰ τῶν θελόντων ποιῆσαι αὐτὸν βασιλέα, ἵν' ἤδη γένηται καὶ κοσμικῶς αὐτῶν βασιλεύς.

211 XXIV. (19) Ταῦτα μὲν εἰς τὸ ῥητὸν καὶ τὴν ἀπὸ τοῦ εὐαγγελικοῦ γράμματος περὶ ἀναχωρήσεως διδασκαλίαν. εἰς δὲ τὴν ἀναγωγὴν λεχθείη ἂν τοιαῦτα, ὅτι Ἰησοῦς πάλαι μὲν παρρησίᾳ τοῖς Ἰουδαίοις περιεπάτει ὅτε ὁ λόγος τοῦ θεοῦ διὰ προφητῶν αὐτοῖς ἐνεπολιτεύετο· Ἰησοῦ γὰρ ἦν παρρησία ἡ »Τάδε λέγει κύριος« ἀλλὰ νῦν οὐκέτι παρρησίᾳ ἐν τοῖς Ἰουδαίοις Ἰησοῦς περιπατεῖ, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν, καὶ οὐκ ἔστιν θεοῦ λόγος ἐν Ἰουδαίοις. καὶ ἀπελθὼν ἐκεῖθεν (λέγω δὲ ἀπὸ τῶν Ἰουδαίων) εἰς τὴν ἐγγὺς τῆς ἐρήμου ἦλθεν χώραν, περὶ ἧς λέγεται· »Πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον »ἢ τῆς ἐχούσης τὸν ἄνδρα«, καὶ πρὸς ἣν εἴρηται· »Εὐφράνθητι
212 »στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα«. ἔστιν δὲ ἡ ἐγγὺς τῆς ἐρήμου πόλις Ἐφραΐμ, εἰς ἣν ἦλθεν Ἰησοῦς, οὐκέτι
213 παρρησίᾳ περιπατῶν ἐν τοῖς Ἰουδαίοις. ἑρμηνεύεται δὲ Ἐφραὶμ »καρποφορία«, ἀδελφὸς ὢν Μανασσῆ, πρεσβυτέρου τοῦ »ἀπὸ λήθης«
214 λαοῦ. μετὰ γὰρ τὸν »ἀπὸ λήθης« λαὸν καταλειφθέντα γεγέννηται ἡ ἐξ ἐθνῶν »καρποφορία«, ὅτε ποταμοὺς μὲν τοὺς ἐν τῷ Ἰσραὴλ »ἔθετο« ὁ θεὸς »εἰς ἔρημον καὶ διεξόδους« τῶν ἐκεῖ »ὑδάτων εἰς »δίψαν« καὶ | »γῆν αὐτῶν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν »κατοικούντων ἐν αὐτῇ«· ἀπὸ δὲ τῶν ἐθνῶν »ἔρημον ἔθετο εἰς λίμνας
215 »ὑδάτων«, καὶ »γῆν ἄνυδρον αὐτῶν γῆν εἰς διεξόδους ὑδάτων«. καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλιν κατοικεσίας, τὴν ἐκκλησίαν· ἔνθα ἔσπειρεν ἀγροὺς κατὰ τὸν πεσόντα σπόρον ἐπὶ τὴν καλὴν καὶ ἀγαθὴν γῆν καὶ ποιοῦσαν ἑκατονταπλασίονα, καὶ ἐφύτευσεν ἀμπελῶνας· κλήματα γάρ εἰσιν οἱ κυρίου μαθηταί, οἵτινες καὶ »ἐποίησαν καρπὸν γεννήματος· καὶ εὐλόγησεν αὐτοὺς καὶ ἐπλη-
216 »θύνθησαν σφόδρα«. ἀλλ' οὐδὲ τοὺς ἐν τούτοις ἀλογωτέρους μικροὺς εἶναι ἐλογίσατο ὁ ἀνθρώπους καὶ κτήνη σώζων κύριος· γέγραπται

5 εἰς δὲ — S. 421, 20 μου excerpiert von Cat[86]. — 12 Gal. 4, 27; vgl. Jes. 54, 1. — 16 Vgl. Lagarde, Onom. s. 164, 67 u. ö. In Jerem. Frg. LVI (226, 7 Kl.) — 17 Vgl. Gen. 41, 51 f. — Vgl. Onom. s. 8, 27 Manasse: oblitus uel necessitas. 195, 63 Μανασσῆς ἀποβληθείς [l. ἀπὸ λήθης] ἢ πεπραμμένος. Armen. Onom.: „Manasè: vom Vergessen oder gemacht [= ἀπὸ λήθης ἢ πεπραγμένος]". — 19 Vgl. Ps. 106, 33—38 (= $\aleph^{a}$ART). — 25 Vgl. Luk. 8, 8. — 28 Ps. 106, 37 f. — 30 Vgl. Ps. 35, 7.

2 ἂν] ἃ, corr. V | 5 εἰς — 6 τοιαῦτα] πρὸς δὲ ἀναγωγὴν ῥητέον Cat. | 14 στεῖρα ἔστιν] ιν a. Ras. | 18 μετὰ ist von I. Hd. über μάλιστα geschrieben, das damit als falsch bezeichnet ist | καταλειφθέντα < Cat. | γεγένηται M, γεγέννηται Hss. der Cat. | 22 [ἐν αὐτῇ· ἀπὸ δ]ὲ verblichen | 28 γενήματος, corr. Ausgg.

Digitized by Google

γάρ· »Καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνεν«. καὶ οἱ μὲν Ἰουδαῖοι 217
»ὠλιγώθησαν καὶ ἐκακώθησαν [καὶ] ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης·
»καὶ ἐξεχύθη ἐξουδένωσις ἐπὶ« τοὺς διὰ τὸν Ἀβραὰμ »ἄρχοντας, καὶ
»ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχὶ ἐν ὁδῷ«. μετ' ἐκείνους δὲ ὁ 218
θεὸς »ἐβοήθησεν τῷ ἀπὸ τῶν ἐθνῶν πένητι λαῷ ἐκ πτωχείας καὶ
»ἔθετο ὡς πρόβατα πατριάν«, οὓς ὄψονται εὐθεῖς ἄγγελοι καὶ »εὐ-
»φρανθήσονται. καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς«. τού- 219
τοις δὲ μυστικῶς προφητευομένοις ἐν ἑκατοστῷ ἕκτῳ Ψαλμῷ ἐπι-
φέρεται· »Τίς σοφὸς καὶ φυλάξει ταῦτα, καὶ συνήσουσιν τὰ ἐλέη τοῦ
»κυρίου;« ἐλεοῦντος γὰρ τοῦ κυρίου τοὺς ἀπὸ τῶν ἐθνῶν ὁ σοφὸς 220
ταῦτα φυλάξει, συνιεὶς τὰ ἐλέη τοῦ κυρίου. οὐκοῦν Ἰησοῦς οὐκέτι 221
»παρρησίᾳ περιπατεῖ ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς
»τὴν χώραν« τοῦ ὅλου κόσμου, »ἐγγὺς τῆς ἐρήμου« ἐκκλησίας, εἰς
Ἐφραὶμ τὴν »καρποφοροῦσαν« λεγομένην πόλιν, κἀκεῖ ἔμεινεν μετὰ
τῶν μαθητῶν. καὶ ἔστιν μέχρι τοῦ δεῦρο μετὰ τῶν μαθητῶν αὐτοῦ 222
Ἰησοῦς ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ λεγομένην πόλιν· πάρεστιν
γὰρ τῇ »καρποφορίᾳ«. καὶ ἐπὶ τῇ γενέσει γε τοῦ Ἐφραὶμ τούτου 223
εἶπoι ἂν ὁ γεννήσας αὐτὸν σιτομέτρης ἡμῶν κύριος, ὁ ταπεινώσας
ἑαυτὸν καὶ γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ·
»Ηὔξησέν με ὁ θεὸς ἐν τῇ γῇ τῆς ταπεινώσεώς μου«.

101 R **XI, 55f.** Ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη-
71 H σαν πολλοὶ τῶν Ἰουδαίων εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ
τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. ἐζήτουν οὖν τὸν Ἰησοῦν
καὶ ἔλεγον μετ' ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες· Τί ὑμῖν δοκεῖ;
οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν;

XXV. (20) Οὐ τὸ αὐτὸ νομιστέον εἶναι πάσχα τοῦ κυρίου καὶ 224
πάσχα τῶν Ἰουδαίων· τὸ μὲν γὰρ κατὰ τὸν νόμον πάσχα ἐστὶν τοῦ
κυρίου, τὸ δὲ τῶν παρανόμων πάσχα τῶν Ἰουδαίων. διὸ παρατη- 225
281 r ρητέον πότε λέγεται κυρίου τὸ πάσχα | καὶ ἄλλαι ἡμέραι, καὶ πότε
οὐ τοῦ κυρίου ἀλλὰ τῶν ἐλεγχομένων ἐπὶ ἁμαρτίαις. οἷον ἐν μὲν 226
τῇ Ἐξόδῳ γέγραπται μεθ' ἕτερα κατὰ τὴν πρώτην περὶ πάσχα ἐν-
τολήν· »Καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς· πάσχα ἐστὶν κυρίου«, καὶ

1 Ps. 106, 38. — **2** Vgl. Ps. 106, 39—42. — **5** Ps. 106, 41f. — **9** Ps. 106, 43. — **12** Vgl. Joh. 11, 54. — **18** Vgl. Gen. 47, 12. — Vgl. Phil. 2, 8. — **20** Gen. 41, 52. — **32** Exod. 12, 11.

8 ἑκατοστῷ] το a. Ras. | **17** ἐπὶ] ἐν Hss. d. Cat. | γε] μὲν Hss. d. Cat. | **19** θανάτου δὲ σταυροῦ < Cat. | **26** αὐτὸ (über τ Comp. f. ὀν), corr. V.

Digitized by Google

κατὰ τὴν δευτέραν· »Ἐὰν λέγωσιν πρὸς ὑμᾶς οἱ υἱοὶ ὑμῶν· Τίς ἡ
»λατρεία αὕτη ὑμῖν; καὶ ἐρεῖτε· Θυσία τὸ πάσχα τοῦ κυρίου, ὃς
227 »ἐσκέπασεν τοὺς οἴκους τῶν υἱῶν Ἰσραὴλ ἐν Αἰγύπτῳ«. ἐν δὲ τῷ
Ἡσαΐᾳ οὐχ ἑαυτοῦ ἀλλὰ τῶν ἁμαρτανόντων φησὶν εἶναι ὁ κύ-
ριος τὰς νουμηνίας καὶ τὰ σάββατα καὶ νηστείαν καὶ ἀργίαν καὶ
228 ἑορτάς. εἰ δὲ τὰς ἑορτάς, δῆλον ὅτι καὶ τὸ πάσχα· μία γὰρ αὕτη
τῶν ἑορτῶν ἐστιν. γέγραπται δὲ οὕτως· »Τὰς νουμηνίας ὑμῶν καὶ
»τὰ σάββατα ὑμῶν καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν ἢ
»καὶ ἀργίαν, καὶ τὰς νουμηνίας ὑμῶν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ
»ψυχή μου«. καὶ ἔν τινι δὲ τῶν δώδεκα γέγραπται· »Μεμίσηκα.
229 »ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν«. καὶ κατὰ τὴν ἐκκειμένην τοίνυν λέξιν
τὸ πάσχα οὐ ›τοῦ κυρίου‹ ἀλλὰ ›τῶν Ἰουδαίων‹ ἦν· ὁ γὰρ σωτὴρ
230 ἡμῶν ἐν αὐτῷ ἐπεβουλεύετο. καὶ διὰ τοῦτο αὐτῶν οἶμαι τὸ πάσχα
εἰρῆσθαι αὐτοῖς προφητικῶς τῷ »Μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς
»ὑμῶν«· ἔργον γὰρ οὐχ ἑορτῆς θεοῦ, ἀλλ' ἐναγὲς ἐν αὐτῷ πεποιή-
231 κασιν τὸν Ἰησοῦν ἀποκτείναντες. πλὴν πρὸ τοῦ πάσχα τῶν Ἰου-
δαίων τούτου πολλοὶ ἀνέβησαν εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας, ἵνα
232 ἁγνίσωσιν ἑαυτούς. προλαβὼν δ' ἂν εἴποιμι ὅτι οὐκ ἐνόουν οἱ
πολλοὶ πῶς ἂν ἁγνίσαιεν ἑαυτούς· διόπερ δοκοῦντες ἑαυτῶν πάσχα
λατρείαν προσφέρειν τῷ θεῷ, τοσοῦτον ἐδέησαν τοῦ ἁγνίσαι ἑαυτοὺς
ὥστε ἐναγέστεροι γενέσθαι οὗ ἦσαν ἐναγεῖς πρὶν ἁγνίσωσιν ἑαυτούς.
εἶπον γὰρ τῷ Πιλάτῳ οἱ παραδιδόντες αὐτῷ τὸν Ἰησοῦν Ἰουδαῖοι·
»Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα«· δι' οὓς ἔλεγεν τῷ σωτῆρι·
»Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ σὸν ἔθνος καὶ οἱ ἀρχιερεῖς παρέδωκάν
233 »σε ἐμοί«. καὶ οἱ λέγοντές γε ἀναβεβηκέναι ἵνα ἁγνίσωσιν ἑαυτοὺς
ἐκραύγασαν λέγοντες τῷ Πιλάτῳ· »Μὴ τοῦτον ἀπολύσῃς ἀλλὰ τὸν
234 »Βαραββᾶν. ἦν δὲ ὁ Βαραββᾶς λῃστής«. καὶ πάλιν· »Ἀπεκρίθησαν
»οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ὀφείλει ἀπο-
»θανεῖν, ὅτι υἱὸν θεοῦ ἑαυτὸν ἐποίησεν«· καὶ πάλιν· »Οἱ Ἰουδαῖοι
»ἐκραύγαζον λέγοντες πρὸς τὸν Πιλάτον· Ἐὰν τοῦτον ἀπολύσῃς,
»οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει
»τῷ Καίσαρι«. καὶ πάλιν· »Ἐκραύγασαν οἱ Ἰουδαῖοι· Ἆρον, ἆρον,

1 Exod. 12, 26 f. — **7** Jes. 1, 13 f. — **10** Am. 5, 21. — **12** Vgl. Exod. 12, 27. Joh. 11, 55. — **14** Am. 5, 21. — **16** Vgl. Joh. 11, 55. — **23** Joh. 18, 31. — **24** Joh. 18, 35. — **25** Vgl. Joh. 11, 55. — 26 Joh. 18, 40. — **27** Joh. 19, 7. — **29** Joh. 19, 12. — **32** Joh. 19, 15.

2 ἐρεῖτε] + αὐτοῖς T | τοῦ] τοῦτο T | **8** ἢ als Dittogr. (aus *N*) zu str.; fehlt in T | **14** τῷ] τὸ, corr. Pr | **24** Ἰουδαῖος] ος a. Ras. (aus ου?) | τὸ ἔθνος τὸ σὸν T; τὸ σὸν ἔθνος ist unbezeugt | 26 ἀπολύσῃς fehlt in T | **27** βαραβᾶς, wie 69 hat 30 πρὸς τὸν Πιλάτον fehlt in T.

Digitized by Google

»σταύρωσον αὐτόν«. καὶ οἱ ἀναβεβηκότες γε πρὸ τοῦ πάσχα ἵνα 235
ἁγνίσωσιν ἑαυτοὺς ἔλεγον ἐν αὐτῷ τῷ πάσχα· »Οὐκ ἔχομεν βασιλέα
281v »εἰ μὴ Καίσαρα«. ὅπερ δὲ πρὸς τοὺς μαθητὰς εἶπεν | προφητεύων
ὁ σωτὴρ καὶ λέγων· »Ἔρχεται ὥρα ὅτε πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξει
»λατρείαν προσφέρειν τῷ θεῷ«· τοῦτο ἀπ' αὐτοῦ ἀρξάμενον πεπλήρωται. οἱ γὰρ ἀξιώσαντες αὐτὸν ἀποθανεῖν ἐδόκουν λατρείαν προσ- 236
φέρειν τῷ θεῷ. καὶ ἀναβεβήκεισαν εἰς Ἱεροσόλυμα πρὸ τοῦ πάσχα
ἵνα ἁγνίσωσιν ἑαυτούς. ὁ δὲ ἀληθὴς ἁγνισμὸς οὐ πρὸ τοῦ πάσχα 237
ἦν ἀλλ' ἐν τῷ πάσχα, ὅτε Ἰησοῦς ἀπέθανεν ὑπὲρ τῶν ἁγνιζομένων
ὡς ἀμνὸς θεοῦ, καὶ ἦρεν τὴν ἁμαρτίαν τοῦ κόσμου. καὶ ἐζήτουν 238
γε οὗτοι οἱ Ἰουδαῖοι τὸν Ἰησοῦν, οὐχ ἵνα ὠφεληθῶσιν, ἀλλ' ἵνα
αὐτὸν ἀποκτείνωσιν πρὸς οὓς εἶπεν ἄν· »Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖ-
»ναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα ἀπὸ
»τοῦ θεοῦ«. καὶ ἐν αὐτῷ γε τῷ ἱερῷ ἑστηκότες ἔλεγον πρὸς ἀλλή- 239
λους περὶ τοῦ Ἰησοῦ· »Τί δοκεῖ ὑμῖν; ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν
»ἑορτήν;« ἀλλ' οὐχ ὅπου οὗτοι ἑστήκεισαν ἑόρταζεν Ἰησοῦς, ἀλλ' 240
εἰς τὸ μέγα ἀνάγαιον, τὸ σεσαρωμένον καὶ κεκοσμημένον, ὅπου ἐπι-
θυμίᾳ ἐπεθύμησεν τὸ πάσχα μετὰ τῶν μαθητῶν φαγεῖν πρὸ τοῦ
παθεῖν. εἴποις δ' ἂν ὅτι καὶ νῦν ἑστήκασιν ἐν τῷ ἱερῷ ζητοῦντες 241
τὸν Ἰησοῦν, ἐπερειδόμενοι μὲν ὡς ἱεραῖς ταῖς γραφαῖς, διὰ δὲ τὸ
ἀγνοεῖν τὸν ἐληλυθότα ζητοῦντες τοῦτον μὲν κακολογεῖν, ἕτερον δὲ
τούτου Χριστὸν ὁμολογεῖν. πρόσχες δὲ εἰ δύνασαι καὶ ἄλλους Ἰου- 242
δαίους λέγειν ἀναβαίνοντας εἰς Ἱεροσόλυμα καὶ ἐρχομένους εἰς τὴν
πόλιν τοῦ θεοῦ ἀπὸ τῆς ἔξω Ἱεροσολύμων χώρας, καὶ ἐρχομένους
ἵνα ἁγνίσαντες ἑαυτοὺς δυνηθῶσιν, ἡνίκα ἂν τὸ πάσχα τυθῇ Χρι-
στός, ἑορτάζειν μὴ »ζύμῃ παλαιᾷ«, μὴ »ζύμῃ κακίας καὶ πονηρίας,
»ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας«. καὶ οἱ τοιοῦτοί γε 243
ζητήσουσιν τὸν Ἰησοῦν ἐν τῷ ἱερῷ ἑστηκότες τῶν γραφῶν καὶ ἐπα-
πορήσουσιν πρὸς ἀλλήλους, εἰ ἐλεύσεται εἰς τὴν ἑορτὴν Ἰησοῦς.

403R **XI, 57.** *Δεδώκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολὰς ἵνα ἐάν τις γνῷ αὐτὸν ποῦ ἐστιν μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.*

XXVI. (21) *Ὅρα πῶς μεμαρτύρηται ἀνακεχωρηκέναι, ἵνα καὶ* 244
73H *ἡμεῖς γινώσκωμεν ἐν καιρῷ τὸ τοιοῦτο ποιεῖν. καὶ πρόσχες γε ὅτι*

1 Vgl. Joh. 11, 55. — 2 Joh. 19, 15. — 4 Joh. 16, 2. — 7 Vgl. Joh. 11, 55. — 10 Vgl. Joh. 1, 29. — 12 Joh. 8, 40. — 15 Joh. 11, 56. — 17 Vgl. Mark. 14, 15; Vgl. Matth. 12, 44. — Vgl. Luk. 22, 15. — 25 Vgl. I Kor. 5, 7f.

4 ὅτε] ἵνα T | ὑμᾶς verblichen | 5 ἀπ'] ἐπ', corr. Ausgg. | 13 λελάληκα] λ^3 a. Ras. | 16 ἱστήκεισαν | 28 ἐπαποροῦσιν, corr. We | 31 ἑαυτόν, corr. V.

Digitized by Google

οὐκ ἤδεισαν ὅπου ἐστὶν οὔτε οἱ ἀρχιερεῖς οὔτε οἱ Φαρισαῖοι, καὶ μὴ εἰδότες διδόασιν ἐντολάς, ἵνα ἐάν τις γνῷ ποῦ ἐστὶν μηνύσῃ αὐτοῖς
245 καὶ συλλάβωσιν αὐτόν. καὶ ἄλλως δὲ φήσεις ὅτι οἱ ἐπιβουλεύοντες τῷ
246 Ἰησοῦ οὐκ οἴδασιν ποῦ ἐστιν. διὸ διδόασιν ἑτέρας παρὰ τὰς τοῦ
247 θεοῦ ἐντολάς, »διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων«. καί
εἰσιν αὐτῶν αἱ ἐντολαὶ ⟨ἃς⟩ διδόασιν Φαρισαῖοι καὶ ἀρχιερεῖς, τῶν σωματικῶν τυγχάνοντες Ἰουδαίων, κατὰ τοῦ Ἰησοῦ· βούλονται γάρ τινας μηνῦσαι αὐτοῖς τὸν Ἰησοῦν, ἵνα αὐτὸν ὑποχείριον λαβόντες
248 προδῶσιν. καὶ φήσεις πάντα τὸν περιεργαζόμενον τὰ περὶ τὸν
χριστιανισμὸν ἐπὶ τῷ αὐτὸν ἀνατρέπειν καὶ κατηγορεῖν Φαρισαῖόν 252
τινα εἶναι καὶ οὐκ ἀγαθὸν ἀρχιερέα, ἄλλων λόγων διδόντα ἐντολάς, οἷς οἴεται διδάξειν αὐτὸν τὰ περὶ τὸν Ἰησοῦν, ἵνa μηνυθέντα αὐτὸν αὐτῷ πιάσῃ καὶ ὑβρίσας ἀποκτείνῃ.

249 Ἀλλὰ γὰρ αὐτάρκη περιγραφὴν εἰληφότος καὶ τοῦ ὀγδόου καὶ εἰκοστοῦ τῶν εἰς τὸ κατὰ Ἰωάννην ἐξηγητικῶν τόμου, αὐτοῦ κατα- 15
παύσωμεν τὸν λόγον, ἐν τῷ ἑνάτῳ καὶ εἰκοστῷ, θεοῦ διδόντος. ἀρξόμενοι τῶν ἑξῆς.

5 Matth. 15, 9; Mark. 7, 7. (Vgl. Jes. 29, 13.)

5 ἐντολὰς doppelt geschr. | 6 ⟨ἃς⟩ + V | 14 εἰληφότος (über τ Comp. für ας) M | 17 ἀρχόμενοι, corr. We | τῷ, corr. V.

Digitized by Google

ΤΩΝ ΕΙΣ ΤΟ ΚΑΤΑ
404 R # ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ ΕΞΗΓΗΤΙΚΩΝ

ΤΟΜΟΣ ΛΒ'.

1. *Ἀπὸ θεοῦ διὰ Ἰησοῦ Χριστοῦ εὐοδούμενοι ἐρχώμεθα τὴν* 1
μεγάλην τοῦ εὐαγγελίου ὁδὸν καὶ ζῶσαν ἡμῖν, εἰ καὶ γνωσθείη καὶ
ὁδευθείη ὑφ' ἡμῶν, ⟨ὡς⟩ φθάσαι αὐτῆς καὶ ἐπὶ τὸ τέλος. νῦν μέντοι 2
γε οἱονεὶ δευτέρας καὶ τριακοστῆς παρεμβολῆς ἐν τοῖς λεχθησομένοις
ἐπιβῆναι πειρώμεθα· καὶ παρείη γε ἡμῖν ὁ στύλος τῆς φωτεινῆς
νεφέλης Ἰησοῦ, προάγων ἡμᾶς ὅτε δεῖ, καὶ ἱστὰς ὅτε χρή, ἕως ὅλον
καὶ τῇ ὑπαγορεύσει τῶν εἰς τὸ εὐαγγέλιον, ἱερὲ ἀδελφὲ ⟨καὶ θεοῦ⟩
ἄνθρωπε Ἀμβρόσιε, διεξέλθωμεν τὸ εὐαγγέλιον, μὴ ἐκκακοῦντες
ἀπὸ τοῦ μακροῦ τῆς ὁδοιπορίας μηδὲ ἀποκάμνοντες διὰ τὴν ἡμε-
74 H *τέραν ἀσθένειαν, ἀλλ' ἐκβιαζόμενοι κατ' ἴχνη βαίνειν τοῦ στύλου*
τῆς ἀληθείας. πότερον δὲ βούλεται τὸν νοῦν ἡμῶν τελέσαι διὰ τῶν 3
ὑπαγορεύσεων τὴν ὁδοιπορίαν τῆς ὅλου τοῦ κατὰ τὸν Ἰωάννην εὐ-
αγγελίου γραφῆς ἢ μή, αὐτὸς ἂν εἰδείη ὁ θεός. μόνον καὶ ἐνδη- 4
μοῦντες ἐν τῷ σώματι καὶ ἐκδημοῦντες αὐτοῦ ἐπὶ τῷ ἐνδημῆσαι
πρὸς τὸν κύριον ἔξω τοῦ εὐαγγελίου μὴ βαίνοιμεν, ἵνα καὶ τῶν τοὺς
μακαρισμοὺς φερόντων ἔργων καὶ λόγων ἐν τῷ παραδείσῳ τῆς τρυ-
φῆς τοῦ θεοῦ ἀπολαύσωμεν.

5 Vgl. Exod. 14, 19. — **7** Vgl. I Tim. 6, 11. — **11** Vgl. I Tim. 3, 15. — **13** Vgl. II Kor. 5, 6. 8. — **15** Vgl. Joh. 13, 17.

Überschrift unter einfacher roter und schwarzer Randleiste | **1** *ἐχώμεθα*, corr. V | **3** ⟨ὡς⟩ + We | **7** ⟨καὶ θεοῦ⟩ + Br; vgl. o. S. 5, 10 | **8** *ἐγκακοῦντες*, corr. V **9** *ὁδοπορία*, corr. V | **13** ἢ] *εἰ*, corr. V.

Digitized by Google

XIII, 2. *Καὶ δείπνου γινομένου, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν ἵνα παραδῷ αὐτὸν Ἰούδας Σίμωνος Ἰσκαριώτης,* **3** *εἰδὼς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθεν καὶ πρὸς τὸν θεὸν ὑπάγει,* **4** *ἐγείρεται ἐκ τοῦ δείπνου καὶ τίθησιν τὰ ἱμάτια, καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν·* **5** *εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος.*

II. *Ἐν ταῖς εἰς τὸ κατὰ Λουκᾶν ὁμιλίαις συνεκρίναμεν ἀλλήλαις τὰς παραβολάς, καὶ ἐζητήσαμεν τί μὲν σημαίνει τὸ κατὰ τὰς θείας* 10
6 *γραφὰς ἄριστον, τί δὲ παρίστησιν τὸ κατ' αὐτὰς δεῖπνον. καὶ νῦν τοίνυν λελέχθω, ὅτι ἄριστον μέν ἐστιν ἡ πρώτη καὶ πρὸ τῆς συν-* 405 B
τελείας τῆς ἐν τῷ βίῳ τούτῳ ἡμέρας πνευματικῆς τοῖς εἰσαγομένοις | ἁρμόζουσα τροφή· δεῖπνον δὲ ἡ τελευταία καὶ τοῖς ἤδη ἐπὶ 2827
7 *πλεῖον προκεκοφόσι παρατιθεμένη κατὰ λόγον. καὶ ἄλλως δ' εἴποι* 15
ἄν τις ἄριστον μὲν εἶναι τὸν νοῦν τῶν παλαιῶν γραμμάτων, δεῖπνον
8 *δὲ τὰ ἐναποκεκρυμμένα τῇ καινῇ διαθήκῃ μυστήρια. ταῦτα δὲ ἐν προοιμίῳ λέλεκται ἐξετάζοντι πῶς γινομένου δείπνου ἐγείρεται ὁ Ἰησοῦς ἐκ τοῦ δείπνου, καὶ βαλὼν ὕδωρ εἰς τὸν νιπτῆρα ἄρχεται*
9 *τοὺς τῶν μαθητῶν νίπτειν πόδας. οἶμαι γὰρ ὅτι οἱ μετὰ τοῦ Ἰησοῦ* 20
δειπνοῦντες καὶ ἐν τῇ ἐπὶ τέλει τοῦ βίου τούτου ἡμέρᾳ μεταλαμβάνοντες σὺν αὐτῷ τροφῆς δέονται μὲν καθαρσίου τινός, οὐ μὴν περί τι τῶν πρώτων τοῦ τῆς ψυχῆς, ἵν' οὕτως ὀνομάσω, σώματος, ἀλλ'. ὡς ἂν εἴποι τις, χρῄζουσιν ἀποπλύνασθαι τὰ τελευταῖα καὶ τὰ
10 *ἔσχατα καὶ τῇ γῇ ἀναγκαίως ὁμιλοῦντα. καὶ τοῦτο τὸ καθάρσιον* 25
πρῶτον μὲν ὑπ' οὐδενὸς ἢ τοῦ Ἰησοῦ μόνου γενέσθαι δύναται, δεύτερον δὲ [καὶ τὸ] ὑπὸ τῶν μαθητῶν αὐτοῦ, πρὸς οὓς εἶπεν· »Καὶ
»ὑμεῖς ὀφείλετε τοὺς πόδας ἀλλήλων νίπτειν· ὑπόδειγμα γὰρ ἔδωκα
11 *»ὑμῖν ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε«. καὶ ὁ εὐ-* 30
αγγελιστής γε ἐν τούτοις μοι δοκεῖ διεγείρων ἡμῶν τὸν νοῦν ἐπὶ τὸ

9 Die Homilie fehlt jetzt. — **12** *ἄριστον* — **17** *μυστήρια* Cat^{96}. — **18** Die Ausführung ist jetzt verloren. — **20** *οἶμαι* — **28** *νίπτειν* Cat^{96}. — **27** Joh. 13, 14 f.

2 *παραδῷ* mit ℵaAD^2 | **3** *ἔδωκεν* liest Orig. u. S. 429, 11. 20. **23.** 28; 430, 6. 17; 431, 7. | **9** *ἀλλήλας*, corr. Hu | **13** *ἡμέρᾳ πνευματικῇ* Cat. | **15** *προκόψασιν* Cat. | **23** *τι* < Cat. | **25** *τὸ καθάρσιον* < Cat. | **26** *πρῶτον*] *πρωτοῦτον* | *ὑπ' — μόνου*] *ὑπὸ Ἰησοῦ* Cat. | *δύναται γενέσθαι* Cat. | **27** *καὶ τὸ* < Cat. | *πρὸς οὓς εἶπεν*] *τῶν ἀκουσάντων* Cat. | **28** *ἀλλήλων νίπτειν τοὺς πόδας* Cat. | **30** *τὸ*] *τὸν* Cat.

Digitized by Google

νοητὸν τῶν κατὰ τὸν τόπον μὴ τετηρηκέναι μὲν σωματικὴν περὶ
375H τοῦ νίψασθαι τὴν ἀκολουθίαν, ὅτε πρὸ τοῦ δείπνου καὶ τῆς ἐπὶ τὸ
δειπνεῖν ἀνακλίσεως οἱ δεόμενοι τοῦ νίψασθαι τοὺς πόδας νίπτον-
ται· ὑπερβὰς δὲ τὸν καιρὸν ἐκεῖνον τῷ λόγῳ ἤδη ἀνακλιθέντα τὸν
Ἰησοῦν ἐπὶ τὸ δειπνεῖν ἐγηγερκέναι ἐκ τοῦ δείπνου, ἵνα δειπνησάν-
των ἄρξηται νίπτειν τοὺς πόδας τῶν μαθητῶν ὁ διδάσκαλος καὶ ὁ
κύριος. πρὸ μὲν γὰρ τοῦ δείπνου ἦσαν λελουμένοι, καὶ γενόμενοι 12
ὅλοι καθαροὶ κατὰ τὸ »Λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς
»πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν κατέναντι τῶν ὀφθαλμῶν ὑμῶν«
καὶ τὰ ἑξῆς· μετὰ δὲ τὸ λουτρὸν ἐκεῖνο ἐδεήθησαν δευτέρου ὕδατος
εἰς μόνους τοὺς πόδας, τουτέστιν τὰ κατωτάτω τοῦ σώματος. ἀδύ- 13
νατον γὰρ οἶμαι μηδὲν ὑπωθῆναι τῆς ψυχῆς μηδὲ τὰ τελευταῖα
καὶ τὰ κατωτάτω αὐτῆς, κἂν ὡς ἐν ἀνθρώποις τέλειός τις εἶναι
δοκῇ. οἱ μὲν οὖν πολλοὶ καὶ μετὰ τὸ λουτρὸν κονιορτοῦ τῶν ἁμαρ- 14
τημάτων πληροῦνται κατὰ τὴν κεφαλὴν ἢ ὀλίγῳ ταύτης κατω-
406R τέρω· οἱ δὲ γνησίως τῷ Ἰησοῦ μαθητευθέντες, ὡς φθάσαι καὶ ἐπὶ
τὸ συνδειπνεῖν αὐτῷ, μόνους τοὺς πόδας δεομένους ἔχουσιν τῆς
ὑπὸ τοῦ λόγου νίψεως. ἐνορῶν δὲ διαφοραῖς ἁμαρτημάτων καὶ 15
κατανοῶν τὰ ὡς μὲν πρὸς τὸ ἀκριβὲς καὶ τὸ ἐρωμένον τοῦ λόγου
283r ἁμαρτήματα, | πρὸς δὲ τοὺς πολλοὺς οὐδὲ νομιζόμενα εἶναι ἁμαρτή-
ματα, ὄψει τίνα ἐστὶν ἐφ' οἷς δέονται οἱ πόδες τοῦ νίψασθαι ὑπὸ
τοῦ Ἰησοῦ. καὶ εἴπερ τοιαῦτά ἐστιν τὰ κατὰ τοὺς πόδας μολύσματα, 16
τί ποιήσωμεν οἱ μηδέποτε ἐπὶ τὸ μετὰ τοῦ Ἰησοῦ δεῖπνον ἐφθα-
κότες, μηδὲ τοὺς πόδας μόνους μεμολυμμένοι; λέγοντος Ἰησοῦ τῷ
μὴ εἰδότι τότε Πέτρῳ, ἀλλὰ γνωσομένῳ μετὰ ταῦτα τὸ μυστήριον
τῆς νίψεως τῶν ὑπὸ Ἰησοῦ καθαριζομένων ποδῶν τὸ »Ἐὰν μὴ νίψω
»σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ«. ὅπερ ζητήσεις τί δηλοῖ· πότερον 17
ὅτι οὐδ' ὅλως ἔχεις μέρος ἐὰν μὴ νίψω σε ἀγαθόν, ἢ οὐ μετ' ἐμοῦ
μὲν τοῦ διδασκάλου καὶ κυρίου μετὰ τῶν ἐλαττόνων δέ μου, ἐν οἷς
εἰσιν οἱ μετὰ τὸ λούσασθαι μήτε δειπνήσαντες τὸ μετ' ἐμοῦ δεῖπνον
μήτε νιψάμενοι ὑπ' ἐμοῦ τοὺς πόδας, ἢ δειπνήσαντες μέν, οὐ νιψά-
μενοι δέ. ἐγὼ ⟨δ'⟩ ἐφίστημι διὰ τὸ »Ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τὴν θύραν 18
»καὶ κρούω· ἐάν τις ἀνοίξῃ μοι τὴν θύραν, εἰσελεύσομαι πρὸς αὐτὸν
»καὶ δειπνήσω μετ' αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ«, μήποτε ὁ Ἰησοῦς
οὔτε ἀριστᾷ μετά τινος (οὐ γὰρ δεῖται εἰσαγωγῆς καὶ πρώτων μαθη-
μάτων), οὔτε ἀριστᾷ τις μετ' αὐτοῦ, ἀλλ' ὁ μετ' αὐτοῦ ἐσθίων

8 Jes. 1, 16. — **14** οἱ μὲν — **18** νίψεως Cat[96]. — **24** Vgl. Joh. 13, 7. — **26** Joh. 13, 8. — **32** Apok. 3, 20.

6 δ] *ον* | **15** ἢ unlesbar | *κατὰ*] *καὶ*, corr. We | **16** *μαθητευθέντες* Cat., *μαθητεύοντες* M | **17** *δεομένους* — **18** *νίψεως*] *δέονται νίψασθαι* Cat. | **18. 21** *ὑπὸ*] *ἀπὸ*, corr. Pr | **32** ⟨δ'⟩ + We | *τὴ*.

Digitized by Google

δειπνεῖ μόνον· »Πλεῖον, γάρ φησι, Σολομῶντος ὧδε«, περὶ οὗ γέ- 376H
γραπται· »Καὶ ἦν τὸ ἄριστον Σαλομὼν τόδε«, ὃ κατείλεκται ἐν τῇ
19 τρίτῃ τῶν Βασιλειῶν. καὶ τοῦτο δὲ τολμήσας εἴποιμ' ἂν ὡς ἀκό-
λουθον τῷ »Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ«, ὅτι οὐκ
ἔνιψεν τοὺς πόδας τοῦ Ἰούδα, ⟨ὅτι⟩ ἤδη εἰς τὴν καρδίαν βεβλήκει ὁ διά- 5
βολος, ἵνα τὸν διδάσκαλον καὶ κύριον παραδῷ. εὑρὼν αὐτὸν οὐκ ἐν-
δεδυμένον τὴν πανοπλίαν τοῦ θεοῦ καὶ οὐκ ἔχοντα τὸν τῆς πίστεως
θυρεόν, ᾧ δύναταί τις πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα
20 σβέσαι. γεγραμμένου γὰρ τοῦ »Τοῦ διαβόλου ἤδη βεβληκότος« ἀκούω
ὡς καὶ ἐν ἑβδόμῳ Ψαλμῷ τῆς γραφῆς περὶ τούτου διδασκούσης, ὡς 10
τοξότου καὶ βέλη πεπυρωμένα ἐξεργαζομένου τοῖς μὴ πάσῃ φυλακῇ
21 τηροῦσι τὴν ἑαυτῶν καρδίαν. ἔχει δὲ οὕτως ἡ τοῦ Ψαλμοῦ λέξις·
»Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον
»αὐτοῦ ἐνέτεινεν καὶ ἡτοίμασεν αὐτό· καὶ ἐν αὐτῷ ἡτοίμασεν σκεύη 407 R
»θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. ἰδοὺ ὠδίνησεν 15
22 »ἀδικίαν, συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν«. πᾶς μὲν οὖν ὁμο-
λογήσει τὸ »Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβεν πόνον καὶ ἔτεκεν
»ἀνομίαν«, δύνασθαι ἀναφέρεσθαι ἐπὶ τὸν διάβολον· ἄτοπον δὲ μὴ
ὁμοίως τούτῳ καὶ αὐτὰ νομίζειν λέγεσθαι· »Ἐὰν μὴ ἐπιστραφῆτε,
»τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινεν καὶ ἡτοί- 20
»μασεν αὐτό· καὶ | ἐν αὐτῷ ἡτοίμασεν σκεύη θανάτου«· σκεύη γὰρ 283v
θανάτου ἄλλος οὐδεὶς ἐν τῷ τόξῳ ἑαυτοῦ ᾧ ἐνέτεινεν ἡτοίμασεν ἢ
23 οὗ τῷ φθόνῳ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. ἀπὸ τούτων τοί-
νυν τῶν βελῶν, ἃ τοῖς καιομένοις ἐξειργάσατο ὁ διάβολος, ἐνέ-
βαλεν εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἤδη βεβλημένου 25
⟨ἐν⟩ τῷ δείπνῳ οὐχ ὥστε δὲ ἀρέσεσθαι αὐτῷ, ἐπείπερ ἡ τοῦ
δείπνου τούτου τροφὴ καὶ ὁ οἶνος ὁ ἐν αὐτῷ οὐκ ἐδύνατο γενέσθαι
ἐν καρδίᾳ ὑπὸ τοῦ διαβόλου βεβλημένῃ βέλει περὶ τοῦ προδοθῆναι
τὸν τάχα ἑστιάτορα. ἐπεὶ μὴ σαφῶς ἐν τούτοις φαίνεται τίς ἦν, ὑφ'
οὗ τὸ δεῖπνον ἐγίνετο, ὡς ἐν τοῖς πρὸ τούτων· »Ἐποίησαν, φησίν, 30
»αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει, ὁ δὲ Λάζαρος εἷς ἦν ἐκ
24 »τῶν ἀνακειμένων σὺν αὐτῷ«. ἐπὶ μὲν οὖν τοῦ Ἰούδα γέγραπται
τὸ »Τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν ἵνα παραδῷ αὐ-
»τὸν Ἰούδας Σίμωνος Ἰσκαριώτης«· τούτῳ δὲ ἀκολούθως λέγοις ἂν
περὶ ἑκάστου τῶν ὑπὸ τοῦ διαβόλου εἰς τὴν καρδίαν τετρωμένων· τοῦ 35

1 Matth. 12, 42. — 2 I Kön. 2, 46e. — 4 Joh. 13, 8. — 5 Vgl. Joh. 13, 2. — 7 Vgl. Eph. 6, 13—16. — 9 Joh. 13, 2. — 11 Vgl. Prov. 4, 23. — 13 Ps. 7, 12—15 (ℵAR). — 23 Vgl. Weish. Sal. 2, 24. — 30 Joh. 12, 2. — 33 Joh. 13, 2.

5 ὅτι] + We | 8 τοῦ] τὸ, corr. V | 11 ἐξειργαζομένου | 19 αὐτὰ] ταῦτα We 25 ἰσκαριώτης . οὗ, corr. Br 26 ἐν τῷ] τὸ, corr. V 28 βέλη 32 ἐπὶ] ἐπεὶ, corr. V.

Digitized by Google

διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν, ἵνα πορνεύσηται, τοῦ δεῖνα, καὶ ἵνα ἀποστερήσῃ, τοῦ δεῖνα, καὶ ἵνα δοξομανῶν εἰδωλο-
377H λατρείαν ἀναδέξηται τὴν τῶν δοκούντων εἶναι ἐπ᾽ ἀξιώματος, τοῦ δεῖνα, καὶ οὕτως ἐπὶ τῶν λοιπῶν ἁμαρτημάτων ἅπερ ὁ διάβολος
5 βάλλει εἰς τὴν γυμνὴν τοῦ θυρεοῦ τῆς πίστεως καρδίαν· ἐν ᾧ θυρεῷ πίστεως δύναταί τις οὐχ ἓν οὐδὲ δύο ἀλλὰ καὶ πάντα τὰ βέλη τοῦ πονηροῦ πεπυρωμένα σβέσαι.

III. Ἐγγιζούσης τοίνυν τῆς κατὰ τὸ πάθος οἰκονομίας, ἐφ᾽ ὃ 25
ἔμελλεν αὐτὸν παραδιδόναι Ἰούδας Σίμωνος Ἰσκαριώτης τετρωμένος
10 ὑπὸ τοῦ διαβόλου, δείπνου ἤδη γινομένου· »Εἰδώς, φησίν, ὁ Ἰησοῦς, »ὅτι πάντα ἔδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ θεοῦ »ἐξῆλθεν καὶ πρὸς τὸν θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου«. οὐκοῦν τὰ μὴ πρότερον ὄντα ἐν ταῖς χερσὶν τοῦ Ἰησοῦ δίδοται ὑπὸ 26
408R τοῦ πατρὸς εἰς τὰς χεῖρας αὐτοῦ, καὶ οὐ τινὰ μὲν τινὰ δ᾽ οὔ, ἀλλὰ
15 πάντα· ὅπερ πνεύματι καὶ ὁ Δαβὶδ βλέπων φησὶ τὸ »Εἶπεν ὁ κύριος »τῷ κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου »ὑποπόδιον τῶν ποδῶν σου«. καὶ γὰρ οἱ ἐχθροὶ τοῦ Ἰησοῦ μέρος 27
τι τῶν πάντων ἦσαν οὓς ἤδει, ὅσον ἐπὶ τῇ προγνώσει, δεδύσθαι ἀπὸ τοῦ πατρὸς αὐτῷ ὁ Ἰησοῦς. ἵνα δὲ σαφέστερον θεωρήσωμεν
20 τί ἐστιν τὸ »Πάντα ἔδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας«, προσχῶμεν τῷ »Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως
284r »καὶ ἐν τῷ † κυρίῳ πάντες ζωοποιηθήσονται«. ἀλλ᾽ εἰ καὶ πάντα 28
ἔδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ἐν τῷ χριστῷ πάντες ζωοποιηθήσονται, οὐ συγχεῖται ἡ δικαιοσύνη τοῦ θεοῦ καὶ τὸ κατ᾽
25 ἀξίαν ἕκαστον οἰκονομεῖσθαι· ὅπερ δηλοῦται ἐπιφερομένου τῷ »Οὕ»τως ἐν τῷ χριστῷ πάντες ζωοποιηθήσονται« τοῦ »Ἕκαστος δὲ ἐν »τῷ ἰδίῳ τάγματι«. πάλιν τε αὖ τὰ διάφορα νοήσεις τάγματα τῶν 29
ἐν Χριστῷ ζωοποιηθησομένων ὅτε πληροῦται τὸ »Πάντα ἔδωκεν »αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας«, ἐπιστήσας τῷ »Ἀπαρχὴ Χριστός,
30 »ἔπειτα οἱ τοῦ χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τὸ τέλος«, ὅπερ τέλος μετὰ τοῦ χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ ἐνστήσεται, ὅτε »Παρα»δώσει τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί«, πρότερον καταργήσας »πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν«. ταῦτα δ᾽ οἶμαι 30
ἐστὶν πρὸς ἃ ἡ πάλη, ἵνα μηκέτι ᾖ ἀρχὴ καὶ ἐξουσία καὶ δύναμις,
35 πρὸς ἃ ἡ πάλη, καὶ διὰ τοῦτο μηκέτι ὑπάρχῃ πάλη, καταργηθείσης

5 Vgl. Eph. 6, 16. — **9** Vgl. Joh. 13, 2. — **10** Joh. 13, 3f. — **15** Ps. 109, 1. — **20** Joh. 13, 3. — **21** I Kor. 15, 22. — **22** Vgl. Joh. 13, 3. — **25** I Kor. 15, 22. — **26** I Kor. 15, 23. — **29** I Kor. 15, 23f. — **34** Vgl. Eph. 6, 12.

18 *προγνώσει*] *ει* a. Ras. | **22** *κω* nur Schreibfehler für *χω* vgl. Z. 26 u. s. z. S. 299, 30 | **25** *τῷ*] *τοῦ*, corr. Ausgg. | **27** *αὖ τὰ διάφορα*] *αὐ τὸ διαφόρω*, corr. Br.

Digitized by Google

πάσης ἀρχῆς τε καὶ ἐξουσίας καὶ δυνάμεως. κινεῖ δέ με εἰς τὸ τὴν
καταργουμένην »πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν« εἶναι
τὰ πρὸς ἃ ἡ πάλη τὸ ἐπιφερόμενον παρὰ τῷ Παύλῳ τούτοις τὸ
»Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρι οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ
»⟨τοὺς⟩ πόδας αὐτοῦ«. εἶτα· »Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θά- 378H
»νατος«. καὶ συνάδει γε τῷ »Πάντα ἔδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς
»χεῖρας αὐτοῦ«, ὅπερ σαφέστερον ἐκτιθέμενός φησιν ὁ ἀπόστολος·
»Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑπο-
»τάξαντος αὐτῷ τὰ πάντα«. εἰ δὲ ἅπαντα ὑποτέτακται, καὶ τοῦτο
δῆλον, ὅτι »ὑποτέτακται πάντα ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ 10
»πάντα«· καὶ οὗτος περὶ οὗ γέγραπται· »Ἐνώπιον κυρίου παντοκρά-
»τορος ἐτραχηλίασεν«, τῶν ὑποτασσομένων αὐτῷ ἔσται, νικηθεὶς
ἐπὶ τῷ εἶξαι τῷ λόγῳ καὶ ὑποταγῆναι τῇ εἰκόνι τοῦ θεοῦ, καὶ γενέ-
σθαι ὑποπόδιον τῶν Χριστοῦ ποδῶν. τὴν τοίνυν οἰκονομίαν βλέ-
πων ἐπὶ τὸ χρηστὸν τέλος ὁδεύουσαν ἤδη διὰ τὸ »Τοῦ διαβόλου 409R
»ἤδη βεβληκότος εἰς τὴν καρδίαν ἵνα παραδῷ αὐτὸν Ἰούδας Σίμωνος
»Ἰσκαριώτης· ἤδει ὅτι πάντα ἔδωκεν αὐτῷ ὁ πατήρ«, καὶ ἔδωκεν
εἰς τὰς χωρούσας τὰ πάντα χεῖρας, ἵνα ᾖ τὰ πάντα αὐτῷ ὑποχείρια.
ἢ πάντα ἔδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, τουτέστιν εἰς τὰς
πράξεις αὐτοῦ καὶ τὰ ἀνδραγαθήματα· »Ὁ πατήρ μου, γάρ φησιν, 20
»ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι«. διὰ τὰ ἐξελθόντα δὲ ἀπὸ
τοῦ θεοῦ ἐξῆλθεν ἀπὸ τοῦ θεοῦ, ἔξω γενομένου τοῦ θεοῦ καὶ τοῦ
μὴ βουληθέντος προηγουμένως ἐξελθεῖν ἀπὸ | τοῦ πατρός, ⟨ἵνα⟩ 284V
ἔλθῃ τὰ ἐξελθόντα εἰς τὰς χεῖρας ὁδῷ καὶ τάξει τοῦ Ἰησοῦ, καὶ
οἰκονομηθῇ πρὸς τὸν θεὸν ὑπάγειν ἀκολουθοῦντα αὐτῷ, διὰ τὸ 25
ἀκολουθεῖν αὐτῷ ἐσόμενα πρὸς τὸν θεόν. Πέτρῳ μὲν οὖν εἴρηταί
ποτε· »Ὅπου ἐγὼ ὑπάγω, οὐ δύνασαί μοι νῦν ⟨ἀκολουθῆσαι⟩, ἀκο-
»λουθήσεις δὲ ὕστερον« (ἔτι γὰρ εἶχεν ὁ Πέτρος τὸ μὴ ἐπιτρέπον
αὐτῷ ἀκολουθεῖν τῷ λόγῳ ἤδη τότε)· τὸ δ' ὅμοιον [εἶναι] νοεῖν
σε δεῖ, ἀλλὰ κατά τινα δικαίαν ἀναλογίαν, λεχθησόμενον πρὸς ἕκα- 30
στον τῶν πάντων ὃ ἔδωκεν τῷ υἱῷ ὁ πατὴρ εἰς τὰς χεῖρας· ἑκάστῳ
μὲν γὰρ τῶν πάντων λεχθήσεται τὸ »Ἀκολουθήσεις δέ μοι ὕστερον«.

2 I Kor. 15, 24. — **4** I Kor. 15, 25. — **5** I Kor. 15, 26. — **6** Joh. 13, 3. — **8** I Kor. 15, 27. — **11** Hiob 15, 25 — **13** Vgl. Kol. 1, 15. — **15** Joh. 13, 2. — **20** Joh. 5, 17. — **22** Vgl. Joh. 13, 3. — **27** Joh. 13, 36.

4 ἄχρι M, wie o. S. 20, 13 u. u. S. 431, 5 | **5** ⟨τοὺς⟩ + V mit S. 20, 13. 431, 6 u. T | **22** ἐξῆλθεν — θεοῦ² a. Rand nachgetragen; i. Text ÷ a. d. Stelle | **23** ⟨ἵνα⟩ + V | **27** ⟨ἀκολουθῆσαι⟩ + V | **29** τότε] ποτέ, corr. Lommatzsch | εἶναι] str. We | **32** τῶν ü. d. Z.

Digitized by Google

ἀλλ' εἰ μὴ ἅμα ἀκολουθήσουσιν, οὐκ ἐπὶ τὸν αὐτὸν ἀναφέρεται καιρὸν 38
τὸ ἑκάστῳ τῶν ἀκολουθησόντων αὐτῷ ἁρμόζον τὸ ὕστερον ἐν τῷ
»Ἀκολουθήσεις δὲ ὕστερον«. καὶ τοῦτό μοι νόει καὶ περὶ πάντων 39
τῶν καταργουμένων, εἴτε ὅταν καταργήσῃ πᾶσαν ἀρχήν, εἴτε πᾶσαν
ἐξουσίαν, εἴτε πᾶσαν δύναμιν, καὶ ἁπαξαπλῶς· »Ἄχρι οὗ θῇ πάντας
»τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ· ἔσχατος ἐχθρὸς καταρ-
»γηθήσεται ὁ θάνατος«. »Εἰδὼς οὖν ὁ Ἰησοῦς ὅτι πάντα ἔδωκεν 40
»αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθεν καὶ πρὸς
»τὸν θεὸν ὑπάγει«, καὶ εἰδὼς † ὅσον ἐφ' οἷς κεκινήμεθα, ὡς διηγησά-
μεθα παριστάντες τὸ φανὲν ἡμῖν εἰς τὸ »Ἀπὸ τοῦ θεοῦ ἐξῆλθεν«
379H καὶ εἰς τὸ »Πρὸς τὸν θεὸν ὑπάγει«, »ἐγείρεται, φησίν, ἐκ τοῦ
»δείπνου«, ὅπερ μετὰ τοῦτο κατανοήσωμεν μετὰ τῶν ἑξῆς. καὶ ὅρα 41
εἰ δύνασαι ἐν τούτοις λέγειν ὅτι ἀπεριστάτως μὲν αὐτὸν εὔφρανεν
τὸ μετὰ τῶν μαθητῶν δειπνεῖν· περιστατικῶς δὲ καὶ ἀναγκαίως
διὰ τοὺς μαθητὰς ἀπὸ τοῦ δείπνου ἐγείρεται, καὶ ἐπὶ ποσὸν τοῦ
δειπνεῖν παύεται, ἕως τοὺς τῶν μαθητῶν καθαρίσῃ πόδας, οὐ δυνα-
μένων ἔχειν μέρος μετ' αὐτοῦ, ἐὰν μὴ αὐτὸς αὐτοὺς νίψῃ.
410R IV. Τί οὖν λέγεται μετὰ τὸ »Ἐγείρεται ἐκ τοῦ δείπνου« κατα- 42
νοήσωμεν. »Τίθησιν, φησί, τὰ ἱμάτια, καὶ λαβὼν λέντιον διεζώ-
»σατο«. καὶ ἐν τούτοις δὲ εἴποιμεν ἂν τοῖς μὴ βουλομένοις ἀπὸ τῶν 43
ῥητῶν ἀναβαίνειν καὶ νοητῶς νοεῖν τὰ παρατιθέμενα ἐν τούτοις τῆς
ψυχῆς βρώματα· τί γὰρ ἐλύπει ἐνδεδυμένον αὐτὸν νίψαι τοὺς πόδας
τῶν μαθητῶν; ἀλλὰ μή πως ἐὰν ἴδωμεν ἀξίως τοῦ Ἰησοῦ τὰ ἐνδύ- 44
ματα αὐτοῦ, ἃ περιέκειτο δειπνῶν καὶ εὐφραινόμενος μετὰ τῶν μα-
θητῶν, ἐννοήσωμεν τίνα κόσμον περίκειται ὁ γενόμενος σὰρξ λόγος.
τοῦτον δὲ ἔν τινι ὑφάσματι λέξεων πρὸς λέξεις καὶ φωνῶν πρὸς 45
φωνὰς συνεστηκότα ἀποτίθεται, καὶ γυμνότερος μετὰ δουλικοῦ σχή-
ματος, ὅπερ δηλοῦται διὰ τοῦ »Λαβὼν λέντιον διεζώσατο«, γίνεται,
ἵνα καὶ μὴ πάντη γυμνὸς ᾖ καὶ μετὰ τὸ νίψαι οἰκειοτέρῳ ὑφάσματι
285r ἀπομάξῃ τοὺς τῶν μαθητῶν πόδας. καὶ ὅρα ἐν τούτοις | πῶς ἑαυ- 46
τὸν σμικρύνει ὁ μέγας καὶ δεδοξασμένος λόγος γενόμενος σάρξ, ἵνα
νίψῃ τοὺς πόδας τῶν μαθητῶν· »Βάλλει, γάρ φησιν, ὕδωρ εἰς τὸν
»νιπτῆρα«. Ἀβραὰμ μὲν οὖν ἡνίκα »Ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐ- 47

4 Vgl. 1 Kor. 15, 24. — 5 I Kor. 15, 25. — 7 Joh. 13, 3. — 9 Die Ausführung ist verloren. — 11 Joh. 13, 4. — 12 καὶ ὅρα — 17 νίψῃ Cat^{96}. — 18 Joh. 13, 4. — 25 Vgl. Joh. 1, 14. — 28 Joh. 13, 4. — 32 Joh. 13, 5. — 33 Gen. 18, 2f.

2 ἀκολουθησάντων αὐτῶν, corr. We | 9 „korrupt" We; ὅσον ἐφόδοις? | 10 περιστάντες | 12 μετὰ^{1}] κατὰ, corr. We | 13 ἐν τοίτοις εἰ δύνασαι Cat. | 14 καὶ < Cat. Cod.S | 16 παίσεται, corr. Cat. | τοὺς vor πόδας Cat.

Digitized by Google

»τοῦ εἶδεν, καὶ ἰδοὺ ἄνδρες ἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν προσέ-
»δραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς καὶ προσε-
»κύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπεν· Κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον
»σου, μὴ παρέλθῃς τὸν παῖδά σου«· οὐκ αὐτὸς λαμβάνει ὕδωρ οὐδὲ
ἐπαγγέλλεται νίπτειν τοὺς πόδας αὐτῶν ὡς ξένων ἐλθόντων πρὸς
αὐτόν, ἀλλά φησι· »Ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας
48 »ὑμῶν«. ἀλλ᾽ οὐδὲ Ἰωσὴφ ἤνεγκεν ὕδωρ νίψαι τοὺς πόδας τῶν
ἕνδεκα ἀδελφῶν, ἀλλ᾽ ὁ ἐπὶ τοῦ οἴκου Ἰωσὴφ ἄνθρωπος »ἐξήγαγεν
»πρὸς αὐτοὺς τὸν Συμεών, καὶ ἤνεγκεν ὕδωρ νίψαι τοὺς πόδας
49 »αὐτῶν«. ὁ δὲ εἰπών· »Ἦλθον οὐχ ὡς ὁ ἀνακείμενος ἀλλ᾽ ὡς ὁ
»διακονῶν« καὶ δικαίως λέγων τὸ »Μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός
»εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ«, αὐτὸς βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα·
ᾔδει γὰρ ὅτι οὐδεὶς οὕτω δύναται νίψαι τοὺς πόδας τῶν μαθητῶν,
ὡς διὰ τὸ νίψασθαι ἔχειν αὐτοὺς τὴν μερίδα μετ᾽ αὐτοῦ, ὡς αὐτὸς
50 τὸ δὲ ὕδωρ, κατ᾽ ἐμέ, τοιόσδε λόγος ἦν, νίπτων τοὺς πόδας τῶν
μαθητῶν, ἐλθόντας ἐπὶ τὸν ὑπὸ τοῦ Ἰησοῦ παρατιθέμενον αὐτοῖς
51 νιπτῆρα. εἶτα ζητῶ τί δήποτε οὐ γέγραπται μὲν τὸ »ἔνιψεν τοὺς
πόδας τῶν μαθητῶν«, λέλεκται δὲ τὸ »Καὶ ἤρξατο νίπτειν τοὺς
52 »πόδας τῶν μαθητῶν«. ἆρα γὰρ συνήθειά ἐστιν τοιαύτη τῶν γρα-
φῶν, καθ᾽ ἣν δοκεῖ μὴ εὐλόγως, ὡς πρὸς τὴν τῶν πολλῶν συνή-
θειαν, προτάσσεσθαι τὸ »Ἤρξατο«; ἢ τότε μὲν »Ἤρξατο νίπτειν τοὺς
»πόδας τῶν μαθητῶν« ὁ Ἰησοῦς, οὐ μὴν ἐπαύσατο τότε νίψας αὐ-
53 τῶν τοὺς πόδας; ὕστερον γὰρ ἔνιψε καὶ ἐτέλεσε τὸ νίπτειν, ἐπεὶ
ἐμολύνθησαν κατὰ τὸ »Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν
»τῇ νυκτὶ ταύτῃ«, καὶ τὸ πρὸς Πέτρον λεγόμενον τὸ »Οὐ μὴ φω-
54 »νήσει ἀλέκτωρ, ἕως ἂν ἀρνήσῃ με τρίς«. τούτων γὰρ γενομένων
τῶν ἁμαρτημάτων, νίψεως πάλιν ἐδέοντο οἱ μολυνθέντες τῶν μα-
θητῶν πόδες, οὓς ἤρξατο νίπτειν ἡνίκα ἐγείρεται ἐκ τοῦ δείπνου·
συνετέλεσεν ⟨δὲ⟩ τὸ νίπτειν καθαρίσας αὐτοὺς οὐκέτι μολυνθησομένους·
55 οὕτω δὲ καὶ τό⟨τε⟩ μὲν ἤρξατο ἐκμάσσειν τοὺς πόδας τῶν μαθητῶν,
συνετέλεσεν δὲ ἐκμάσσων, ὅτε συνετέλεσεν καὶ νίπτων.

6 Gen. 18, 4. — 7 Vgl. Gen. 43, 22. — 8 Gen. 43, 23f. — 10 Luk. 22, 27. — 11 Matth. 11, 29. — 18 Joh. 13, 5. — 24 Matth. 26, 31. — 25 Joh. 13, 38.

1 ἱστήκεισαν wie A | 10 ἦλθον οὐχ ὡς mit D gegen alle anderen Zeugen, die μείζων ὁ ἀνακείμενος bieten | 11 πρᾶος mit C³L rel. | 17 νιπτῆρα] τη a. Ras. 21 τότε] τὸ M, corr. Br | 25 φωνήσει wie CDL rel. | 27 μολυνθέντες] νθ a. Ras. 29 ⟨δὲ⟩ + We | 30 τότε] τὸ, corr. We.

Digitized by Google

XIII, 6. *Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον· λέγει αὐτῷ· Κύριε, σύ μου νίπτεις τοὺς πόδας; 7 ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα. 8 λέγει αὐτῷ ὁ Πέτρος· Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα. ἀπεκρίθη Ἰησοῦς αὐτῷ· Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις*
285v *μέρος μετ' ἐμοῦ. | 9 λέγει αὐτῷ Σίμων Πέτρος· Μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν. 10 λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὁ λελουμένος οὐκ ἔχει χρείαν εἰ μὴ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες. 11 ᾔδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν· Οὐχὶ πάντες καθαροί ἐστε.*

V. *Τοῖς νῦν ὑπὸ τοῦ Πέτρου λεγομένοις ἐν καιρῷ χρησόμεθα* 56
παραδείγματος ἕνεκεν, εἴ που δέοι, ὅτι ἐστὶν δυνατόν τινα κατὰ
πρόθεσιν βελτίστην λέγειν διὰ τὸ ἀνεπίστημον τὰ μηδαμῶς ἑαυτῷ
συμφέροντα. εἰ γὰρ συμφέρον μὲν ἦν πρὸς τὸ ἔχειν μέρος μετὰ τοῦ 57
Ἰησοῦ τὸ νίψασθαι τοὺς πόδας ὑπ' αὐτοῦ, Πέτρος δὲ μὴ ἐπιστάμενος, ὅτι συμφέρον τοῦτο ἦν, πρότερον μὲν εἶπεν οἱονεὶ ἐπαπορῶν δυσωπητικῶς τὸ »Κύριε, σύ μου νίπτεις τοὺς πόδας;« δεύτερον δὲ
412R *τὸ »Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα«, καὶ τὰ λεγόμενα*
κωλυτικὰ ἦν ἔργου τοῦ φέροντος αὐτὸν ἐπὶ τὸ ἔχειν μετὰ τοῦ σωτῆρος τὸ μέρος, δῆλον ὅτι εἰ καὶ ὑγιεῖ προθέσει καὶ σεβασμίῳ πρὸς
τὸν διδάσκαλον τοῦτο ἔλεγεν, ἐπιβλαβῶς ἑαυτῷ ἔλεγεν. τοῦ δὲ 58
381H *τοιούτου εἴδους τῶν ἁμαρτημάτων ὁ βίος πεπλήρωται τῶν ἐν τῷ*
πιστεύειν προτιθεμένων μὲν τὰ κρείττονα, διὰ δὲ ἄγνοιαν τὰ ἐπὶ
τὸ ἐναντίον φέροντα λεγόντων ἢ καὶ πραττόντων. καὶ τοιοῦτοί γέ 59
εἰσιν οἱ τὸ »Μὴ ἅψῃ, μὴ γεύσῃ, μὴ θίγῃς« φάσκοντες περὶ πάντων
τῶν εἰς φθορὰν καὶ ἀπόχρησιν τῶν ἀνθρώπων, κατά τινα πολὺ τῆς
θείας ὑποβεβηκυῖαν τῆς »Ὡς ἄνθρωπος ἀποθάνῃ« διδασκαλίαν. τί 60
δὲ ⟨δεῖ⟩ περὶ τῶν ἐν ταῖς αἱρέσεσιν κλυδωνιζομένων καὶ περιφερο-

18 Joh. 13, 6. — **19** Joh. 13, 8. — **21** *εἰ καὶ* — **25** *λεγόντων* Cat[97]. — **26** Vgl. Kol. 2, 21f. — **28** Vgl. Ps. 81, 7. — **29** Vgl. Eph. 4, 14.

4 *ὁ* mit L*J* 69 | **6** *μὴ* u. *πό[δας μου]* *μόν[ον* — **7** *κεφαλήν*] fast ganz verschwunden, da das Papier stark beschädigt ist. | **13** *δέοι*] *δὲ*, danach sind die Bchst. abgebröckelt | **14** *βελτίστην*] *ι* a. Ras. | *λέγειν*] *ειν* a. Ras. | *τὰ*] *τὸ*, corr. V | **15** *συμφέροντας* M* | **16** *ὑπ'*] *ἀπ'*, corr. Ausgg. | **21** *καὶ σεβασμίῳ* < Cat. | **22** *ἔλεγεν*] + *ὁ Πέτρος, ἀλλ' ὅμως* Cat. | *ἑαυτῷ*] *τοῦτο* Cat. | *τοῦ* Cat., *τοῦτο* M | **25** *τἀναντία* Cat.[1] **28** *τῆς*] *τῶν*, corr. Br. | **29** *⟨δεῖ⟩* + Hu | *περιφερομένων*] *με* a. Ras.

Digitized by Google

μένων παντὶ ἀνέμῳ ἐπὶ τὴν κυβείαν τῶν ἀνθρώπων λέγειν. διαλαλούντων ⟨ὡς⟩ σωτήρια τὰ ὀλέθρια καὶ ὡς ἐπὶ σεβασμῷ τοῦ Ἰησοῦ τὰ
61 ψευδῆ περὶ αὐτοῦ δοξαζόντων; πολλάκις δὲ τὸν Πέτρον τοιοῦτον ἡ γραφὴ ἐσημειώσατο, θερμότερον εἰς τὸ ἐπαγγέλλεσθαι τὰ φαινόμενα αὐτῷ κρείττονα· καθάπερ καὶ ἐν τῷ ἀνεξετάστως εἰρημένῳ καὶ ἀθετητικῶς τῆς Ἰησοῦ περὶ τῶν μαθητῶν προφητείας εἰπόντος· »Πάντες »ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ«, καὶ τὴν αἰτίαν παριστάντος ἐν τῷ »Γέγραπται γάρ· Πατάξω τὸν ποιμένα, καὶ διա»σκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης«. ἀνεξετάστως γὰρ πρὸς τοῦτο καὶ ἀθετητικῶς τῆς Ἰησοῦ ἀποφάσεως εἶπεν τὸ »Εἰ καὶ πάντες
62 »σκανδαλισθήσονται ἐν σοί, ἐγὼ οὐ σκανδαλισθήσομαι«. καὶ τοῦτο ἔτι τότε προπετὲς ὂν ἐν τῇ | ψυχῇ αὐτοῦ αἴτιον οἶμαι γέγονεν τοῦ ὑπὲρ τὸ μέτρον τοῦ τῶν λοιπῶν σκανδαλισμοῦ ἡμαρτηκέναι αὐτόν.
63 ἀρνησάμενον τὸν Ἰησοῦν τρὶς πρὶν ἀλεκτοροφωνίας. διόπερ ἐπιστήσας τῇ τοιαύτῃ προτέρᾳ ἑαυτοῦ προπετείᾳ ὠφελήθη καὶ τὰ μέγιστα, ὡς γένεσθαι στιβαρώτατος καὶ μακροθυμότατος· ὅπερ δηλοῦται Παύλου μὲν εἰπόντος αὐτῷ »ἔμπροσθεν πάντων· Εἰ σὺ Ἰουδαῖος »ὑπάρχων ἐθνικῶς καὶ οὐκ Ἰουδαϊκῶς ζῇς, πῶς τὰ ἔθνη ἀναγκάζεις »ἰουδαΐζειν;« καὶ τὰ ἑξῆς· τοῦ δὲ μετὰ στίβους σιωπήσαντος καὶ τὸ κατὰ τὸν τόπον εὔλογον ἀνεξικακώτατα μὴ παραστήσαντος,
64 περὶ οὗ ἐν τῇ πρὸς Γαλάτας οἰκειότερόν τις διαλήψεται. καὶ ἐν ταῖς Πράξεσι δὲ τῶν ἀποστόλων τὸ καθεστηκὸς αὐτοῦ, τὴν αὐτὴν εἰκόνα μεταμορφωθέντος, τοῖς ἑκάστῳ ἐφιστᾶσι καὶ προσέχουσι φανεῖται.

65 VI. Καὶ ἐνθάδε τοίνυν ἐγερθέντι τῷ Ἰησοῦ ἐκ τοῦ δείπνου καὶ θέντι τὰ ἱμάτια καὶ διαζωσαμένῳ ὃ εἵληφεν λέντιον, καὶ βάλλοντι ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἀρξαμένῳ τοὺς πόδας νίπτειν τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος, πάντες μὲν παρεῖχον τοὺς πόδας, ἀκολούθως τῇ περὶ τοῦ Ἰησοῦ προλήψει θεωροῦντες ὅτι οὐκ ἂν ὁ τηλικοῦτος ἀλόγως καί, ὡς ἂν οἱ πολλοὶ λέγοιεν, βαρεῖν τοὺς μαθητὰς θέλων, νίπτοι αὐτῶν τοὺς πόδας, ἀλλά τι χρήσιμον ἐπιτελῶν ὃ περιέμενον γνώσεσθαι ὕστερον, ἐννοοῦντες μήποτε σύμβολόν τινος ταῦτα πράττοιτο· μόνος δὲ ὁ Πέτρος τῷ προχειροτέρῳ ἐνιδὼν καὶ οὐδένα ἕτερον λογισμὸν ἐκείνῳ παρατιθείς,

6 Matth. 26, 31. — **8** Sach. 13, 7. — **10** Matth. 26, 33; vgl. Mark. 14, 29. — **17** Gal. 2, 14. — **22** Vgl. II Kor. 3, 18.

1 *διαλαλούντα*, corr. V | **2** ⟨ὡς⟩ + We | **10** *ἀθετικῶς*, corr. Ausgg. | **11** *σκανδαλισθήσεσθαι*, corr. V | *σοί*] *ἐμοί*, corr. V | **13** *τοίτων*, corr. We | **15** *ὠφελήθη καί*] *ὠφεληθῆναι*, corr. Pr; *ὠφελήθη* Ferrarius, Hu u. d. Folgenden | **23** *μεταμορφωθέντος*] *μ*² a. Ras. | **29** *ἀκόλουθον*, corr. We.

Digitized by Google

ὡς σέβων τὸν Ἰησοῦν οὐ παρεῖχεν αὐτοῦ εἰς τὸ νίψασθαι τοὺς πόδας, ἀλλὰ πρότερον μὲν δυσωπεῖν αὐτὸν ἐπειρᾶτο ἐν τῷ »Κύριε, σύ »μου νίπτεις τοὺς πόδας;« μετὰ δὲ τοῦτο δέον αὐτὸν πεισθῆναι τὸ »Ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα«, φησὶ τὸ »Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα«. ἄλλως δὲ τῶν λοι- 66
πῶν μαθητῶν ἐμπιστευσάντων ἑαυτοὺς τῷ Ἰησοῦ καὶ περὶ μηδενὸς ἀντιλεγόντων αὐτῷ, οὗτος δι' ὧν λέγει, εἰ καὶ ὑγιῶς ἔδοξεν προτίθεσθαι, οὐ μόνον τοῦ Ἰησοῦ κατηγορεῖ, ὡς ἀλόγως ἀρξαμένου νίπτειν τοὺς τῶν μαθητῶν πόδας, ἀλλὰ καὶ τῶν συμφοιτητῶν. εἰ γὰρ 67
αὐτὸς μέν, ὡς ᾠήθη, τὸ καθῆκον ἐν τῷ κωλύειν ἐθέλειν ἐποίησεν, ἐκεῖνοι δὲ μὴ ἑωράκασιν αὐτό, κατηγόρησεν ἐκείνων, παρὰ τὸ καθῆκον ἑαυτῶν τοὺς πόδας ἐμπαρεσχηκότων τῷ Ἰησοῦ· καὶ εἰ ἐφρόνει τε τῷ εὐλόγῳ μὴ δεῖν ἀντιλέγειν καὶ εὔλογον ἐνόμιζεν εἶναι τὸ γινόμενον ἐν τῷ νίπτεσθαι τοὺς πόδας τῶν μαθητῶν ὑπὸ τοῦ Ἰη-
286v σοῦ, οὐκ ἂν ἀντέλεγεν | τῷ γινομένῳ. φαίνεται οὖν ἀκρίτως μὴ εὖ- 68
λογον νενομικέναι εἶναι τὸ περὶ τοῦ νίψαι τοὺς πόδας τῶν μαθητῶν τοῦ Ἰησοῦ βούλημα. εἰ δὲ χρὴ μέχρι τῶν ἐλαχίστων εἶναι νομιζομένων ἐρευνᾶν τὴν γραφήν, ζητήσαι τις ἂν τί δήποτε, πρώτου κατειλεγμένου τοῦ Πέτρου εἰς τὸν ἀριθμὸν τῶν δώδεκα, τάχα ὡς τῶν
λοιπῶν τιμιωτέρου, ἐπεὶ καὶ ὁ ἀληθῶς πάντων ἔσχατος Ἰούδας ἦν, ὑπὸ τῆς μοχθηρᾶς διαθέσεως ἐπὶ τὰ τελευταῖα ἀνταπερριμμένος, ὁ Ἰησοῦς ἀρξάμενος νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν
414R τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος, οὐκ ἀπὸ Πέτρου ἤρξατο. καὶ λεκτέον 69
πρὸς τοῦτο ὅτι ὥσπερ ἰατρὸς πλείοσιν ἀρρώστοις κατὰ τὴν ἰατρικὴν διακονούμενος, ἀπὸ τῶν κατεπειγόντων καὶ χείρονα πεπονθότων τὴν ἀρχὴν ποιεῖται τῆς θεραπείας, οὕτως ὁ ἐρρυπωμένους τοὺς πόδας νίπτων τῶν μαθητῶν ἄρχεται ἀπὸ τῶν μᾶλλον ἐρρυπωμένων, καὶ τάχα ἐπὶ τελευταῖον ἦλθεν τὸν Πέτρον, ὡς ἔλαττον πάντων δεόμενον τῆς νίψεως τῶν ποδῶν. τάχα δὲ καὶ εἰς τὸ δοκεῖν ἀντι- 70
λέγειν ἡ ἐγγὺς καθαρότητος κατάστασις τῶν ποδῶν αὐτοῦ συνεβάλλετο.

VII. (6) Βασανιζόμενον δὲ τὸ ὑπὸ τοῦ Ἰησοῦ εἰρημένον τὸ »Ὁ 71
»λελουμένος οὐκ ἔχει χρείαν νίψασθαι, ἀλλ' ἔστιν καθαρὸς ὅλος· καὶ »ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες« τάχα ⟨ἂν⟩ ὑποβάλλοι νοῦν τοιοῦτον, ὡς ἤδη νιψαμένων τοὺς πόδας ὑπὸ τοῦ Ἰησοῦ τῶν μαθητῶν,

2 Joh. 13, 6f. — 23 *οὐκ ἀπὸ* — 26 *θεραπείας* Cat^{97}. — 32 Joh. 13, 10.

3 *τὸ*] *τῷ* We | 4 *γνώσῃ* a. Ras. | 7 *οὕτως*, corr. V | 11 *ὁράκασιν* | 12 *ἐφρόνει τε*] *φρονεῖται*, corr. We | 17 *τοῦ*] *τῶ*, corr. V | 20 *ἦν*] *τὴν*, corr. Hu | 23 *καὶ λεκτέον* — 25 *διακονούμενος* von Cat. verkürzt: *κατὰ τοὺς ἀρίστους ἰατροὺς* [Ven. 28: *ἀλλ' ὡς ἄριστος ἰατρός*]· *καὶ γὰρ ἐκεῖνοι* | 34 ⟨*ἂν*⟩ + Pr | *ὑποβάλλει οὖν*, corr. We.

Digitized by Google

καὶ πρὸς τῷ λελοῦσθαι οὐκέτι ἐχόντων χρείαν νίψασθαι, ἔτι δὲ καὶ αὐτοῦ τοῦ Πέτρου ἤδη ὄντος καθαροῦ, καὶ πρὶν νίψῃ τοὺς
72 πόδας αὐτοῦ ὁ Ἰησοῦς. ἐὰν δέ τις πρὸς ταῦτα ζητῇ τί δηποτοῦν εἰπών· »Ὁ λελουμένος οὐκ ἔχει χρείαν νίψασθαι, ἀλλ' ἔστι καθαρὸς
»ὅλος«, μὴ χρείαν ἐχόντων νίψασθαι τῶν μαθητῶν, νίπτει τοὺς 383H
πόδας αὐτῶν ὁ Ἰησοῦς, λεκτέον αὐτῷ τὸ »Παντὶ τῷ ἔχοντι δοθήσε-
73 »ται καὶ προστεθήσεται«. ἐπεὶ τοίνυν εἶχον καὶ οἱ μαθηταὶ τὸ εἶναι καθαροί, προστίθησιν Ἰησοῦς τῇ καθαρότητι αὐτῶν καὶ τὸ νίπτειν αὐτῶν τοὺς πόδας· οὔτε τοὺς μὴ λελουμένους νίψων ἂν οὔτε τοὺς μὴ ὅλους καθαρούς, ἀλλ' οὕτως ὥστ' ἂν εἰπεῖν περὶ τῶν οὕτως 10
καθαρῶν· κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ Ἰησοῦ. ἵν' οὕτως ὀνομάσω, καθαρότητος ἀπούσης, εἰς καθαρὸν οὐ λογισθή-
74 σεται. καὶ ταῦτα δὲ ὕστερον ἐκτίθεμαι, ὑποπεσόντα μετὰ τὸ ὑπαγορευθῆναι τὰ πρότερα, σωζόντων ἡμῶν καὶ τὴν τάξιν τῶν ὑπεισελθόντων νοῦν, ὡς πρότερον μὲν ἔβλεπεν ὑπωθέντας τοὺς πόδας 15
τῶν μαθητῶν δεδεῆσθαι τῆς ἀπὸ τοῦ Ἰησοῦ νίψεως, νῦν δ' ὅτι διὰ 415R
τοῦτ' αὐτῶν ἔνιψεν τοὺς πόδας, ἐπεὶ ἦσαν ὡς ἐν ἀνθρώποις καθα- 287
ροὶ ἀλλ' οὐχὶ καὶ παρὰ θεῷ· χωρὶς γὰρ Ἰησοῦ οὐδεὶς παρὰ θεῷ καθαρὸς γίνεται, κἂν πρὸ τούτου νομισθῇ διά τινος ἐπιμελείας αὐτὸν
75 καθαρὸν πεποιηκέναι. τοῖς δ' ὡς ἐν ἀνθρώποις καθαροῖς ἤδη γε- 20
γεννημένοις, καὶ λουσαμένοις τὸ τοῦ Ἰησοῦ βάπτισμα, καὶ νιψαμένοις ὑπ' αὐτοῦ τοὺς πόδας, ἐνοικεῖν καὶ τὸ ἅγιον δύναται πνεῦμα καὶ ἡ
76 ὡς ἔνδυμα ἐξ ὕψους δύναμις. ὁ μὲν οὖν Πέτρος μὴ θεωρῶν τὸν λόγον τοῦ βουλήματος Ἰησοῦ, ἀρξαμένου νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος, λέγει αὐτῷ· 25
»Κύριε, σύ μου νίπτεις τοὺς πόδας;« ἐπαπορητικῶς καὶ δυσωπητικῶς τοῦτο φάσκων· ὁ δὲ Ἰησοῦς »ἀπεκρίθη καὶ εἶπεν αὐτῷ«, διδάσκων ὅτι μυστήριον τοῦτο ἦν, τὸ »Ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι,
»γνώσῃ δὲ μετὰ ταῦτα«.

77 Τί δὲ ἦν ὃ ἐποίει νίπτων τοὺς πόδας τῶν μαθητῶν ὁ Ἰησοῦς; ἢ 30
εἰργάζετο διὰ τοῦ νίπτειν αὐτῶν τοὺς πόδας καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος ὡραίους αὐτούς, μελλόντων αὐτῶν εὐαγγελί-
78 σασθαι τὰ ἀγαθά; ὅτε γὰρ ἔνιψεν τοὺς πόδας τῶν μαθητῶν ὁ Ἰη-

3 *τί δήποτε* — **10** *καθαροὺς* Cat.^{97}. — **6** Matth. 25, 29. — **13** Vgl. u. c. 9, § 104 ff. — **24** Vgl. Joh. 13, 5. — **26** Joh. 13, 6. — **27** Joh. 13, 7. — **32** Vgl. Röm. 10, 15. (Jes. 52, 7.)

3 *οὖν*] *δὲ* Cat. | **5** *νίπτει*] *ἔνιψε* Cat. | **7** *προστεθήσεται* M, *περισσευθήσεται* Cat. Die LA von M singulär; vgl. Matth. 6, 33. Luk. 12, 31 | **8** *προστίθησιν*] + *ὁ* Cat. **10** *ὅλως* Cat. | **11** *Ἰησοῦ*] *σοῦ*, corr. Ferrarius | **15** *ἔβλεπεν*, corr. We | **19** *κἂν*] *καὶ*, corr. V | *τούτου*] *αὐτοῦ*, corr. We; vgl. 437, 26 | **23** *τὸν*] *ν* ü. d. Z.

Digitized by Google

σοῦς, τότε, οἶμαι, πεπλήρωται τὸ περὶ τῶν ἀποστόλων αὐτοῦ προφητικῶς εἰρημένον· »Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὰ »ἀγαθά«. εἰ δὲ πόδας μαθητῶν νίπτων ὡραίους αὐτοὺς ποιεῖ, τί 79
φήσομεν ἀπὸ τοῦ ἀληθινοῦ κάλλους ἐγγίνεσθαι τοῖς ὑπὸ Ἰησοῦ
5 βαπτισαμένοις ὅλοις ἐν πνεύματι ἁγίῳ καὶ πυρί; ὡραῖοι δὲ οἱ πόδες 80
384 H ἐγένοντο τῶν εὐαγγελιζομένων τὰ ἀγαθά, ἵνα νιψάμενοι καὶ καθηράμενοι καὶ ἐκμαξάμενοι ὑπὸ τῶν Χριστοῦ χειρῶν, ἐπιβῆναι δυνηθῶσιν τῆς ἁγίας ὁδοῦ καὶ ὁδεύειν τὸν εἰπόντα τὸ »Ἐγώ εἰμι ἡ
»ὁδός«. μόνος γὰρ καὶ πᾶς ὁ νιψάμενος τοὺς πόδας ἀπὸ τοῦ Ἰησοῦ 81
10 ὁδεύει τὴν ὁδὸν ταύτην τὴν ζῶσαν καὶ φέρουσαν πρὸς τὸν πατέρα, καὶ οὐ χωρεῖ ἡ ὁδὸς αὕτη πόδας μεμολυσμένους καὶ τοὺς ἔτι μὴ καθαρούς. Μωσῆς μὲν οὖν ἐδεῖτο ὑπολύσασθαι τὸ ὑπόδημα ἀπὸ 82
τῶν ποδῶν αὐτοῦ ἐπείπερ ἐφ' ὃν ἐφθάκει τόπον, ἐν ᾧ εἱστήκει, γῆ ἁγία ἦν· ὁμοίως δὲ ὁ τοῦ Ναυῆ Ἰησοῦς. οἱ δὲ μαθηταὶ τοῦ Ἰησοῦ, 83
15 ἵνα ὁδεύσωσιν τὴν ζῶσαν καὶ ἔμψυχον ὁδόν, οὐ μόνον ἀρκοῦνται τῷ μὴ ἔχειν ὑποδήματα κατὰ τὴν ὁδόν, τοῦτο τοῖς ἀποστόλοις αὐτοῦ ἐντειλαμένου τοῦ Ἰησοῦ, ἀλλὰ γὰρ ἔδει πρὸς τὸ ὁδεῦσαι τὴν ὁδὸν ταύτην αὐτοῖς καὶ τὸ νίψασθαι ὑπὸ τοῦ Ἰησοῦ ἀποθεμένου τὰ
416 R ἱμάτια. τάχα μὲν ἵνα καθαροὺς αὐτῶν τοὺς πόδας ποιήσῃ καθαρω-
20 τέρους, τάχα δὲ ἵνα τὸν ἐν τοῖς ποσὶ τῶν μαθητῶν ῥύπον ἀναλάβῃ εἰς τὸ ἑαυτοῦ σῶμα διὰ τοῦ λεντίου, ᾧ μόνῳ περιεζωσμένος ἦν. Αὐτὸς γὰρ τὰς ἀσθενείας ἡμῶν φέρει.

287 v VIII. Ὅρα γοῦν ὅτι μέλλων νίπτειν | τοὺς πόδας τῶν μαθητῶν 84
οὐκ ἄλλον καιρὸν ἐπελέξατο ἢ ὅτε ὁ διάβολος ἤδη βεβλήκει εἰς τὴν
25 καρδίαν, ἵνα παραδῷ αὐτὸν Ἰούδας Σίμωνος Ἰσκαριώτης, καὶ ἡ ὑπὲρ ἀνθρώπων ἔμελλεν γίνεσθαι οἰκονομία. πρὸ γὰρ τούτου εὐ- 85
καιρον οὐκ ἦν νίψασθαι τοὺς πόδας ὑπὸ τοῦ Ἰησοῦ τοὺς μαθητάς. τίς γὰρ ἂν τὸν ἐν τῷ μεταξὺ ἕως τοῦ πάθους ῥύπον τῶν ποδῶν αὐτῶν ἀπένιψεν ἄν; ἀλλ' οὐδὲ ἐν τῷ καιρῷ τοῦ πάθους· ἄλλος γὰρ
30 Ἰησοῦς οὐκ ἦν ὁ νίπτων αὐτῶν τοὺς πόδας. ἀλλ' οὐδὲ μετὰ τὴν 86
οἰκονομίαν· ἤδη γὰρ ὥρα τοῦ ἁγίου πνεύματος ἐπιδημήσαντος τοῖς μαθηταῖς ἦν, γενομένοις καθαροῖς καὶ νιψαμένοις τοὺς πόδας, καὶ ἤδη ἔχουσιν ἑτοίμους αὐτοὺς καὶ ὡραίους πρὸς τὸ ἐν τῷ πνεύματι εὐαγγελίζεσθαι τὰ ἀγαθά. τοιοῦτον οὖν ἐστιν τὸ »Ὃ ἐγὼ ποιῶ σὺ 87

2 Röm. 10, 15. (Jes. 52, 7.) — **5** Vgl. Matth. 3, 11. — **7** Vgl. o. S. 14, 5 ff. — **8** Joh. 14, 6. — **12** Vgl. Exod. 3, 5. — **14** Vgl. Jos. 5, 15. — **16** Vgl. Matth. 10, 10. — **21** Joh. 13, 4. — **22** Jes. 53, 4; vgl. Matth. 8, 17. — **24** Vgl. Joh. 13, 2. — **33** Vgl. Röm. 10, 15. (Jes. 52, 7). — **34** Joh. 13, 7.

7. 18 ἀπὸ | **11** χωρεῖ] εῖ a. Ras. | **13** ἱστήκει M | **19** αὐτοὺς, corr. V | **34** ἐστιν τὸ] viell. εἶπεν τῷ z. l.

Digitized by Google

»οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα«· σύμβολόν ἐστιν τὸ νίψασθαι ὑμῶν τοὺς πόδας ὑπ' ἐμοῦ τοῦ καθαρθῆναι τὰς βάσεις τῶν ψυχῶν ὑμῶν, ἵνα γένωνται ὡραῖοι, μελλόντων ὑμῶν εὐαγγελίζεσθαι τὰ ἀγαθὰ καὶ καθαροῖς τοῖς ποσὶν ἐπιβαίνειν ταῖς τῶν ἀνθρώπων
88 ψυχαῖς. τοῦτο δὲ τὸ μυστήριον σὺ νῦν μὲν οὐκ οἶδας, ἅτε μηδέπω χωρῶν τὴν γνῶσιν αὐτοῦ, εὐκαιρότερον ἐσομένην ἐν σοὶ ἐπὰν νίψῃ 385H
τοὺς πόδας ὑπ' ἐμοῦ· μετὰ δὲ ταῦτα γνώσει ἐν τῷ τοῦτο συνιέναι φωτιζόμενος τῇ περὶ οὐκ εὐκαταφρονήτου καὶ βραχέος τινὸς γνώσει.
89 ταῦτα δὲ λέγοντος τῷ Πέτρῳ τοῦ Ἰησοῦ, ὁ μαθητὴς ἀποκρίνεται οὐκ ἐπιστημονικὴν ἀπόκρισιν, πλὴν φαντασίαν ἐξαποστέλλουσαν τοῦ
90 πρὸς τὸν Ἰησοῦν τιμητικοῦ καὶ σεβασμίου, φαντασίαν διεψευσμένην ἔτι. διόπερ, ἐπεὶ μὴ συμφέρουσα ἦν τῷ Πέτρῳ ἡ ἀπόκρισις αὐτοῦ,
οὐκ ἐᾷ αὐτὴν γενέσθαι ἀληθῆ ὁ τὰ ἐπὶ βλάβῃ ἀληθευσόμενα τῇ τοῦ
91 λέγοντος πρεπόντως ἑαυτοῦ τῇ χρηστότητι κωλύων. ὁ μὲν γὰρ Πέτρος φησίν· »Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα« καὶ ἀπεφήνατο, κρίναντος τοῦ Ἰησοῦ νίπτειν αὐτοῦ τοὺς πόδας, τὸ μὴ νιφθήσεσθαι ὑπ' αὐτοῦ καὶ μὴ νιφθήσεσθαι εἰς τὸν ἅπαντα αἰῶνα· ὁ δὲ βλέπων λυσιτελέστερον εἶναι τὸ ἐν τούτῳ ψεύσασθαι τὸν Πέτρον τοῦ ἀληθεῦσαι αὐτὸν ὑποδείκνυσι τὸ ἐν τῷ μὴ δεῖν ἀληθεύειν
τοῦτο εἰρηκότα λυσιτελές, φήσας· »Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος 417R
92 »μετ' ἐμοῦ«. εἴπερ οὖν ὁ Πέτρος ἔμελλεν ἀποφηνάμενος μὲν τὸ »Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα«, καὶ ἀληθεύων ἐν τούτῳ μὴ ἕξειν μετὰ τοῦ Ἰησοῦ μέρος, ἔμελλεν δὲ ἔχειν μέρος μὴ ἀληθεύων, ἐφ' ᾧ φθάσας εἶπεν προπετῶς, τί ἄλλο πράττειν
93 ἐχρῆν ἢ μὴ ἀληθεύειν; ἵνα μὴ τὸ ἀληθεύειν τοῦτο ποιήσῃ αὐτὸν 288r
μὴ ἔχειν μετὰ τοῦ Ἰησοῦ μέρος, ψεύστην αὐτὸν ἀποδείξαντος ἐν τῷ
94 νίψασθαι τοὺς πόδας αὐτοῦ. γέγραπται γάρ· »Πᾶς ἄνθρωπος ψεύστης«· εὐκαίρως δέ ποτε χρησόμεθα τῷ ῥητῷ ἐπὶ τῶν προπετέστερον καὶ ἀκρίτως εἰπόντων τι ποιήσειν ὅπερ αὐτοῖς μὴ λυσιτελεῖ ἐμμέ-
95 νουσι τῷ κακῶς κεκριμένῳ. ὑποδεικνύντες γὰρ αὐτοῖς ὅτι οὐχ

1 *σύμβολον* — 5 *ψυχαῖς* Cat.[97]. — 3 Vgl. Röm. 10, 15. (Jes. 52, 7.) — 15 Joh. 13, 8. — 20 Joh. 13, 8. — 22 Joh. 13, 8. — 27 Ps. 115, 2. — 28 *εὐκαίρως* — S. 439, 10 *κριθέντι* Cat.[97].

2 *ὑμῶν* < Cat.I | *ὑπ' ἐμοῦ* < Cat.I | *τοῦ*] *τὸ* Cat.II | 3 *ψυχῶν ὑμῶν* M Cord., *ποδῶν* Cat.I | *γένωνται*] + *καθαροὶ καὶ* Cat.I | *μελλόντων* — 4 *ποσὶν*] *εἰς τὸ* Cat, *καὶ δυνηθεῖεν καθαροὶ* Cord. | 4 *τὰς . . ψυχὰς* Cord. | 7 *ἀπ'*, corr. Pr | 23 *μέρος*] ς a. Ras. | 24 *πρ[άττειν*] verblichen | 25 *ἵνα* nach V, das Wort ist in M völlig verblichen | *ποιή[σῃ*] verblichen; d. LA von V ist eingesetzt 28 *χρησόμεθά ποτε* Cat. | *ῥητῷ*] *οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα* Cat. | 29 *τι* Cat., < M | *ὅπερ* V Cat., *ὅσπερ* M | 30 *ὑποδεικνύντες* — S. 439, 4 *κεκριμένοις* < Cat.

Digitized by Google

ἔξουσιν μὲν μετὰ τοῦ Ἰησοῦ μέρος, τὴν προπετῆ ἐν ἐπαγγελείᾳ τηρήσαντες φωνήν, δυνήσονται δὲ ἀθετηθέντος τοῦ προειρημένου ἐλπίδα ἔχειν ἀγαθήν, ἀποστήσομεν αὐτοὺς τοῦ ἐμμένειν τοῖς κακῶς κεκριμένοις, κἂν μετὰ ὅρκου διὰ πολλὴν προπέτειαν τὸ τοιοῦτόν
5 ποτε γένηται. καὶ φήσομεν ὅτι ὥσπερ ὁ εἰπὼν Πέτρος· »Οὐ μὴ 96
»νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα«, κωλύεται ἐμμένειν τῇ τοῦ λελεγμένου ὁμολογίᾳ, ἵνα ἔχῃ μετὰ τοῦ Ἰησοῦ μέρος, οὕτως καὶ σὺ ὁ δεῖνα ἁμαρτὼν τὴν προπέτειαν καὶ ἀκρίτως ἐπαγγειλάμενος τόδε, βέλτιον ἂν ποιήσαις μεταθέμενος ἐπὶ τὸ τόδε πρᾶξαι εὐλογώτερον
10 ἀπὸ τοῦ ἐμμένειν τῷ κακῶς κριθέντι. ἐπιστήσαντες δὲ τῷ τε »Ὃ 97
386H »ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα«, καὶ τῷ »Ἐὰν »μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ«, οἱ μὴ βουλόμενοι τοῦτο καὶ τὰ τούτῳ παραπλήσια τροπολογεῖν αἰδεσθέντες παραδεξάσθωσαν τὸ τοιοῦτον εἶδος τῶν εὐαγγελικῶν ἐξετάσεων· ἢ μὴ βουλόμενοι
15 δεικνύτωσαν πῶς εὔλογόν ἐστιν τόν, ὃς ἂν ἐκεῖνοι λέγοιεν, διὰ σεβασμὸν τοῦ Ἰησοῦ εἰπόντα· »Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν »αἰῶνα« τῷ διδασκάλῳ ἀκοῦσαι ὡς ἄρα οὐκ ἔξει μέρος μετὰ τοῦ υἱοῦ τοῦ θεοῦ, ὡς διὰ μέγιστον ἁμάρτημα τὸ μὴ ⟨ἠθεληκέναι⟩ νενίφθαι τοὺς πόδας ὑπ' αὐτοῦ. τὸ μὲν γὰρ »ἐὰν τόδε τὸ πταῖσμα ποιήσεις, οὐχ 98
20 ἕξεις μέρος μετ' ἐμοῦ« χώραν ⟨ἂν⟩ εἶχε λεγόμενον περὶ τῶν προφανῶς ἁμαρτημάτων· τὸ δὲ »Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ« οὐδαμῶς ἔχει τὸ εὔλογον κατὰ τοῦ ἱσταμένου ἐν τῷ τοὺς σωματικοὺς πόδας μὴ ἠθεληκέναι νίψασθαι τὸν Πέτρον. νίπτοντος ⟨δὲ⟩ 99
αὐτοῦ τοὺς πόδας, ⟨ἀν⟩ημερώτατα [ἃ], ὅπερ οὐ θέμις λέγειν, ὁ δι-
25 δάσκαλος δόξει ἀποκεκρίσθαι τῷ τιμῶντι αὐτὸν μαθητῇ, ὅπερ ἐστὶν ἀτοπώτατον.

418R IX. Διὰ τοῦτο παρέχομεν τῷ Ἰησοῦ τοὺς πόδας ἡμῶν καὶ νῦν 100
ἐγειρομένῳ ἐκ τοῦ δείπνου, καὶ τιθέντι τὰ ἱμάτια καὶ λαμβάνοντι λέντιον καὶ διαζωννύντι ἑαυτόν, καὶ βάλλοντι ὕδωρ εἰς τὸν νιπτῆρα
288v καὶ ἀρχομένῳ νίπτειν τοὺς πόδας ἡμῶν, ὡς μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ, ᾧ δι' ἡμᾶς γενόμενος ἐν μέσῳ ἡμῶν ὡς ὁ διακονῶν διαζώννυται. ἐὰν γὰρ μὴ ποιήσωμεν τοῦτο, οὐχ ἕξομεν μετ' 101
αὐτοῦ μέρος οὐδὲ ὡραῖοι ἔσονται οἱ πόδες ἡμῶν, καὶ μάλιστα ὅτε

5 Joh. 13, 8. — **10** Joh. 13, 7. — **11** Joh. 13, 8. — **16** Joh. 13, 8. — **31** Vgl. Luk. 22, 27. — **33** Vgl. Röm. 10, 15.

5 *γίγνεται* M, corr. Cat. | *ὅτι* < Cat. | **6** *νίψοις*, corr. V | *μου* ü. d. Z. | *κωλύεται*] + δὲ Cat. | **7** *λεγομένου* Cat. | *μέρος μετὰ Ἰησοῦ* Cat. | **8** *ἁμαρτὼν τ. π. καὶ* < Cat. | *ἁμαρτὼν*] + διὰ V | *ἀκατακρίτως* Cat. | *τόδε*] *τὸ* Cat. | **9** *ποιησαι*, corr. V; *ποιήσεις* Cat. | *τόδε πράξαι*] *ἐν πράξει* Cat. | **15** *λέγοιεν*] *λέγοιεἰ*, corr. V | **18** *ἠθεληκέναι*⟩ + We | **20** ⟨*ἂν*⟩ + Pr | **23** *δὲ*⟩ + Br | **24** *ἀν ημερώτατα*] *ἡμερώτατα*, corr. Pr, *ἡλιθιώτατα* Br | [ἃ] als Dittogr. zu str. | **31** *ἐμμέσω*.

Digitized by Google

ζηλοῦντες τὰ μείζονα χαρίσματα θέλομεν ἐγκαταταχθῆναι τοῖς
102 εὐαγγελιζομένοις τὰ ἀγαθά. πλὴν ὅτι προπετὴς ἐστι Πέτρος ἀκούσας
τὸ »Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ« αἰτούμενος ἐν τῷ
παρασχεῖν τοὺς πόδας τῷ Ἰησοῦ, ὑπερβάλλειν ἐθέλει τὰ μέτρα τῆς
αἰτήσεως αὐτοῦ, καὶ παρεῖχεν νιφθησομένους ὑπὸ τοῦ Ἰησοῦ οὐκέτι
τοὺς πόδας μόνους, ἀλλ' ἤδη καὶ τὰς χεῖρας, ἃς οὐκέτι νίπτεσθαι
ὁ Ἰησοῦς ἤθελεν, ὅταν ἄρτον ἐσθίωσιν, καταφρονῶν τῶν λεγο-
μένων ὅτι »Οἱ μαθηταί σου οὐ νίπτονται τὰς χεῖρας, ὅταν ἄρτον
»ἐσθίωσιν«, καὶ πρὸς ταῖς χερσὶν τὴν κεφαλήν, ἣν οὐδὲ καταχα-
λύπτεσθαι ἔτι Ἰησοῦς ἐβούλετο, ἐφ' ἧς ἡ εἰκὼν καὶ ἡ δόξα ἤδη ἦν
103 τοῦ θεοῦ. ἀρκεῖται γὰρ ἡμῖν, ἐπὰν ἔλθωμεν εἰς ταὐτὸ τοῖς τοῦ
Ἰησοῦ μαθηταῖς καιροῦ, τὸ τοὺς πόδας αὐτῷ παρέχειν νίψοντι
καὶ ἐκμάσσοντι μόνους· »Ὁ γὰρ λελουμένος οὐκ ἔχει χρείαν νίψασθαι,
»ἀλλ' ἔστιν καθαρὸς ὅλος«· εἰ δέ τις μὴ ἐστιν ὅλος καθαρός, οὐκ
ἐλούσατο.

104 Ζητήσαι δέ τις ἄν, εἰ ὁ λελουμένος οὐκ ἔχει χρείαν νίψασθαι
ἀλλ' ἔστιν καθαρός, καὶ ἦσαν οἱ τοῦ Ἰησοῦ μαθηταὶ καθαροί, ὡς 357 E
λελουμένοι, πῶς βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο νίπτειν
105 τοὺς πόδας τῶν μαθητῶν ὁ Ἰησοῦς; εἰς τοῦτο δὲ καὶ προλαβόντες
106 μὲν ἐκ μέρους εἰρήκαμεν καὶ νῦν ἐκείνοις ταῦτα προσθήσομεν. τὸ
»Χρείαν ἔχομεν« ἐπὶ τῶν ἀναγκαίων, ὧν ἄνευ διαζῆν τις οὐ δύναται,
τέτακται· ὥστ' ἂν ἐν σωματικοῖς εἰπεῖν χρείαν ἔχειν τὸν ἄνθρωπον
οὐ πλειόνων, ἀλλὰ τούτων μόνων, περὶ ὧν φησιν ὁ Παῦλος·
»Ἔχοντες δὲ διατροφὴν καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα«·
τὰ δὲ εἰς πλοῦτον καὶ τρυφὴν συμβαλλόμενα ἐκ περιουσίας τοῖς
ἁβροδιαίτοις περιγίνεται, οὐχ ὡς χρειώδη καὶ ὧν οὐκ ἄνευ, ἀλλ'
ὡς περισσά· οὕτω τοίνυν καὶ ἐπὶ τῶν θειοτέρων χρεία μὲν ἡμῖν
τῶν εἰσαγόντων εἰς ζωὴν καὶ ποιούντων εἶναι ἐν τῷ λέγοντι·
»Ἐγώ εἰμι ἡ ζωή«· τὰ δὲ ὑπὲρ ταῦτα, περὶ ὧν λέγεται· »Κατατρύ- 419 B
»φησον τοῦ κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου«,
καὶ ὅσα νοεῖται κατὰ τὸν παράδεισον τῆς τρυφῆς καὶ τὸν πλοῦτον
καὶ τὴν δόξαν, τὰ ἐν τῇ ἀριστερᾷ τῆς σοφίας, κατὰ τὸν εἰπόντα·
»Μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ

1 Vgl. 1 Kor. 12. 31. — **3** Joh. 13, 8. — **8** Matth. 15, 2. — **9** Vgl. 1 Kor. 11, 7. — **13** Joh. 13, 10. — **17** Vgl. Joh. 13, 5. — **19** Vgl. o. c. 7. — **24** 1 Tim. 6, 8. — **29** Joh. 11, 25. — Ps. 36, 4. — **33** Prov. 3, 16.

2 ὅτε, corr. We | **11** ταὐτὸ] τοῦτο, corr. Br | **12** τὸ] τοῦ, corr. Pr | **21** δια[ζῆν] verblichen | **24** διατροφὴν mit DFGKP Cypr. Novat. | **26** ἄνευ] + ζῆν δύναται V; der Zusatz ist aber gegen d. Sprachgebrauch d. Origenes | **27** περισσά] σσ a. Ras.

Digitized by Google

»αὐτῆς πλοῦτος καὶ δόξα« ὑπὲρ τὴν χρείαν εἶναι λεχθείη ἄν. καὶ 107
μήποτε τοιοῦτόν ἐστιν τὸ μετὰ τὸ λούσασθαι νίψασθαι τοὺς πόδας
ὑπὸ τοῦ τηλικούτου διδασκάλου καὶ σωτῆρος· τὸ γὰρ χάρισμα τοῦ
θεοῦ ὑπερπαίει τὴν χρείαν, ὥσπερ καὶ τὸ εἶναι ἐν δόξῃ ἡλίου ἢ
289r σελήνης ἢ ἀστέρων ἐν τῇ ἱερᾷ τῶν νεκρῶν ἀναστάσει. οὐκ ἔχει 108
μὲν ⟨οὖν⟩ χρείαν ὁ καθαρὸς καὶ λουσάμενος νίψασθαι· νίπτεται δέ,
κατὰ τὸ προαποδεδομένον, ἐπεὶ »Τῷ ἔχοντι παντὶ προστεθήσεται;«
καὶ ὡς ὁ Ἰωάννης φησί· »Καὶ ὁ καθαρὸς καθαρισθήτω ἔτι, καὶ ὁ
»ἅγιος ἁγιασθήτω«. τὸ δὲ »Ὑμεῖς καθαροί ἐστε« ἀναφέρεται ἐπὶ 109
10 τοὺς ἕνδεκα, ᾧ ἐπιφέρεται τὸ »Οὐχὶ πάντες« διὰ τὸν Ἰσκαριώτην·
ἤδει γὰρ τὸν παραδιδόντα αὐτόν, ἤδη ὄντα οὐ καθαρόν, πρῶτον
μὲν ὅτι περὶ τῶν πτωχῶν οὐκ ἔμελεν αὐτῷ, ἀλλ᾽ ὅτι κλέπτης ἦν,
καὶ τὸ γλωσσόκομον ἔχων τὰ βαλλόμενα ἐβάσταζεν· ὕστερον δὲ ἐπεὶ
»Δείπνου γινομένου, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν
15 »ἵνα παραδῷ αὐτὸν Ἰούδας Σίμωνος Ἰσκαριώτης«, οὐκ ἀπώσατο
τὸ βεβλημένον. διόπερ οἱ μὲν λουσάμενοι καθαροὶ ἕνδεκα ἔτι ἐγέ- 110
νοντο καθαρώτεροι, νιψάμενοι τοὺς πόδας ὑπὸ τοῦ Ἰησοῦ· ὁ δὲ
ἤδη μὴ καθαρὸς Ἰούδας (»Ὁ ῥυπαρός, γάρ φησι, ῥυπανθήτω ἔτι«)
γέγονε ῥυπαρώτερος καὶ ἀκάθαρτος, ὅτε μετὰ τὸ ψωμίον εἰσῆλθεν
20 ὁ Σατανᾶς.

388H **XIII, 12.** *Ὅτε οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν καὶ ἔλαβεν τὰ*
ἱμάτια αὐτοῦ καὶ ἀνέπεσεν πάλιν, εἶπεν αὐτοῖς· Γινώσκετε τί
πεποίηκα ὑμῖν· **13** † *φωνεῖτέ με Ὁ διδάσκαλος καὶ Ὁ κύ-*
ριος· καλῶς λέγετε· εἰμὶ γάρ. **14** *εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς*
25 *πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων*
νίπτειν τοὺς πόδας· **15** *ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς*
ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε.

X. (7) *Εἰκὸς τοὺς νοήσαντας τὸ μέγεθος τῆς Ἰησοῦ δυνάμεως* 111
καὶ συνέντας τί πεποίηκεν νίψας τοὺς πόδας τῶν μαθητῶν, ἵνα καὶ
30 *τὰ τελευταῖα καὶ τὰ τυχόντα αὐτῶν καθάρῃ ἀποπλύνας καὶ τὰ τῇ*

4 Vgl. I Kor. 15, 41f. — **6** Vgl. S. 436, 3ff. — **7** Matth. 25, 29. — **8** Apok. 22, 11. — **9** Joh. 13, 10. — **12** Vgl. Joh. 12, 6. — **14** Joh. 13, 2. — **18** Apok. 22, 11. — **19** Vgl. Joh. 13, 27.

6 ⟨οὖν⟩ + V | **7** παντὶ] + δοθήσεται καὶ V; vgl. S. 436, 7 | προστεθήσεται vgl. o. z. S. 436, 7 | **8** ὁ καθαρὸς καθαρισθήτω ἔτι ist singulär; doch kommen auch sonst Zusätze in diesem Verse vor | **11** ἤδη] ἤδει V | **23** ὑμῖν] + ὑμεῖς V mit T; der Ausfall ist wohl nur durch das vorhergehende ὑμῖν verschuldet; denn Origenes liest u. S. 442, 13. 443, 20 ὑμεῖς.

Digitized by Google

γῇ ὁμιλοῦντα σώματα, ὧν ἦν τὰ σώματα ἐκεῖνα σύμβολον, θαυμάσαντας τὸ ἐν τῇ νίψει ἔργον οὐκ ἂν τολμῆσαι καὶ αὐτοὺς τὸ τηλικοῦτο πρᾶξαι, μικροτέρους εἶναι νομίζοντας ἑαυτοὺς τοῦ νίπτειν τοὺς πόδας τοῦ ἔσω καὶ ἐν κρυπτῷ ἀνθρώπου, [ἢ] τῶν τὰ αὐτὰ
112 ἀσπαζομένων τοῦ θεοῦ δόγματα, εἰ μὴ ὁ Ἰησοῦς διὰ τῶν ἐκκειμένων 420R
ἐπὶ τοῦτο αὐτοὺς προετρέψατο, τὸ σχῆμα τοῦ δειπνοῦντος, ὅτε διδάσκειν αὐτοὺς ἤμελλεν δειπνήσαντας τὰ λεγόμενα, ἀναλαβών.
113 δυσωπητικώτατα μὲν γὰρ καὶ ἐπὶ τὴν γνῶσιν τοῦ γινομένου προτρεπτικώτατα λέλεκται τὸ »Γινώσκετε τί πεποίηκα ὑμῖν;« ὅπερ ἤτοι ἐρωτηματικῶς ἀναγνωστέον, ἵν' ἐμφαίνῃ τὸ τοῦ γενομένου μέγεθος· ἢ προστακτικῶς, ἵνα αὐτῶν διεγείρῃ τὸν νοῦν εἰς τὸ διὰ
114 τοῦ ἐπιστῆσαι τῷ ἔργῳ λαβεῖν αὐτοῦ τὴν γνῶσιν. διδασκαλικώτατα δὲ μετὰ τοῦ δυσωπητικοῦ λέλεκται τὸ »Ὑμεῖς φωνεῖτέ με ›Ὁ διδάσκαλος‹ »καὶ ›Ὁ κύριος‹, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα »ὑμῶν τοὺς πόδας | ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε 259
115 »ἀλλήλων νίπτειν τοὺς πόδας«. ὁ μὲν οὖν Ἰησοῦς ἔνιψεν τοὺς πόδας τῶν μαθητῶν, ᾗ διδάσκαλος αὐτῶν, καὶ τοὺς πόδας τῶν
116 δούλων, ᾗ κύριος ἦν. διδασκαλίᾳ γὰρ ὁ ἀπὸ γῆς καὶ τῶν κοσμικῶν πραγμάτων κονιορτός, φθάνων οὐκ ἐπὶ ἄλλο τι ἢ ἐπὶ τὰ τελευταῖα καὶ τὰ κάτω τῶν μαθητῶν, ἀποκαθαίρεται· ἀλλὰ καὶ τῇ κυριότητι τοῦ ἄρχοντος, ἐξουσιάζοντος τῶν διὰ τὸ ἔτι ἔχειν τὸ τῆς δουλείας πνεῦμα κἂν τὸν τυχόντα μολυσμὸν ἔτι δεχομένων, τὰ μολύνοντα
117 τοὺς πόδας ἀποβάλλεται. καὶ οὐκ ἄν τις εὖ φρονῶν λέγοι ᾗ θύρα ἐστὶν τὸν Ἰησοῦν, ᾗ ᾗ ποιμήν, ᾗ ᾗ ἰατρός, νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ δούλων. ἐγὼ δ' ἡγοῦμαι ὅτι ἐπιδέχονται τὸ δεῖσθαι τῆς ἀπὸ τοῦ διδασκάλου νίψεως οἱ πόδες τῶν μαθητῶν, ὅσον οὐδέπω εἰλήφασιν τὸ ἀρκετόν, ἀλλ' ἔτι λείπουσιν εἰς τὸ »Ἀρκετὸν τῷ 389S
118 »μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ«. καὶ τοῦτο τέλος ἐστὶν τὸ πρὸς τὸν μαθητὴν τοῦ διδασκάλου, ᾗ διδάσκαλος, ποιῆσαι τὸν μαθητὴν ὡς ἑαυτόν, ἵνα μηκέτι δέηται τοῦ διδασκάλου, ᾗ διδά-
119 σκαλος, εἰ καὶ ἄλλως αὐτοῦ δεήσεται. ὡς γὰρ τέλος τοῦ ἰατροῦ, οὗ χρῄζουσι μὲν οἱ κακῶς ἔχοντες, οὐ χρείαν δὲ ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, τὸ παῦσαι τοὺς κακῶς ἔχοντας ἀπὸ τοῦ κακῶς ἔχειν, ἵνα μηκέτι αὐτοῦ χρῄζωσιν, οὕτω τέλος διδασκάλου περιποιῆσαι τῷ μαθητῇ τὸ λεγόμενον ἀρκετὸν ἐν τῷ »Ἀρκετὸν τῷ μαθητῇ, ἵνα γέ-
120 νηται ὡς ὁ διδάσκαλος αὐτοῦ«. περὶ δὲ τοῦ σωτῆρος, ὄντος κυρίου.

4 Vgl. Röm. 7, 22; 2, 29. — **9** Joh. 13, 12. — **13** Joh. 13, 13f. — **21** Vgl. Röm. 8, 15. — **27** Matth. 10, 25. — **31** Vgl. Matth. 9, 12. — **35** Matth. 10, 25.

1 σώματα z. str.? We | **4** ἀνθρώπω (ᾱνω), corr. V | ἢ str. We | **10** ἐμφηνῇ, corr. V | **21** δουλείας] δ a. Ras.

Digitized by Google

αὐτόθεν πλεῖόν ἐστιν ἰδεῖν παρὰ τοὺς ἄλλους κυρίους, μὴ βουλο-
μένους ἵνα γένηται ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ. τοιοῦτος δὲ ὁ τῆς 121
421 R πατρικῆς ἀγαθότητος καὶ τῆς ἀγάπης αὐτοῦ υἱός· κύριος γὰρ ὢν
ἐνειργάζετο τοῖς δούλοις τὸ γενέσθαι ὡς ὁ κύριος αὐτῶν, ὅτε οὐκ-
ἔτι ἔξουσιν τὸ πνεῦμα τῆς δουλείας πάλιν εἰς φόβον, ἀλλὰ λήψον-
ται τὸ πνεῦμα τῆς υἱοθεσίας, ἐν ᾧ κράζουσιν· »Ἀββᾶ, ὁ πατήρ«.
πρὶν οὖν γένωνται ὡς ὁ διδάσκαλος καὶ ὁ κύριος, δέονται τῆς 122
νίψεως τῶν ποδῶν, ὡς ἐνδεεῖς τῶν μαθητῶν, καὶ ὡς ἔτι τὸ
πνεῦμα τῆς δουλείας ἔχοντες εἰς φόβον· ἐπὰν δέ τις αὐτῶν κατὰ τὸ
»Ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ ὁ
»δοῦλος ὡς ὁ κύριος αὐτοῦ« γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ καὶ ὁ
κύριος αὐτοῦ, τότε μιμήσασθαι δύναται τὸν νίψαντα τοὺς πόδας
τῶν μαθητῶν, καὶ νίψαι τοὺς πόδας τῶν μαθητῶν ὡς ὁ διδάσκαλος,
ὃν ὁ θεὸς ἔταξεν ἐν τῇ ἐκκλησίᾳ μετὰ τοὺς πρώτην χώραν ἐν αὐτῇ
εἰληχότας ἀποστόλους καὶ δεύτερον προφήτας.

XI. Εἰ δὲ τὸ »Τῷ ἀδελφῷ σου δουλεύσεις« φθάνειν δύναται 123
ἐπὶ τοὺς ὑποδεεστέρους, καὶ τὸ »Ἴνου κύριος τοῦ ἀδελφοῦ σου«
290 r ἐπὶ τοὺς ὡς ὁ Ἰακὼβ κρείττονας, δῆλον ὅτι γενόμενος ὁ δοῦλος
ὡς ὁ κύριος νίπτει τοὺς πόδας τῶν δουλευόντων τῇ παρ' αὐτῷ
διδασκαλίᾳ, ἐπεὶ τὸ »Ὑμεῖς φωνεῖτέ με ›Ὁ διδάσκαλος‹ καὶ ›Ὁ κύριος‹.
»καὶ καλῶς λέγετε· εἰμὶ γάρ« οὐκ ἀξιῶ μηδὲν ἔχειν βαθύτερον καὶ
παρὰ τὸ ὑπὸ τῶν πολλῶν νενοημένον· οὐ πᾶσι γὰρ τοῖς λέγουσι·
»Κύριε, Κύριε« λεχθήσεται ὑπὸ τοῦ Ἰησοῦ τὸ »Ὑμεῖς φωνεῖτέ με
›Ὁ κύριος‹ καὶ καλῶς λέγετε«. οὐ καλῶς οὖν λέγουσι· »Κύριε« οἱ 124
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ φήσοντες· »Κύριε, Κύριε, οὐκ ἐν τῷ ὀνόματί
390 H »σου ἐφάγομεν, καὶ ἐν τῷ ὀνόματί σου ἐπίομεν, καὶ ἐν τῷ ὀνόματί
»σου δαιμόνια ἐξεβάλομεν καὶ δυνάμεις πεποιήκαμεν;« φήσει γοῦν 125
αὐτοῖς ὁ Ἰησοῦς· »Ἀποχωρεῖτε ἀπ' ἐμοῦ· οὐδέποτε ἔγνων ὑμᾶς, ὅτι
»ἐργάται ἐστὲ ἀδικίας«· οὐκ ἂν δὲ λέγουσιν αὐτοῖς καλῶς τὸ »Κύριε,
»Κύριε« εἶπεν τὸ »Ἀποχωρεῖτε ἀπ' ἐμοῦ«, ἀλλὰ καὶ ⟨τὸ⟩ »Οὐ πᾶς ὁ 126
»λέγων μοι· Κύριε, κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρα-
»νῶν« παρίστησιν ὅτι οὐ πᾶς ὁ λέγων· »Κύριε, κύριε«, μαρτυρηθείη

5 Vgl. Röm. 8, 15. — **10** Matth. 10, 25. — **14** Vgl. I Kor. 12, 28. — **16** Gen. 27, 40. — **17** Gen. 27, 29. — **20** Joh. 13, 13. — **23** Joh. 13, 13. — **25** Matth. 7, 22; Luk. 13, 26. — **28** Matth. 7, 23; Luk. 13, 27. — **29** Matth. 7, 23. — **30** Matth. 7, 21.

2 ὁ δοῦλος] ὡς ὁ διδάσκαλος, corr. Br | **4** ἐνηργάζετο | **22** νενομισμένον V | **25** d. Form des Citates stimmt einigermassen mit Syr. Cur. Justin, Apol. I, 16. Dial. 76 [vgl. Preuschen, Antilegomena S. 29, 14ff.] | **27** φησί, corr. Ausgg. | **28** Das Citat stimmt ebenfalls nicht mit unseren Texten; vgl. II Clem. 4, 5 [Preuschen, Antilegomena S. 20, 30] | **30** τὸ + V | **31** μοι ü. d. Z.

Digitized by Google

ἂν ὑπ᾽ αὐτοῦ ὡς νῦν οἱ ἀπόστολοι, πρὸς οὓς εἶπεν· »Καλῶς λέγετε·
127 »εἰμὶ γάρ«. καὶ γὰρ ἀληθῶς κακία μὲν αὐτῶν οὐκέτι κυρία ἦν. ὁ
λόγος δέ, καὶ ἁπαξαπλῶς ὁ κύριος, ἡ πᾶσα ἔμψυχος καὶ ζῶσα ἀρετή.
128 ἀλλὰ καὶ εἴπερ »Οὐδεὶς δύναται εἰπεῖν· Κύριος Ἰησοῦς, εἰ μὴ ἐν
»πνεύματι ἁγίῳ«, καὶ νοοῦμεν ἐν τούτῳ τί ἐστιν τὸ εἰπεῖν· »Κύριος
»Ἰησοῦς«· ὁ ἐν πνεύματι ἁγίῳ λέγων· »Κύριος Ἰησοῦς« καλῶς λέγει.
129 εἰ δὲ καὶ ὁ καλῶς λέγων πάντως ἐν πνεύματι ἁγίῳ λέγει, ζητή-
σεις διὰ τὸ νῦν »Καὶ καλῶς λέγετε« συνεξεταζόμενον τῷ »Οὔπω γὰρ
130 »ἦν πνεῦμα, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη«. γνησίως οὖν δουλεύοντος
τῷ λόγῳ ἔργον ἐστὶν τὸ καλῶς εἰπεῖν· »Κύριος Ἰησοῦς« καὶ τοῦ
ἀνάλογον τούτῳ μαθητοῦ τὸ καλῶς εἰπεῖν τῷ σωτῆρι τὸ »ὁ διδά-
»σκαλος«· πρὸς ὃν λέγοιτ᾽ ἂν τὸ »Εἰμὶ γάρ«, οὐκ ἂν λεχθησόμενον
ὑπὸ τοῦ λόγου τῷ δουλεύοντι τῇ ἁμαρτίᾳ καὶ τῷ μαθητευομένῳ
τοῖς ψεύδεσιν.

131 XII. Πλὴν καὶ ἅγιον ὄντα ἐνδέχεται δεῖσθαι τῆς νίψεως τῶν
ποδῶν, ἐπεὶ καὶ ἡ καταλεγομένη εἰς ἐκκλησιαστικὴν τιμὴν χήρα
ἐξετάζεται μετὰ τῶν ἄλλων καλῶν καὶ ἐν τῷ »Εἰ ἁγίων πόδας
»ἔνιψεν«· γελοῖον γὰρ οἶμαι τυγχάνειν τὸ στῆναι ἐπὶ τοῦ ῥητοῦ καί,
φέρε εἰπεῖν, τὴν ἔχουσαν πάντα τὰ χαρακτηρίζοντα τὴν ἁγίαν χήραν
καὶ τούτῳ μόνῳ λείπουσαν, μὴ κατατετάχθαι εἰς ἐκκλησιαστικὴν
τιμήν, πολλάκις διὰ παιδισκῶν καὶ οἰκετῶν φιλοφρονησαμένην, ἐν
ᾧ καιρῷ ηὐπόρει καὶ εἶχεν τὰ ἐπιτήδεια, τοὺς ξένους ἢ τοὺς ἁπ-
αξαπλῶς δεομένους τοῦ φιλάνθρωπόν τι ἔργον ἀπ᾽ αὐτῆς παθεῖν.
132 καὶ μὴ θαυμάσῃς εἰ ἀνάγειν σε δεῖ τὸ »Εἰ ἁγίων πόδας ἔνιψεν«,
ὅπου κελεύονται ἀνάλογον τοῖς πρεσβυτέροις πρεσβύτιδες εἶναι καὶ
133 καλοδιδάσκαλοι. ὅρα δὲ εἰ μὴ καὶ ἐργῶδές ἐστιν τὸ πάνθ᾽ ὁντινοῦν
μαθητευόμενον τῷ χριστῷ, θέλοντα πληροῦν τὴν λέγουσαν ἐντολήν·
»Καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας«, ὡς ὀφειλόμενον
ἔργον ἐθέλειν ποιεῖν τὸ νίψαι τοὺς σωματικοὺς καὶ αἰσθητοὺς πόδας
τῶν ἀδελφῶν, ὥστε τοὺς ἐν ὁποιαποτοῦν ὑποθέσει βίου τυγχά-
νοντας πιστοὺς τοῦτο ποιεῖν, εἴτε ἐν ἐκκλησιαστικῇ δοκοῦντας εἶναι
ὑπεροχῇ ἐπισκόπους καὶ πρεσβυτέρους, εἴτε καὶ ἐν ἄλλοις κοσμικοῖς
τισιν ἀξιώμασιν· ὥστε κατὰ τοῦτο καὶ τὸν δεσπότην ἥκειν ἐπὶ τὸ
νίπτειν τοὺς πόδας τοῦ πιστεύοντος δούλου, καὶ τοὺς γονεῖς τοῦ
υἱοῦ· ὅπερ ἔθος ἢ οὐ γίνεται ἢ εἰς ὑπερβολὴν σπανιώτατα, καὶ παρὰ

1 Joh. 13, 13. — 4 I Kor. 12, 3. — 8 Joh. 7, 39. — 17 I Tim. 5, 10. — 24 I Tim. 5, 10. — 25 Vgl. Tit. 2, 3. — 28 Joh. 13, 14.

8 τῷ] τὸ, corr. Ausgg. | 16 χήρα] ηρ a. Ras. | 17 ἐξετάζετε, corr. V | 21 φιλοφρονησαμένη, corr. Ausgg. | 22 εὐπορει, ευ a. Ras. | 25 κελεύονται nach V; M ist stark beschädigt; | πρεσβυτέροις — καὶ nur noch z. T. lesbar | 30 ποιαποτοῦν, corr. V.

Digitized by Google

23R τοῖς πάνυ ἁπλουστέροις καὶ ἀγροικοτέροις γίνεται. μνημονευτέον 134
δὲ εἰς ταῦτα καὶ τῶν εἰρημένων εἰς τὸ »Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις
»μέρος μετ' ἐμοῦ«, ἀλλὰ καὶ τοῦ »Γινώσκετε, τί πεποίηκα ὑμῖν;« καὶ 135
γὰρ πρέπει ὑπόδειγμα ἡμῖν τὸν Ἰησοῦν δεδωκέναι τοῦ νίπτειν πόδας
ἀνάλογον τοῖς τροπικῶς ὑπὸ τῆς νύμφης ἐν τῷ ᾄσματι τῶν ᾀσμά-
των εἰρημένοις ἐν τῷ »Ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ
»αὐτούς;« πρόσχες δὲ τῷ »Ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν καὶ ὑμεῖς 136
»ποιῆτε« συνεξετάζων αὐτὸ τῷ »Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος
»μετ' ἐμοῦ«. ἐὰν δέ τις πρὸς ταῦτα λέγῃ, ὅτι κἂν ἀλληγορῆται, 137
οὐδὲν ἧττον γέγονε καὶ κατὰ τὸ ῥητόν, ἀκουστέον μετὰ τοῦ τροπικοῦ
καὶ τῆς φασκούσης λέξεως· »Εἰ οὖν * ἔνιψα τοὺς πόδας ὑμῶν, ὁ
»κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς
»πόδας. ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν
»καὶ ὑμεῖς ποιῆτε«· λεκτέον πρὸς τὸν τοιοῦτον· ἆρ' ἐπεὶ κατὰ τὸ
ῥητὸν γέγονεν τὸ εἰρημένον πρὸς τὸν εἰπόντα Πέτρον· »Οὐ μὴ
»νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα« τὸ »Ἐὰν μὴ νίψω σε, οὐκ
»ἔχεις μέρος μετ' ἐμοῦ«· καὶ ἡμεῖς κατὰ τὸ ῥητὸν τοῖς κατ' εὐλά-
βειαν μὴ ἐμπαρέχουσιν ἑαυτῶν τοὺς πόδας ἡμῖν ἵνα αὐτοὺς νίψωμεν
φήσομεν καὶ τολμήσομεν εἰπεῖν τοῖς τοιούτοις τὸ »Ἐὰν μὴ νίψω
»σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ«. εἰ δὲ ἐνταῦθα οὐ δυσωπεῖ τὸ ὃ 138
εἶπον, ἐπίσκεψαι τί σε χρὴ λέγειν πρὸς τὴν περὶ τοῦ εἰ χρὴ καὶ τὴν
λέξιν πάντως τηρεῖν ἐπαπόρησιν. ὅτι μὲν οὖν ποτε καθήξει τῷδε 139
μὲν νίψαι τοὺς πόδας τοῦ δεῖνα μαθητοῦ Ἰησοῦ, τῷδε ⟨δὲ⟩ ἐμπαρασχεῖν
αὐτοὺς νιφθησομένους ὑπ' αὐτοῦ, ὡς ἀπὸ ἀγάπης καὶ φιλοφροσύνης
τὸν μὲν ποιῆσαι, τὸν δὲ παρασχεῖν, καὶ αὐτὸς ἂν ὁμολογήσαιμι. εἰ 140
δὲ φήσομεν ἕκαστον τῶν μὴ συνειδότων ἑαυτῷ τοῦτο πεποιηκέναι
καὶ ἁγίων οὕτω τοὺς πόδας νενιφέναι ὀφειλομένην τινὰ ἐντολὴν
μὴ ἀποδεδωκέναι τὴν »Ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας«
ὥρα που λέγειν, ἐγγύς που πάντας ὀφειλέτας εἶναι τῆς ἐντολῆς
ταύτης.

2 Joh. 13, 8. — **3** Joh. 13, 12. — **6** Hohel. 5, 3. — **7** Joh. 13, 15. — **8** Joh. 13, 8. — **11** Joh. 13, 14f. — **15** Joh. 13, 8. — **16** Joh. 13, 12. — **19** Joh. 13, 8. — **28** Joh. 13, 14.

8 αὐτῷ τὸ V | **10** γέγονε καὶ] γεγονέναι, corr. We | ῥητόν, ⟨εἰ μὴ⟩? We | **11** οὖν] + ἐγὼ V mit T u. o. S. 441, 24. 442, 14 u. ö. | **21** χρὴ λέγειν in M. unleserlich | χρὴ²] χρὴν M, ἐχρῆν V | **23** δὲ] + We.

Digitized by Google

XIII, 16. *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστιν | δοῦλος μει-*
ζων τοῦ κυρίου † ἑαυτοῦ οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος
αὐτόν. **17** *εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά.*
18 *οὐ περὶ πάντων ὑμῶν λέγω· ἐγὼ οἶδα τίνας ἐξελεξάμην·*
*ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ· Ὁ τρώγων * * τὸν ἄρτον, ἐπῆρεν*
ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ.

141 XIII. (8) Ἔτι καὶ ταῦτα ἔχεσθαί μοι δοκεῖ τοῦ δεῖν τὰ περὶ
τῆς τῶν ποδῶν νίψεως τροπολογεῖν· τὸ γὰρ »Εἰ ταῦτα οἴδατε,
»μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά« οὐδενὸς ποιητέου προειρημένου ἢ
142 περὶ τῆς νίψεως τῶν ποδῶν, ἐπ' ἐκείνην τὴν ἀναφορὰν ἔχει. τὰ
δὲ κατὰ τὸν τόπον μαθήματα, πῶς τε πόδες μαθητῶν μολύνονται
ἤδη λουσαμένων, καὶ τίνα τρόπον πλύνονται, εἰδέναι ὡς ὁ λόγος
βούλεται, καὶ ποιεῖν ὡς θέλει ὁ Ἰησοῦς, ἀληθῶς μακαρίων ἐστὶν
143 ἔργον. οὐ γὰρ τὸ τηλικοῦτον ὄνομα τὸ »μακάριον« εὔλογον ἐπὶ
τοῖς τυχοῦσιν φῆσαι παρεῖναί τισιν, ἐφ' ᾧ καὶ οἰκέτης ἂν πλύνων
τοὺς πόδας τοῦ δεσπότου μακάριος ἂν κατ' αὐτὸ τοῦτο δόξαι
τυγχάνειν καὶ κόλαξ καὶ ὑποκριτής· ὃ γὰρ ἡμεῖς ἀποδίδομεν, νίπτειν
τοὺς πόδας μαθητῶν Ἰησοῦ μεγάλου τινός ἐστιν καὶ Ἰησοῦν ἐν
144 ἑαυτῷ ἔχοντος καὶ ἁπαξαπλῶς μακαρίου. χρὴ δὲ εἰδέναι τοῦτο, ὅτι
παράκειται τῷ ῥητῷ τούτῳ ὅμοια· ἐν μὲν τῷ κατὰ Ματθαῖον τὸ
»Οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν
»κύριον αὐτοῦ. ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος
»αὐτοῦ καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ«· ἐν δὲ τῷ κατὰ Λουκᾶν
τὸ »Οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον· κατηρτισμένος δὲ πᾶς
»ἔστω ὡς ὁ διδάσκαλος αὐτοῦ«.
145 Ἐξῆς τούτῳ ἐστὶν ζητῆσαι τὸ »Οὐ περὶ πάντων ὑμῶν λέγω«
ἐπὶ τί λελεγμένον ἀνοίσομεν. ὁ μὲν οὖν τις φήσει ἐπὶ τὸ »Μακά-
»ριοί ἐστε ἐὰν ποιῆτε αὐτά«· οὐ γὰρ μακάριος Ἰούδας. οὐ νομίζω
146 δὲ ὑγιῶς ἐπὶ τοῦτο ἀναφέρεσθαι τὸ λεγόμενον. τοῦτο γὰρ ὅλον
καὶ περὶ Ἰούδα καὶ παντὸς οὐτινοσοῦν, κἂν φαυλότατος ᾖ, ἀληθὲς
τὸ Μακάριος εἶ ὁ δεῖνα ἐὰν ποιήσῃς τάδε· ὡς εἰ λέγοιμι καὶ τῷ
ἀκολάστῳ, εἰ καὶ μὴ ἀκούσεται τῶν λεγομένων μηδὲ σωφρονήσει·

8 Joh. 13, 17. — 21 Matth. 10, 24f. — 24 Luk. 6, 40. — 26 Joh. 13, 18.

2 ἑαυτοῦ] αὐτοῦ T u. so u. S. 447, 4 u. ö.; wohl Schreibfehler | 4 [οἶδα — ἐξε-
λεξάμην unleserl. | 5 nach τρώγων ist μετ' ἐμοῦ ausgefallen, wie S. 449, 13 steht:
vgl. 448, 29 τρώγων μετὰ τοῦ Ἰησοῦ. So lesen ℵADΔ 1. 33. 69. Vulg. Syr. Pesch.
Hcl. Boh. Arm. Goth. μου, was V hier einsetzt, BCL Aeth. | 7 δεῖν] ἰδειν, corr. B:
27 λελεγμένον] λε ü. d. Z., εγ a. Ras. | 29 τοῦτο¹] τοῦτον V.

Digitized by Google

›μακάριος εἶ, ἐὰν σωφρονήσῃς‹· καὶ τῷ σοφίαν ἐξουδενοῦντι, εἰ καὶ ἐπιβαίνει τῇ προαιρέσει ταύτῃ· ›μακάριος εἶ, ἐὰν σοφίαν καὶ παιδείαν ἀναλάβῃς‹. μήποτε οὖν τὸ »Οὐ περὶ πάντων ὑμῶν λέγω« ἀνοίσομεν 147
εἰς τὸ εἰρημένον τὸ »Οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ«.
ἐπεὶ γὰρ »Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστιν τῆς ἁμαρτίας«, 148
ἐποίει δὲ τὴν ἁμαρτίαν ὁ Ἰούδας, καὶ μάλιστα τοῦ διαβόλου βεβληκότος εἰς τὴν καρδίαν αὐτοῦ ἵνα παραδῷ τὸν σωτῆρα, δοῦλος ἦν
3H Ἰούδας τῆς ἁμαρτίας. δοῦλος δὲ ὢν τῆς ἁμαρτίας, οὐκ ἦν τοῦ λό- 149
γου τοῦ θεοῦ δοῦλος. οὕτω δὲ οὐδὲ ἀπόστολος τοῦ Ἰησοῦ ἔτι ἦν· 150
ἤδη γὰρ τοῦ διαβόλου ἐγεγόνει, βεβληκότος εἰς τὴν καρδίαν αὐτοῦ
5R 91v ἵνα παραδῷ τὸν σωτῆρα. διὸ ἀρνούμενος αὐτὸν εἶναι | δοῦλον ἑαυτοῦ 151
ὁ σωτὴρ καὶ ἀπόστολον εἶπεν μετὰ τὸ »Οὐκ ἔστιν δοῦλος μείζων »τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν« τὸ »Οὐ περὶ πάντων ὑμῶν λέγω«.

XIV. Μετὰ τοῦτο ἴδωμεν τὸ »Ἐγὼ οἶδα τίνας ἐξελεξάμην«, 152
ὅπερ ἁπλούστερον μὲν τοιοῦτόν ἐστιν· τίς ἐστιν ἕκαστος ὧν ἐξελεξάμην οἶδα· οἶδα οὖν καὶ τίς ἐστιν ὁ Ἰούδας καὶ οὐ λανθάνει με, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν αὐτοῦ τὰ κατ' ἐμοῦ. καὶ τοιοῦτον δὲ ἔχει νοῦν διά τινα τῆς γραφῆς περὶ τοῦ »οἶδα« συνήθειαν καὶ τῶν ὁμοίων τῇ λέξει ταύτῃ· ὁποῖόν ἐστιν καὶ τὸ »ἔγνων«.
φησί που ὁ σωτὴρ ἐρεῖν τοῖς λέξουσιν· »Τῷ ὀνόματί σου ἐφάγομεν, 153
»καὶ ἐπίομεν, καὶ δαιμόνια ἐξεβάλομεν« τὸ »Οὐδέποτε ἔγνων ὑμᾶς« καὶ τὸ »Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ«· ὅπερ ἐὰν ἁπλούστερον νοῆται, παρὰ τὸ ἀξίωμα δόξομεν τοῦ σωτῆρος ὑπολαμβάνειν. ἀλλὰ μήποτε 154
ἐπεὶ »Ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ«, τοὺς μὴ ὄντας αὐτοῦ οὐκ ἔγνω, καὶ ὡς φησι περί τινων τὸ »Οὐδέποτε ἔγνων ὑμᾶς«, οὕτω εἴποι ἂν καὶ περὶ τοῦ Ἰούδα, εἰ μὲν † οὖν· »Οὐδέποτε ἔγνων σε«· εἰ δὲ γενόμενος μεταπέπτωκεν, λεχθείη ἂν πρὸς αὐτόν· »Οὐκ οἶδά σε »πόθεν εἶ«. καὶ νῦν οὖν τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρ- 155
δίαν αὐτοῦ τὰ κατὰ τοῦ Ἰησοῦ, οὐκ οἶδεν αὐτὸν ὁ Ἰησοῦς. διὸ οὐκ εἶπεν· ›νῦν ἐγὼ οἶδα πάντας τοὺς παρόντας‹, ἀλλ' »Ἐγὼ οἶδα τίνας »ἐξελεξάμην«, ὡς εἰ ἔλεγεν ›τοὺς ἐκλεκτούς μου‹. οὐ περὶ πάντων 156
δὲ τῶν παρόντων φημὶ τὸ »Ἐγὼ οἶδα τίνας ἐξελεξάμην« καὶ γίνεται

3 Joh. 13, 18. — **4** Joh. 13, 16. — **5** Joh. 8, 34. — **6** Vgl. Joh. 13, 2. — **10** Vgl. Joh. 13, 2. — **12** Joh. 13, 16. — **14** Joh. 13, 18. — **15** Joh. 13, 18. — **18** Vgl. Joh. 13, 2. — **21** Matth. 7, 22. — **22** Matth. 7, 23. — **23** Luk. 13, 27. — **25** II Tim. 2, 19. — **26** Matth. 7, 23. — **29** Vgl. Joh. 13, 2. — **31** Joh. 13, 18.

1 σωφρονήσῃ | **15** εἴδωμεν, corr. V | τῷ, corr. V | **21** Zur Form des Citates vgl. o. z. S. 443, 25 | **27** οὖν] d. Text völlig verstümmelt; οὐκ ⟨ἐστὶν αὐτοῦ⟩ Br; οὐδ⟨έποτε ἐγένετο αὐτοῦ⟩ We | ἔγνων] ν^2 ü. d. Z.

Digitized by Google

τὸ γινόμενον ὑπὸ τοῦ ἑνὸς ἐξ ὑμῶν παραδώσοντός με, ἵνα πληρωθῇ
ἡ λέγουσα γραφή· »Ὁ τρώγων μου τὸν ἄρτον, ἐπῆρεν ἐπ᾽ ἐμὲ τὴν
157 »πτέρναν αὐτοῦ«. παραπέφρασται δὲ τὸ ῥητὸν ἀπὸ τοῦ τεσσε-
ρακοστοῦ Ψαλμοῦ οὕτως ἔχον· »Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης
»μου, ἐφ᾽ ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτερνι-
158 »σμόν«. οὐκοῦν ὁ σωτὴρ τὸ ῥητὸν τοῦτο περὶ τοῦ Ἰούδα καὶ ἑαυτοῦ
φησιν εἰρῆσθαι. ἐν ᾧ ζητήσεις, πῶς ἄνθρωπος εἰρήνης Ἰούδας ἦν
159 καὶ ἐπ᾽ αὐτὸν ὁ σωτὴρ ἤλπισεν. δηλοῦσθαι οὖν διὰ τούτων νομίζω
ὅτι γνησίως ποτὲ ἐπεπιστεύκει· οὐ γὰρ ἂν μηδέποτε υἱὸν εἰρήνης
γενόμενον αὐτὸν ἀποστέλλων μετὰ τῶν λοιπῶν ἀποστόλων ἔλεγεν
καὶ αὐτῷ· τοῖς γὰρ δώδεκα ἀναγέγραπται εἰρηκέναι τὸ »Εἴπατε
»εἰρήνη τῷ οἴκῳ τούτῳ. καὶ ἐὰν ἐκεῖ ᾖ υἱὸς εἰρήνης, ἡ εἰρήνη
»ὑμῶν ἐπ᾽ αὐτὸν ἀναπαύσεται· εἰ δὲ μή γε, ἡ εἰρήνη ὑμῶν ἐφ᾽
160 ὑμᾶς ἀνακάμψει«. καὶ γὰρ ὅρα μεθ᾽ ὅσα ὁ διάβολος ἔβαλεν αὐτοῦ
εἰς τὴν καρδίαν τὰ κατὰ τοῦ σωτῆρος, εἰ καὶ πρὸ ὀλίγου κλέπτης
161 εἶναι μεμαρτύρηται. οὐκ ἂν δ᾽ οἶμαι ἀρχῆθεν κλέπτης ὢν ἐπι-
στεύθη | τὸ γλωσσόκομον· ἄξιος οὖν τοῦ πιστευθῆναι ὤν, εἰ καὶ
162 προεγνώσθη μεταπεσούμενος, ἐπιστεύθη. καὶ τηλικοῦτος ἦν ἄν-
θρωπος εἰρήνης Χριστοῦ, ὡς ἐλπίδας ἀγαθάς ποτε τὸν Ἰησοῦν ἐπ᾽
αὐτῷ, ὡς καλῷ ἀποστόλῳ, ἐσχηκέναι· ἄκουε γὰρ τοῦ »Ἐφ᾽ ὃν
163 »ἤλπισα«. ἐγὼ δ᾽ οἶμαι ὅτι καὶ λόγων ἀπορρήτων τροφιμωτάτων
κεκοινώνηκεν τοῖς ἀποστόλοις, ἀπὸ Ἰησοῦ λαβών, περὶ ὧν εἶπεν·
164 »Ὁ ἐσθίων ἄρτους μου«. τὸ δὲ »Ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτέρναν αὐτοῦ«
μεταπέφρασται εἰς τὸ »Ἐπῆρεν ἐπ᾽ ἐμὲ * πτέρναν αὐτοῦ«, ὡς ταὐτὸν
165 εἶναι τὸ »Ἐμεγάλυνεν« τῷ »Ἐπῆρεν«. καὶ εἰ χρὴ τὴν »Ἐπῆρεν ἐπ᾽
»ἐμὲ τὴν πτέρναν αὐτοῦ« καὶ »Ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτερνισμὸν
»αὐτοῦ« σαφηνίσαι λέξιν, φήσομεν ὅτι τοῦτο ποιεῖ ὁ λὰξ ἐντείνων
τινί· τοιοῦτος δὲ καὶ Ἰούδας ἦν, τὸν υἱὸν τοῦ θεοῦ καταπατῶν.
166 καὶ τρώγων ἦν μετὰ τοῦ Ἰησοῦ τὸν ἄρτον αὐτοῦ. ὅτε βάψας ὁ

2 Joh. 13, 18. — **3** *παραπέφρασται* — **28** *τινί* Cat.^{98}. — **4** Ps. 40, 10. — **9** Vgl. Luk. 10, 6. — **11** Luk. 10, 5f. — **14** Joh. 13, 2; 12, 6. — **20** Ps. 40, 10. — **24** Joh. 13, 10. — **28** Vgl. Hebr. 10, 29.

2 *μου*] vgl. z. LA o. S. 446, 5 | **3** *τεσσαρακοστοῦ* < Cat. | **6** *τὸ ῥητὸν τοῦτο* < Cat. **9** *ἐπιστεύκει* M | *οὐδέποτε* Cat. | **10** *ἀποστόλῳ* M, < Cat. | **11** *καὶ* < Cat. | *τοῖς — τὸ*] *τὸ λέγειν* Cat. | *εἴπατε*] *λέγετε* T | **12** *καὶ ἐὰν — 14 ἀνακάμψει* < Cat. | *ἡ εἰρήνη — 13 ἀναπαύσεται* Stellung singulär | **15** *εἰ* Cat., < M | *κλέπτην* Cat. | **16** *μεμαρτύρητο* Cat. | *δὲ* Cat. | **17** *ὢν* nach *οὖν* Cat. | *εἰ* verblichen | **18** *ἐπιστώθη* Cat. | **20** *ἐσθηκέναι* M | *ἄκουε — 21 ἤλπισα* < Cat. | **22** *ἀπὸ Ἰ. λαβών* < Cat. | *φησίν* Cat. **23** *τὸ δὲ* < Cat. | **24** *μεταπέφρασται — ὡς* < Cat. | *εἰς τὸ* ü. d. Z. | nach *ἐμὲ* ist *τὴν* zu erg. vgl. Z. 26 u. ö. | **25** *εἶναι*] *δέ ἐστιν* Cat. | *τὸ*] *τῷ* Cat. | *τῷ*] *τὸ* Cat. | *τὴν* < Cat. | **27** *φήσομεν* < Cat.

Digitized by Google

Ἰησοῦς τὸ ψωμίον λαμβάνει, καὶ δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ. ἐπῆρεν ⟨δὲ⟩ Ἰούδας ἐπὶ τὸν διδάσκαλον τὴν πτέρναν αὐτοῦ, ὅτε 167
μετὰ τὸ ψωμίον εἰσῆλθεν ὁ Σατανᾶς εἰς τὸν Ἰούδαν. εἰ δὲ δύναται 168
καὶ τὸ »Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με« συνεξεταζόμενον τῷ »Ἐπῆρεν ἐπ᾽ ἐμὲ τὴν πτέρναν αὐτοῦ« ἀναφέρεσθαι ἐπὶ τὸν Ἰούδαν, γενόμενον ἐν τῇ μερίδι τοῦ Ἰησοῦ καὶ κτῆμα χρηματίσαντα αὐτοῦ καὶ ἀπόστολον, πτέρναν δὲ διὰ τὸ τελευταῖον αὐτὸν γεγονέναι τροπικῶς λεγόμενον, καὶ αὐτὸς συνεπισκέψει.

XIII, 19. *Ἀπ᾽ ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα πιστεύητε ὅταν γένηται ὅτι ἐγώ εἰμι.*

XV. (9) Τὴν ἀναφορὰν ἡ λέξις αὕτη ἔχει ἐπὶ τὸ προειρημένον 169
τὸ »Οὐ περὶ πάντων ὑμῶν λέγω· ἐγὼ οἶδα τίνας ἐξελεξάμην· ἀλλ᾽ »ἵνα ἡ γραφὴ πληρωθῇ· Ὁ τρώγων μετ᾽ ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν »ἐπ᾽ ἐμὲ τὴν πτέρναν αὐτοῦ«· τοῦτο γὰρ τὸ ἐσόμενον, ἵνα ἡ γραφὴ πληρωθῇ περὶ τοῦ ἐπαίροντος ἐπ᾽ ἐμὲ τὴν πτέρναν αὐτοῦ, ὅς ἐστι τρώγων μετ᾽ ἐμοῦ τὸν ἄρτον, ἀπ᾽ ἄρτι λέγω ὑμῖν, καὶ λέγω πρὸ τοῦ γενέσθαι, ἵνα, ἐπὰν γένηται τὸ πληρωθησόμενον τῶν προφητευθέντων ἐν τῇ γραφῇ, πιστεύσητε ὅτι ἐγώ εἰμι περὶ οὗ ταῦτα
27 R πεπροφήτευται, ἀπὸ τοῦ τρώγοντος μετ᾽ αὐτοῦ τὸν ἄρτον ἐπάραντος τὴν ἑαυτοῦ πτέρναν κατ᾽ αὐτοῦ.

95 H Ζητήσαι δ᾽ ἄν τις πῶς εἴρηται τοῖς μαθηταῖς, ὧν ἔνιψεν τοὺς 170
πόδας ὁ Ἰησοῦς, ὡς μηδέπω πιστεύσασιν ὅτι καὶ αὐτὸς εἴη ὁ χριστός, τὸ »Ἀπ᾽ ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι« καὶ διὰ τοῦτο λέγω »ἵν᾽ ὅταν γένηται πιστεύσητε ὅτι ἐγώ εἰμι« ὁ προφητευθεὶς χριστός.
καὶ ὅρα εἰ δυνάμεθα, μὴ κατηγοροῦντες τῶν τηλικούτων Ἰησοῦ μα- 171
θητῶν ὡς οὐδέπω πεπιστευκότων, καὶ τὸ βούλημα σώζειν τοῦ εἰπόντος· »Ἵνα πιστεύητε ὅταν γένηται ὅτι ἐγώ εἰμι«. ὁ παραλαμ- 172
92 v βάνων | σοφίας θεωρήματα ἔσθ᾽ ὅτε ἐπὶ προτέροις, δι᾽ ἃ ἤδη σοφός ἐστιν, ἀναλαμβάνει δεύτερα, ἐφ᾽ οἷς οὐ πρότερον ἦν σοφός, καὶ σοφώτερος ἔσται· καθὼς λέγεται καὶ τὸ »Τῶνδε γὰρ ἀκούσας »σοφός, σοφώτερος ἔσται«. ὥσπερ οὖν, εἰ ἐλέγετο τῷ σοφῷ τάδε 173
τινὰ καὶ ἐπεφέρετο· ταῦτά σε ποιεῖ σοφόν· οὐ πάντως ἂν ἐκ τοῦ μὴ σοφοῦ σοφὸν ἐνοήσαμεν ἀλλὰ καὶ ἐκ σοφοῦ σοφώτερον, ὡς ἐπιγινομένης τῆς προκοπῆς καὶ ὁδευούσης ἐπὶ τὴν τελειότητα· οὕτω

1 Vgl. Joh. 13, 26 f. — **4** Ps. 48, 6. — **12** Joh. 13, 18. — **14** τοῦτο — **19** πεπροφήτενται Cat[99]. — **24** Joh. 13, 19. — **27** Joh. 13, 9. — **30** Prov. 1, 5.

2 ⟨δὲ⟩ + Br | **8** αὐτό, corr. V | **14** ἵνα — **16** ἄρτον < Cat. | **16** καὶ λέγω < Cat. | **19** ἀπό] ἐπί? We | **21** ζητήσει, corr. Br | **28** ἐπί nach V; in M ist d. Wort unleserlich.

Digitized by Google

174 μοι νόει καὶ τὸν πιστεύοντα δύνασθαι πιστότερον γενέσθαι. καὶ γὰρ
οἱ ἀπόστολοι, προσελθόντες ποτὲ τῷ κυρίῳ, οὐχ ἑαυτῶν κατη-
γοροῦντες ὡς ἀπίστων ἔλεγον αὐτῷ τὸ »Κύριε, πρόσθες ἡμῖν
»πίστιν«· καὶ γὰρ ἐν τῷ »πρόσθες« σαφῶς παρίσταται ὅτι πίστιν
175 εἶχον χωροῦσαν προσθήκην. εἴπερ οὖν συνήκαμεν ταῦτα, νόει μοι 5
τὰς προσθήκας τῶν πιστοποιούντων μετά τινα πρότερον πιστοποιή-
σαντα προστιθέναι τῇ πίστει· ὥστε καὶ τοὺς μαθητὰς πρὸς οἷς
εἶχον πιστοποιητικοῖς καὶ τοῦτο προσειληφέναι τὸ βλέπειν πληρου-
μένην τὴν λέγουσαν γραφήν· »Ὁ τρώγων μου τὸν ἄρτον, ἐπῆρεν
»ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ«, παριστάντος τοῦ προφητευομένου ὅτι 10
176 αὐτὸς ἦν περὶ οὗ ταῦτα ἐθεσπίζετο. καὶ ἄκουε τοῦ »Ἵνα πιστεύητε«
ὡς ἴσον δυναμένου τῷ »ἵνα † πιστεύητε ἐνεργῆτε«, παραμένοντες τῷ
177 πιστεύειν καὶ μηδεμίαν ἀφορμὴν πρὸς τὸ μετατίθεσθαι ἴσχοντες. καὶ
εἴ τοι μὴ μεγέθει μεγάλη ἡ πίστις ἦν ἢ πλήθει πολλή, οὐκ ἂν ἔλε-
178 γεν ὁ Παῦλος τὸ »Κἂν ἔχω πᾶσαν τὴν πίστιν«. ὥσπερ γὰρ ὁ τέλειος 15
καὶ πάσας ἔχων τὰς ἀρετάς, τελείαν ἑκάστην ἀναλαβών, τελείαν
ἔχει τὴν σοφίαν καὶ τελείαν τὴν σωφροσύνην, οὕτω δὲ καὶ τὴν
εὐσέβειαν καὶ τὰς λοιπάς· οὕτως ἄν τις εἴποι, τῇ τοῦ πιστεύειν
179 ἀρετῇ τέλειος τὸ πᾶσαν ἔχειν τὴν πίστιν. ταῦτα δέ φημι ὡς οὐ 425L
κυρίως ἂν λεχθησομένης τῆς ἀτελοῦς σοφίας ἢ σωφροσύνης ἢ εὐσε- 20
βείας ἢ τῶν λοιπῶν ἀρετῶν, ἀλλὰ καταχρηστικῶς, καὶ τῶν ἐν
180 ἑκάστῃ ἀρετῇ προκοπῶν ὁμωνύμως τῇ τελείᾳ ὀνομαζομένων. οὕτω 396H
γὰρ σοφὸς λέγεται ὁ ἁμαρτάνων μέν τινα ὡς ἐλέγχου δεῖσθαι, οὐ
μὴν καὶ μισῶν τοὺς ἐλέγχοντας ἀλλὰ καὶ μᾶλλον ἀγαπῶν, καθ' ὃ
181 γέγραπται· »Ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε«. οὕτω δὲ καὶ σοφὸς 25
λέγεται, ἐπιδεκτικὸς ὢν ἑτέρων θεωρημάτων σοφίας καὶ μηδέπω
ἔχων τὰ δεύτερα, καθ' ὃ λέγεται καὶ τὸ »Δίδου σοφῷ ἀφορμήν,
182 »καὶ σοφώτερος ἔσται«. ἀλλὰ γὰρ ἐπὶ ταῦτα ἐληλύθαμεν, δει-
κνύντες ὅτι ἐνδέχεται τὸν ἤδη πιστεύοντα μανθάνειν τινά, ἵνα
πάλιν πιστεύῃ, καὶ διὰ τῆς | προσθήκης τῶν μαθημάτων προστι- 293r
θέναι τῇ πίστει.

183 XVI. Εἰ δὲ βουλόμεθα εἰδέναι τίς ἐστιν ὁ πᾶσαν ἔχων τὴν
πίστιν, λάβωμεν ἐπὶ παραδείγματος κεφαλαιωδῶς τὰ ἐν τῷ πιστεύ-
εσθαι σῴζοντα τὸν πιστεύοντα, φέρε εἰπεῖν, ὄντα τὸν ἀριθμὸν
ἑκατόν, καὶ λέγωμεν ὅτι ὁ μὲν τὰ προειρημένα ἑκατὸν ἀδιστάκτως 35

3 Luk. 17, 5. — 9 Joh. 13, 18. — 15 I Kor. 13, 2. — 25 Prov. 9, 8. — 27 Prov. 9, 9. — 32 Vgl. I Kor. 13, 2.

9 μου] vgl. z. S. 446, 5 | 12 τῇ πίστει προστεθῆτε We: die Ausgg. str. πιστεύητε | 17 ἔχειν M* | 18 εἶπεν, corr. Br | 19 τελείως τῶ, corr. Br | πίστιν] ν a. Ras.

Digitized by Google

παραδεχόμενος καὶ ἑκάστῳ αὐτῶν βεβαίως πιστεύων πᾶσαν ἔχει τὴν πίστιν· ὁ δὲ λείπων ἔν τινι ἀριθμῷ τῶν ἐν τῷ πιστεύεσθαι σωζόντων, ἢ τῇ πρὸς τὰ πιστευόμενα βεβαιότητι, τοσοῦτον λείπει τοῦ πᾶσαν ἔχειν τὴν πίστιν, ὅσοις ἀριθμοῖς πιστεύων ἐνδεῖ ἢ ὅσον ἀφέστηκεν τῆς περὶ τῶν πιστευομένων βεβαιότητος εἴτε πάντων εἴτε τινῶν· ἵν' ἐπὶ τοῦ παρόντος δοθῇ τισὶν μὲν δύνασθαι βεβαίως πιστεύειν τινά, τισὶν δὲ πιστεύειν μέν, οὐ βεβαίως δέ· πλὴν ὁμολογουμένως δοθείη ἂν ἀμήχανον ἀποδείκνυσθαι τὸν ἐν ⟨ἑνὶ⟩ ἀτελῆ πρὸς μηδὲν ἔχειν βεβαιότητα, ὅτι οὐ τὸ ἴσον ἀπόστημα ἀπὸ τῆς πρὸς τὰ πιστευόμενα βεβαιότητος ἀπέχει ἕκαστος τῶν, ἵν' οὕτως ὀνομάσω, κατὰ τὴν γραφὴν ὀλιγοπίστων καὶ τὴν πρὸς τὰ πιστευόμενα βεβαιότητα οὐδέπω ἀνειληφότων. τούτοις δὲ ἕπεται διὰ τὸ »Κατὰ τὴν »πίστιν σου γενηθήτω σοι« καὶ διὰ τὸ »Ἡ πίστις * σέσωκέν σε« ἑκάστῳ ἀπαντῆσαι κατὰ τὴν ἐν τῇ δικαίᾳ κρίσει τοῦ θεοῦ ἀμοιβὴν ἀνάλογον τοσῇδε καὶ τοιᾷδε πίστει καὶ σωτηρίαν· εἴ γέ ἐστίν τις καὶ ἐν ταύτῃ σωζομένων διαφορά, ὡς τὸ »Ὧι μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται »ὑμῖν« φθάνειν καὶ ἐπὶ τὰ μέτρα τῆς πίστεως καὶ τὰ μέτρα τῆς ἀπὸ θεοῦ ἀμοιβῆς καὶ σωτηρίας. ὁ δὲ τὸν τούτων κατανοήσας λόγον θεωρήσει πῶς εὐλόγως ὡς μὴ δυναμένοις κρίνειν τοῖς ἀνθρώποις
429 R λέγεται· »Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε« καὶ τὸ »Μὴ πρὸ καιροῦ τι »κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος«. πάλιν τ' αὖ ἐπεὶ ἔλεγον ὡς ἐπὶ παραδείγματος, ἑκατὸν ὄντων τῶν σωζόντων ἐν τῷ πιστεύεσθαι, τὸν μὲν τοῖς ἑκατὸν βεβαίως πιστεύοντα πᾶσαν ἔχειν τὴν πίστιν,
397 H τὸν δὲ λείποντα τῇ πρός τινα τῶν ἑκατὸν πίστει ἢ τῇ πρὸς τὰ πιστευόμενα βεβαιότητι διαφόρως μὴ πᾶσαν ἔχειν τὴν πίστιν, ἐκθήσομεν σαφηνείας ἕνεκεν τοιαῦτα. »Πρῶτον πάντων πίστευσον ὅτι εἷς ἐστιν »ὁ θεός, ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας καὶ ποιήσας ἐκ τοῦ μὴ »ὄντος εἰς τὸ εἶναι τὰ πάντα«. χρὴ δὲ καὶ πιστεύειν ὅτι κύριος Ἰησοῦς Χριστός, καὶ πάσῃ τῇ περὶ αὐτοῦ κατὰ τὴν θεότητα καὶ τὴν ἀνθρωπότητα ἀληθείᾳ. δεῖ δὲ καὶ εἰς τὸ ἅγιον πιστεύειν πνεῦμα, καὶ ὅτι αὐτεξούσιοι ὄντες κολαζόμεθα μὲν ἐφ' οἷς ἁμαρτάνομεν, τιμώμεθα δὲ ἐφ' οἷς εὖ πράττομεν. φέρε οὖν καθ' ὑπόθεσιν, εἴ τις δοκῶν πιστεύειν εἰς τὸν Ἰησοῦν μὴ πιστεύοι ὅτι εἷς ἐστιν ὁ θεὸς ὁ νόμου καὶ εὐαγγελίου, οὗ τὴν δόξαν οὐρανοί, ὡς ὑπ' αὐτοῦ γεγενημένοι, διηγοῦνται, καὶ τὸ στερέωμα ἀναγγέλλει τὴν ποίησιν τῶν

184 185 186 187 188 189 190

11 Vgl. Matth. 6, 30. 8, 26. Luk. 12, 28. u. ö. — **12** Matth. 9, 29. — **13** Matth. 9, 22. — **16** Luk. 6, 38. — **20** Matth. 7, 1. — I Kor. 4, 5. — **26** Hermas, mand. I, 1. — **27** Vgl. Weish. Sal. 1, 14. — **34** Vgl. Ps. 18, 1.

8 *δοθεῖσαν*, corr. Br; *δοθείη* B | *ἀποδεικνύηται*, corr. B | ⟨*ἑνὶ* + V | **13** statt *σον* u. *σοι* steht im T *ὑμῶν* u. *ὑμῖν* | **15** *τοσῇδε*] *τῇ σῇ δὲ*, corr. Br | **21** *λέγον*, corr. V.

Digitized by Google

χειρῶν αὐτοῦ, ὡς ἔργον | τυγχάνον αὐτῶν, οὗτος ἂν μείζονι λείποι 2(3)
191 τῆς πίστεως κεφαλαίῳ. ἢ πάλιν εἴ τις πιστεύων ὅτι ὁ ἐπὶ Ποντίου
Πιλάτου σταυρωθεὶς ἱερόν τι χρῆμα καὶ σωτήριον τῷ κόσμῳ ἐπι-
δεδήμηκεν, ἀλλ' οὐκ ἐκ παρθένου τῆς Μαρίας καὶ ἁγίου πνεύματος
τὴν γένεσιν ἀνείληφεν, ἀλλ' ἐξ Ἰωσὴφ καὶ Μαρίας, καὶ τούτῳ ἂν 5
192 λείποι εἰς τὸ πᾶσαν ἔχειν τὴν πίστιν τὰ ἀναγκαιότατα. πάλιν τε
αὖ εἰ τὴν μὲν θεότητά τις αὐτοῦ παραδέχοιτο, τῇ δὲ ἀνθρωπότητι
προσκόπτων μηδὲν ἀνθρώπινον περὶ αὐτὸν πιστεύοι γεγονέναι, ἢ
ὑπόστασιν εἰληφέναι, καὶ τούτῳ ἂν λείποι πρὸς πᾶσαν τὴν πίστιν
193 οὐ τὰ τυχόντα. ἢ εἰ ἀνάπαλιν τὰ μὲν περὶ αὐτὸν ἀνθρώπινα 10
προσίοιτο, τὴν δὲ ὑπόστασιν τοῦ μονογενοῦς καὶ πρωτοτόκου πάσης
κτίσεως ἀθετοῖ, καὶ οὗτος ἂν οὐ δύναιτο λέγειν πᾶσαν ἔχειν τὴν
194 πίστιν. καὶ οὕτως καθεξῆς μοι νόει, ἵνα θεωρήσωμεν ὁπηλίκον
ἐστὶν τὸ ἀνελλιπῶς καὶ βεβαίως πᾶσαν τὴν πίστιν ἔχειν, τοσοῦτον
δυναμένην, ὅτε πᾶσά ἐστιν ἐν ἀνθρώπου ψυχῇ, ὥστε ἅτινά ποτέ 15
ἐστιν τὰ ὄρη μεθιστάνειν αὐτὰ δύνασθαι· πάντων μὲν τῶν ἀνθρώ- 49 B
πων δυναμένων μεθιστάνειν τὸ δεικνύμενον ὑπὸ τοῦ Ἰησοῦ ὄρος,
καὶ τὰ δεικνύμενα αὐτῷ, εἰ δὲ λείποι τινὰ τῇ πάσῃ πίστει, λείπει
τῇ δυνάμει τοῦ μετατιθέναι ὄρη.

195 Καὶ χρήσομαί γε καὶ τοιούτῳ [καὶ] εἰς ταῦτα παραδείγματι· 20
ὥσπερ καθέλκουσιν οἱ τοσοῦτοι, τοιάνδε δύναμιν ἔχοντες, πρώτως
εἰς θάλασσαν τὴν ναῦν, εἰ δὲ λείποιεν οὗτοι κἂν ἑνὶ τῶν συνεργῶν
ἢ τῇ δυνάμει τινός, οὐκ ἂν καθέλκοιτο ἡ ναῦς· οὕτως οἱονεὶ πολλοὶ
μετατιθέντες εἰσὶν τὰ ὄρη ἡ πᾶσα πίστις· τοσοῦτον δὲ λείπει τῇ
δυνάμει τῆς τῶν ὀρῶν μεταθέσεως ὅσον λείπει πρὸς τὸ πᾶσαν τὴν 25
196 πίστιν ἔχειν ὁ ἔτι κατ' αὐτὴν ἀτελής. καὶ ὥρα εἰ μὴ χρησίμως ὅλα 33 H
ταῦτα ἐξήτασται διὰ τοὺς μαθητὰς ὧν ἔνιψεν ὁ Ἰησοῦς τοὺς πόδας,
πρὸς οὓς εἶπεν, ὡς ἂν ὑπολάβοι ὁ μὴ ἐξετάσας, ὡς μηδέπω πιστεύ-
σαντας τὸ »Ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα πιστεύητε
»ὅταν γένηται ὅτι ἐγώ εἰμι«· ἅμα δὲ καὶ ἀναπτυσσόμενος ὁ λόγος 30
δείκνυσιν πηλίκη μέν ἐστιν ἡ κατὰ τὴν πᾶσαν πίστιν ἀρετή, καὶ
ὅτι σπανίως εὑρισκομένη· πόσῳ δ' ἕκαστος ἡμῶν ἀπολείπεται τοῦ
197 τὴν πᾶσαν ἔχειν πίστιν, ὥστε ὄρη μεθιστάνειν. πλὴν οὐκ εὐκατα-
φρόνητον πρὸς τὸ ποιεῖν πιστεύειν ἐστίν, κατὰ τὰ νῦν προκείμενα.

11 Vgl. Kol. 1, 15. — **14** Vgl. I Kor. 13, 2. — **17** Vgl. Matth. 21, 21; Mark. 11, 23. — **29** Joh. 13, 19. — **33** Vgl. I Kor. 13, 2.

1 τυχάνων, corr. V | **2** πίστ[εως κεφα]λαίῳ verblichen **12** | οὕτως, corr. V | **18** λοιποι, corr. V | λείπειν, corr. Br | **20** καὶ str. We | **28** εἰπῶν, corr. We.

Digitized by Google

τὸ τοὺς προφήτας μὲν προτεθεσπικέναι τὰ περὶ τοῦ Ἰησοῦ, κατὰ δὲ τὸν λόγον αὐτῶν ἀπηντηκέναι τῷ σωτῆρι τὰ προειρημένα.

XIII, 20. Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων ἄν τινα πέμψω ἐμὲ λαμβάνει, ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν πέμψαντά με.

294 r XVII. (10) Ὁ Ἰησοῦς | πέμπει οὐ μόνον ἁγίους, ἀλλὰ καὶ ἁγίους 198
καὶ ἀγγέλους· καὶ πέμπει μὲν τοὺς διὰ τὸ ἀποστέλλεσθαι ὑπ' αὐτοῦ
ἀποστόλους ὀνομαζομένους. ἤδη δὲ τούτων οἱ μὲν ἄνθρωποί εἰσιν, 199
οἱ δὲ δυνάμεις κρείττους. οὐ γὰρ ἁμαρτησόμεθα τὸ »ἀπόστολος«
ὄνομα τάσσοντες καὶ ἐπὶ τούτων, περὶ ὧν γέγραπται· »Πάντες
»εἰσὶν λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς
»μέλλοντας κληρονομεῖν σωτηρίαν«. εἰ γὰρ παρὰ τὸ ἀποστέλλεσθαι 200
ἀπόστολοι, πάντες δέ εἰσιν ὑπὸ τοῦ ποιοῦντος »τοὺς ἀγγέλους
»αὐτοῦ πνεῦμα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα« εἰς δια-
κονίαν ἀποστελλόμενοι, ὄντες λειτουργικὰ πνεύματα, καὶ οὗτοι ἂν
εἶεν ἀπόστολοι τοῦ ἀποστέλλοντος αὐτούς. καὶ ἕκαστός γε τῶν
πεμπομένων ἀπό τινος, ἀπόστολός ἐστιν τοῦ πέμψαντος. καθ' ὃ 201
καὶ ἐν τοῖς ἀνωτέρω λέλεκται μετὰ τὸ »Οὐκ ἔστι δοῦλος μείζων
431 R »τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν«.
κατὰ τοῦτο δὲ οὐχ ἁμαρτήσει καὶ τὸν Ἰωάννην ἀπόστολον λέγων 202
θεοῦ διὰ τὸ »Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα
»αὐτῷ Ἰωάννης«, καὶ τὸν Ἡσαΐαν διὰ τὸ »Τίνα ἀποστελῶ, καὶ τίς
»πορεύσεται πρὸς τὸν λαὸν τοῦτον;« ὅτε ἀπεκρίνατο λέγων· »Ἰδού
»εἰμι ἐγώ, ἀπόστειλόν με«. τί δὲ περὶ τούτων λέγω, ὅτε καὶ ἐν τῇ 203
πρὸς Ἑβραίους ὁ τηλικοῦτος ἡμῶν σωτὴρ ἀπόστολος εἴρηται τοῦ
πατρός; γέγραπται γάρ· »Ἔχοντες οὖν ἀρχιερέα μέγαν καὶ ἀπόστολον
399 H »Ἰησοῦν Χριστόν«. καὶ νῦν οὖν ὃν ἐὰν ἀποστέλλῃ ὁ σωτὴρ δια- 204
κονησόμενον τῇ τινων σωτηρίᾳ, ὁ ἀποστελλόμενος ἀπόστολός ἐστιν
Ἰησοῦ Χριστοῦ. ἀλλ' ὁ ἀπόστολος, ὥσπερ τοῦ ἀποστείλαντός ἐστιν 205
ἀπόστολος, οὕτως τισὶν πρὸς οὓς ἀποστέλλεται μόνοις ἐστὶν ἀπό-
στολος. ὅπερ νοῶν ὁ Παῦλος ἔλεγεν· »Εἰ καὶ ἄλλοις οὐκ εἰμὶ ἀπό- 206
»στολος, ἀλλά γε ὑμῖν εἰμί· ἡ γὰρ σφραγίς μου τῆς ἀποστολῆς ὑμεῖς

10 Hebr. 1, 14. — **13** Hebr. 1, 7 (Ps. 103, 4). — **18** Joh. 13, 16. — **21** Joh. 1, 6. — **22** Jes. 6, 8. — **26** Vgl. Hebr. 4, 14; 3, 1. — **31** I Kor. 9, 2.

2 σωτηρ (σηφ), corr. V | **10** ἐπὶ] περὶ, corr. We | **14** πνευματα M*, πνεῦμα, wie in M jetzt hergestellt ist, lesen D Aeth. | **20** ἀπόστολον] ον a. Ras. | **24** ἀπόστειλον] στ a. Ras. | **27** διακονησάμενον, corr. Br | **31** καὶ fehlt im T.

Digitized by Google

207 »ἐστε ἐν κυρίῳ«. ἔξεστιν οὖν τινα εἶναι ἀπόστολον Ἰησοῦ Χριστοῦ
ἑνὶ μόνῳ ἐξαποσταλέντα, εἰ ἑνὶ μόνῳ θεοῦ προνοίᾳ τὸν λόγον διη-
208 κονήσατο. καὶ ταῦτά φαμεν, ἵνα πάλιν βλέπωμεν τὴν τῶν χρη-
ματισάντων Ἰησοῦ Χριστοῦ ἀποστόλων ὑπεροχήν· »δεξιάς, γάρ
»φησιν, ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, 5
»αὐτοὶ δὲ εἰς τὴν περιτομήν«. οὐκοῦν Παῦλος ἔθνεσι μόνοις ἀπό-
209 στολος ἦν, καὶ Πέτρος ὅλῃ τῇ περιτομῇ. ἡμῶν δὲ κἂν ἀξιωθῇ τις,
ὡς παρέστησεν ὁ ἀπόστολος, τοῦ γενέσθαι ἑνί που ἢ ὀλίγῳ πλείοσιν,
210 ἀπόστολος γίνεται. κἂν γένηται δέ, μὴ ἐπαιρέσθω, μεμνημένος τοῦ
»Ὃ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις ἵνα πιστός τις εὑρεθῇ«· 10
οὐ γὰρ πάντως εἰ ζητεῖται, τὸ ζητούμενον | εὑρίσκεται. 294v

211 Ταῦτα διὰ τὸ »Ὁ λαμβάνων ἐάν τινα πέμψω«, ὅσους ἐνδέχεται
πέμπεσθαι ὑπὸ τοῦ Ἰησοῦ, κἂν μή, οὓς εἰθίκαμεν ὀνομάζειν ἀπο-
στόλους, τοιοῦτοί ὦσιν, καὶ ὅτι ἐνδέχεται καὶ τῆς ἀνθρώπων φύσεως
212 κρείττονα ὄντα πέμπεσθαι ὑπὸ τοῦ Ἰησοῦ. ὁ οὖν λαμβάνων ὃν ⟨ἂν⟩ 15
πέμψῃ ὁ Ἰησοῦς, τὸν ἐν τῷ ἀποσταλέντι Ἰησοῦν λαμβάνει· ὁ δὲ λαμ-
βάνων τὸν Ἰησοῦν, πατέρα λαμβάνει· ὁ ἄρα λαμβάνων ὃν ἂν πέμψῃ
ὁ Ἰησοῦς λαμβάνει τὸν πέμψαντα τὸν Ἰησοῦ πατέρα.

213 Λύναται δὲ καὶ τοιοῦτος ὁ λόγος εἶναι· ὁ μὲν λαμβάνων ὃν ἐὰν
ἐγὼ πέμψω, ἐμὲ λαμβάνει, καὶ μέχρι τοῦ ἐμὲ παραδέξασθαι φθάνει· 20
ὁ δὲ μὴ διά τινός μου ἀποστόλου ἐμὲ λαμβάνων, ἀλλὰ χωρῶν ἐμὲ 432B
οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων διακονούμενον, ἀλλ' ἐπι-
δημοῦντα ταῖς τῶν εὐτρεπισάντων ἑαυτοὺς πρὸς τὴν ἐμὴν παρα-
δοχὴν ψυχαῖς, τὸν πέμψαντά με λαμβάνει πατέρα, ὡς μὴ μόνον
214 ἐμὲ τὸν χριστὸν εἶναι ἐν αὐτῷ ἀλλὰ καὶ τὸν πατέρα. ἔστιν δὲ ἐκ 25
τούτων καὶ τὰ κατ' ἐναντιότητα νοῆσαι· ὁ γὰρ λαμβάνων ὃν ἐὰν
πέμψῃ ὁ υἱὸς τοῦ πονηροῦ, ἐκεῖνος τὸν ἀντίχριστον λαμβάνει· ὁ δὲ
λαμβάνων τὸν υἱὸν τοῦ πονηροῦ καὶ παραδεξάμενος τὸν ἀντίχριστον
λόγον, ὑποκρινόμενον εἶναι ἀλήθειαν καὶ ψευδῶς ἐπαγγελλόμενον
215 εἶναι δικαιοσύνην, οὗτος αὐτὸν λαμβάνει τὸν πονηρόν. διὸ προσέ- 30
χωμεν, ἵν' ὡς καλοὶ τραπεζῖται δοκιμάζωμεν μὲν τὸν τῶν ἀληθῶν 440B
216 διάκονον, ἀποδοκιμάζωμεν δὲ τὸν τῶν ψευδῶν. ἐνθάδε μὲν οὖν

4 Gal. 2, 9. — 10 I Kor. 4, 2. — 12 Joh. 13, 20. — 22 Vgl. Gal. 1, 1. — 31 Vgl. o. S. 307, 5.

6 *μόνοις*] *μο* a. Ras. | 9 *γένηται* nur noch aus d. Abklatsch zu lesen | 10 *ὃ δὲ* mit De 37. 47. L.; dagegen in Jer. h. XI, 3 [81, 10 Kl.] *ὧδε* | *οἰκονόμοις* nur noch aus d. Abklatsch zu lesen | 12 *ἐὰν δέχεται*, corr. B | *ὅσους* und 14 *ὅτι* hängen von *ταῦτα* ab: „soviel darüber . ., wie viele und dass". We | *οὓς*] *ὡς*, corr. Pr 15 ⟨*ἂν*⟩ + V | 21 *ἐμοῦ*, corr. Pr | 29 *ἀλήθειαν*] *ν* a. Ras.

Digitized by Google

»Ὁ λαμβάνων, φησίν, ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμ»βάνων, λαμβάνει τὸν πέμψαντά με« καὶ »Ὁ θεωρῶν ἐμέ, θεωρεῖ »τὸν πέμψαντά με«· οὔτε δὲ εἴρηται· Ὁ πιστεύων εἰς ὑμᾶς, πιστεύει εἰς ἐμέ· οὔτε Ὁ θεωρῶν ὑμᾶς, θεωρεῖ ἐμέ. λαμβάνειν μὲν γὰρ ἡμᾶς βούλεται τοὺς ἀποστόλους ἑαυτοῦ, οὐ μὴν καὶ πιστεύειν εἰς αὐτούς. λαμβάνωμεν οὖν τοὺς ὑπὸ τοῦ λόγου ἡμῖν ἀποστελλομένους 219 καὶ αὐτὸν τὸν λόγον τοῦ θεοῦ· μηδέποτε δὲ παραδεξώμεθα ἀπόστολον ἀντιχρίστου καὶ λόγον ψευδῆ.

XIII, 21. *Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι καὶ ἐμαρτύρησεν καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με*

XVIII. (11) Ἀνωτέρω εἶπεν· »Νῦν ἡ ψυχή μου τετάρακται«· 218 νῦν δὲ λέγεται ὅτι »Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι«. καὶ ζητῶ τοιαῦτα εἰς τὸν τόπον· τί δήποτε οὐκ εἴρηται ἀνάλογον τῷ »Νῦν ἡ ψυχή μου τετάραχται« τὸ »τὸ πνεῦμα τοῦ Ἰησοῦ τετά»ραχται«, ἢ ἀνάλογον τῷ »Ἐταράχθη τῷ πνεύματι« τὸ »Νῦν ἡ 295r »ψυχή μου τετάραχται«; καὶ ταῦτα ζητεῖν ἐτόλμησα μετρίως, τηρήσας ἐν πάσῃ τῇ γραφῇ διαφορὰν ψυχῆς καὶ πνεύματος καὶ μέσον μέν τι θεωρῶν εἶναι τὴν ψυχὴν καὶ ἐπιδεχομένην ἀρετὴν καὶ κακίαν, ἀνεπίδεκτον δὲ τῶν χειρόνων τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· τὰ γὰρ κάλλιστα καρποὶ λέγονται εἶναι τοῦ πνεύματος, οὐχ ὡς ἂν οἰηθείη τις, τοῦ ἁγίου, ἀλλὰ τοῦ ἀνθρωπίνου. πρὸς ἀντιδιαστολὴν 219 γὰρ τούτου φανερὰ λέγεται εἶναι τὰ ἔργα τῆς σαρκός, πάντα ψεκτὰ 433R τυγχάνοντα, ἐπεὶ μηδὲν ἔργον σαρκὸς ἐπαινετόν. ἅπαξ δὲ μέχρι τοῦ 220 δεῦρο εὗρον πνεῦμα φαύλου σκληρύνεσθαι λεγόμενον ὑπὸ κυρίου τοῦ θεοῦ. γέγραπται γὰρ οὕτως ἐν τῷ Δευτερονομίῳ· »Καὶ οὐκ 221 »ἠθέλησεν Σηὼν βασιλεὺς Ἐσσεβῶν παρελθεῖν ἡμᾶς δι' αὐτοῦ, ὅτι »ἐσκλήρυνεν κύριος ὁ θεὸς τὸ πνεῦμα αὐτοῦ, καὶ κατίσχυσεν καρδίαν »αὐτοῦ, ἵνα παραδοθῇ εἰς τὰς χειράς σου ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ«. ἀλλὰ τὰ περὶ μὲν τούτου οἰκειότερον ἐν τοῖς εἰς τὸ Δευτερονόμιον 222 ἐξετασθείη ἄν. νῦν δὲ πρόκειται λέγειν πῶς τὰ προειρημένα »Εἰπὼν 223 »ὁ Ἰησοῦς ἐταράχθη« οὐ τὴν ψυχὴν οὐδὲ τῇ ψυχῇ, ἀλλ' οὐδὲ τοῦ πνεύματος, ἀλλὰ »τῷ πνεύματι«. ἵν' οὖν τὸ περὶ τοῦ πνεύματος

1 Joh. 13, 20. — **2** Joh. 12, 45. — **12** Joh. 12, 27. — **15** Joh. 12, 27. — **16** Joh. 12, 27. — **23** Vgl. Gal. 5, 19. — **26** Deut. 2, 30. — **31** Joh. 13, 21.

1 ἐὰν mit D*Δ* 1. 69. EFGH al. | **2** *πέμψαντα*] *εμ* a. Ras. | **7** τὸν ü. d. Z. | **22** ἀνθρώπου, corr. Pr | **27** σιὼν, corr. Hu nach T | εὐσεβῶν, corr. Pr; vgl. T.

Digitized by Google

παρατήρημα μὴ διαπίπτῃ, λεκτέον ὅτι ἐν μὲν τῷ »Νῦν ἡ ψυχή μου »τετάρακται« τὸ τῆς ταραχῆς πάθος ψυχῆς ἦν, ἐν δὲ τῷ »Ἐταράχθη »τῷ πνεύματι ὁ Ἰησοῦς«, ὅπερ ἐστὶν τὸ ἀνθρώπινον, τὸ πάθος ἦν 401E
224 ἐρχόμενον τῇ ἐπικρατείᾳ τοῦ πνεύματος. ὡς γὰρ ὁ ἅγιος ᾧ πνεύματι, προκατάρχοντι τῶν ἐν τῷ ζῆν καὶ πάσης πράξεως καὶ εὐχῆς καὶ τοῦ πρὸς θεὸν ὕμνου, οὕτως πᾶν ὅ τί ποτ' ἂν ποιῇ, ποιεῖ
225 πνεύματι, ἀλλὰ κἂν πάσχῃ, πάσχει πνεύματι. εἰ δὲ ὁ ἅγιος. πόσῳ μᾶλλον ταῦτα λεκτέον περὶ τοῦ τῶν ἁγίων ἀρχηγοῦ Ἰησοῦ, οὗ τὸ πνεῦμα τοῦ ἀνθρώπου, ἐν τῷ ἀνειληφέναι αὐτὸν ὅλον ἄνθρωπον.
226 τὸ ἐν αὐτῷ διέσεισεν τὰ λοιπὰ ἐν αὐτῷ ἀνθρώπινα; καὶ οὕτως »ἐταράχθη τῷ πνεύματι«, ἵνα μαρτυρήσῃ καὶ ἵνα εἴπῃ μετὰ τοῦ θείου οἱονεὶ ὅρκου τοῦ ἀμὴν τὸ »Λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παρα-
227 »δώσει με«. τοῦ γὰρ πνεύματος, οἶμαι, θεωρήσαντος τὸ ἤδη ἀπὸ τοῦ διαβόλου βεβλημένον εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἵνα τὸν διδάσκαλον παραδῷ, φωτισθεὶς εἰς τὸ ἐσόμενον ἐταράχθη· καὶ ἐπεὶ ἡ ταραχὴ ἀπὸ τῆς ἐν πνεύματι γνώσεως γεγένηται. ὃ καὶ ἐν ταραχῇ ἐγένετο. »Ἰησοῦς, εἴρηται, ἐταράχθη τῷ πνεύματι«.
228 τάχα δὲ καὶ κατὰ μίαν ἐκδοχὴν τὴν »Ἡ σὰρξ ἀσθενής« καὶ ἡ σὰρξ τετάρακται· ταῦτα δ' ἦν ὁ Ἰησοῦς, περὶ οὗ ὑπὸ τοῦ Γαβριὴλ πρὸς τὴν Μαρίαν εἴρηται τὸ »Καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρί, καὶ καλέσεις »τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κλη-»θήσεται«.

229 Σημείωσαι δὲ τίνα τρόπον ἐν τοῖς ἐξεταζομένοις τὸ ἐμαρτύ-
230 ρησεν | ἀναφέρεται ⟨εἰς⟩ τὸ »Εἷς ἐξ ὑμῶν παραδώσει με«. καὶ τοῦτο 402A
γὰρ λεγόμενον καὶ προφητευόμενον τοῖς μαθηταῖς περὶ Ἰούδα, τοῦ ἑνὸς ἐξ αὐτῶν, μαρτυρία ἦν ὁμώνυμος, οἶμαι, τῷ παρὰ τὸ μαρ-
231 τυρεῖν καὶ ἀποθνήσκειν ὑπὲρ θεοσεβείας σημαινομένῳ. οὐ γὰρ ταὐτὰ νομίζω σημαίνεσθαι ἐν τῷ »Ἐμαρτύρησεν«, ὅτε δηλοῦται τὸ ῥῆμα, παρ' ὃ ὁ μάρτυς ἐσχημάτισται τοῦ θεοῦ καὶ τοῦ χριστοῦ αὐτοῦ.
232 καὶ νῦν ὅτε ἀναφέρεται ἐπὶ τὸ »Εἷς ἐξ ὑμῶν παραδώσει με«. ἔτι κατὰ δύναμιν ἐγὼ ἐφίστημι καὶ τῷ »Εἷς ἐξ ὑμῶν«, ἀναφερομένῳ ἐπὶ τὸν Ἰούδαν, μήποτε ἐμφαίνει τὸ ἀπὸ τάξεως ἀποστολικῆς, ἐν ᾗ καὶ αὐτὸς ὕφω⟨ται⟩ τῷ διάθεσίν ποτε παραπλησίαν τοῖς λοιποῖς

1 Joh. 12, 27. — 2 Joh. 13, 21. — 12 Joh. 13, 21. — 14 Vgl. Joh. 13, 2. — 18 Matth. 26, 41; Mark 14, 38. — 20 Luk. 1, 31f. — 23 Σημείωσαι — 27 σημαινομένῳ Cat[100]. — 30 Joh. 13, 21.

1 διαλίπῃ V | 15 φωτισθεὶς εἰς] φωτισθεῖσα, corr. Ferrarius | 20 nach γαστρὶ fehlt καὶ τέξῃ υἱὸν wohl nur durch Versehen | 23 σημείωσαι Cat., σημειωση M 24 ⟨εἰς⟩ + V Cat. | τοῦ[το γὰρ] völlig verblichen; Text nach V Cat. | 27 ταῦτα, corr. We | 33 ὕφω, corr. V.

Digitized by Google

ἀποστόλοις ἔχειν αὐτόν, ἀποπεπτωκέναι. οὕτως γὰρ ἐγὼ ἤκουσα 233
καὶ τοῦ »Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν«, ἐπεὶ μηδὲ ἐκεῖ εἴρη-
ται· »ὡς ἡμεῖς« ἢ »ὡς ἐγώ«, ἀλλὰ διὰ τὸν ἕνα ἐκπεσόντα τῆς μα-
καριότητος, τὸ »Ὡς εἷς ἐξ ἡμῶν«· ⟨τὸ δὲ⟩ »Ὡς εἷς« συνάδειν μοι
δοκεῖ καὶ μετὰ τοῦ »Ὑμεῖς δὲ δὴ ὡς ἄνθρωποι ἀποθνήσκετε«, τῷ
»Καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε«. πλειόνων γὰρ ἀρχόντων
γενομένων, εἷς πέπτωκεν, ᾧ παραπλησίως μιμούμενοι τὴν ἐκείνου
402H πτῶσιν πίπτουσιν οἱ ἁμαρτάνοντες. ὡς γὰρ ἐκεῖνος ἐν θεότητι 234
τυγχάνων πέπτωκεν, οὕτω καὶ πρὸς οὓς ὁ λόγος φησὶ τὸ »Ἐγὼ
»εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες«, ἀποπεσόντες τῆς μα-
καριότητος, οὐ προηγουμένως ὄντες ἄνθρωποι, ὡς ἄνθρωποι ἀπο-
θνήσκουσιν καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτουσιν. νομίζω δὲ καὶ 235
θαυμαστικῶς εἰρῆσθαι τοιούτῳ νῷ τὸ λεγόμενον· ὁ παραδώσων με
οὐκ ἀλλότριος τῶν ἐμῶν μαθητῶν ἐστιν, ἀλλ' οὐδὲ εἷς τῶν πολλῶν
μαθητῶν, ἀλλὰ εἷς τῶν ἐν ἐκλογῇ μοι τετιμημένων ἀποστόλων.
πολλοὶ μὲν οὖν, καταψηφιζόμενοι τοῦ Ἰησοῦ, φασίν· »Σταύρου, 236
»σταύρου αὐτόν« καὶ »Ἆρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον«. τὸ δὲ 237
παραδοῦναι αὐτὸν ἔργον ἦν ἑωρακότος καὶ νενοηκότος αὐτόν· διδά-
σκαλον γὰρ αὐτὸν ἐπιστάμενος τῶν τηλικῶνδε καὶ τοσῶνδε μαθη-
μάτων, ἃ κατ' ἰδίαν μετὰ τῶν ἀποστόλων ἤκουσεν, καὶ κύριον
αὐτὸν εἰδώς, παραδιδοὺς αὐτόν, ὃ ἔγνω μέγεθος αὐτοῦ παρέδωκεν,
οὐκ ἂν ποιήσαντος τοῦτό τινος τὸ μέγεθος αὐτοῦ μὴ τεθεωρηκότος.
τὸν μὲν γὰρ μέγαν παραδέδωκεν, οὐ καθ' ὃ μέγας ἐστίν, ἐπεὶ μὴ 238
εἶδεν καθ' ὃ μέγας ἐστίν· ὁ δὲ καὶ μαθὼν πῶς μέγας ἦν καὶ
ἀκροατὴς γενόμενος τοῦ μεγέθους τῆς ἐν αὐτῷ σοφίας καὶ λόγου
435R καὶ χάριτος καὶ προδοὺς αὐτόν, προέδωκεν ὅλον καθ' ὃ εἶδεν μέ-
γεθος. διὰ τοῦτο συνέφερεν αὐτῷ εἰ μὴ ἐγεννήθη, εἴτε τὴν τῆς 239
296r παλιγγενεσίας γένεσιν, ὡς ἂν βαθύτερόν τις ἀκούσας, εἴτε καὶ τὴν
κοινότερον νοουμένην· περὶ ἧς ὁ πραγμάτων ἑαυτὸν ἀπαλλάττειν
θέλων, καὶ ζητήσας ὅτι ᾧ συμφέρει, ὄντι συμφέρει, καὶ ὑπονοήσας
ὅτι οὐκ ἂν μὴ ὄντι αὐτῷ συνέφερεν, ἐπὶ τὴν δευτέραν κατελθὼν
διήγησιν, ἐκείνην μᾶλλον παραδέξεται.

2 Gen. 3, 22. — **5** Ps. 81, 7. — **9** Ps. 81, 6. — **16** Luk. 23, 21. — **17** Act. 22, 22. — **27** Vgl. Matth. 26, 24; Mark. 14, 21.

1 ἀπο[πεπ]τωκέναι a. Ras. | **4** ⟨τὸ δὲ⟩ + Br | **5** τοῦ M*, zu τὸ ὑ corr. | τῷ] τὸ, corr. V | **19** τηλικῶνδε] τηλικούτων δὲ, corr. Br | ποσῶνδε, corr. Br | **22** ποιήσαντες, corr. V | **23** παρέδωκεν ἂν ? We | **26** ὅλον καθ' ὃ] ὁ λουκας M, ὅλον ὁ V, οὐ καθ' ὅλον δ B, corr. Br | **28** ἀκούσαι nur schwer lesbar | **31** [δευ]τέραν [κατ]ελθὼν verblichen.

Digitized by Google

XIII, 22. *Ἔβλεπον εἰς ἀλλήλους οἱ μαθηταί, ἀπορούμενοι περὶ τίνος λέγει.*

240 XIX. (12) *Εἰ μὲν προφανὴς ἦν τοῖς Ἰησοῦ μαθηταῖς ἡ τοῦ Ἰούδα κακία, κἂν ἔγνωστο, εἰπόντος τοῦ σωτῆρος ὅτι »Εἷς ἐξ ὑμῶν »παραδώσει με«, τίς ἦν ὁ παραδώσων τὸν διδάσκαλον. νυνὶ δὲ βλέπουσιν »εἰς ἀλλήλους οἱ μαθηταί, ἀπορούμενοι περὶ τίνος λέγει«.*

241 *καὶ γὰρ Ἰούδας τάχα μὲν ἐκ προτέρων χρηστοτέρων ἐδυσώπει τοὺς ἀποστόλους πρὸς τὸ μηδὲν ὑπονοῆσαι περὶ αὐτοῦ φαῦλον· τάχα δὲ καὶ τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν, ἵνα παραδῷ αὐτὸν Ἰούδας Σίμωνος Ἰσκαριώτης, οὐκ ἦν τῆς πονηρίας ἐξ ὅλων· λείμματος γὰρ προαιρέσεως ἀγαθῆς ὑπάρχοντος ἐν αὐτῷ, ἰδὼν ὅτι κατεκρίθη, ἡνίκα »δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν Πιλάτῳ »τῷ ἡγεμόνι«, »μεταμεληθεὶς ἔστρεφεν τὰ τριάκοντα ἀργύρια τοῖς »ἀρχιερεῦσι καὶ πρεσβυτέροις λέγων· Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον· ὅτε εἰπόντων αὐτῶν· »Τί πρὸς ἡμᾶς; σὺ ὄψῃ«· ῥίψας ὁ φιλάργυρος Ἰούδας τὰ ἀργύρια »ἀπελθὼν ἀπήγξατο«, μηδὲ περιμείνας ἰδεῖν τοῦ*

242 *περὶ τὸν Ἰησοῦν παρὰ τῷ Πιλάτῳ κρίματος τὸ τέλος. καὶ γέγονεν αὐτῷ οὔτε καθαρὰ ἀπὸ ἁμαρτίας μετάνοια, οὔτε ἄκρατος πρός τι χρηστότερον ἡ πονηρία. εἰ μὲν γὰρ καθαρῶς μετενόει κἂν ὡς ὁ λῃστὴς εἶπεν· »Μνήσθητί μου, Ἰησοῦ, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ »σου«, προσελθὼν τῷ σωτῆρι ἐποίει τὰ παρ' αὐτοῦ, πρὸς τὸ ἐξιλά-*

243 *σασθαι αὐτὸν ἐπὶ τῇ φθασάσῃ γεγονέναι προδοσίᾳ. εἰ δὲ πάντη τὴν τοῦ καλοῦ ἔννοιαν ἐξεληλακὼς ἦν τῆς ἑαυτοῦ ψυχῆς, οὔτ' ἂν μετεμελήθη ἰδὼν ὅτι κατεκρίθη ὁ Ἰησοῦς· ἀλλὰ καὶ προσετίθει ἂν λό-*

244 *γους κατηγορῶν αὐτοῦ συγγενεὶς τῇ προδοσίᾳ· ἀλλὰ καὶ ἀπολαύων ἂν ὡς φιλάργυρος ὢν ἔλαβεν τριάκοντα ἀργυρίων, »τὴν τιμὴν τοῦ »τετιμημένου«, οὔτ' ἂν ἐβουλεύσατο ἀπώσασθαι τὰ ἀργύρια οὔτ' ἂν ἔστρεψεν αὐτὰ τοῖς ἀρχιερεῦσιν καὶ πρεσβυτέροις, οὔτ' ἂν ἐπ' αὐτῶν ἐκείνων ἐξωμολογήσατο, αὐτοῦ μὲν κατηγορῶν, τὸν ⟨δὲ⟩ διδάσκαλον*

245 *καὶ ἐγκωμιάζων ἐν τῷ· »Ἥμαρτον παραδοὺς αἷμα δίκαιον«. ἀλλὰ καὶ τὸ ἀπάγξασθαι αὐτὸν οὐδεὶς | ἄλλος ἐποίησεν ἢ ὁ βεβληκὼς αὐτοῦ εἰς τὴν καρδίαν ἵνα παραδῷ τὸν σωτῆρα· καὶ τόπον γε κατ' ἀμφότερα ἔδωκεν τῷ διαβόλῳ.*

6 *βλέπουσιν* — **8** *φαῦλον* Cat.[100] — **9** Vgl. Joh. 13, 2. — **12** Vgl. Matth. 27, 2–5. 20 Luk. 23, 42. — **26** Vgl. Matth. 27, 9. — **30** Matth. 27, 4. — **31** Vgl. Joh. 13, 2.

1 *ἔβλεπον εἰς* a. Ras. | **4** *ἡμῶν*, corr. V | **6** *βλέπουσιν οὖν* Cat. | **7** *προτέρων* V Cat., *πρότερον* M | **13** *ἔστρεψεν* T u. Orig. c. Cels. II, 11 [I, 139, 10 K], *ἔστρεφεν* ist singulär | **15** *ὄψῃ* mit B**ℵ**ACLX*Δ* al.; c. Cels. II, 11 *ὄψει* mit 1. 69. EUς 20 Die Stellung von *Ἰησοῦ* ist singulär | **30** *δίκαιον*] Z. 14 *ἀθῷον*; wie hier lesen B[mg] L Syr. Hier. Boh. Sah. Arm.; wie dort B[text] **ℵ**AC rell. Syr. Pesch. Hcl. Goth.

Digitized by Google

Ταῦτα δὲ κατὰ δύναμιν ἐπεξειργασάμην ἅμα μὲν παριστὰς τοῖς 246
οἰομένοις αὐτὸν φύσει γεγονέναι ἀνεπίδεκτον σωτηρίας, ὅτι οὐ τοιοῦ-
τος ἦν, ἅμα δὲ διηγούμενος ὅτι εὐλόγως οἱ μαθηταὶ ἐπὶ τῷ τοῦ κυρίου
λόγῳ »ἔβλεπον εἰς ἀλλήλους, ἀπορούμενοι περὶ τίνος λέγει«. ἀρκεῖ 247
δὲ παραθέσθαι καὶ προφητικὴν λέξιν ἀπὸ τοῦ τεσσαρακοστοῦ Ψαλ-
μοῦ, παριστᾶσαν ὅτι ἅγιος ὢν μεταπέπτωκεν. ἐπεὶ γέγραπται· »Καὶ
»γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους
»μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν«. ἀλλὰ καὶ τὸ »Εἰ ἐχθρὸς ὠνεί- 248
»δισέν με, ὑπήνεγκα ἄν« ἐπ' αὐτὸν ἀναφερόμενον δηλοῖ ὅτι οὐκ ἀρ-
χῆθεν ἐχθρὸς ἦν. ἀλλὰ καὶ τὸ »Εἰ ὁ μισῶν με ἐμεγαλορημόνησεν. 249
»ἐκρύβην ἂν ἀπ' αὐτοῦ« παρίστησιν ὅτι καὶ ἠγάπα ποτὲ τὸν Ἰησοῦν,
φθάσας ἐπὶ τὸ καὶ ἰσόψυχος αὐτῷ τυγχάνειν, ἐπεὶ γέγραπται· »Σὺ
»δὲ ἄνθρωπε ἰσόψυχε, καὶ ἡγεμών μου, καὶ γνωστέ μου«. καὶ ἄλλα 250
δ' ἂν εὕροις μυρία, ἐξ ὧν συνήσεις ὅτι εἰκότως οἱ μαθηταὶ »ἔβλεπον
104 H »εἰς ἀλλήλους, ἀπορούμενοι περὶ τίνος λέγει«. ὁ δὲ Λουκᾶς ἀνέγρα- 251
ψεν ὅτι εἰπόντος τοῦ σωτῆρος· »Πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόν-
»τος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου κατὰ
»τὸ ὡρισμένον αὐτῷ πορεύεται, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι'
»οὗ παραδίδοται« οἱ μαθηταὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τίς
»ἄρα εἴη ἐξ αὐτῶν ὁ μέλλων τοῦτο πράσσειν«· συνεζήτουν γὰρ »ἀπο- 252
»ρούμενοι περὶ τίνος λέγει«. ἀλλὰ κατὰ μὲν τὸν Λουκᾶν οὐκ ἐμ-
φαίνεται ὅτι ἕκαστος καὶ ἑαυτὸν ὑπενόει· κατὰ δὲ τὸν Ματθαῖον
καὶ τὸν Μάρκον καὶ τοῦτο παρίσταται. ὁ μὲν γὰρ Ματθαῖός φησι· 253
»Καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν· Μήτι ἐγώ εἰμι, κύριε;«
ὁ δὲ Μάρκος ὅτι »Ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς καθ' ἕνα· 254
»Μήτι ἐγώ; καὶ ἄλλος· Μήτι ἐγώ;« ἐμέμνηντο γάρ, οἶμαι, ἄνθρωποι 255
ὄντες, ὅτι τρεπτή ἐστιν ἡ προαίρεσις τῶν ἔτι προκοπτόντων καὶ
ἐπιδεχομένη τὸ ἐναντία θέλειν οἷς πρότερον προέθετο. τάχα δὲ καὶ 256
μαθόντες πρὸς ἃ ἡμῖν ἐστιν ἡ πάλη, εὐλαβοῦντο διὰ τὸ ἐν ἀνθρώ-
37 R ποις ἄδηλον μήποτε νικηθέντες παραδέξωνται καὶ τὴν περὶ τοῦ δι- 257
δασκάλου προδοσίαν. καὶ γὰρ ὁ Πέτρος πρόθεσιν μὲν εἶχεν, ὅτε δια-
βεβαιούμενος ἔλεγεν· »Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ
»οὐ σκανδαλισθήσομαι« μὴ ἀρνήσασθαι τὸν Ἰησοῦν· ἐκνικηθεὶς δὲ

6 Ps. 40, 10. — **8** Ps. 54, 13. — **10** Ps. 54, 13. — **12** Ps. 54, 14. — **16** Luk. 22, 21—23. — **20** Joh. 13, 22. — **24** Matth. 26, 22. — **25** Mark. 14, 19. — **29** Vgl. Eph. 6, 12. — **32** Matth. 26, 33; vgl. Mark. 14, 29.

13 καὶ¹ fehlt im T | **17** ὁ μὲν υἱὸς = AX*Δ* 1. 69. EFG rell. ὁ υἱὸς μὲν B𝔎TL **18** αὐτῷ mit Syr. Cur. Aeth. | **24** nach λέγειν fehlt αὐτῷ mit D 69. Latt. Boh. Aeth. u. εἷς ἕκαστος singulär | **25** καθ' ἕνα singulär; καθ' εἷς ADPX rell. | **28** τὸ] τὰ, corr. We | **29** ἀνθρώποις] *a* u. *οι* a. Ras. | **32** Zur Form des Citates vgl. Syr. Sin.

Digitized by Google

ἐπὸ τοῦ τῆς δειλίας πνεύματος πρὸ ἀλεκτοροφωνίας τρὶς αὐτὸν
258 ἠρνήσατο. ἐκ τῶν τοιούτων δὴ λόγων διδασκόμεθα· »Ὁ στήκων
»βλεπέτω μὴ πέσῃ« | καὶ »Μὴ καυχῶ τὰ εἰς αὔριον, οὐ γὰρ οἶδας τί 260
τέξεται ἡ ἐπιοῦσα«. τάχα δὲ καὶ τὸ »Ἔβλεπον εἰς ἀλλήλους οἱ μα-
»θηταὶ« πρὸς τῷ ἁπλούστερον νοουμένῳ καὶ τοιοῦτόν τι δηλοῖ, ὅτι
ἕκαστος κατὰ τὸ δυνατὸν ἀνθρωπίνῃ φύσει ἐνεώρα εἰς τὴν προαίρε-
σιν τοῦ ἑτέρου, ἐπαπορῶν εἰ δύναται ἡ τοιαῦτα πράξασα ψυχὴ καὶ
οὕτω πρὸς τὸν ἀψευδῆ διδάσκαλον διατεθεῖσα, ἀληθῶς μαρτυρήσαντα
ἐν τῷ εἰρηκέναι· »Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει
»με«, ἐπὶ τοσοῦτον ἐκτραπῆναι καὶ ἐπιλαθέσθαι τῶν τοῦ διδασκάλου
259 μαθημάτων, ὡς καὶ ἐπὶ τὴν προδοσίαν αὐτοῦ φθάσαι. ἐμφαντικὴ
γὰρ ἡ περὶ τῶν μαθητῶν λέξις ἡ »Ἀπορούμενοι περὶ τίνος λέγει·
οὐ γὰρ εὐπόρουν ἐννοῆσαι περὶ τίνος τὸ προειρημένον ἦν, ἀλλ' ἦσαν
περὶ τούτου ἀπορούμενοι καὶ οὐδὲν οὔτε νοεῖν οὔτε λέγειν σαφὲς
εὑρίσκοντες.

XIII, 23. *Ἦν ἀνακείμενος εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ ἐν*
τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς. **24** *νεύει οὖν τούτῳ*
Σίμων Πέτρος καὶ λέγει αὐτῷ· Εἰπὲ τίς ἐστιν περὶ οὗ λέγει.
25 *ἀναπεσὼν ἐκεῖνος ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ λέγει αὐτῷ·*
Κύριε, τίς ἐστιν; **26** *ἀποκρίνεται οὖν ὁ Ἰησοῦς· Ἐκεῖνός ἐστιν* 261
ᾧ ἐγὼ βάψω τὸ ψωμίον. βάψας οὖν τὸ ψωμίον λαμβάνει καὶ
δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτου· **27** *καὶ μετὰ τὸ ψωμίον*
τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς·
Ὃ ποιεῖς ποίησον τάχιον. **28** *τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνα-*
κειμένων πρὸς τί εἶπεν αὐτῷ· **29** *τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ*
γλωσσόκομον εἶχεν Ἰούδας, ὅτι λέγει αὐτῷ Ἰησοῦς· Ἀγόρασον
ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν, ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ.

260 XX. (13) *Ὁ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ ἀνακείμενος, εἷς τῶν μα-*
θητῶν ὃν ἠγάπα ὁ Ἰησοῦς, ἔοικεν ὁ *γράψας τὸ εὐαγγέλιον εἶναι*
Ἰωάννης· ἐπὶ γὰρ τῷ τέλει τοῦ εὐαγγελίου γέγραπται ὡς »Ἐπιστρα-
»φεὶς ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολου-

2 I Kor. 10, 12. — 3 Prov. 27, 1. — 4 Joh. 13, 22. — 5 ὅτι — 11 φθάσαι Cat[100]. — 9 Joh. 13, 21. — 30 Joh. 21, 20–23.

2 ὁ στήκων statt ὁ δοκῶν ἑστάναι singulär | 8 ἀληθῶς — 10 με < Cat. | 10 ἐκτραπῆναι Cat., τραπῆναι M | 11 ἐμφαντική] εμ u. ι a. Ras. | 20 οὖν ὁ BNaC*LX Syr. Hcl. | 21 nach ψωμίον + καὶ δώσω [αὐτῷ] T | 30 ἐπεὶ.

Digitized by Google

»θοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ
»εἶπεν· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; τοῦτον οὖν ἰδὼν ὁ Πέτρος
438R »λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν
»αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σύ μοι ἀκολούθει.
»ἐξῆλθεν οὖν ὁ λόγος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ
»ἀποθνήσκει. οὐκ εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει, ἀλλ'·
»Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;« ὅτι δὲ ὁ μαθη- 261
τὴς οὗτος ὁ γράψας τὸ εὐαγγέλιον Ἰωάννης ἐστὶν δῆλον ἐκ τῶν
ἐπιφερομένων οὕτως ἐχόντων ὅτι »Οὗτός ἐστιν ὁ μαθητὴς ὁ καὶ
»μαρτυρῶν περὶ τούτων, ὁ γράψας ταῦτα«. παρατήρει δὲ ἐν ἀμφο- 262
τέροις τοῖς τόποις τοῦ εὐαγγελίου τίνα τρόπον ὁ Πέτρος, ὡς ἐπὶ
πλεῖον αὐτῷ θαρρῶν καὶ προσκεκλιμένος, ὅπου μὲν »Νεύει αὐτῷ καὶ
297v »λέγει· Εἰπὲ τίς ἐστιν, | περὶ οὗ ὁ Ἰησοῦς προδώσοντός φησιν«.
ὅπου δὲ ἰδὼν αὐτὸν ἀκολουθοῦντα ὡς φροντίζων αὐτοῦ μᾶλλον
παρὰ τοὺς λοιποὺς λέγει τῷ Ἰησοῦ περὶ αὐτοῦ· »Κύριε, οὗτος δὲ
»τί;« βουλόμενος μαθεῖν καὶ τὸ κατὰ τὸν Ἰωάννην τέλος ὁμοίως τῷ
ἐγνωκέναι τὰ περὶ αὐτοῦ, ὅτι ὅταν γηράσῃ ἐκτενεῖ τὰς χεῖρας αὐτοῦ,
καὶ ἄλλος αὐτὸν ζώσει καὶ οἴσει ὅπου οὐ θέλει. εἴπερ δὲ ἃ ἐλάλει 263
ῥήματα ὁ Ἰησοῦς πνεῦμά ἐστιν καὶ οὐ γράμμα, δι' ὅλων ζωή ἐστιν
καὶ οὐδαμῶς θάνατος, καὶ μιμούμενος αὐτὸν ὁ μαθητὴς ὃν ἠγάπα
πνεῦμα καὶ ζωὴν ἀναγράφει, ἀκουστέον τοῦ »Ἵν ἀνακείμενος εἷς ἐκ
»τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ« ἀξίως τιμῆς, ἧς
πρέπει διδόναι τὸν υἱὸν τοῦ θεοῦ καὶ λαμβάνειν τὸν ἀγαπώμενον
ὑπ' αὐτοῦ. καὶ νομίζω ὅτι εἰ καὶ συμβολικῶς τότε ἀνακείμενος Ἰωάννης 264
ἦν ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, τοῦ γέρως τούτου ἀξιωθεὶς ὡς ἐξαιρέτου
ἀγάπης κριθεὶς ἄξιος τῆς ἀπὸ τοῦ διδασκάλου, τὸ συμβολικὸν τοῦτο
παρίστησιν ὅτι Ἰωάννης ἀνακείμενος τῷ λόγῳ καὶ τοῖς μυστικωτέροις
406H ἐναναπαυόμενος, ἀνέκειτο ἐν τοῖς κόλποις τοῦ λόγου, ἀνάλογον τῷ
καὶ αὐτὸν εἶναι ἐν τοῖς κόλποις τοῦ πατρός, κατὰ τὸ »Ὁ μονογενὴς
»θεός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο«. εἰ μὴ 265
ταπεινότερον δὲ ἀκούομεν καὶ τοῦ »Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτω-
»χὸν καὶ ἀπενεχθῆναι αὐτὸν † ἀπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον
»Ἀβραάμ«, τοιοῦτόν τι καὶ περὶ τοῦ κόλπου Ἀβραὰμ νοήσομεν· ὅπερ

9 Joh. 21, 24. — **12** Joh. 13, 24. — **14** Vgl. Joh. 21, 20. — **17** Vgl. Joh. 21, 18. — **19** Vgl. Joh. 6, 63. — **21** Joh. 13, 23. — **29** Joh. 1, 18. — **31** Luk. 16, 22.

4. 7 *αιως* M*, corr. M² | **5** *οὗτος* vor oder nach *ὁ*¹ fehlt nur hier | **9** *καὶ* mit B | **10** *καὶ* vor oder nach *ὁ* fehlt nur hier | **17** *ἐκτείνει*, corr. V | **29** *ὁ* vor *μονογενὴς* mit ℵ[a]AC[3]X*Δ* 1. 33. rell. Boh. | **30** *θεὸς* mit ℵBC*L 33. Syr. Pesch. Hcl.[mg] Boh. Aeth. | **32** *ἀπὸ*] l. *ὑπὸ* mit T.

Digitized by Google

ἐὰν οὕτως * * * ἐσόμεθα, ἀπολογησάμενοι πρὸς τὴν κατ᾽ ἄγνοιαν περὶ τῆς γραφῆς ἐπαπόρησιν, λεχθεῖσαν ὑπὸ τοῦ βουληθέντος ἀθετῆσαι τὴν περὶ τὸν πλούσιον καὶ τὸν πένητα διήγησιν· εἰ γὰρ ἀνέκειτο, φησίν, εἰς τὸν κόλπον τοῦ Ἀβραὰμ ὁ Λάζαρος, ἕτερος πρὸ τοῦ τοῦτον ἐξελθεῖν τὸν βίον ἦν ⟨ἂν⟩ ἐν τῷ κόλπῳ τοῦ Ἀβραάμ, καὶ πρὸ ἐκείνου ἄλλος. ἀλλὰ καὶ ἄλλου, φησί, δικαίου ἐξελθόντος ὁ πτωχὸς ὑπαναστήσεται· οὐ γὰρ ἑώρα τὸν κόλπον τοῦ Ἀβραὰμ ὁ περὶ τούτων ἐπαπορῶν, καὶ ὅτι δυνατόν ἐστιν μυρίους ἐν τῷ κόλπῳ τοῦ Ἀβραὰμ ἅμα ἀναπαύεσθαι, κοινωνοῦντας τῶν ἀποκαλυφθέντων αὐτῷ.

XXI. Εἰ δὲ καὶ ἄλλον τόπον περὶ τῆς τοῦ κόλπου ὀνομασίας δεήσει παραθέσθαι ἀπὸ τῆς γραφῆς, φέρε ἐξετάσωμεν τίνα τρόπον εἶπεν κύριος τῷ Μωϋσῇ· »Πάλιν εἰσένεγκον τὴν χεῖρά σου εἰς τὸν »κόλπον σου. καὶ εἰσήνεγκεν τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ. »καὶ ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλπου αὐτοῦ καὶ ἐγένετο ἡ χεὶρ »αὐτοῦ λεπρῶσα ὡσεὶ χιών. καὶ εἶπεν· Εἰσένεγκον τὴν χεῖρά σου »εἰς τὸν κόλπον σου. καὶ εἰσήνεγκε τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον »αὐτοῦ, καὶ ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλπου αὐτοῦ. καὶ πάλιν ἀπε»κατεστάθη εἰς τὴν χρόαν τῆς σαρκὸς αὐτοῦ«. χαλεπὸν μὲν οὖν ἰδεῖν καὶ ὑπὲρ | ἡμᾶς, τίνος σύμβολον εἶναι δύναται τὸ σημεῖον τοῦτο. ἐπεὶ δὲ χρὴ καὶ ἡμᾶς μὴ ἀργεῖν ἀπὸ τοῦ ζητεῖν καὶ τὸ ὑποπίπτον εἰς κρίσιν παραδοῦναι τῷ ἐντευξομένῳ, φήσομεν ὅτι ἡ χειροπράξεων πολλαχοῦ σύμβολόν ἐστιν· ὁ δὲ κόλπος Μωϋσέως δύο δυνάμεις ἔχει, τὴν μὲν προτέραν καὶ κατὰ τὰ τοῦ γράμματος νοήματα ποιοῦσαν τὴν πρᾶξιν τοῦ πράττοντος ὡσεὶ χιών, ὅσον ἐπὶ τῇ Ἑβραίων φωνῇ, [ἡ] καὶ λεπρῶσαν· τὴν δὲ δευτέραν καὶ κατὰ τὸν πνευματικὸν νόμον, καθαρὰν ἀποδεικνύουσαν τὴν πολιτείαν καὶ ἀποκαθιστανομένην εἰς τὸ βούλημα τῆς φύσεως τοῦ λόγου. καὶ τήρει γε ὅτι ἐπιφέρεται τούτοις τὸ »Ἐὰν μὴ πιστεύσωσίν σοι μηδὲ »εἰσακούσωσιν τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσουσίν σοι »τῆς φωνῆς τοῦ σημείου τοῦ δευτέρου«· ὁ γὰρ μὴ πιστεύσας τῇ ἐκδοχῇ τοῦ γράμματος, διὰ μεγαλόνοιαν πιστεύει τῇ πνευματικῇ τοῦ νόμου διηγήσει. ἐὰν δέ τις μὴ πιστεύσῃ τοῖς δυσὶ σημείοις τούτοις, τῷ μὲν προτέρῳ ὅτι λεπρὰν ποιεῖ τὴν πρᾶξιν, τῷ δὲ δευτέρῳ ὅτι ἀποκαθίστησιν αὐτὴν εἰς τὸ κατὰ φύσιν, τὸ ὕδωρ τούτῳ αἷμα γίνε-

12 Exod. 4, 6f. — 28 Exod. 4, 8.

1 διηγησώμεθα V, διηγησω a. Ras.; in M ist ἐσόμεθα z. lesen; davor scheint ὅλον gestanden z. haben; ⟨νοῶμεν⟩, ἐσόμεθα We | 2 λεχθεισαν, corr. We | 5 ⟨ἂν⟩ + V | 11 [δεήσει πα]ραθέσθαι nach V; in M ist d. Papier abgerieben | 14 αὐτὴν mit F | 15 εἰσένεγκον] εἰσένεγκε M, corr. V | 19 σύμβολον — τὸ unlesbar | 24 ποιοῦσα, corr. V | 25 [ἡ] str. V | 27 ἀποκαθιστανομένης | 29 πιστεύσωσιν.

Digitized by Google

ται. γέγραπται γάρ· »Καὶ ἔσται ἐὰν μὴ πιστεύσωσίν σοι τοῖς δυσὶ 271
»σημείοις τούτοις μηδὲ εἰσακούσωσιν τῆς φωνῆς σου, λήψῃ ἀπὸ τοῦ
»ὕδατος τοῦ ποταμοῦ καὶ ἐκχεεῖς ἐπὶ τὸ ξηρόν, καὶ ἔσται τὸ ὕδωρ
40R »ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ αἷμα ἐπὶ τοῦ ξηροῦ«. καὶ πρόσχες 272
δὲ ὅτι ἐπὶ τούτου τοῦ σημείου οὐκέτι λέγεται τὸ ἢ »πιστεύσωσίν
»σοι«, ἢ οὐ πιστεύσουσιν. δηλοῦται γὰρ ὅτι τῷ μὴ πιστεύσαντι τοῖς 273
δυσὶ σημείοις τὸ λαμβανόμενον ἀπὸ τοῦ ποταμοῦ ὕδωρ αἷμα γίνεται,
δι' ἀπιστίαν ποτίμου ἀπολαύειν οὐ δυναμένῳ λόγου. ἀλλὰ γὰρ 274
ἐπανέλθωμεν, πλείονα τοῦ δέοντος διὰ τὸν κόλπον τοῦ Ἰησοῦ παρα-
λαβόντες εἰς τὸν τόπον ἐπὶ τὸ προκείμενον, καὶ μαθόντες ὅτι ὃν
ἠγάπα ὁ Ἰησοῦς ἦν ἀνακείμενος ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, πάντα
πράττωμεν πρὸς τὸ ἐγκριθῆναι τῇ ἐξαιρέτῳ αὐτοῦ ἀγάπῃ· οὕτω
γὰρ καὶ αὐτοὶ ἀνακεισόμεθα ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ· νεύει δὲ τῷ
ἀγαπωμένῳ μαθητῇ Σίμων Πέτρος, καὶ μὴ ἀρκούμενος τῷ νεύματι
φησὶν αὐτῷ· »Εἰπὲ τίς ἐστιν περὶ οὗ λέγει«. ἐπεὶ οὖν τὸ νεύειν ἐν 275
ταῖς Παροιμίαις εἰς διαβολὴν λαμβάνεται· ὁ γὰρ φαῦλος »ἐννεύει
»μὲν ὀφθαλμῷ, φησίν, σημαίνει δὲ ποδί, διδάσκει δὲ νεύμασι δακτύ-
»λων, καὶ διεστραμμένῃ καρδίᾳ τεκταίνεται κακά« καὶ »Ὁ ἐννεύων
»ὀφθαλμοῖς μετὰ δόλου συνάγει ἀνδράσι λύπας«, λεκτέον ὅτι φαῦλον
οὐ τὸ νεύειν ἐστίν, ἀλλὰ τὸ νεύειν ὀφθαλμῷ, τοῦτ' ἔστιν πλαγιάζειν
τὸν ὀφθαλμὸν καὶ μὴ ὀρθὰ βλέπειν, καὶ τὸ νεύειν μετὰ δόλου ἐστὶν
τὸ ψεκτόν· νεύειν δὲ φιλομαθῶς Πέτρου ἔργον ἦν, καὶ ἀκολούθως
98V τῷ τοιούτῳ νεύματι | λέγειν τῷ συμφοιτητῇ, ὡς παρρησίαν πλείονα
ἔχοντι πρὸς τὸν διδάσκαλον· »Εἰπὲ τίς ἐστιν περὶ οὗ λέγει«. ἐβού- 276
λετο γὰρ ἴσως τὸ κατὰ τὴν προδοσίαν, ἣν προδίδωσιν Ἰούδας τὸν
Ἰησοῦν, μυστήριον ἰδεῖν, ὅπερ ἵνα μάθῃ ὁ Πέτρος, Ἰωάννης πρό-
τερον ἀνακείμενος ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ ἐπαναβέβηκεν καὶ ἀνέπεσεν
ἐπὶ τὸ στῆθος. καὶ τάχα μὴ ἀναπεσόντι ἐπὶ τὸ στῆθος, ἀλλὰ 277
μείναντι ἐπὶ τοῦ ἀνακεῖσθαι ἐν τῷ κόλπῳ, οὐκ ἂν παρέδωκεν ὃν
ἐπόθει μανθάνειν Ἰωάννης ἢ Πέτρος λόγον. εἰ καὶ ἀνακείμενος οὖν 278
πρότερον μὲν ἦν ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὕστερον δὲ ἀνέπεσεν ἐπὶ
τὸ στῆθος τοῦ Ἰησοῦ, διὰ τοῦ δευτέρου ἐν τοῖς τελευταίοις τοῦ εὐ-
αγγελίου χαρακτηρίζεται ὡς μείζονος καὶ διαφέροντος ὁ τοῦ Ἰησοῦ
γνήσιος μαθητής. γέγραπται γὰρ ὅτι »Ἐπιστραφεὶς ὁ Πέτρος βλέπει 279

1 Exod. 4, 9. — **11** Vgl. Joh. 13, 23. — **15** Joh. 13, 24. — **15** ἐπεὶ — **22** ψεκτὸν Cat.[100] — **16** Prov. 6, 13 f. — **18** Prov. 10, 10. — **34** Joh. 21, 20.

4 αἷμα ἐπὶ a. Ras. | **12** πράττομεν, corr. V | **15** οὖν] δὲ καὶ Cat. | **17** φησίν **Cat.**, < M | πόδας Cat.[RS] | **18** καὶ[1] — κακὰ < Cat. | **20** ὀφθαλμοῖς Cat. | **21** καὶ τὸ] τὸ γὰρ Cat. | **22** ψεκτόν ἐστιν Cat. | **23** συμφοιτητῇ] μφ a. Ras. | **34** βλέπῃ] η **a.** Ras.

Digitized by Google

»τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν
»ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπεν· Κύριε, τίς ἐστιν ὁ 463 R
»παραδιδούς σε;« οὐ γὰρ γέγραπται· »ὃς ἦν ἀνακείμενος ἐν τῷ κόλπῳ 441 R
Ἰησοῦ«.

280 XXII. (14) Τί δὲ καὶ ἀποκρινόμενος εἶπεν ὁ κύριος θεωρήσωμεν. 5
»Ἐκεῖνος, φησίν, ἐστὶν ᾧ ἐγὼ βάψω τὸ ψωμίον καὶ δώσω αὐτῷ«.
εἶπεν οὖν τοῦτο ὁ Ἰησοῦς, καὶ »βάψας τὸ ψωμίον λαμβάνει καὶ δί-
281 »δωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτου«. καὶ μετὰ τὸ ψωμίον τότε
εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς, οὐ δυνηθεὶς πρότερον εἰσελθεῖν,
οὐδὲ εὐθέως ἅμα τῷ βεβληκέναι εἰς τὴν καρδίαν ἵνα παραδῷ αὐτὸν 10
282 Ἰούδας Σίμωνος Ἰσκαριώτης. ἐχρῆν γάρ, οἶμαι, διὰ τῆς δόσεως τοῦ
ψωμίου ἀντιλαβεῖν αὐτὸ ἀπὸ τοῦ ἀναξίου ἔχειν τὸ κρεῖττον ὃ ἐδόκει
ἔχειν· ἀπὸ γὰρ τοῦ μὴ ἔχοντος καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐ-
283 τοῦ. ἀφαιρεθεὶς οὖν ὁ Ἰούδας ὡς ἀνάξιος τοῦ κρείττονος τοῦ εἰ-
284 πόντος, κεχώρηκε τὴν εἰς αὐτὸν τοῦ Σατανᾶ εἴσοδον. παραδείγματος 15
δὲ ἕνεκεν ἵνα νοηθῇ πῶς ψωμίον μὲν ἔδωκεν ὁ κύριος τῷ Ἰούδᾳ,
ἐκεῖνος δὲ τότε ἀπέθετο κρεῖττόν τι ἐνυπάρχον ἐν αὐτῷ, καὶ τάχα
τὴν εἰρήνην, ὑποστρέφουσαν ἀπὸ τοῦ ἀκούσαντος καὶ μὴ παραδεξα-
μένου ἐπὶ τὸν εἰπόντα, κατὰ τὸ λελεγμένον ὅτι »Ἐὰν μὲν ᾖ ἐκεῖ υἱὸς
»εἰρήνης, ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτὸν ἀναπαύσεται· ἐὰν δὲ μὴ ᾖ ἐκεῖ 20
»υἱὸς εἰρήνης, ἡ εἰρήνη ὑμῶν ἐφ' ὑμᾶς ἀνακάμψει«, παραθησόμεθα
καὶ ἀπὸ τῆς πρὸς Κορινθίους δευτέρας ἐπιστολῆς ταῦτα οὕτως γε-
γραμμένα· »Τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα καὶ
285 »τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα«. κατανοήσας
γὰρ τὴν ἐν τούτοις ἀντίδοσιν χοϊκῶν πρὸς πνευματικά, δυνήσῃ 25
ἰδεῖν | πῶς τῷ μὴ ἀξίῳ ἄρτου ψωμίον ἐπιδέδωκεν, ἵνα διὰ τοῦ 299 r
ψωμίου ἀφέλῃ αὐτοῦ, ὡς ἀναξίου ἔτι ἀκούειν· »Καὶ γὰρ ὁ ἄνθρωπος
»τῆς εἰρήνης μου« τὴν εἰρήνην (»ὁ ῥυπαρὸς γὰρ ῥυπανθήτω ἔτι«).
ἧς ἀφαιρεθείσης ὁ ἐπιτηρῶν καιροὺς τῆς εἰς τὴν ψυχὴν εἰσόδου
αὐτοῦ, καὶ τὸν διδόντα αὐτῷ τόπον εἰσελθεῖν, εἰς τὸν Ἰούδαν 30
286 ⟨εἰσῆλθεν⟩. ἅμα δὲ παρατήρει ὅτι πρότερον μὲν οὐκ εἰσῆλθεν ὁ Σα-
τανᾶς εἰς τὸν Ἰούδαν, ἀλλὰ βεβλήκει μόνον εἰς τὴν καρδίαν »ἵνα
»παραδῷ Ἰούδας Σίμωνος Ἰσκαριώτης τὸν διδάσκαλον«· κατὰ δὲ τὰ

6 Joh. 13, 26. — 10 Vgl. Joh. 13, 2. — 13 Vgl. Matth. 25, 29; Luk. 8, 18. — 19 Luk. 10, 6. — 23 II Kor. 8, 14. — 27 Ps. 40, 10. — 28 Vgl. Apok. 22, 11. — 29 Vgl. Eph. 4, 27. — 32 Vgl. Joh. 13, 2.

2 τὸ] τῶ, corr. V | 4 Ἰησοῦ] τοῦ M (für ιυ), corr. Ferrarius | 15 τὴν a. Ras. | 17 αὐτῷ] τω ü. d. Z. | 19 μένῃ M; vgl. z. dem Citat o. z. S. 448, 12 | 24 ἐκείνων] ἐκείνου, corr. Ausgg. | 29 καὶ ρευστῆς M, corr. Br; καιρὸν τῆς V | 31 ⟨εἰσῆλθεν⟩ + V

Digitized by Google

νῦν ἐξεταζόμενα μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς ἐκεῖνον. διόπερ καὶ 287
ἡμεῖς φυλαττώμεθα, μήποτε ὁ διάβολος βάλῃ εἰς τὴν καρδίαν ἡμῶν
ὁτιποτοῦν τῶν πεπυρωμένων αὐτοῦ βελῶν· ἐὰν γὰρ βάλῃ, ἐπιτηρεῖ
μετὰ τοῦτο καὶ αὐτὸς εἰσελθεῖν. ζητήσαι δ' ἄν τις, διὰ τί οὐ γέ- 288
γραπται· »ἐκεῖνός ἐστιν, ᾧ ἐγὼ δώσω τὸ ψωμίον‹, ἀλλὰ μετὰ
προσθήκης τῆς »βάψω‹· »Βάψω, γάρ φησι, τὸ ψωμίον καὶ δώσω‹,
καὶ »βάψας τὸ ψωμίον λαμβάνει καὶ δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκα- 289
442R »ριώτῃ‹. ὡς ἐν τοιούτοις δὴ τόποις πρόσχες εἰ δύνασαι τὸν ἐλλικρινῆ
409H ἄρτον ἀβαφῆ φάσκειν εἶναι καὶ καθ' αὑτὸν τρόφιμον· τὸ δὲ τῷ
Ἰούδᾳ ἐπιδιδόμενον καὶ οὐκ ἄρτος ἦν τὸ ψωμίον, καὶ οὐ ψωμίον
ἀβαφές, ἀλλὰ βεβαμμένον τῷ δυναμένῳ ἀποσπάσαι τῆς ψυχῆς αὐτοῦ
τὴν ἀπὸ τοῦ λόγου ἐπὶ ποσὸν ἐγγινομένην βαφήν, ἵνα μετὰ τὸ ψω-
μίον εἰσέλθῃ εἰς ἐκεῖνον ὁ Σατανᾶς. ἐγὼ δὲ ζητήσαιμ' ἂν ὡς τούτῳ 290
συγγενὲς τὸ ἀπὸ τοῦ κατὰ Ματθαῖον· »Ὁ ἐμβάψας τὴν χεῖρα μετ'
»ἐμοῦ ἐν τῷ τρυβλίῳ, οὗτός με παραδώσει‹, καὶ τὸ ἀπὸ τοῦ κατὰ
Μάρκον »Ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρυβλίον‹ καὶ τὸ ἀπὸ
τοῦ κατὰ Λουκᾶν δέ, εἰ καὶ μὴ ὀνομάζει τὸ »Ἐμβάψας‹, ἀλλ' ἥ φησί
γε· »Πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς
»τραπέζης‹. ὁ μὲν οὖν περὶ τούτου ἀληθὴς λόγος παρὰ τοῖς ἐμοῦ 291
εὑρεθείη ἂν πολλῷ σοφωτέροις· ἐγὼ δὲ στοχάζομαι, μήποτε καὶ τὸ
ἀναιδὲς τοῦ Ἰούδα καὶ ἐν τούτῳ ἐμφαίνεται, μὴ τιμῶντος τὸν δι-
δάσκαλον ἐν τῷ συνεσθίειν μηδὲ παραχωροῦντος αὐτῷ τῆς εἰς τὸ
τρυβλίον ἐμβάψεως, ὡς παρεχώρουν οἱ λοιποί. διόπερ ἐκείνων μὲν 292
οὐδεὶς ἐνέβαπτεν τὴν χεῖρα εἰς τὸ τρυβλίον μετ' αὐτοῦ· οὗτος δέ,
οὐκ ἀξιῶν μετ' αὐτῶν ἐμβάπτειν, μετ' αὐτοῦ ἐνέβαπτε τὴν ἰσότητα
θέλων ἔχειν πρὸς αὐτόν, δέον αὐτῷ παραχωρεῖν τῆς ὑπεροχῆς.
τάχα οὖν τοῦ αὐτοῦ ἔχεται καὶ τὸ »Πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδι- 293
»δόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης‹. καὶ χαριεντιζόμενος δέ
299v ποτε εἰς | προτροπὴν νέοις περὶ τῆς ἐν ἑστιάσει τιμῆς τῶν πρεσβυ-
τέρων συγχρήσει τῷ ῥητῷ, ἵνα μὴ συνθλίβωσι τὴν χεῖρα τῶν [δύο]
πρεσβυτέρων. γέγραπται γὰρ καὶ τοῦτο· »Μὴ συνθλίβου μετ' αὐτοῦ
»ἐν τῷ τρυβλίῳ‹. οὐκ ἀγνοοῦντες δὲ δόξαν περιέργου ζητήσεως 294
καὶ πείθειν μὴ δυναμένης τὸν ἀκροατὴν ἀπολογίας ἀποφέρεσθαι

1 Joh. 13, 27. — **3** Vgl. Eph. 6, 16. — **6** Joh. 13, 26. — **12** Vgl. Joh. 13, 2. — **14** Matth. 26, 23. — **16** Mark. 14, 20. — **18** Luk. 22, 21. — **27** Luk. 22, 21. — **31** Sir. 34, 14 (31, 17).

1 *εἰσελθεῖν*, corr. Pr | **8** *ὡς*] *καὶ*? We | *δὲ* V | **14** *τὴν χεῖρα μετ' ἐμοῦ*] Stellung = D Syr. Pesch. Hcl. Boh. Sah. Arm. | **30** [*συγχρήσ*]*ει* verblichen; ergänzt nach V | *δύο* nach V; M ist nicht ganz sicher z. l.; doch stand wohl nichts anderes da.

Digitized by Google

παρὰ τοῖς τούτων ἀκούουσιν ταῦτα ἐτολμήσαμεν, κρεῖττον εἶναι νομίζοντες τὸ πάντα βασανίζειν τοῦ παρελθεῖν τι ἀβασάνιστον τῶν γεγραμμένων.

295 XXIII. (15) Εἰσελθόντος μέντοι τοῦ Σατανᾶ εἰς τὸν Ἰούδαν, »λέγει, φησίν, αὐτῷ ὁ Ἰησοῦς· Ὃ ποιεῖς ποίησον τάχιον«. τίνι δὲ »λύτῳ« ἀμφίβολον, ἐπεὶ δύναται αὐτῷ τῷ Ἰούδᾳ ἢ τῷ Σατανᾷ εἰρηκέναι ὁ κύριος· »Ὃ ποιεῖς ποίησον τάχιον« προκαλούμενος τὸν ἀνταγωνιστὴν ἐπὶ τὴν πάλην, ἢ τὸν προδότην ἐπὶ τὸ διακονῆσαι τῇ σωτηρίῳ ⟨τῷ⟩ κόσμῳ ἐσομένῃ οἰκονομίᾳ, ἣν οὐκέτι μέλλειν οὐδὲ βραδύνειν, ἀλλ' ὅση δύναμις ταχύνειν ἤθελεν, οὐ δειλιῶν, ὡς οἴονταί τινες τῶν μὴ νοησάντων τίνα τρόπον εἶπε· »Πάτερ, εἰ δυνατόν, 443R »παρελθέτω τὸ ποτήριον τοῦτο«, ἀλλὰ θαρραλεώτατα ἐπὶ τὸν
296 ἀγῶνα, ἵν' οὕτως εἴπω, ἀποδυόμενος. νομίζω δὲ καὶ τὸν εἰκοστὸν 410H ἕκτον Ψαλμὸν ἐκ προσώπου τοῦ σωτῆρος προφητεύεσθαι παρὰ τὸν καιρὸν τοῦ πάθους, καὶ τοῦ πονηροῦ παστρατεὶ ἀγωνιζομένου κατ' αὐτοῦ· οὕστινας ἰδὼν ὁπλιζομένους κατ' αὐτοῦ καὶ κονιομένους, ἡνίκα »Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν »ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ« φησίν· »Κύριος φωτισμός μου, καὶ σωτήρ μου κύριος, τίνα φοβηθήσομαι; »κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω; ἐν τῷ »ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλί»βοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν. ἐὰν »παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν »ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω«.

297 Πλὴν τὸ λεγόμενον εἴτε τῷ Σατανᾷ εἴτε τῷ Ἰούδᾳ ὑπὸ τοῦ Ἰησοῦ τὸ »Ὃ ποιεῖς, ποίησον τάχιον« οὐδεὶς ἔγνω τῶν ἀνακειμένων
298 πρὸς τί εἴρηται. οἱ μὲν γὰρ διὰ τὸ ἐπικεῖσθαι τὴν τοῦ πάσχα ἑορτὴν ᾠοντο λέγειν αὐτὸν τῷ ἔχοντι τὸ γλωσσόκομον τῶν ἀναλωμάτων καὶ τῶν εἰς τὴν χρείαν τῶν πτωχῶν διδομένων ὅτι ὠνήσεται οὗτος ὧν χρῄζομεν εἰς τὴν ἑορτήν, ἢ ἐκ τῶν συναχθέντων δώσει
299 τοῖς πτωχοῖς. ὁ γὰρ Ἰησοῦς οὐ τοῦτο ἔλεγεν, ἀλλὰ βλέπων καὶ τὸν εἰσελθόντα καὶ τὸν παραδεξάμενον αὐτὸν καὶ πᾶσαν τὴν κατ' αὐτοῦ

5 Joh. 13, 27. — 11 Matth. 26, 39. — 17 Ps. 2, 2. — 19 Ps. 26, 1—3. — 26 Joh. 13, 27. — 28 Vgl. Joh. 13, 29.

5 *ποίει*; da es sonst stets *ποίησον* heisst, ist dies herzustellen | 6 *αὐτῷ* verblichen | 9 ⟨*τῷ*⟩ + We | 10 *οιοντε*, corr. V | 11 *πάτερ* ohne *μου* = L*Δ* 1 Iren. Cypr. al. | *δυνατόν* ohne *ἐστιν* ist unbezeugt | 12 *παρελθέτω* = B*Π* 1. 69 HKM al. | 15 *παστρατιᾷ*? | 16 *οὕστινας* bis auf wenige Spuren verschwunden | 18 *αὐτὸ*] *το* a. Ras. | 19 *κύριος*² < T | 29 *ὠνηση*, corr. We | 30 *δώσει* Br; in M scheint das Wort ausradiert zu sein; Spuren (c. 3 Bchst.) sind vorhanden, aber unsicher; *δὸς* liest V.

Digitized by Google

ἐπιβουλήν, ἐπὶ τὸν ἀγῶνα ἀποδυόμενος καὶ ἐπὶ τὸ ἀριστεῦσαι ὑπὲρ σωτηρίας ἀνθρώπων κατὰ τοῦ πονηροῦ εἶπεν τὸ »Ὃ ποιεῖς, ποίησον »τάχιον«.

XIII, 30. *Λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος ἐξῆλθεν εὐθύς· ἦν δὲ νύξ.*

XXIV. (16) *Ὁ μὲν σωτὴρ ἔλεγεν· »Ὃ ποιεῖς, ποίησον τάχιον«* 300
300r *τῷ Ἰούδᾳ· | ὁ δὲ προδότης ἐν τούτῳ μόνῳ νῦν τῷ διδασκάλῳ πείθεται. λαβὼν γὰρ τὸ ψωμίον οὐκ ἐμέλλησεν οὐδὲ ἐβράδυνεν, ἀλλ' ὡς γέγραπται· »Ἐξῆλθεν εὐθύς«, ποιῆσαι τάχιον κατὰ τὴν πρόσταξιν*
10 *τοῦ Ἰησοῦ τὸ τῆς προδοσίας ἔργον. καὶ ἀληθῶς »ἐξῆλθεν«· οὐ γὰρ* 301
μόνον κατὰ τὸ ἁπλούστερον ἐξῆλθεν τοῦ οἴκου, ἐν ᾧ τὸ δεῖπνον ἐγίνετο, ἀλλὰ καὶ τέλεον ἐξῆλθεν ἀπὸ τοῦ Ἰησοῦ, ἀνάλογον τῷ »Ἐξῆλθον ἐξ ἡμῶν«. ἐγὼ δ'. οἶμαι ὅτι οὐδὲ ὁ εἰσελθὼν μετὰ τὸ 302
ψωμίον εἰς τὸν Ἰούδαν Σατανᾶς ἐχώρει φέρειν τὸ εἶναι ἐν τῷ αὐτῷ
15 *τόπῳ μετὰ τοῦ Ἰησοῦ· οὐδεμία γὰρ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ ἐστίν. εἰ δὲ μὴ περιέργως ζητῶ τί δήποτε οὐ πρόσκειται* 303
τῷ »Λαβὼν τὸ ψωμίον« τὸ »Καὶ φαγών«, καὶ αὐτὸς ἐπιστήσεις. ὅπου 304
γὰρ βούλεται, προστίθησιν καὶ τὸ φαγεῖν ὁ λόγος τῷ λαβεῖν· ὥσπερ
44 R *ἐπὶ τοῦ τῆς εὐλογίας ἄρτου γέγραπται, ὅτι εἶπεν τοῖς μαθηταῖς ὁ*
20 *Ἰησοῦς· »Λάβετε, φάγετε«. ἆρ' οὖν λαβὼν τὸ ψωμίον οὐκ ἔφαγεν* 305
11 H *ὁ Ἰούδας; φέρε οὖν, εἰ καὶ μὴ συνᾴδειν τινὰ δόξει τῶν λεχθησομένων τοῖς προειρημένοις, γυμνάσωμεν τὰ κατὰ τὸν τόπον, κρινοῦντος τοῦ ἐντευξομένου ὁπότερα χρὴ παραδέξασθαι τῶν λεγομένων. »Βάψας, φησί, τὸ ψωμίον« ὁ Ἰησοῦς, καὶ δῆλον ὅτι ἐάσας* 306
25 *αὐτὸ ἐν τῷ τρυβλίῳ λαμβάνει· οὕτω γὰρ νοήσεις τὸ »Βάψας οὖν »τὸ ψωμίον«, ἵνα μὴ παρέλκῃ τὸ λαβεῖν. εἶτα λέγεται ὅτι »Δίδωσιν* 307
»Ἰούδᾳ Σίμωνος Ἰσκαριώτου. καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν »εἰς ἐκεῖνον ὁ Σατανᾶς«. »μετὰ τὸ ψωμίον« οὖν, τάχα μὴ βρωθὲν ὑπὸ τοῦ Ἰούδα, προλαβόντος τοῦ εἰσελθόντος εἰς τὸν Ἰούδαν Σα-
30 *τανᾶ τὴν χρῆσιν τοῦ ψωμίου, ἵνα μὴ ὄνηται ὁ Ἰούδας τῆς ἀπὸ τοῦ Ἰησοῦ δόσεως τοῦ ψωμίου. τὸ μὲν γὰρ εἶχεν δύναμιν ὠφελητικὴν* 308
τῷ χρησομένῳ· ὁ δὲ ἅπαξ βαλὼν αὐτοῦ εἰς τὴν καρδίαν ἵνα παραδῷ

6 Joh. 13, 27. — **10** *οὐ μόνον* — **13** *ἡμῶν* Cat.[102] (bis **12** *Ἰησοῦ* Nic.) — **13** I Joh. 2, 19. — **15** Vgl. II Kor. 6, 15. — **20** Matth. 26, 26. — **26** Joh. 13, 26f. — **32** Vgl. Joh. 13, 2.

7 *νῦν* nach **V**; in **M** ist das Wort verblichen | **10** *οὐ μόνον δὲ* Cat. | **11** *τοῦ οἴκου* **V** Cat.I, *τὸν οἶκον* **M**, *ἐκ τοῦ τόπου* Cat. Cord. Hss. Nic. | **12** *ἐγένετο* Cat. Cord. Hss. Nic. | *τὸ τέλεον* Cat.I, *πλέον* Cat. Cord. Hss. Nic. | **13** *ἐξῆλθεν* Cat. Cord. Hss.

Digitized by Google

τὸν διδάσκαλον, φοβούμενος μὴ τὸ βεβλημένον ἐκπέσῃ τοῦ βλη-
θέντος διὰ τῆς τοῦ ψωμίου χρήσεως, προλαβὼν ἅμα τῷ λαβεῖν τὸν
Ἰούδαν τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτόν, ὅτε καὶ εἰρημένου τοῦ »Ὃ
»ποιεῖς ποίησον τάχιον« λαβὼν τὸ ψωμίον ὁ Ἰούδας »ἐξῆλθεν
309 »εὐθύς«. καὶ οὕτως δ' ἂν οὐκ ἀπιθάνως εἰς τὸν τόπον λέγοιτο· ὥσπερ ὁ ἀναξίως ἐσθίων τὸν ἄρτον τοῦ κυρίου ἢ πίνων αὐτοῦ τὸ ποτήριον εἰς κρῖμα ἐσθίει καὶ πίνει, τῆς μιᾶς ἐν τῷ ἄρτῳ κρείττονος δυνάμεως καὶ ἐν τῷ ποτηρίῳ ὑποκειμένης μὲν διαθέσει κρείττονι ἐνεργαζομένης τὸ βέλτιον, χείρονι δὲ ἐμποιούσης τὸ κρῖμα· οὕτω τὸ ἀπὸ τοῦ Ἰησοῦ ψωμίον ὁμογενὲς ἦν τῷ δοθέντι καὶ τοῖς λοιποῖς ἀποστόλοις ἐν τῷ »Λάβετε, φάγετε«, ἀλλ' ἐκείνοις μὲν εἰς σωτηρίαν, τῷ δὲ Ἰούδᾳ εἰς κρῖμα, ὡς μετὰ τὸ Ψωμίον εἰσελῆλυθέναι εἰς αὐτὸν
310 τὸν Σατανᾶν. νοείσθω δὲ ὁ ἄρτος καὶ τὸ ποτήριον τοῖς μὲν ἁπλουστέροις κατὰ τὴν κοινοτέραν περὶ τῆς εὐχαριστίας ἐκδοχήν, τοῖς δὲ βαθύτερον ἀκούειν μεμαθηκόσιν κατὰ τὴν θειοτέραν καὶ περὶ τοῦ τροφίμου τῆς ἀληθείας λόγου ἐπαγγελίαν· ὡς εἰ ἐν παραδείγματι ἔλεγον ὅτι καὶ ὁ κατὰ τὸ σωματικὸν τροφιμώτατος ἄρτος πυρετὸν μὲν ὑποκείμενον αὔξει, εἰς ὑγείαν δὲ καὶ εὐεξίαν ἀνάγει.
311 διὸ πολλάκις λόγος ἀληθὴς ψυχῇ νοσούσῃ οὐ δεομένῃ τοιαύτης τροφῆς διδόμενος ἐπιτρίβει αὐτὴν καὶ πρόφασις αὐτῇ χειρόνων γίνε-
312 ται· καὶ οὕτως καὶ τὰ ἀληθῆ λέγειν κινδυνωδές ἐστι. ταῦτα δέ μοι εἴρηται ⟨διὰ τὸ⟩ ψωμίον ὃ ἐμβάψας »δίδωσιν Ἰούδᾳ Σίμωνος † Ἰσκα-
»ριώτῃ«, καὶ κεκινήκαμεν λόγον τὸν εἰς ἑκάτερα, εἴτε χρὴ λέγειν αὐτὸν βεβρωκέναι λαβόντα, εἴτε κεκωλῦσθαι ἀπὸ τοῦ εἰσελθόντος
313 εἰς τὸν Ἰούδαν Σατανᾶ. εἰ δὲ χρὴ ὡς μὴ εἰκῇ παρερριμμένον ὑπὸ τοῦ εὐαγγελιστοῦ ἐξετάσαι καὶ τὸ »Ἦν δὲ νύξ«, λεκτέον ὅτι συμβολικῶς τότε ἡ αἰσθητὴ νὺξ ἦν, εἰκὼν τυγχάνουσα τῆς γενομένης ἐν τῇ ψυχῇ Ἰούδα νυκτός, ἡνίκα τὸ ἐπιφερόμενον σκότος ἐπάνω τῆς ἀβύσσου, ὁ Σατανᾶς, εἰσῆλθεν εἰς αὐτόν· »Ἐκάλεσεν γὰρ ὁ θεὸς τὸ »σκότος νύκτα«, ἧς γε νυκτός, φησὶν ὁ Παῦλος, οὐκ ἐσμὲν τέκνα οὐδὲ σκότους, λέγων· »Ἄρ' οὖν, ἀδελφοί, οὐκ ἐσμὲν νυκτὸς οὐδὲ

6 Vgl. I Kor. 11, 27ff. — 11 Matth. 26, 26. — 22 Vgl. Joh. 13, 26. — 25 εἰ δὲ — S. 469, 1 νήφωμεν Cat.^{102} — 26 Joh. 13, 30. — 27 ἡ αἰσθητὴ — 28 νυκτὸς Cat. Nic. — 28 Vgl. Gen. 1, 2. — 29 Gen. 1, 5. — 31 I Thess. 5, 6.

2 λαβεῖν] λαβῶν, corr. V | 3 ἑαυτόν, corr. V | τοῦ] τὸ, corr. Ausgg. | 6 ἐσθίων] εσθ a. Ras. | 13 ποτ[ήριον] verblichen | 22 ⟨διὰ τὸ⟩ + V | Ἰσκαριώτου ist nach d. andern Stellen z. ändern | 26 εὐαγγελιστοῦ Cat. Cord. Hu; εὐαγγελίου M | 27 Der Satz ist von Nic. umgearbeitet: καὶ ἡ αἰσθητὴ δὲ τότε νὺξ εἰκὼν ἐτύγχανε τῆς γενομένης ἐν τῇ ψυχῇ τοῦ Ἰούδα νυκτός | 28 ἡνίκα — 30 νύκτα < Cat. | 30 ἧς γε] ὥστε M, ἧς Cat.; corr. Pr | ἐσμὲν] + νυκτὸς Cat. Cord. Hss. | 31 οὐδὲ^1 < Catl. ἄρ' οὖν, ἀδελφοί fehlt im T.

Digitized by Google

»σκότους« καὶ τὸ »Ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν«. οὐκ ἦν οὖν 314
νὺξ τοῖς νιπτομένοις τοὺς πόδας ὑπὸ τοῦ Ἰησοῦ ἀλλ' ἡμέρα λαμπροτάτη καθαιρομένοις καὶ ἀπορρυπτομένοις τοὺς ἐν τοῖς ποσὶν τῆς ψυχῆς αὐτῶν ῥύπους. καὶ κατ' ἐξοχὴν οὐκ ἦν νὺξ τῷ ἀνακειμένῳ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ· ἠγάπα γὰρ αὐτὸν ὁ Ἰησοῦς, καὶ τῇ ἀγάπῃ ἔλυεν πάντα σκότον. ἀλλ' οὐδὲ Πέτρῳ ὁμολογοῦντι τὸ »Σὺ 315
εἶ ὁ χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος« ἀποκαλύψαντος αὐτῷ τοῦ οὐρανίου πατρός, νὺξ ἦν, ἀλλὰ νὺξ ἅμα αὐτῷ καὶ ἄρνησις ἦν. καὶ νῦν τοίνυν ὅτε λαβὼν τὸ ψωμίον ὁ Ἰούδας [καὶ] ἐξῆλθεν εὐθύς, 316
τότε ἐξελθόντι αὐτῷ νὺξ ἦν· οὐ γὰρ παρῆν αὐτῷ ὁ ἀνήρ, ᾧ ὄνομα Ἰνατολή, καταλιπόντι ἐν τῷ ἐξεληλυθέναι τὸν τῆς δικαιοσύνης ἥλιον. καὶ ἐδίωκε μὲν τὸν Ἰησοῦν ὁ Ἰούδας, τῆς σκοτίας πεπληρωμένος· ἀλλ' ἡ σκοτία καὶ ὁ ἀνειληφὼς αὐτὴν οὐ κατείληφεν τὸ διωκόμενον φῶς. διὸ καὶ ὅτε εἶπεν ὡς δικαιοσύνης λόγον τὸ »Ἥμαρτον 317
παραδοὺς αἷμα δίκαιον« »ἀπελθὼν ἀπήγξατο«, τοῦ ἐν αὐτῷ Σατανᾶ μέχρι τῆς ἀγχόνης αὐτὸν χειραγωγήσαντος καὶ ἐπὶ ταύτην αὐτὸν ἀναρτήσαντος, ὅτε καὶ τῆς ψυχῆς αὐτοῦ ὁ διάβολος ἥψατο· οὐ
301r γὰρ ἦν τοιοῦτος ὡς λεχθῆναι περὶ αὐτοῦ ὑπὸ | κυρίου, ὅπερ εἴρηται περὶ τοῦ Ἰωβ πρὸς τὸν διάβολον· »Ἀλλὰ τῆς ψυχῆς αὐτοῦ μὴ
»ἅψῃ«.

XIII, 31 f. *Ὅτε οὖν ἐξῆλθεν ὁ Ἰησοῦς λέγει· Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ. εἰ θεὸς ἐδοξάσθη ἐν αὐτῷ καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν αὐτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν.*

XXV. (17) Ἀρχὴ τοῦ δεδοξάσθαι τὸν υἱὸν τοῦ ἀνθρώπου μετὰ 318
446R τὰς ἐπὶ τοῖς σημείοις καὶ τέρασι δόξας καὶ τὴν ἐπὶ τῇ μεταμορφώσει τὸ ἐξεληλυθέναι τὸν Ἰούδαν μετὰ τοῦ εἰσελθόντος εἰς αὐτὸν Σατανᾶ ἀπὸ τοῦ τόπου, ἔνθα ἦν ὁ Ἰησοῦς. διὸ εἶπεν ὁ κύριος τὸ 319
»Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου«. ἔτι δὲ καὶ τὸ »Ἐὰν ὑψωθῶ
»ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν« εἴρηται ὑπὸ τοῦ σωτῆ-

1 I Thess. 5, 8. — **4** Vgl. Joh. 13, 23. — **6** Matth. 16, 16. — **8** Vgl. Matth. 26, 58ff. — **11** Vgl. Sach. 6, 12; Mal. 4, 2. — **13** Vgl. Joh. 1, 5. — **14** Matth. 27, 4f. — **19** Vgl. Hiob 1, 12; 2, 6. — **29** Joh. 13, 31. — Joh. 12, 32.

1 *καὶ τὸ ἡμεῖς* a. Ras. | **3** nicht *ἀπορριπτομένοις*, wie d. Ausgg. verschlimmbessern; denn *ἀπορρύπτω* heisst „säubern" | **8** [*ἅμα αὐτῷ* Papier abgerieben | **9** [*καὶ*] str. V | **18** *ὑπὲρ*, corr. V | **24** *δοξάσει*] *δοξάζει* M gegen alle Zeugen u. gegen S. 471, 8. 11 u. ö. | **26** *μεταμορφώσειν*, corr. V.

Digitized by Google

ρος, σημαίνοντος »ποίῳ θανάτῳ δοξάσει τὸν θεόν«· ἐδόξασεν γὰρ καὶ
320 ἐν τῷ ἀποθνήσκειν τὸν θεόν. διὰ τοῦτο, ὅτε ἡ ἀρχὴ τῆς οἰκονομίας 413 H
τοῦ μέλλειν ἀποθνήσκειν τὸν Ἰησοῦν ἐνηργεῖτο, ἐξελθόντος μετὰ τὸ
ψωμίον τοῦ Ἰούδα, ἵνα πραγματεύσηται κατὰ τοῦ Ἰησοῦ, εἴρηται τὸ
321 »Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου«. εἶτ' ἐπεὶ οὐκ ἔνεστιν δο-
ξασθῆναι τὸν χριστὸν μὴ ἐνδοξαζομένου αὐτῷ τοῦ πατρός, διὰ
τοῦτο πρόσκειται τῷ »Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου« τὸ
322 »Καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ«. πλὴν ἡ διὰ τὸν ὑπὲρ ἀνθρώπων
θάνατον δόξα οὐ τοῦ μὴ πεφυκότος ἀποθνήσκειν ἦν μονογενοῦς
λόγου καὶ σοφίας καὶ ἀληθείας, καὶ ὅσα ἄλλα εἶναι λέγεται τῶν ἐν
τῷ Ἰησοῦ θειοτέρων, ἀλλὰ τοῦ ἀνθρώπου, ὃς ἦν καὶ υἱὸς τοῦ ἀν-
323 θρώπου, γενόμενος ἐκ σπέρματος Δαβὶδ τὸ κατὰ σάρκα. διόπερ
ἀνωτέρω μὲν εἶπεν· »Νῦν ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν
»ἀλήθειαν ὑμῖν λελάληκα«· ἐν τοῖς ἐξεταζομένοις δὲ λέγει τὸ »Νῦν
324 »ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου«. τοῦτον δ', οἶμαι, καὶ ὁ θεὸς
ὑπερύψωσεν, γενόμενον ὑπήκοον »μέχρι θανάτου, θανάτου δὲ στα-
»ροῦ«· ὁ γὰρ λόγος ἐν ἀρχῇ πρὸς τὸν θεόν, ὁ θεὸς λόγος, οὐκ ἐπε-
325 δέχετο τὸ ὑπερυψωθῆναι. ἡ δὲ ὑπερύψωσις τοῦ υἱοῦ τοῦ ἀνθρώπου,
γενομένη αὐτῷ δοξάσαντι τὸν θεὸν ἐν τῷ ἑαυτοῦ θανάτῳ, αὕτη ἦν.
326 τὸ μηκέτι ἕτερον αὐτὸν εἶναι τοῦ λόγου ἀλλὰ τὸν αὐτὸν αὐτῷ. εἰ
γὰρ »Ὁ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστιν«, ὡς καὶ ἐπὶ τούτου
καὶ τοῦ πνεύματος μηκέτι ἂν λέγεσθαι τὸ »Δύο εἰσίν«, πῶς οὐχὶ
μᾶλλον τὸ ἀνθρώπινον τοῦ Ἰησοῦ μετὰ τοῦ λόγου λέγοιμεν γεγο-
νέναι ἕν, ὑπερυψωμένου μὲν τοῦ μὴ ἁρπαγμὸν ἡγησαμένου »τὸ εἶναι
»ἴσα θεῷ«, μένοντος δὲ ἐν τῷ ἰδίῳ ὕψει ἢ καὶ ἀποκαθισταμένου ἐπ'
αὐτὸ τοῦ λόγου, ὅτε πάλιν ἦν πρὸς τὸν θεόν, θεὸς λόγος ὢν ἄν-
327 θρωπος; εἰ δὲ τῷ θανάτῳ τοῦ Ἰησοῦ δοξάσαντος τὸν θεὸν τό τε
»Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρ-
»ρησίᾳ, θριαμβεύσας ἐν τῷ ξύλῳ« καὶ τὸ »Εἰρηνοποιήσας διὰ τοῦ
»αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς
»οὐρανοῖς« * * * ἐν τούτοις γὰρ πᾶσιν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώ-
που, καὶ τοῦ θεοῦ δοξασθέντος ἐν αὐτῷ. |

1 Vgl. Joh. 21, 19. — **5** Joh. 13, 31. — **6** Joh. 13, 31. — **12** Vgl. Röm. 1, 3. — **13** Joh. 8, 40. — **16** Vgl. Phil. 2, 8f. — **17** Vgl. Joh. 1, 1. — **21** I Kor. 6, 17. — **24** Vgl. Phil. 2, 6. — 28 Kol. 2, 15. — **29** Kol. 1, 20.

7 τῷ] τὸ | **20** εἰ ü. d. Z. | **27** εἰ] ἐν corr. Ausgg.; aber dann ist der Satz ebensowenig verständlich; das verb. finit. fehlt | **29** τῷ ξύλῳ statt αὐτῷ liest Origenes konstant; vgl. o. S. 164, 13; C. Cels. I, 55 [1, 106, 27 K.]; in Jer. h. IX [65, 15 Kl.] u. a. St. bei Griesbach, Symb. crit. II, 571 sq. | **30** nach αὐτοῦ fehlt δι' αὐτοῦ mit BD*FG 47. L. Vulg. Sah. Arm.

Digitized by Google

301v XXVI. Ἐπεὶ δὲ ὁ δοξαζόμενος ὑπό τινος δοξάζεται, ζητήσεις 328
ἐν τῷ »Ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου« τὸ ὑπὸ τίνος; ὁμοίως δὲ
447 R καὶ ἐν τῷ »Ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ«. ὑπὲρ δὲ τῆς τῶν ῥητῶν 329
σαφηνείας ἐπιμελῶς προσχῶμεν πρώτῳ μὲν λεγομένῳ τῷ »Νῦν
»ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου«· δευτέρῳ δὲ τῷ »Καὶ ὁ θεὸς
»ἐδοξάσθη ἐν αὐτῷ«· τρίτῳ δὲ τοιούτῳ συνημμένῳ »Εἰ ὁ θεὸς ἐδο-
ξάσθη ἐν αὐτῷ, καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν αὐτῷ«· τετάρτῳ δὲ
τῷ »Καὶ εὐθὺς δοξάσει αὐτόν«. ἐὰν μὴ ἄρα τοῦτο φάσκῃ τις ἀνα- 330
414 H λαβεῖν εἰς συμπλοκὴν τὴν ἐν τῷ λήγοντι τοῦ συνημμένου, ἵνα ἄρ-
χηται μὲν τὸ συνημμένον ἀπὸ τοῦ »Ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ«,
λήγῃ δὲ εἰς τὸ »Καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν αὐτῷ, καὶ εὐθὺς δοξάσει
»αὐτόν«, ἀναγκαίως δὲ προσχῶμεν τῷ τῆς δόξης ὀνόματι, οὐ κειμένῳ
ἐπὶ τοῦ παρά τισι τῶν Ἑλλήνων μέσου πράγματος, καθ' ὃ ὁρί-
ζονται εἶναι δόξαν τὸν ἀπὸ τῶν πολλῶν ἔπαινον, δῆλον ὅτι ἐπ
ἄλλου παρὰ τοῦτο κεῖται ὄνομα ἐκ τοῦ ἐν τῇ Ἐξόδῳ οὕτω εἰρη-
μένου· »Καὶ δόξης κυρίου ἐπλήσθη ἡ σκηνή. καὶ οὐκ ἠδυνάσθη 331
»Μωϋσῆς εἰσελθεῖν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ὅτι ἐπεσκίαζεν
»ἐπ' αὐτὴν ἡ νεφέλη καὶ δόξης κυρίου ἐπλήσθη ἡ σκηνή«. καὶ ἐν 332
τῇ τρίτῃ τῶν Βασιλειῶν τοῦτο ἀναγεγραμμένον τοῦτον τὸν τρόπον·
»Καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ ἱερεῖς ἐκ τοῦ ἁγίου, καὶ ἡ νεφέλη
»ἔπλησεν τὸν οἶκον κυρίου. καὶ οὐκ ἐδύναντο οἱ ἱερεῖς στῆναι λει- 333
»τουργίαν ἐνώπιον τῆς νεφέλης, ὅτι ἔπλησεν δόξα κυρίου τὸν οἶκον«.
καὶ περὶ τῆς Μωϋσέως δὲ δόξης ἐν τῇ Ἐξόδῳ τοιαῦτα λέλεκται· 334
»Ὡς δὲ κατέβαινε Μωϋσῆς ἐκ τοῦ ὄρους, καὶ αἱ δύο πλάκες τῆς δια-
»θήκης ἐπὶ τῶν χειρῶν Μωϋσῆ· καταβαίνοντος δὲ αὐτοῦ ἐκ τοῦ
»ὄρους, καὶ Μωϋσῆς οὐκ ᾔδει ὅτι δεδόξασται ἡ ὄψις τοῦ χρωτὸς
»τοῦ προσώπου αὐτοῦ ἐν τῷ λαλεῖν αὐτὸν αὐτῷ. καὶ εἶδεν Ἀαρὼν
»καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ τὸν Μωϋσῆν, καὶ ἦν δεδοξασμένη ἡ
»ὄψις τοῦ χρωτὸς τοῦ προσώπου αὐτοῦ· καὶ ἐφοβήθησαν ἐγγίσαι
»αὐτῷ«.

XXVII. Τοῦτο τὸ περὶ τῆς δόξης σημαινόμενον καὶ ἐν τῷ κατὰ 335
Λουκᾶν εὐαγγελίῳ διὰ τούτων δηλοῦται· »Καὶ ἐγένετο ἐν τῷ προσ-
»εύχεσθαι αὐτὸν ἡ ἰδέα τοῦ προσώπου αὐτοῦ ἑτέρα, καὶ ἠλλοιώθη
»ὁ ἱματισμὸς αὐτοῦ καὶ ἐγένετο λευκός, ἐξαστράπτων. καὶ ἰδοὺ ἄν-
»δρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωϋσῆς καὶ Ἠλίας· οἳ

2 Joh. 13, 31. — **6** Joh. 13, 32. — **16** Exod. 40, 28 (34) f. — **20** I Kön. 8, 10 f. — **24** Exod. 34, 29 f. — **32** Luk. 9, 29–31.

19 *ἀναγεγραμμένον* | **21** *κυρίου* mit A | *στῆναι* mit A | **22** *ἐνώπιον* statt *ἀπὸ προσώπου* liest nur Origenes | **26. 29** *χρωτὸς* mit AF | **28** *υἱοὶ* mit AF | **33** *ἡ ἰδέα* mit D | *καὶ ἠλλοιώθη* mit Syr. Hcl. Arm. vgl. D.

Digitized by Google

»ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ ἣν ἔμελλεν πληροῦν 448E
336 »ἐν Ἰερουσαλήμ«. καὶ ὁ Παῦλος δὲ ὅρα ἐπὶ τίσι τὸ ὄνομα τῆς δόξης
παραλαμβάνει· ὅπου μὲν γὰρ λέγει· | »Εἰ δὲ ἡ διακονία τοῦ θανάτου 3
»ἐν γράμμασιν ἐντετυπωμένη λίθοις ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ
»ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως διὰ τὴν
»δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην· πῶς οὐχὶ μᾶλλον
»ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; εἰ γὰρ τῇ διακονίᾳ τῆς
»κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δι-
»καιοσύνης δόξῃ. καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ
»τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης· εἰ γὰρ τὸ καταργού-
»μενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ«· ὅπου δὲ
»Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατ-
»οπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς 415H
337 »δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος«. καὶ πάλιν μετ' ὀλίγα·
»Εἰ δὲ καὶ ἔστιν κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολ-
»λυμένοις ἐστὶν κεκαλυμμένον, ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου
»ἐτύφλωσεν τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ καταυγάσαι τὸν
»φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ χριστοῦ, ὅς ἐστιν εἰκὼν
338 »τοῦ θεοῦ«. καὶ πάλιν μετ' ὀλίγα· »Ὅτι ὁ θεὸς ὁ εἰπὼν ἐκ σκότους
»φῶς λάμψει, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν
»τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ«
ἕκαστον δὲ τούτων ἀκριβῶς νῦν διηγήσασθαι οὐκ ἀπαιτεῖ ἡ προ-
κειμένη τῆς εὐαγγελικῆς λέξεως διήγησις· πλὴν ὡς διὰ βραχέων
τοσαῦτα λεκτέον· ὅσον μὲν κατὰ τὸ σωματικὸν θειοτέρα τις γέγονεν
ἐπιφάνεια ἐν τῇ σκηνῇ καὶ ἐν τῷ ναῷ συντελεσθεῖσιν καὶ ἐν τῷ
προσώπῳ Μωϋσέως, τῇ θείᾳ φύσει ὁμιλήσαντος· ὅσον δὲ κατὰ τὴν
ἀναγωγὴν τὰ περὶ θεοῦ ἀκριβῶς γινωσκόμενα καὶ τῷ ἐπιτηδείῳ δι'
ὑπερβολὴν καθαρότητος νῷ θεωρούμενα δόξα ἂν λέγοιτο εἶναι
θεοῦ ὀφθεῖσα· ἐπεὶ ὁ κεκαθαρμένος καὶ ὑπεραναβὰς πάντα ὑλικὰ
νοῦς, ἵνα ἀκριβώσῃ τὴν θεωρίαν τοῦ θεοῦ, ἐν οἷς θεωρεῖ θεοποιεῖ-
339 ται. λεκτέον τοιοῦτον εἶναι τὸ δεδοξάσθαι τὸ πρόσωπον τοῦ θεωρή-
σαντος τὸν θεὸν καὶ ὁμιλήσαντος αὐτῷ καὶ συνδιατρίψαντος τοιαύτῃ
θέᾳ, ὡς τοῦτο εἶναι τροπικῶς τὸ δεδοξασμένον πρόσωπον Μωϋ-
340 σέως, θεοποιηθέντος αὐτῷ τοῦ νοῦ. κατὰ τοῦτο δὲ καὶ ὁ ἀπόστολος

3 II Kor. 3, 7—11. — 12 II Kor. 3, 18. — 15 II Kor. 4, 3f. — 19 II Kor. 4, 6.

4 *γράμμασιν* mit ℵACD^{b} 37. 47. KLP Vulg. Syr. Hcl. Boh. Goth. | *μὴ*] + *δύνασθαι* alle Zeugen von T | 10 *ἕνεκεν* mit CF*KL | 20 *λάμψει* mit Bℵ*AD* Syr. Pesch. Hcl. Aeth. *λάμψαι* lasen d. Ausgg. mit ℵ^{c}CD^{c}FG 17. 37. 47 KLP Vulg. Arm. Goth. | 24 *τοιαῦτα*, corr. We.

Digitized by Google

ἔλεγεν τὸ »Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν »κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα«. ὥσπερ δὲ ἡ τοῦ νυκτερινοῦ φωτὸς λαμπρότης ἀνατείλαντος τοῦ 341
ἡλίου ἀμαυροῦται, οὕτω ἡ ἐπὶ Μωϋσέως δόξα ὑπὸ τῆς ἐν Χριστῷ.
149R σύγκρισιν γὰρ οὐκ εἶχεν ἡ ἐν Χριστῷ ὑπεροχή, ἣν γινώσκων τὸν 342
πατέρα ἐδόξασεν περὶ αὐτοῦ, πρὸς τὰ ὑπὸ Μωϋσέως γνωσθέντα
302v καὶ δοξάσαντα | τὸ πρόσωπον τῆς ψυχῆς αὐτοῦ. διὸ καταργουμένη 343
εἴρηται ἡ ἐπὶ Μωϋσέως δόξα ἀπὸ τῆς ὑπερβαλλούσης ἐν Χριστῷ δόξης.

XXVIII. (18) Τούτων δὲ ἡμῶν κατὰ δύναμιν ἐν βραχέσιν εἰς 344
ἃ παρεθέμεθα λελεγμένων, ἐπανέλθωμεν ἐπὶ τὸ »Νῦν ἐδοξάσθη ὁ »υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ«. γινώσκων 345
οὖν τὸν πατέρα ὁ υἱός, αὐτῷ τῷ γινώσκειν αὐτόν, ὄντι μεγίστῳ ἀγαθῷ καὶ † ὁποῖον ανοι ἐπὶ τελείαν γνῶσιν, ἣν γινώσκει ὁ υἱὸς τὸν
πατέρα, ἐδοξάσθη. οἶμαι ⟨δ'⟩ ὅτι καὶ ἑαυτὸν γινώσκων, ὅπερ καὶ 346
αὐτὸ οὐ μακρὰν ἀποδεῖ τοῦ προτέρου, ἐδοξάσθη ἐκ τοῦ αὐτὸν
16H ἐγνωκέναι. εἰ δὲ ἡ περὶ τῶν ὅλων γνῶσις συμπληροῖ τὸ μέγεθος 347
τῆς δόξης αὐτοῦ ὅσα ἐστὶν κρυπτὰ καὶ ἐμφανῆ γινώσκοντος, ζητήσεις καὶ μήποτε τοῦτό ἐστιν τὸ εἶναι αὐτοσοφία, ἢ τῷ λεγομένῳ
αὐτουιῷ τοῦ ἀνθρώπου τὸ δεδοξάσθαι ἐκ τοῦ ἡνῶσθαι τῇ σοφίᾳ. ταύτην δὲ πᾶσαν τὴν δόξαν, ἣν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, δωρησαμένου τοῦ πατρὸς ἐδοξάσθη. πολλῶν δὲ ὄντων τῶν συμπλη- 348
ρούντων τὴν δόξαν πᾶσαν τοῦ ἀνθρώπου, τὸ κατ' ἐξοχὴν τούτων ἁπάντων ὁ θεός ἐστιν, ὃς τῷ γινώσκεσθαι ἀπὸ τοῦ υἱοῦ οὐχ
ἁπλῶς ἐστι δοξαζόμενος ἀλλ' ἐν υἱῷ δοξαζόμενος. καθ' ὃ καὶ τολ- 349
μηρὸν μὲν καὶ μεῖζον ἢ καθ' ἡμᾶς ἐστὶν τὸ εἰς ἐξέτασιν ἑαυτοὺς ἐπιδοῦναι τηλικούτου λόγου· ὅμως δὲ τολμητέον ὑποβάλλειν τὸν ἐν τῷ τόπῳ ζητηθῆναι δυνάμενον. ζητῶ δὲ εἰ ἔνεστιν δοξασθῆναι τὸν 350
θεὸν παρὰ τὸ δοξάζεσθαι ἐν υἱῷ, ὡς ἀποδεδώκαμεν, μειζόνως αὐτὸν
30) ἐν ἑαυτῷ δοξαζόμενον, ὅτε ἐν τῇ ἑαυτοῦ γινόμενος περιωπῇ, ἐπὶ τῇ ἑαυτοῦ γνώσει καὶ τῇ ἑαυτοῦ θεωρίᾳ, οὔσῃ μείζονι ⟨τῆς⟩ ἐν υἱῷ θεωρίας, ὡς ἐπὶ θεοῦ χρὴ νοεῖν τὰ τοιαῦτα. δεῖν λέγειν ὅτι εὐφραί-
νεται ἄφατόν τινα εὐαρέστησιν καὶ εὐφροσύνην καὶ χαράν, ἐφ' ἑαυτῷ εὐαρεστούμενος καὶ χαίρων. χρῶμαι δὲ τούτοις τοῖς ὀνόμασιν, οὐχ 351
35) ὡς κυρίως ἂν λεχθησομένοις ἐπὶ θεοῦ, ἀλλὰ ἀπορῶν τῶν, ἵν'

1 II Kor. 3, 18. — 11 Joh. 13, 31. — 29 Vgl. Z. 12ff.

4 *ἐπὶ*] *ὑπὸ*, corr. We | 5 *ὑπερ[οχὴ ἣν]* verblichen | 10 *δὲ* V, *δὴ* M | 13 *τῷ* doppelt geschr. | *γινώσκει*, corr. V | 14 † *ὁποῖον ανοί*] *ἑτοιμάζοντι* We | 15 ⟨*δ'*⟩ + Br | 16 *ἑαὐτὸ*] *αὐτοὺς*, corr. V | *τοῦ*²] *τῶν*, corr. V | 17 *ἡ*] *καὶ*, corr. Pr | *γνῶσιν*, corr. V 19 *αὐτῶ σοφία*, corr. V | 20 *αὐτῷ υἱῷ*, corr. V | 26 *μείζον* M*, *μείζων* M¹ | 31 *τῆς* + Hu | *δεῖ*, corr. We (Inf. abh. von *νοεῖν*).

Digitized by Google

οὕτως ὀνομάσω, ἀρρήτων ῥημάτων, ἃ μόνος αὐτὸς δύναται, καὶ μετ' αὐτὸν ὁ μονογενὴς αὐτοῦ ἐν κυριολεξίᾳ λέγειν ἢ φρονεῖν περὶ αὐτοῦ.

352 Ἐπεὶ δὲ ἐν τῷ τόπῳ γεγόναμεν τοῦ τὸν θεὸν δοξάζεσθαι ἐν 450
Χριστῷ, παρακειμένως ἂν ζητήσαιμεν πῶς δοξάζοιτο καὶ ἐν τῷ
ἁγίῳ πνεύματι καὶ ἐν πᾶσιν οἷς ὤφθη δόξα κυρίου ἢ ὀφθήσεται.
353 ὅλης μὲν οὖν οἶμαι τῆς δόξης τοῦ θεοῦ αὐτοῦ ἀπαύγασμα εἶναι τὸν
υἱόν, κατὰ τὸν εἰπόντα Παῦλον· »Ὃς ὢν ἀπαύγασμα τῆς δόξης«.
φθάνειν μέντοι γε ἀπὸ τοῦ ἀπαυγάσματος τούτου τῆς ὅλης δόξης
μερικὰ ἀπαυγάσματα ἐπὶ τὴν λοιπὴν λογικὴν κτίσιν· οὐκ οἶμαι γάρ
τινα τὸ πᾶν δύνασθαι χωρῆσαι τῆς ὅλης δόξης τοῦ θεοῦ ἀπαύγασμα
354 ἢ τὸν υἱὸν αὐτοῦ. νῦν οὖν, ὅτε ἡ οἰκονομία τοῦ ὑπὲρ | πάντων 3
πάθους τοῦ υἱοῦ τοῦ ἀνθρώπου γίνεται οὐ χωρὶς θεοῦ, »διὸ ὁ θεὸς
»αὐτὸν ὑπερύψωσεν«· »Ἐδοξάσθη, φησίν, ὁ υἱὸς τοῦ ἀνθρώπου οὐ
»μόνος«· καὶ »ὁ θεὸς γὰρ ἐδοξάσθη ἐν αὐτῷ«, καὶ οὕτως δ' ἂν τὰ
355 κατὰ τὸν τόπον τις διηγήσαιτο. γέγραπται· »Οὐδεὶς ἔγνω τὸν υἱόν,
»εἰ μὴ ὁ πατήρ« καὶ εἴρηται· »Καὶ μακάριος εἶ, Σίμων Βαριωνᾶ, 417
»ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι, ἀλλ' ἢ ὁ πατήρ μου ὁ οὐ-
356 »ράνιος«. ὅσον οὖν οὐκ ἔγνωστο ὁ υἱὸς τῷ κόσμῳ (»Ἐν τῷ κόσμῳ
»γὰρ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ 2
»ἔγνω«), οὐδέπω ἐν κόσμῳ δεδόξαστο, καὶ ἦν ἡ ζημία τοῦ μὴ δε-
δοξάσθαι αὐτὸν ἐν τῷ κόσμῳ οὐ τοῦ μὴ δεδοξασμένου ἀλλὰ τοῦ μὴ
357 δοξάζοντος αὐτὸν κόσμου. ὅτε δὲ ἀπεκάλυψεν ὁ οὐράνιος πατὴρ
οἷς ἀπεκάλυψεν ἀπὸ τοῦ κόσμου οὗσιν τὴν τοῦ Ἰησοῦ γνῶσιν, τότε
ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τοῖς ἐγνωκόσιν αὐτόν, καὶ δι' ἧς 25
ἐδοξάσθη δόξης ἐν τοῖς ἐγνωκόσιν αὐτόν, περιεποίησεν δόξαν τοῖς
ἐγνωκόσιν αὐτόν· οἱ γὰρ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου
κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφοῦνται.

358 XXIX. Ὅρα δὲ πόθεν »ἀπὸ δόξης« φησί, καὶ ποῦ »εἰς δόξαν«· 30
ἀπὸ δόξης τῆς τοῦ δοξαζομένου, εἰς δόξαν τὴν τῶν δοξαζόντων.
359 ἡνίκα οὖν ἦλθεν ἐπὶ τὴν οἰκονομίαν, ἀφ' ἧς ἔμελλεν ἀνατέλλειν τῷ
κόσμῳ καὶ γινωσκόμενος δοξάζεσθαι ἐπὶ δόξῃ τῶν δοξαζόντων αὐ-
τόν, εἶπεν τὸ »Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου« καὶ ἔτι »Οὐδεὶς

8 Hebr. 1, 3. — 13 Vgl. Hebr. 2, 9. — 14 Vgl. Phil, 2, 9. — Joh. 13, 31. — 16 Matth. 11, 27. — γέγραπται — 28 μεταμορφοῦνται Cat[103]. — 17 Matth. 16, 17. — 19 Joh. 1, 10. — 27 Vgl. II Kor. 3, 18. — 33 Joh. 13, 31. — Matth. 11. 27.

5 δοξάζεται (ohne καὶ)? We | 12 αὐτοῦ — ὑπὲρ a. Ras. | 18 σοι — οὐράνιος < Cat. | οὐράνιος gegen T, mit Dion. Alex., Euseb. | 19 ὁ V Cat., < M | ἐν τῷ — 21 ἔγνω < Cat. | 21 δεδοξάσθαι δοξάζεσθαι Cat. | 22 μὴ] οὐ Cat. | 23 δὲ] οὖν Cat. | 25 καὶ δι' — 27 αὐτὸν < Cat. | 28 ἐνοπτριζόμενοι Cat. | 33 ἔτι We] ἐπεὶ M.

Digitized by Google

»ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ«· ἔμελλεν
δὲ ἐκ τῆς οἰκονομίας ἀποκαλύπτειν τὸν πατέρα ὁ υἱός, διὰ τοῦτο·
»Καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ«. ἢ τὸ »Καὶ ὁ θεὸς ἐδοξάσθη ἐν
»αὐτῷ« συνεξετάσεις τῷ »Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα τὸν
451 R »πέμψαντά με«· θεωρεῖται γὰρ ἐν τῷ λόγῳ, ὄντι θεῷ καὶ εἰκόνι
τοῦ θεοῦ τοῦ ἀοράτου, ὃ γεννήσας αὐτὸν πατήρ. τοῦ ἐνιδόντος τῇ
εἰκόνι τοῦ ἀοράτου θεοῦ εὐθέως ἐνορᾶν δυναμένου καὶ τῷ πρωτο-
τύπῳ τῆς εἰκόνος τῷ πατρί. ἔτι δὲ καὶ οὕτως σαφέστερον ἂν τὰ 360
κατὰ τὸν τόπον λαμβάνοιτο· ὡς διά τινας τὸ ὄνομα τοῦ θεοῦ βλασ-
10 φημεῖται ἐν τοῖς ἔθνεσιν, οὕτω διὰ τοὺς ἁγίους, ὧν βλέπεται τὰ
καλὰ ἔργα λαμπρότατα ἔμπροσθεν τῶν ἀνθρώπων, δοξάζεται τὸ
ὄνομα τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς. ἐν τίνι οὖν ἐδοξάσθη 361
τοσοῦτον ὅσον ἐν τῷ Ἰησοῦ, ἐπεὶ ἁμαρτίαν οὐκ ἐποίησεν μηδὲ εὑ-
ρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, μηδὲ ἔγνω ἁμαρτίαν; καὶ τοιοῦτος 362
15 οὖν ὢν ὁ υἱὸς ἐδοξάσθη, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ. εἰ δὲ ὁ 363
θεὸς ἐδοξάσθη ἐν αὐτῷ, ἀντιδωρεῖται αὐτῷ ὁ πατὴρ τὸ μεῖζον οὗ
ὁ υἱὸς τοῦ ἀνθρώπου πεποίηκεν· μεῖζον γὰρ τῷ δοξάσαντι τὸν
303 v θεόν, ἐλάττονι τὸν διαφέροντα, κατὰ | τὸ »Ὁ πατὴρ ὁ πέμψας
»με μείζων μου ἐστίν« τὸ δοξασθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐν
20 τῷ θεῷ, τὸν ἐλάττονα ἐν τῷ κρείττονι. καὶ πολλῷ γε ὑπερέχουσα 364
418 H ἡ δόξα ἐν τῷ υἱῷ ἐστιν ὅτε δοξάζει αὐτὸν ὁ πατήρ, ἢ ἐν τῷ πατρὶ
ὅτε ἐδοξάσθη ὁ πατὴρ ἐν τῷ υἱῷ. καὶ ἔπρεπέν γε τὸν μείζονα, 365
ἀμειβόμενον τὴν δόξαν ἣν ἐδόξασεν αὐτὸν ὁ υἱός, χαρίσασθαι τῷ
υἱῷ τὸ δοξάσαι αὐτὸν ἐν αὐτῷ, ἵν' ὁ υἱὸς ᾖ ἐν τῷ θεῷ δοξαζό-
25 μενος. εἶτ' ἐπεὶ ὅσον οὐδέπω ταῦτα γίνεσθαι ἔμελλεν (λέγω δὲ τὸ
δοξάζεσθαι τὸν υἱὸν ἐν τῷ θεῷ), διὰ τοῦτο ἐπιφέρει τὸ »Καὶ εὐθὺς
»δοξάσει αὐτόν«. ταῦτα δὲ οὐκ ἀγνοοῦμεν πολλῷ εἶναι ἐλάττονα 366
ὧν χωρεῖ ὁ τόπος ἐξεταζόμενος, ἀποκαλύπτοντος τοῦ θεοῦ. καὶ
ἐπιδημοῦντος τοῦ λόγου αὐτοῦ εἰς τὸ παραστῆσαι τὴν δόξαν τοῦ
30 θεοῦ, καὶ ᾧ δύναται δωρήσασθαι ὁ πατὴρ δωρούμενος γνωσθῆναι
τὴν πᾶσαν δόξαν τοῦ θεοῦ. διὸ ὡς βραχεῖς καὶ πολλῷ ταπεινότεροι 367
τῆς ἀξίας τῶν λόγων, καὶ ἐπὶ τοῖς ἐκτεθεῖσιν χάριτας ὁμολογοῦμεν
τῷ θεῷ, οὗσιν πολλῷ μείζοσιν τῆς ἡμετέρας ἀξίας.

4 Joh. 14, 9; 12, 45. — **7** Vgl. Kol. 1, 15. — **9** Vgl. Röm. 2, 24. — **11** Vgl. Matth. 5, 16. — **13** Vgl. I Petr. 2, 22. — **14** Vgl. II Kor. 5, 21. — **18** Joh. 14, 28. — **26** Joh. 13, 32.

18 ὁ πέμψας με fügt Orig. konstant hinzu | **24** αὐτῷ] αὐτὸν | **33** μείζον, corr. **Hu**, μείζω **V**.

Digitized by Google

XIII, 33. *Τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι· ζητήσετέ με, ⟨καὶ⟩ καθὼς εἶπον τοῖς Ἰουδαίοις ὅτι Ὅπου ἐγώ εἰμι ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι.*

368 XXX. (19) *Συναγαγὼν ἐκ τῶν εὐαγγελίων τὰς ὡς ὑπὸ πατρὸς λεγομένας τοῦ σωτῆρος ἡμῶν πρὸς τέκνα φωνάς, θάρρει λέγειν ὅτι τινῶν ὁ σωτὴρ πατήρ ἐστιν· τῷ μὲν γὰρ παραλυτικῷ φησί· »Θάρσει, τέκνον· ἀφίενταί σοι αἱ ἁμαρτίαι«· τῇ δὲ αἱμορροούσῃ· 452R*
»Θυγάτηρ, ἡ πίστις σου σέσωκέν σε«· καὶ νῦν τοῖς μαθηταῖς λέγει τὸ »Τεκνία«, ἐμφαίνοντος, οἶμαι, τὶ καὶ τοῦ ὑποκοριστικοῦ καὶ
369 *διδάσκοντος τὴν ἔτι βραχύτητα τῆς τῶν ἀποστόλων ψυχῆς τότε. ἐὰν δέ τις ζητῇ· ἆρ' οὖν ὁ παραλυτικὸς, ἀκούων »Τέκνον« ἐντελέστερος*
ἦν ⟨τῶν⟩ πρὸς οὓς ὁ λόγος φησί· »Τεκνία«; ἀκούσει ὅτι εἴ τις μέν
370 *ἐστιν τεκνίον, πάντως ἐστὶν τέκνον· διὸ οὐ κεκώλυται τὸν παραλυτικόν, λεγόμενον »τέκνον«, εἶναι καὶ τεκνίον· ὥστε οὐκ ἀνάγκη*
τὸν ὀνομασθέντα τέκνον, τὸν παραλυτικόν, εἶναι ἐντελέστερον τῶν
371 *πρὸς οὓς ὁ λόγος εἶπεν τὸ »Τεκνία«. χρὴ δὲ εἰδέναι ὅτι οὐχ ὥσπερ ἐπὶ τῶν ἀνθρώπων οὐ δύναται τὸ τέκνον γενέσθαι ὕστερον ἀδελφὸς*
οὗ ἔφθασεν εἶναι τέκνον, οὕτως ἀδύνατον μεταβαλεῖν ἐκ τέκνου
372 *Ἰησοῦ πρὸς τὸ γενέσθαι αὐτοῦ ἀδελφόν. οὗτοι γοῦν πρὸς οὓς εἶπεν·*
»Τεκνία« μετὰ τὴν τοῦ σωτῆρος ἀνάστασιν, ὡσπερεὶ μεταποιω-
θέντες ἀπὸ τῆς ἀναστάσεως Ἰησοῦ, γίνονται τοῦ πρότερον εἰπόντος
373 *»Τεκνία« ἀδελφοί. διὸ γέγραπται· »Πορεύου πρὸς τοὺς ἀδελφούς.*
»καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα
374 *»ὑμῶν, καὶ θεόν μου | καὶ θεὸν ὑμῶν«. καὶ τάχα † ὥσπερ ἔστιν μετα- 304r*
βαλεῖν ἐκ δούλου Ἰησοῦ· δοῦλοι δὲ ἦσαν οἱ μαθηταὶ πρὸ τοῦ εἶναι 419H
τεκνία, ὡς δῆλον ἐκ τοῦ »Ὑμεῖς φωνεῖτέ με Ὁ διδάσκαλος καὶ Ὁ »κύριος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ« καὶ τοῦ »Οὐκ ἔστιν δοῦλος

6 *τίνων* — 9 *τεκνία* Cat[104]. — 7 Matth. 9, 2. — 8 Matth. 9, 22. — 16 *χρὴ* — 477, 6 *θεοῦ* Cat[104]. — 22 Joh. 20, 17. — 26 Joh. 13, 13. — 27 Joh. 13, 16.

2 ⟨*καὶ*⟩ + V mit allen Zeugen von T | 4 *συναγαγὼν* — 5 *ὅτι*] von Cat. verkürzt: *ἐντεῦθεν ἔστιν ἰδεῖν καὶ τῶν παραπλησίων φωνῶν, ὡς τινων κτλ.* | 7 *θάρρει* Cat. | *ἀφίενται* — *ἁμαρτίαι* < Cat. | *τῇ δὲ*] *καὶ τῇ* Cat. | 8 *θύγατερ* Cat. mit der Mehrzahl der HSS von T; M = DLG | *ἡ πίστις* — *σε* < Cat.—9 *τὸ* < Cat. | 11 *ζητεῖ* | *τέκνα*, corr. V | 12 ⟨*τῶν*⟩ + V vgl. Z. 15 | *τι*, corr. Ausgg. | 17 *ὕστερον* < Cat. | 18 *εἶναι*] *γενέσθαι* Cat. | 19 *γοῦν*] *γὰρ* Cat. | 20 *μεταποιωθέντος*, corr. We; *μεταποιόω* „eine andere Qualität verleihen" ist durchaus passend | 22 *ἀδελφοὺς*] + *μου* Cat. HSS; *μου* fehlt hier mit D. *e.* Iren. | 23 *ἀναβαίνω* — 24 *ὑμῶν* < Cat. 24 *καὶ τάχα*] *τάχα δὲ* Cat. | *ὥσπερεί*? We | 26 *ὡς*] *καὶ* Cat. | *ὑμεῖς* — 27 *τοῦ* < Cat. | 27 *τοῦ*] *τὸ*, corr. V.

Digitized by Google

»μείζων τοῦ κυρίου αὐτοῦ« ἀναγεγραμμένου πρὸ τοῦ »Τεκνία, ἔτι
»μικρὸν μεθ' ὑμῶν εἰμι«· ἐπιστήσεις δὲ εἰ ὁ δοῦλος πρότερον μα-
θητὴς γίνεται, εἶτα τεκνίον, εἶτα ἀδελφὸς Χριστοῦ καὶ υἱὸς τοῦ
θεοῦ. μαθητὴν δὲ ἐν τούτοις λεκτέον τὸν ἐκ τοῦ παρέχειν αὐτὸν 375
παραληψόμενον τὴν τοῦ λόγου ἐπιστήμην, μανθάνοντα ἀπὸ τοῦ
τηλικούτου διδασκάλου τὴν σοφίαν τοῦ θεοῦ. τὸ δὲ »Ἔτι μικρὸν 376
»μεθ' ὑμῶν εἰμι« κατὰ μὲν τὸ ἁπλούστερον ὡς πρὸς τὸ ῥητὸν
σαφές ἐστιν, ἐπεὶ ὅσον οὐδέπω ἔμελλεν μηκέτι ἔσεσθαι μετὰ τῶν
μαθητῶν· πρότερον μὲν συλληφθεὶς ὑπὸ τῆς σπείρας καὶ τοῦ
χιλιάρχου καὶ τῶν Ἰουδαϊκῶν ὑπηρετῶν, οἵτινες δήσαντες αὐτὸν
ἀπήγαγον πρὸς Ἄνναν πρῶτον· μετὰ δὲ τοῦτο τῷ Πιλάτῳ παρα-
δοθεὶς καὶ ἐξῆς τὴν ἐπὶ σταυρῷ καταδικασθείς· εἶτα ποιήσας ἐν τῇ
καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. κατὰ δὲ τὸ βαθύ- 377
τερον ζητήσεις μήποτε μετὰ τὸ »μικρὸν« οὐκέτι ἦν μετ' αὐτῶν· οὐ
453 R τῷ μὴ παρεῖναι αὐτοῖς κατὰ σάρκα καὶ τῷ τὴν ψυχὴν αὐτοῦ εἰς
ᾅδου καταβεβηκέναι (τούτου γὰρ ἕνεκεν ⟨οὐκ⟩ ἐκωλύετο εἶναι καὶ
μετὰ τῶν μαθητῶν ὁ εἰπών· »Ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ
»ἐμὸν ὄνομα, καὶ ἐγώ εἰμι ἐν μέσῳ αὐτῶν« καὶ »Ἰδοὺ ἐγὼ μεθ'
»ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος«)
ἀλλὰ τῷ, πληρωθέντος τοῦ »Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν
»ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ· Πατάξω τὸν ποιμένα,
»καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης«, μηκέτι εἶναι
μετ' αὐτῶν τὸν μετὰ τῶν ἀξίων μόνων τυγχάνοντα. πρὸς τοῦτο 378
δ' ἄν τις ἀνθυποφέροι τὸ »Μέσος ὑμῶν στήκει ὃν ὑμεῖς οὐκ οἴδατε«
λέγων αὐτὸν εἶναι καὶ μετὰ τῶν μὴ γινωσκόντων αὐτόν. ὅρα δὲ 379
μήποτε οὐ ταὐτόν ἐστιν τὸ εἶναι αὐτὸν μετά τινος, ὅπερ ἐν ἐπαγ-
γελίᾳ ὡς ἀξίοις δίδοται, τῷ ἑστηκέναι αὐτὸν καὶ μὴ γινωσκόμενον
ἐν μέσῳ τῶν μὴ γινωσκόντων. ἐν ἐπαγγελίᾳ μὲν γὰρ τὸ »Ὅπου 380
»δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, κἀγώ εἰμι ἐν μέσῳ
»αὐτῶν« καὶ τὸ »Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως
»τῆς συντελείας τοῦ αἰῶνος«· οὐ τοιοῦτον δὲ τὸ »Μέσος ὑμῶν
»στήκει ὃν ὑμεῖς οὐκ οἴδατε«. καὶ ἐν τῷ προκειμένῳ τοίνυν ὁ 381

1 Joh. 13, 33. — **9** Vgl. Joh. 18, 12f. — **12** Vgl. Matth. 12, 40. — **17** Matth. 18, 20. — **18** Matth. 28, 20. — **20** Matth. 26, 31. — **24** Joh. 1, 26. — **28** Matth. 18, 20. — **30** Matth. 28, 20. — **31** Joh. 1, 26.

1 ἀναγεγραμμένου — **2** εἰμι < Cat. | ἀναγεγραμμένον | **3** τοῦ θεοῦ] αὐτοῦ Cat. | **11** πρώτων, corr. V | **16** ⟨οὐκ⟩ + Ferrarius | **17** ὅπου mit 69, wie Orig. auch sonst hat | **18** ἐμ μέσω M | **32** ἔστήκει M, εἰστήκει V vgl. Z. 24; o. S. 94, 19 u. ö. ἔστηκεν; doch vgl. z. S. 147, 13.

Digitized by Google

εἰπών· »Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι« φησὶ τὸ »Ἔτι μικρὸν | μεθ' 504r
ὑμῶν εἰμι«. ὁ δὲ λέγων· »Ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι« οὐκ ἂν
παρόντι αἰσθητῶς τῷ Ἰούδᾳ, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν
καρδίαν αὐτοῦ ἵνα παραδῷ τὸν σωτῆρα, εἶπεν ἂν αὐτῷ τὸ »Μετὰ σοῦ
εἰμι« (οὐκέτι γὰρ ἦν μετ' αὐτοῦ) οὐδ' ὅτε βάψας τὸ ψωμίον ἐδίδου
382 αὐτῷ, ἀλλ' ὅτε μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. 42 H
πολλῷ πλέον οὐκ ἦν Χριστὸς μετὰ τοῦ Ἰούδα, μακρύναντος ἑαυτὸν
ἀπὸ τοῦ σωτῆρος· »Τίς γὰρ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ;«
383 XXXI. Εἰ καὶ μικρὸν δὲ ἔτι μετὰ τῶν τεκνίων ἔμελλεν εἶναι
ὁ πατὴρ αὐτῶν Ἰησοῦς, χρὴ εἰδέναι τὸ μετὰ τὸ »μικρὸν« ἐκεῖνο· 10
εἰ καὶ μὴ ἦν μετ' αὐτῶν, οὐδὲν ἧττον ἐκεῖνοι ζητεῖν ἔμελλον τὸν
Ἰησοῦν, ὡς ὁ Πέτρος μετὰ τὸ ἀρνήσασθαι πικρῶς ἔκλαιεν, οἶμαι, ζη-
384 τῶν τὸν Ἰησοῦν. νῦν μὲν οὖν τὸ »Ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι«
λέλεκται, ὀλίγῳ (δὲ) ὕστερον· »Μικρόν, φησί, καὶ οὐκέτι θεωρεῖτέ
»με, καὶ πάλιν μικρὸν (καὶ) ὄψεσθέ με«. ὅτε λεγόντων τῶν μαθη- 15
τῶν· »Τί ἐστιν τοῦτο ὃ λέγει μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ· γνοὺς ὁ
»Ἰησοῦς καὶ ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, εἶπεν αὐτοῖς· Περὶ τούτου
»ζητεῖτε μετ' ἀλλήλων ὅτι εἶπον· Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ
»πάλιν μικρὸν καὶ ὄψεσθέ με; ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε
»καὶ θρηνήσετε ὑμεῖς· ὁ κόσμος χαρήσεται· ὑμεῖς δὲ λυπηθήσεσθε, 454B
385 »ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται«. τὸ γὰρ »μικρὸν« ἐκεῖνο
ἐν ᾧ οὐκ ἐθεώρουν αὐτόν, ἐζήτουν Ἰησοῦν· διὸ ἔκλαιον καὶ ἐθρή-
νουν, τῆς λύπης αὐτῶν εἰς χαρὰν μεταβαλλούσης, ὅτε ἐπληροῦτο τὸ
»Καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με«.
386 Ἐν οἷς ἐξετάσεις εἰ ὁ μετὰ μικρὸν μὴ θεωρῶν αὐτόν, εἰ μέλλει 25
μετὰ τοῦτο ὄψεσθαι αὐτόν, μετ' οὐ πολὺ πάντως ὄψεται αὐτόν.
387 νοούντων ἡμῶν τὸ »Καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με«, τὸ δὲ ζητεῖν
τὸν Ἰησοῦν ζητεῖν ἐστιν τὸν λόγον καὶ τὴν σοφίαν καὶ τὴν δικαιο-
σύνην καὶ τὴν ἀλήθειαν καὶ τὴν δύναμιν τοῦ θεοῦ, ἅπερ πάντα
388 ἐστὶν ὁ χριστός. τινὲς δὲ ζητοῦσιν αὐτὸν τῶν ἑωρακότων σημεῖα, 30
καὶ σὺν τῷ ἑωρακέναι λαβόντων ἀπ' αὐτοῦ ἄρτον καὶ φαγόντων,
αἰτίου τοῦ ζητεῖν αὐτοῖς γενομένου τοῦ τεθράφθαι ἀπὸ τοῦ λόγου·
»Ζητεῖτε γάρ με, φησίν, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ
389 »τῶν ἄρτων καὶ ἐχορτάσθητε«. εἶτα ἐπεὶ πρότερον τοῖς Ἰουδαίοις

3 Vgl. Joh. 13, 2. — 5 Vgl. Joh. 13, 26. — 8 II Kor. 6, 15. — 14 Joh. 16, 16. — 16 Joh. 16, 18—21. — 33 Joh. 6, 26.

1 ἐπὶ, corr. V | 4 σοῦ verblieben | 6 εἰσῆλθεν] ὅτε ἦλθεν, corr. V | 9 εἰ] ἡ, corr. V | 10 μετὰ] μέγα, corr. Br | 14 δὲ) + V | θεωρεῖται, M; auch im folgenden ist d. Endung überall falsch geschr. | 15 καὶ) + V | 16 γνοὺς] ἔγνω T (u. καὶ nach ἤθελον) | 20 ὁ] + δὲ T; d. LA des Orig. erklärt den Text von ALY 33. 69. EGHK al. | 23 ἐπλήρου τέ το | 32 τέθραπται | 34 εἴτε, corr. V | ἐπὶ, corr. V.

Digitized by Google

εἰρήκει· »Ἐγὼ ὑπάγω καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν »ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν« ἐπ' ἐκεῖνο ἀναφέρων τὸ προκείμενον φησί· »Καὶ καθὼς εἶπον τοῖς Ἰου»δαίοις ὅτι Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέγω »ἄρτι«. ὡς γὰρ ἐκείνοις, φησί, τοῦτ' εἶπον, οὕτω καὶ ὑμῖν· ἀλλὰ 390
καὶ ὑμῖν τοῦτο λέγω οὐ περὶ πλείονος χρόνου. οὕτω γὰρ ἀκούω 391
305r τοῦ »Καὶ ὑμῖν | λέγω ἄρτι«, ὅπερ οὐκ ἔστιν ταὐτὸν τῷ »Καὶ ὑμῖν »λέγω« χωρὶς τῆς προσθήκης τῆς »ἄρτι«. Ἰουδαῖοι μὲν γάρ, οὓς προέ-
121H βλεπεν ἐν τῇ ἑαυτῶν ἁμαρτίᾳ ἀποθανουμένους, οὐκ ἐπὶ βραχυνόμενον χρόνον οὐκ ἐδύναντο ἥκειν ὅπου ὑπῆγεν ὁ Ἰησοῦς· οἱ δὲ μαθηταί, μεθ' ὃν ἔμελλεν μικρὸν χρόνον μηκέτι ἔσεσθαι μετ' αὐτῶν, διὰ τὰ προειρημένα οὐκ ἐδύναντο ἕπεσθαι τῷ λόγῳ ἀπιόντι ἐπὶ τὰς ἑαυτοῦ οἰκονομίας.

XXXII. Καὶ εἰ μὲν μὴ προτέτακτο τοῦ »Ὅπου ἐγὼ ὑπάγω 392
»ὑμεῖς οὐ δύνασθε ἐλθεῖν« τὸ »Καθὼς εἶπον τοῖς Ἰουδαίοις« κἂν ἁπλούστερον ἐδοκοῦμεν ταῦτα εἰρῆσθαι, ἀναφερόμενα ἐπὶ τὴν ἀπὸ τοῦ βίου ἔξοδον τῆς Ἰησοῦ ψυχῆς· νυνὶ δὲ καὶ οἱ Ἰουδαῖοι ἀποθνήσκειν ἔμελλον, καὶ ὁ Ἰησοῦς ἀποθανὼν καταβαίνειν εἰς ᾅδου. πῶς 393
155R ὅπου ὁ Ἰησοῦς ὑπῆγεν ἐκεῖνοι οὐκ ἐδύναντο ἀπελθεῖν; ἀλλ' ἐρεῖ τις, ἐπεὶ καὶ ἐν τῷ παραδείσῳ ἔμελλεν γίνεσθαι τοῦ θεοῦ, ἔνθα οἱ μὲν ἐν ταῖς ἁμαρτίαις αὐτῶν ἀποθανούμενοι γίνεσθαι οὐκ ἔμελλον, οἱ δὲ τοῦ Ἰησοῦ μαθηταὶ τότε μὲν οὖν οὐκ ἐδύναντο ἐκεῖ γενέσθαι, ὕστερον δὲ διὰ τοῦτο πρὸς μὲν τοὺς ἐν ταῖς ἁμαρτίαις αὐτῶν ἀποθανουμένους Ἰουδαίους λέλεκται τὸ »Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύ»νασθε ἐλθεῖν«· πρὸς δὲ τοὺς μαθητάς· »Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ »δύνασθε ἐλθεῖν ἄρτι«. τὸ γὰρ ἑξῆς τῆς λέξεώς ἐστιν τοιοῦτον· 394
»Καθὼς εἶπον τοῖς Ἰουδαίοις καὶ ὑμῖν λέγω· Ὅπου ἐγὼ ὑπάγω, »ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ἄρτι«. καὶ οὕτω δὲ οὐκ ὀλίγην ἔχει ζήτησιν ὁ τόπος, διὰ τὸ »Ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς »γῆς ποιήσει τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας«. πῶς γὰρ τρεῖς ἡμέρας 395
καὶ τρεῖς νύκτας ποιήσει ἐν τῇ καρδίᾳ τῆς γῆς, ⟨ὃς⟩ ἅμα τῇ ἐξόδῳ ἐν τῷ παραδείσῳ ἔμελλεν ἔσεσθαι τοῦ θεοῦ, κατὰ τὸ »Σήμερον μετ' »ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ τοῦ θεοῦ«; οὕτω δὲ ἐτάραξέν τινας ὡς ἀσύμφωνον τὸ εἰρημένον, ὥστε τολμῆσαι αὐτοὺς ὑπονοῆσαι προστεθῆσθαι τῷ εὐαγγελίῳ ἀπό τινων ῥαδιουργῶν αὐτὸ τὸ »Σήμερον μετ'

1 Joh. 8, 21. — **3** Joh. 13, 33. — **9** Vgl. Joh. 8, 21. — **14** Joh. 13, 33. — **20** Vgl. Joh. 8, 21. — **27** Joh. 13, 33. — **92** Matth. 12, 40. — **32** Luk. 23, 43. — **35** Luk. 23, 43.

14 *προστέτακται* | **17** *νῦν ει*, corr. Br | **18** *καταβαίνων*, corr. Hu | **21** *οἳ εἰ*, corr. Ausgg. | **30** *ποιήσει* statt *ἔσται* singulär | **31** ⟨*ὃς* + V | **33** *τοῦ θεοῦ* setzt Orig. auch sonst zu: vgl. de mart. 36 [I, 33, 20 K.]; Griesbach, Symb. critic. II, 396.

Digitized by Google

»ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ τοῦ θεοῦ«. ἡμεῖς δέ φαμεν ἁπλούστερον μὲν ὅτι τάχα πρὶν ἀπελθεῖν εἰς τὴν λεγομένην καρδίαν τῆς γῆς ἀπεκατέστησεν εἰς τὸν παράδεισον τοῦ θεοῦ τὸν εἰπόντα αὐτῷ· »Μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου«· βαθύτερον δὲ ὅτι πολλαχοῦ τὸ »σήμερον« ἐν τῇ γραφῇ καὶ ἐπὶ ὅλον παρατείνει τὸν ἐνεστηκότα αἰῶνα· ὥσπερ δὲ καὶ ἐν τῷ »Ἐφημίσθη ὁ λόγος οὗτος »παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον« καὶ »Οὗτος πατὴρ Μωαβιτῶν μέχρι τῆς σήμερον ἡμέρας« καὶ »Σήμερον | ἐὰν τῆς φωνῆς αὐτοῦ
397 »ἀκούσητε, † καὶ μὴ ἀπόστητε ἀπὸ κυρίου«. ἐν τῇ σήμερον ἡμέρᾳ ἐπαγγέλλεται αὐτῷ, ἀξιώσαντι μνησθῆναι αὐτοῦ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, τὸ ἐν τῷ ἐνεστηκότι αἰῶνι πρὸ τοῦ μέλλοντος ποιῆσαι αὐτὸν
398 γενέσθαι σὺν αὐτῷ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. ἀλλὰ τοῦτο μὲν διὰ μέσου ἐν παρεκβάσει εἰς τὸ προειρημένον εἰρήσθω· τοῖς δὲ μαθηταῖς ἀκολουθεῖν βουλομένοις τῷ Ἰησοῦ, οὐχ ὡς ἂν οἱ ἁπλούστεροι ὑπολάβοιεν σωματικῶς, ἀλλ' ὡς δηλοῖ τὸ »Ὃς ἂν μὴ ἄρῃ τὸν σταυρὸν »αὐτοῦ καὶ ἀκολουθήσει ὀπίσω μου, οὐκ ἔστιν μου ἄξιος εἶναι μα»θητής« φησὶν νῦν ὁ κύριος ὅτι »Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε
399 »ἐλθεῖν ἄρτι«. εἰ γὰρ ἐβούλοντο ἀκολουθεῖν τῷ λόγῳ καὶ ὁμολογεῖν αὐτὸν μὴ σκανδαλιζόμενοι ἐν αὐτῷ, ἀλλὰ οὐκ ἐδύναντό πω τοῦτο ποιεῖν· »Οὔπω γὰρ ἦν πνεῦμα, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη« καὶ »Οὐδεὶς δύναται εἰπεῖν Κύριος Ἰησοῦς εἰ μὴ ἐν πνεύματι ἁγίῳ«.
400 ἄπεισιν δὲ ὁ λόγος τὰς ἑαυτοῦ πορείας, καὶ ἀκολουθεῖ μὲν αὐτῷ ὁ λόγῳ ἑπόμενος· οὐ δύναται δὲ ἀκολουθεῖν ὁ μὴ εὐτρεπισμένος ὥστ' εὐτόνως κατ' ἴχνη βαίνειν, τοῦ λόγου ὁδηγοῦντος πρὸς τὸν ἑαυτοῦ πατέρα τοὺς πάντα πράττοντας ἵνα καὶ δύνωνται αὐτῷ ἕπεσθαι καὶ ἀκολουθῶσιν αὐτῷ, ἕως ⟨ἂν⟩ εἴπωσιν τῷ χριστῷ· »Ἐκολλήθη ὀπίσω »σου ἡ ψυχή μου«.

401 Αὐτάρκη δὲ περιγραφὴν εἰληφότος τοῦ λβ' τῶν εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον ἐξηγητικῶν, αὐτοῦ που καταπαύσομεν τὸν λόγον.

4 Luk. 23, 42. — **9** Vgl. de orat. 27, 13. — **6** Matth. 28, 15. — **7** Gen 19, 37. — **8** Ps. 94, 8 + Jos. 22, 16. (Vgl. de orat. 27, 13 [II, 372, 15 ff. K].) — **15** Matth. 10, 38. — **17** Joh. 13, 33. — **20** Joh. 7, 39. — **21** I Kor. 12, 3. — **26** Ps. 62, 9.

4 *ἐν τῇ βασιλείᾳ* mit ℵACQR al. vgl. o. S. 458, 20 | **6** *ἐφημίσθη* mit *Δ* 33. vgl. de orat. 27, 13 [II, 372, 13 K.] | **8** *φωνῆ[ς αὐτοῦ ἀκ]ούσητ[ε]* völlig zerstört | **9** Die Stelle scheint verdorben; aus de orat. 13 lässt sich d. Zusammenhang ahnen | **10** *αὐτῷ*] nur noch z. T. lesbar; *καὶ τῷ* V | **15** *ἄλλοις*, corr. Ausgg. | Die Form d. Citates deckt sich mit den anderen Stellen bei Orig.; vgl. Griesbach, Symb. critic. II, 269. Ursprung unsicher, wohl eine kirchl. Spruchsammlung | **26** ⟨ἂν⟩ + V.

Digitized by Google